[illegible] ma il 2° foglio, e il fo[illegible] sino [illegible] a pag. 64

[illegible]

68
7 E
19

Ex Bibliotheca
majori Coll. Rom.
Societ. Jesu

IV. 8. α

.29.28.

5-7.D.8-

Digitized by Google

[illegible]

ΛΟΓΟΙ ΤΟΥΤΩΝΙ ΤΩΝ ΡΗΤΟΡΩΝ.

Αἰσχίνου.
Λυσίου.
Ἀλκιδάμαντος.
Ἀντισθένους.
Δημάδου.
Ἀνδοκίδου.
Ἰσαίου.
Δεινάρχου.
Ἀντιφῶντος.
Λυκούργου.
Γοργίου.
Λεσβώνακτος.
Ἡρώδου.
Αἰσχίνου βίος.
Λυσίου βίος.

ORATIONES HORVM RHETORVM.

Aeſchinis.
Lyſiæ.
Alcidamantis.
Antiſthenis.
Demadis.
Andocidis.
Iſæi.
Dinarchi.
Antiphontis.
Lycurgi.
Gorgiæ.
Leſbonactis.
Herodis.
Item Aeſchinis uita.
Lyſiæ uita.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE



ALDVS MANVTIVS FRANCISCO FASEOLO IVRISCONSVLTO AC SENATVS VENETI A' SEÇRETIS MAGNO. S. P. D.

m Emini legere duos duntaxat cognomento magnos ob eorum clariſſima geſta appellatos apud ueteres, alterum apud græcos, Alexādrum Macedonum regē, apud Romanos alterum, Cn. Pompeiū. Tum multis poſt ſeculis Carolus ille Gallorum rex ob excellentiam rerum geſtaꝝ magnus & tunc dici meruit, & nunc dicitur. Sunt & noſtro tempore qui magni cognomento appellantur, uel regni & pricipatus amplitudine, uel dignitate & excellētia magiſtratus, & hi quidē perpauci ut Aſſyriæ rex Solitanus. Rhodi princeps ἔρεισμα χριστιανῶν. Turcaꝝ Dominus. Clariſſimi quidā apud regē chriſtianiſs. In italia, i'dque Venetiis cognomēto magnus nemo, niſi qui primus à Secretis ſenatus eſt, quē magnū Cācellariū appellant. cuius tanta eſt dignitas, ut alterum à principe in urbe caput eſſe uideatur, eiúſq; funus princeps ipſe cum omni ſenatu, officii & honoris gratia ad ædem uſq; comitetur. Hic tu Franciſce creatus es. nec mirum, eras enim & ante magnus maiorum ſplendore. Magnus quidem ut taceam cæteros, Matthæo abano, quem in hiſtoriis Sabellicus rerū in bello genuēſi magnitudinē geſtarū laudibus extollit. Ma[illegible]ius filio A[illegible]o: qui Venetorum Pa[illegible]ui[illegible] primus creatus eſt. Magnus Andrea pat[illegible] doctiſs. qui inter diſcipulos illos Victorinæ academiæ, Vallam, Omnibonum, Guarinum & alios, qui latinæ linguæ elegantiam, & eruditionem tot ſeculis ſepultam ſuſcitarunt, à Platina cōnumeratur, qui'q; à Chriſtophoro Mauro Duce, in claſſe, à Decemuiris in Senatu, ut iter primos ab epiſtolis eēt, uocatus eſt. Magn' utroq; patruo, quorum alter Aloiſius Cōſtantinopoli pro patria mortuus eſt. alter autem, cui nomen Angelo, Epiſcopus ad regē Polloniæ, ac Daciæ miſſus, ut unà in Turcas expeditionem facerēt, uoti compos rediit, ob eámq; cauſam Romæ à theſauris Pontificis, publici'q; cubiculi apoſtolici præſes, ac gubernator urbis Romæ ſimul creatus eſt. Sed tu maiorum tuorum omnium maximus, qui quā§ extra eum ordinem penitus eſſes, ex quo ea omnino electio fieri debere uidebatur, atq; ex uſu forenſi, genere inuiſo, tantæ tamen præter facundiam, ſermonis'q; leporem, præter uehementiam, & eloquii grauitatem, præter illam tuam tibi innatam oratoriam dicendi artem, quibus uirtutibus in foro regnare merito dicebaris, tantæ inq§ modeſtiæ, tantæq; innocentiæ fuiſti, adeóq; in pauperes liberalis & pius, ut magnis illius ordinis reiectis competitoribus, numeroſiſſimo ex comitiis ſuffragiorum concurſu, præſes omnibus qui à ſecretis ſunt, crearere, magnúſq; Cācellarius appellatus ſis. tuis ſimilꝫ uirtutibus factū. Quod ſiquis te rogaret, quo nam modo tot ac tāta adeptus fueris, poſſes & tu, quod Alexander ille magnus, reſpondere, μηδὲν ἀναβαλλόμενος. Tot itaq;, ac tantis tuis impulſus laudibus. tum quia tua potiſſimum opera, tuo ſtudio, Venetiæ hoc tempore Athenæ alteræ uere dici poſſunt, propter literas græcas, quarum ſtudioſi undiq; concurrunt ad Marcum Muſurum, hominem huius ætatis eruditiſſimum, quē tu publico ſtipendio conducendum curaſti, cui'q;, quæ tua eſt in doctiſſimum quēq; beneuolentia, faues plurimum, Aeſchinis, Lyſiæ, & cæterorū, qui in fronte libri excuſi uiſuntur, orationes ſub tuo nomine, qui & haberis, & es magnus, illuſtris'q; orator, exire ex ædib. noſtris uolui in manus ſtudioſoꝝ,

ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ ΒΙΟΣ.

ἰσχίνης υἱὸς μὲν ἦν ἀτρομήτου τοῦ γραμματικοῦ καὶ γλαυκοθέας τῆς τοὺς θιάσους τελούσης. φασὶ δὲ αὐτὸν παῖδα μὲν ὄντα ἐν τῷ διδασκαλείῳ τοῦ πατρὸς ὑπουργεῖν, καὶ τῇ μητρὶ τὰς βίβλους ἀναγινώσκειν. ταύτην δ' ἐκ σκοτεινῶν τόπων τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ὁρμωμένην, ἔμπουσαν ὀνομασθῆναι. ἐπεὶ νυκτερινὸν φάντασμα ἡ ἔμπουσα. γενόμενον δὲ μειράκιον ὑποκριθῆναι τραγῳδίαν, ὥς τε τριταγωνιστεῖν. ὄντα δὲ λαμπρόφωνον γραμματεῦσαι ἀριστοφῶντι. καὶ μετὰ ταῦτα εὐβούλῳ. καὶ ἀναγινώσκοντα ψηφισμάτων ὁμοῦ καὶ νόμων ἔμπειρον γενόμενον, ἐπιθέσθαι τῷ βήματι καὶ τῶν κατ' αὐτὸν δοκεῖν ὄντα εὐφυῆ. μετὰ δὲ τὴν φιλίππου τελευτὴν, δόξαντα πολεμεῖν τῷ δήμῳ καὶ διαπέμπεσθαι τῷ ἀντιπάτρῳ κατὰ τῆς πόλεως, διά τε τοῦτο τὸ εἰληφέναι ἐν θήβαις κτήματα, διώκοντα κτησιφῶντα ὅτι ἔγραψε δημοσθένην ἐν τῷ θεάτρῳ ἀναγορεῦσαι στεφάνῳ, μὴ μεταλαβεῖν τὸ πέμπτον μέρος τῶν ψήφων. ἀτιμωθέντα δὲ ἀπᾶραι εἰς τὴν ἀσίαν, καὶ ἐλθεῖν εἰς ἔφεσον ἀπιθέντα κατάξειν αὐτὸν εἰς ἀθήνας ἀλέξανδρον. πυθόμενος δὲ τετελευτηκέναι τὸν βασιλέα, καὶ ταραχὴν εἶναι τῶν διαδεξαμένων, καταφυγεῖν εἰς ῥόδον. ἔνθα δεομένων αὐτοῦ ῥοδίων τὴν τέχνην διδάξαι τὴν ῥητορικὴν, ἀρνήσασθαι, εἰπόντα μὴ δ' αὐτὸς εἰδέναι. δίκας γοῦν καλούντων εἰπεῖν, οὐδὲ τοῦτο θελῆσαι, συμβαλόντα ὅτι ἐν τῇ πατρίδι ἡττηθεὶς, κομιδῇ γ' ἂν εἴη ἐν γῇ ἀλλοτρίᾳ διαφθαρ[illegible] τέλος δὲ ἦλθεν ἐπὶ τὴν τοῦ πατρὸς ἐλθεῖν τέχνην. καὶ διδάσκειν τοὺς [illegible] γράμματα [illegible] ἀφθόνως δημοσθένους [illegible] ποιοῦ τριταγωνιστὴν γενέσθαι τὸν αἰσχίνην. καὶ ὑποκρινόμενον οἰνόμαον διώκοντα πέλοπα, αἰσχρῶς πεσεῖν, καὶ ἀναστῆναι ὑπὸ σαννίωνος τοῦ χοροδιδασκάλου. ἔνθεν δ' οὖν ὁ δημοσθένης οἰνόμαον αὐτὸν ὀνομάζει πρὸς εἰδότας τὸ πρᾶγμα ἐπισκώπτων. καὶ μετὰ σωκράτους καὶ σιμύλου τῶν κακῶν ὑποκριτῶν ἀλᾶσθαι κατ' ἀγρούς. εἴη αὖ οὖν ἐνθένδε ἀρουραῖος λεγόμενος. ἦν δὲ τὸν δῆμον ὁ αἰσχίνης κοθωκίδης.

BIBLIOTE

Ἀπολλωνίου εἰς αἰσχίνην ἐξήγησις.

ἰσχίνης ὁ ῥήτωρ τὸ μὲν γένος ἦν ἀθηναῖος, τὸν δῆμον κοθωκίδης, υἱὸς δὲ ἀτρομήτου. ὅν φασι πρότερον τρόμητα καλούμενον, ὕστερον συλλαβῆς προσθέσει αὐτὸν τρόμητος ἀτρόμητον προσαγορευθῆναι. γεγονέναι δὲ, τὸ κατ' ἀρχὰς δοῦλον, καὶ παῖδας ἔχοντα διδάσκειν γράμματα πρὸς τῷ θησείῳ, καὶ τῷ τοῦ ἰατροῦ ἡρώῳ. εἶτα ὕστερον εἰς τὴν πολιτείαν ἐγγραφῆναι διὰ κακουργίας. μητρὸς δὲ ἦν ὁ αἰσχίνης γλαυκοθέας, ἢ ὡς ἔνιοι γλαυκίδος. ἣν φασι τὴν πρώτην ἡλικίαν ἡταιρηκέναι καθεζομένην ἐν οἰκήματι πρὸς τῷ τοῦ καλαμίτου ἥρωος. ἔπειτα ὕστερον ἀνάστασαν ἀπὸ τῆς ἐργασίας ταύτης, ἤδη τὸ τελεῖν καὶ καθαίρειν τοὺς βουλομένους ἀποκλῖναι. γεγονὼς δὲ ἐκ τούτων ὁ αἰσχίνης καὶ ἀδελφῶν αὐτῷ δύο γενομένων ἀφοβήτου καὶ φιλοχάρους τοῦ τὰς ἀλαβαστροθήκας καὶ τὰ τύμπανα γράφοντος, παῖς μὲν ὢν τῷ πατρὶ ὑπηρετεῖ γράμματα διδάσκοντι. ἀνὴρ δὲ γενόμενος τὸ μὲν πρῶτον ὑπογραμμάτευσε ταῖς ἀρχαῖς χρόνον τινὰ σὺν τῷ ἀδελφῷ ἀφοβήτῳ. ἦν δὲ ἐπονείδιστον τοῦτο τὸ ἔργον. ἔπειτα ἀποστὰς τούτου, τριταγωνιστὴς ἐγένετο τραγῳδιῶν καὶ ἐν κολυττῷ ποτε οἰνόμαον ὑποκρινόμενος, κατέπεσε. μετὰ ταῦτα δὲ προκόπτων τῇ ἡλικίᾳ, ἤδη τὸ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἐπεχείρει. καὶ δοκεῖ τὴν ὑπὸ φιλίππου καὶ ἀλεξάνδρου πολιτείαν ἐπαινεῖσθαι κοινωσάμενος φιλοκράτει τὰ πράγματα. καὶ πρὸς τὴν ἐκείνων χάριν καὶ κολακείαν ἄρξασθαι πολιτείαν πρὸς τοὺς περὶ δημοσθένην τοὺς τἀναντία τοῖς φιλίππου πράγμασι καὶ ἀλεξάνδρου πολιτευσαμένους. ὅτι δὲ πρὸς χάριν ἐπολιτεύσατο τοῖς βασιλεῦσιν, ἄλλα τε πολλὰ μαρτύριά ἐστι, καὶ

δὴ πάντων ἐκεῖνο ἐναργέστατον. ἐλομένου γάρ ποτε αὐτὸν τοῦ δήμου σύνδικον περὶ τοῦ ἐν Δήλῳ ἱεροῦ πρὸς τὴν γενομένην πρὸς Δηλίους Ἀθηναίων διαδικασίαν, οὐκ ἐπέτρεψεν ἡ ἐν Ἀρείῳ πάγῳ βουλή, ἀλλ' ἀπελάσασα αὐτὸν ὡς οὐκ ὄντα εὔνουν τῷ δήμῳ τῷ Ἀθηναίων, ὑπερείδῃ λέγειν προσέταξεν. φασὶ μέν τοι τινὲς αὐτὸν ἀκουστὴν γενέσθαι Πλάτωνός τε, καὶ Σωκράτους ψευδόμενοι. ἦν δὲ καὶ ἕτερος ῥήτωρ Αἰσχίνης Ἐλευσίνιος, οὗ καὶ τέχνας λέγεται ῥητορικὰς γεγραφέναι. λέγεται δ' ὁ Αἰσχίνης ἐρωτικὸς γεγονέναι. αὐτὸς δὲ ὁ Αἰσχίνης περὶ τοῦ γένους αὐτοῦ ἐν τῷ παραπρεσβείας φησίν· ὡς ὁ πατὴρ αὐτοῦ Ἀτρόμητος φατρίας μὲν ἦν καὶ γένους τῶν Ἐτεοβουταδῶν ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια. νέος δ' ὢν ἤθλει καὶ χρόνῳ, ὕστερον τὴν οὐσίαν ἀπολέσας ἐν τῷ πολέμῳ ἐξέπεσεν ὑπὸ τῶν τριάκοντα. καὶ στρατευόμενος εὐνοίας καὶ ἀριστείων ἠξιώθη. καὶ ἐν Κορίνθῳ μετὰ τὴν ἔκπτωσιν διατρίψας, συγκατήγαγε τὸν δῆμον. βιῶναι δὲ ἀναμαρτήτως. εἶναι δὲ αὐτὸν ἐτῶν ἐνενήκοντα τεσσάρων φησὶ δὲ καὶ τοὺς πρὸς μητρὸς αὐτῷ προσήκοντας ἐλευθέρους εἶναι. τὸν δὲ ἀδελφὸν αὐτοῦ Φιλοχάρην μὲν ἐν γυμνασίοις διατρίβειν. καὶ μετὰ Ἰφικράτους ἐστρατεῦσθαι καὶ συνεχῶς στρατηγεῖν. Ἀφόβητον δὲ τὸν νεώτατον αὐτοῦ ἀδελφὸν πεπρεσβευκέναι μὲν ὡς βασιλέα ἀξίως τῆς πόλεως, ὢν δὲ τῆς διοικήσεως γενόμενον καλῶς τῶν δημοσίων προσόδων ἐπιμεληθῆναι. περὶ δὲ ἑαυτοῦ φησιν ὡς ἐκ παίδων ἀπαλλαγεὶς περίπολος τῆς Ἀττικῆς χώρας ἐγένετο δύο ἔτη ἔφηβος ὤν. οὗτοι γὰρ μεθ' ὅπλων τὴν χώραν περιήρχοντο κατὰ πρόσταγμα νόμου. ἐστρατεύσατο δὲ πρώτην στρατείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην καὶ συμπαραπέμπων μετὰ Ἀλκιβιάδου καὶ τῶν ξένων τὴν εἰς Φλιοῦντα πομπήν. κινδύνου δὲ γενομένου περὶ τὴν καλουμένην Νεμεάδα χαράδραν ἀξιεπαίνως ἐμαχέσατο. καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους πάσας ἐξῆλθε. καὶ ἐν Μαντινείᾳ γενναίως ἐμαχέσατο, καὶ τὴν ἐν Ταμύναις μάχην ἐν τοῖς ἐπιλέκτοις. ἔτι ἐστεφανώθη μαχόμενος. ἐτελεύτησε δὲ Αἰσχίνης ἀναιρεθεὶς ὑπὸ Ἀντιπάτρου καταλυθείσης τῆς πολιτείας, ὅτε καὶ οἱ περὶ Δημοσθένην ἐξεδόθησαν. βεβιωκὼς ἔτη .ο. τριῶν δὲ ὄντων λόγων τῶν ὑπ' αὐτοῦ γεγραμμένων καὶ τούτων δημοσίων, ὁ γὰρ Δηλιακὸς νόθος ἐστὶ, τὸν μὲν κατὰ Κτησιφῶντος, εὑρίσκομεν τελευταῖον γεγραμμένον. ἐπὶ γὰρ τῶν Ἀλεξάνδρου χρόνων γέγραπται. τῶν δὲ λοιπῶν περὶ τοὺς αὐτοὺς ὄντων χρόνους, πρότερος ἐστὶ τῇ τάξει ὁ κατὰ Τιμάρχου. ἐν γὰρ τῷ μετ' αὐτὸν, τῷ περὶ τῆς παραπρεσβείας μέμνηται ὁ Αἰσχίνης τούτου τοῦ λόγου.

Ὑπόθεσις εἰς τὸν κατὰ Τιμάρχου.

Οἱ Ἀθηναῖοι πολεμήσαντες πρὸς Φίλιππον Ὀλυνθιακὸν πόλεμον, ὕστερον δό-
α ξαν αὐτοῖς, εἰρήνην ἐποιήσαντο πρὸς Φίλιππον, καὶ συμμαχίαν αὐτῷ, καὶ
τοῖς ἐγγόνοις ψηφισάμενοι, ἔπεμψαν πρὸς αὐτὸν δέκα πρέσβεις τοὺς ἀποληψομένους παρ' αὐτοῦ τοὺς ὅρκους. ἐν οἷς ἦσαν Δημοσθένης τε, καὶ Αἰσχίνης. ἐπανηκούσης δὲ τῆς πρεσβείας, γράφονται παραπρεσβείας Αἰσχίνην Δημοσθένης τε ὁ ῥήτωρ, καὶ Τίμαρχος Ἀριζήλου Σφήττιος διάσημος ὢν ἐν τῇ πολιτείᾳ καὶ δημηγορῶν, καὶ πλέον ἢ ἑκατὸν ψηφίσματα γεγραφώς. ἐτύγχανε δὲ καὶ γεγραφὼς ψήφισμα κελεῦον τὸν ἐκφέροντα ὅπλα πρὸς Φίλιππον, θανάτῳ ζημιοῦσθαι. ἀποτεθείσης οὖν τῆς γραφῆς πρὶν τὸν ἀγῶνα εἰσελθεῖν, ἐγράψατο Αἰσχίνης τὸν Τίμαρχον, ὡς δημηγοροῦντα παρὰ τοὺς νόμους, οὐκ ἐξεῖναι γὰρ αὐτῷ δημηγορεῖν ἡταιρηκότι. ἔνιοι μὲν οὖν φασιν ὡς ἀπήγξατο ὁ Τίμαρχος, τὴν κρίσιν οὐχ ὑπομείνας. οἱ δὲ ὅτι ἁλοὺς, ἠτιμώθη ὡς Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. οὕτω δὲ περιβόητον τὸ πρᾶγμα ἐγένετο, ὥστε ἀπὸ τῆς κρίσεως ταύτης, τοὺς πόρνους τὸ λοιπὸν ἐκάλουν Τιμάρχους. τὸ δὲ προοίμιον ἐστὶ δικανικώτερον, ἐν αὐτῷ δὲ διασυστήσας ἑαυτὸν μέτριον, ἵνα εὔνοιαν ἐπισπάσηται καὶ τὸν Τίμαρχον διαβαλὼν, καὶ περὶ τῆς πολιτείας εἰπὼν, μεταβαίνει ἐπὶ κεφάλαια οὐ τῆς ὑποθέσεως ἴδια, ἀλλὰ κοινὰ κατὰ πάντων τῶν ἑταιρήσεως

κρινομένων

κρινομένων, ἔστι δὲ ταῦτα. εἰ καλῶς καὶ ἀκριβῶς τοὺς νόμους ἔθεντο οἱ παλαιοὶ τοὺς περὶ τῆς τῶν παίδων εὐκοσμίας, καὶ μειρακίων καὶ τῶν ἄλλων ἡλικιῶν. εἰ ὀρθῶς ἀπεῖπον τοῖς ἡταιρηκόσι μὴ δημηγορεῖν. καὶ ἑξῆς εἰ παρὰ τοὺς νόμους δημηγορεῖ τίμαρχος ἡταιρηκώς. ἐν ᾧ εἰ ἔνοχος τίμαρχος τῇ γραφῇ ἑταιρήσεως. ἐν ᾧ εἰ παρὰ μισγόλᾳ ἡταίρησε μισθοῦ ἕνεκα τοιαῦτα ἔν τινι ἰατρείῳ. εἰ παρὰ ἀντικλεῖ ἐν τῷ κυβευτηρίῳ διατρίβων καὶ κυβεύων ἀνελήφθη ὑπὸ πιτταλάκου, δημοσίου δούλου τῆς πόλεως καὶ παρ' αὐτῷ διέζησεν ἑταιρῶν. εἰ παρὰ ἡγησάνδρῳ τῷ τιμομάχου ταμίᾳ διέζησε χρόνον ἑταιρῶν.

Ἑτέρα ὑπόθεσις εἰς τὸν κατὰ τιμάρχου.

τ Οὗτον τὸν λόγον ὁ αἰσχίνης γέγραφε δοκιμασίαν κατὰ τιμάρχου. ἦν δὲ ὁ τίμαρχος τῶν εὐθὺ τοῦ βήματος προσιόντων, καὶ αὐτὸν τὸν αἰσχίνην ἐσυκοφαντικῶς. νόμοι δέ εἰσι περὶ τῶν ῥητόρων κείμενοι, οὓς τινας χρὴ εἴργεσθαι λέγειν, οἷον τοὺς τὰ πατρῷα κατεδηδοκότας, τοὺς ἡταιρηκότας, εἰ δὲ μὴ ποιοῖντο, ἐξεῖναι τὸν βουλόμενον αὐτοῖς δοκιμασίαν ἐπαγγεῖλαι, ὥστε δοκιμάζεσθαι εἰ ἐπιτήδειοί εἰσι λέγειν. δύο δὲ ἐγκαλεῖ τιμάρχῳ αἰσχίνης, καὶ ὅτι ἡταίρηκε, καὶ ὅτι τὰ πατρῷα κατεδήδοκε. περὶ ἑταιρήσεως ἐπιγράφεται ὁ λόγος. ὅτι τὸ πλεῖον τῆς κατηγορίας περὶ ταύτην ἐστί. φαίνεται δὲ νενικηκὼς τὸν ἀγῶνα ὥς φασιν οἱ παλαιοί. δοκοῦσι δέ μοι οἱ λόγοι μετὰ τὰς δίκας γράφεσθαι.

Ὑπόθεσις τοῦ τῆς παραπρεσβείας.

ἀ Θηναῖοι φιλίππῳ πολεμήσαντες ὕστερον ἐπείσθησαν ὑπὸ ἀριστοδήμου καὶ νεοπτολέμου καὶ κτησιφῶντος εἰρήνην πρὸς αὐτὸν ποιήσασθαι. καὶ ἔπεμψαν δύο πρεσβείας, τὴν μὲν προτέραν περὶ τῆς εἰρήνης, τὴν δευτέραν δὲ ἀποληψομένην τοὺς ὅρκους. ἐν αἷς ἀμφοτέραις ἦσαν πρεσβευταὶ δημοσθένης καὶ αἰσχίνης. ὡς οὖν ἐπανῆκον ἐκ τῆς ὑστέρας πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, ἐγράψατο παραπρεσβείας αἰσχίνην δημοσθένης τε καὶ τίμαρχος. τὸν μὲν οὖν τίμαρχον πρὸ τοῦ τῆς παραπρεσβείας ἀγῶνος γραψάμενος αἰσχίνης ἑταιρήσεως ἠτίμωσε. πρὸς δὲ δημοσθένην ἀπολογεῖται. ἔνιοι μὲν οὖν φασι γεγραφέναι μὲν τοὺς λόγους ἀμφοτέρους. οὐ μέντοι γε εἰρῆσθαι, οἱ δὲ, καὶ εἰρῆσθαί φασι. καὶ κεκινδυνευκέναι τὸν αἰσχίνην τριάκοντα ψήφοις ἁλῶναι. ὅμως μέντοι ἀποφυγεῖν εὐβούλου αὐτῷ τοῦ δημαγωγοῦ συναγωνισαμένου. οὐ μέντοι παρὰ πᾶσιν ἀπογνωσθῆναι αὐτοῦ τὸ φιλιππίζειν ὡς αὐτὸς ἐν τῷ προοιμίῳ παραδηλοῖ, καὶ δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου. ἐν μὲν οὖν τῷ πρώτῳ προοιμίῳ κατάρχων εἰς εὔνοιαν παρακαλεῖ τοὺς δικαστὰς, τὸν ἀντίδικον καὶ τὴν κατηγορίαν διαβάλλων. καὶ τοῦ κινδύνου τὸ μέγεθος καὶ ὡς ψευδὸς συκοφαντοῦνται. ἐν δὲ τῷ δευτέρῳ νοήματι πρᾶγμα εἰρημένον ἐν τῇ κατηγορίᾳ διαβάλλει. καὶ πιστοῦται ἀξιοπίστως ὡς καὶ αὐτῶν εἰδότων ὅτι ψευδός ἐστι. καὶ τοῦτο δὲ εἰς διαβολὴν τοῦ ἀντιδίκου. καὶ τὰ ἑξῆς ὁμοίως εἰς εὔνοιαν ἑαυτοῦ καὶ διαβολὴν τοῦ ἀντιδίκου.

Περὶ στάσεως τοῦ κατὰ κτησιφῶντος λόγου.

ἡ Στάσις τοῦ λόγου ἐστὶ πραγματικὴ ἔγγραφος. ὥσπερ καὶ ἡ τοῦ ὑπὲρ τοῦ στεφάνου. τὰ δὲ κεφάλαια δηλονότι τῆς πραγματικῆς περιέχει ἅπερ καὶ ἐκεῖ οἷον τὸ νόμιμον, τεμνόμενον εἰς τρεῖς νόμους. τὸ δὲ δίκαιον εἰς τέσσαρας καιρούς. ὅρα δὲ πῶς ἐπιλογικῶς ἤρξατο ἀπὸ συνηγόρων ἐκ βολῆς ὥσπερ καὶ δημοσθένης.

τ ινὲς εἶπον ὅτι οὐκ ἔχει κατασκευὴν τὸ προοίμιον. οὐκοῦν οὐδὲ συμπέρασμα δεῖ ζητεῖν. ἀλλ' οὐκ ἔστιν ἀκατασκεύαστον. ἔστι γὰρ αὐτοῦ κατασκευὴ ὑπὲρ τοῦ τὰ μέτρια καὶ τὰ συνήθη μὴ γίνεσθαι ἐν τῇ πόλει. εἰ γὰρ ἡ αἰτία τῆς προτάσεως ἐστὶν ἡ κατασκευὴ, διὰ δὲ τὸ τὰ μέτρια γίνεσθαι τῇ πόλει, αἱ δεήσεις κατασκευὴ ἂν εἶεν. ἔχει δὲ καὶ συμπέρασμα. ἐγὼ δὲ πεπιστευκὼς ἥκω, ἕως τοῦ μεῖζον τῶν νόμων καὶ τῶν δικαίων.

ὑπόθεσις τοῦ κατὰ κτησιφῶντος λόγου.

Τησιφῶν ἔγραψε ψήφισμα στεφανῶσαι δημοσθένην δημοσθένους παιανιέα
κ χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ διονυσίοις τραγῳδῶν ὅτι διατελεῖ τὰ ἄριστα λέγων καὶ πράττων τῷ δήμῳ τῶν ἀθηναίων. τοῦτο τὸ ψήφισμα ἐγράψατο αἰσχίνης παρανόμων. καὶ εἰσάγει κεφάλαια γενικὰ τρία. ἓν μὲν ὅτι ὑπεύθυνον ὄντα τὸν δημοσθένην, ἐστεφάνωσε. τοῦ νόμου κελεύοντος μὴ ἐξεῖναι ὑπεύθυνον ἄρχοντα στεφανοῦν. περὶ οὐσίας. δεύτερον δὲ ὅτι ἐν τῷ θεάτρῳ ἀνακηρύξει τὸν στέφανον ἀπαγορεύοντος τοῦ νόμου μηδένα στεφανοῦν ἐν τῷ θεάτρῳ. περὶ ποιότητος. τρίτον καὶ τελευταῖον ὅτι καὶ τὰ ψευδῆ ἔγραψεν ἐν τῷ ψηφίσματι. οὐκ εἶναι γὰρ καλὸν καὶ ἀγαθὸν τὸν δημοσθένην, οὐδὲ ἄξιον τοῦ στεφάνου. καὶ τοῦτο εἰς τὸ παρανόμων ἀνακτέον, ἐπειδὴ ὁ νόμος ἐστὶν ὁ κωλύων τὰ ψευδῆ γράφειν ἐν τοῖς ψηφίσμασιν. ἔστι δὲ περὶ ποιότητος. ὑποφορὰς δὲ λαμβάνει. γ΄. πρὸς μὲν τὸ πρῶτον διαφόρως ὑπὲρ τοῦ δημοσθένους ὅτι οὐκ ἦν ἄρχων οὐδὲ ἔστιν ἀρχὴ ἡ τῶν τειχῶν οἰκοδομή, ἀλλὰ διακονία τις καὶ ἐπιμέλεια. εἰ δὲ καὶ ἀρχή, τό γε ἐπιδεδωκέναι ἐκ τῶν ἰδίων καὶ μηδὲν εἰληφέναι ἐκ τῆς πόλεως οὐκ ἦν ὑπεύθυνος. περὶ ποιότητος ἀμφότερα. πρὸς δὲ τοῦτο αἰσχίνης εἰσάγει στοχαστικὸν κεφάλαιον. οὐ μέντοι κατασκευάζει. εἰ δὲ μὴ παρ᾽ ἑαυτοῦ ἐπιδέδωκεν ἀλλ᾽ εἶχε παρὰ τῆς βουλῆς εἰς τοῦτο δέκα τάλαντα. περὶ οὐσίας. πρὸς δὲ τὸ δεύτερον κεφάλαιον παρεχομένου δημοσθένους νόμον ἕτερον κελεύοντα ἀνακηρύττειν, ἐν τῷ θεάτρῳ ἂν ψηφίσηται ὁ δῆμος αἰσχίνης οὐ περὶ τῶν πολιτικῶν αὐτὸν εἶναί φησιν, ἀλλὰ περὶ τῶν ξενικῶν στεφάνων. περὶ οὐσίας. πρὸς δὲ τὸ τρίτον πολλὰ κατὰ μέρος. διαιρεῖται δὲ τὸν δημοσθένην ὡς. δ΄. καιροὺς διῃρηκέναι τὴν ἀπολογίαν. τὰ πράγματα καθ᾽ ἃ ἐς τούτους μερίσαντα. πρῶτον μὲν οὖν φησιν εἶναι καιρὸν τοῦ πολέμου τοῦ πρώτου τοῦ πρὸς φίλιππον, περὶ ἀμφιπόλεως γενομένου. δεύτερον δὲ τὸν τῆς εἰρήνης. τρίτον δὲ τὸν τοῦ πολέμου τοῦ δευτέρου καὶ τῆς περὶ χαιρώνειαν ἥττης. τέταρτον δὲ τὸν παρόντα καιρὸν τὸν περὶ τῶν πρὸς ἀλέξανδρον πολιτευμάτων. ἐν μὲν οὖν τῷ πρώτῳ αἴτιον αὐτόν φησι γεγονέναι τῆς εἰρήνης αἰσχρᾶς οὔσης καὶ ἀδόξου. καὶ τοῦ μὴ μετὰ κοινοῦ τῶν ἑλλήνων συνεδρίου τὴν πόλιν αὐτὴν ποιήσασθαι. ἐν δὲ τῷ δευτέρῳ ὅτι τὸν πόλεμον τὸν πρὸς φίλιππον αὐτὸς παρεσκεύασεν. ἐν δὲ τῷ τρίτῳ ὅτι τοῦ ἱεροῦ πολέμου καὶ τῶν περὶ φωκέας συμβάντων αἴτιος ἐγένετο. καὶ τῆς ἥττης τῆς ἐν χαιρωνείᾳ πείσας μετ᾽ ἀθηναίων ἀραμένους τὸν πόλεμον τὸν πρὸς φίλιππον παρατάξασθαι. ἐν δὲ τῷ τελευταίῳ ὅτι κατὰ τὸν πρὸς ἀλέξανδρον οὐκ ἐπολιτεύσατο. μετὰ ταῦτα καὶ τοῦ βίου παντὸς τοῦ δημοσθένους κατηγορεῖ. καὶ δὴ καὶ κτησιφῶντος ἐν ὀλίγοις. ἐν οἷς ἀξιοῖ αὐτὸν ὑπὲρ ἑαυτοῦ τὸν κτησιφῶντα ἀπολογεῖσθαι. τὰ μὲν οὖν κεφάλαια ταῦτ᾽ ἐστίν. ἐνίκα δὲ τὸν ἀγῶνα δημοσθένης. μέμφονται μέντοι τινὲς τὸν αἰσχίνην ὅτι οὐκ ἐνδιέτριψεν ἐν τῷ παρανόμῳ, ἀλλὰ καὶ τῆς πολιτείας κατηγορεῖ τοῦ δημοσθένους καλῶς πεπολιτευμένου τοῦ ἀνδρός. αὐτὸς δὲ τοὐναντίον τούτῳ μάλιστα διϊσχυρίζεται. λέγων οὕτως. ἔστι δ᾽ ὑπόλοιπον μέρος τῆς κατηγορίας ἐφ᾽ ᾧ μάλιστα σπουδάζω. τοῦτο δ᾽ ἐστὶν ἡ πρόφασις δι᾽ ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι. μή ποτε δὲ ἄριστα τοῦτο ἔπραξεν. ἐπειδὴ γὰρ εἶχε δόξαν μεγάλην παρὰ πᾶσι καὶ ὑπόληψιν ὁ δημοσθένης ὡς λαμπρότατα πεπολιτευμένος, εἰκότως ᾤηθη ψυχροὺς καὶ οὐδενὸς ἀξίους φανήσεσθαι τοὺς περὶ τῶν παρανόμων λόγους εἰ μὴ δόξαν αὐτοῖς ἐμποιήσει τὴν ἐναντίαν ὡς ἄρα ὁ δημοσθένης κακόνους ἐστὶ τῷ δήμῳ, καὶ αἰσχρῶς, καὶ ἐπιμέμπτως πεπολίτευται. διὰ τοῦτο ἐσπούδασε περὶ τοῦτο μάλιστα καὶ ἐν τούτῳ τῷ μέρει τῆς κατηγορίας τὸ πλεῖστον ἐνδιέτριψε. μέμψαιτο δ᾽ ἄν τις τὸ προοίμιον ὡς τραγικὸν καὶ περιττόν, καὶ ἐπιλόγῳ μᾶλλον ἐοικός.

ὑδένα πώποτε τῶν πολιτῶν ὦ ἄνδρες ἀθηναῖοι οὔτε γραφὴν γραψάμενος οὔτ' ἐν εὐθύναις λυπήσας, ἀλλ' ὡς ἔγωγε νομίζω μέτριον ἐμαυτὸν πρὸς ἕκαστα τούτων παρεσχηκώς, ὁρῶν δὲ τήν τε πόλιν μεγάλα βλαπτομένην ὑπὸ τιμάρχου τουτουὶ δημηγοροῦντος παρὰ τοὺς νόμους, καὶ αὐτὸς ἰδίᾳ συκοφαντούμενος, ὃν δὲ τρόπον προϊόντος ἐπιδείξω τοῦ λόγου, ἐν τι τῶν αἰσχίστων ἡγησάμην εἶναι, μὴ βοηθῆσαι τῇ τε πόλει πάσῃ καὶ τοῖς νόμοις καὶ ὑμῖν καὶ ἐμαυτῷ. εἰδὼς δὲ αὐτὸν ἔνοχον ὄντα οἷς ὀλίγῳ πρότερον ἠκούσατε ἀναγινώσκοντος τοῦ γραμματέως, ἐπήγγειλα αὐτῷ τὴν δοκιμασίαν ταυτηνὶ καὶ ὡς ἔοικεν ὦ ἄνδρες ἀθηναῖοι, οἱ εἰωθότες λόγοι λέγεσθαι ἐπὶ τοῖς δημοσίοις ἀγῶσιν οὐκ εἰσὶ ψευδεῖς. αἱ γὰρ ἴδιαι ἔχθραι πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦνται. τοῦ μὲν οὖν ὅλου ἀγῶνος φανήσεται οὔθ' ἡ πόλις αἰτία οὖσα τιμάρχῳ, οὔθ' οἱ νόμοι, οὔθ' ὑμεῖς. οὔτε ἐγώ. ἀλλ' αὐτὸς οὗτος ἑαυτῷ. οἱ μὲν γὰρ νόμοι προεῖπον αὐτῷ αἰσχρῶς βεβιωκότι μὴ δημηγορεῖν. ἐπίταγμα ὥς γε δὴ ἐγὼ κρίνω οὐ χαλεπὸν ἐπιτάξαντες, ἀλλὰ καὶ πάνυ ῥᾴδιον. ἐμὲ δ' ἐξῆν αὐτῷ εἰ ἐσωφρόνει μὴ συκοφαντεῖν. περὶ μὲν οὖν τούτων μετρίως ἐλπίζω μοι προειρῆσθαι. οὐκ ἀγνοῶ δὲ ὦ ἄνδρες ἀθηναῖοι ἃ μέλλω ἐν πρώτοις λέγειν ὅτι φανεῖσθε καὶ ἑτέρων ἤδη πρότερον ἀκηκοότες. ἀλλά μοι δοκεῖ καιρὸς εἶναι καὶ ἐμὲ νῦν πρὸς ὑμᾶς τῷ αὐτῷ τούτῳ λόγῳ χρήσασθαι. ὁμολογοῦνται γὰρ τρεῖς εἶναι πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις. τυραννίς, καὶ ὀλιγαρχία, καὶ δημοκρατία. διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων. αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. εὖ δ' ἴστε ὦ ἀθηναῖοι ὅτι τὰ μὲν τῶν δημοκρατουμένων σώματα καὶ τὴν πολιτείαν, οἱ νόμοι σώζουσι. τὰ δὲ τῶν τυράννων καὶ τῶν ὀλιγαρχιῶν, ἀπιστία, καὶ ἡ μετὰ τῶν ὅπλων φρουρά. φυλακτέον δὴ τοῖς μὲν ὀλιγαρχικοῖς, καὶ τοῖς τὴν ἄνισον πολιτείαν πολιτευομένοις τοὺς ἐν χειρῶν νόμῳ τὰς πολιτείας καταλύοντας, ὑμῖν δὲ τοῖς τὴν ἴσην καὶ τὴν ἔννομον πολιτείαν ἔχουσι, τοὺς παρὰ τοὺς νόμους ἢ λέγοντας ἢ βεβιωκότας κολάζειν. ἐντεῦθεν γὰρ ἰσχύσετε ὅταν εὐνομῆσθε καὶ μὴ καταλύησθε ὑπὸ τῶν παρανομούντων καὶ ἀσελγῶς βιούντων. προσήκειν δὲ ἔγωγε νομίζω ὅταν μὲν νομοθετῶμεν τοῦθ' ἡμᾶς σκοπεῖν, ὅπως καλῶς ἔχοντας καὶ συμφέροντας νόμους τῇ πολιτείᾳ θησόμεθα. ἐπειδὰν δὲ νομοθετήσωμεν τοῖς νόμοις τοῖς κειμένοις πείθεσθαι. τοὺς δὲ μὴ πειθομένους κολάζειν, εἰ δεῖ τὰ τῆς πόλεως καλῶς καὶ εὖ ἔχειν. σκέψασθε γὰρ ὦ ἀθηναῖοι ὅσην πρόνοιαν περὶ σωφροσύνης ἐποιήσατο σόλων ἐκεῖνος ὁ παλαιὸς νομοθέτης. καὶ ὁ δράκων. καὶ οἱ κατὰ τοὺς χρόνους ἐκείνους νομοθέται. πρῶτον μὲν γὰρ περὶ τῆς σωφροσύνης τῶν παίδων τῶν ἡμετέρων ἐνομοθέτησαν, καὶ διαρρήδην ἀπέδειξαν ἃ χρὴ τὸν παῖδα τὸν ἐλεύθερον ἐπιτηδεύειν. καὶ ὡς δεῖ αὐτὸν τραφῆναι. ἔπειτα δεύτερον περὶ τῶν μειρακίων. τρίτον δ' ἐφεξῆς περὶ τῶν ἄλλων ἡλικιῶν, οὐ μόνον δὲ περὶ τῶν ἰδιωτῶν, ἀλλὰ καὶ περὶ τῶν ῥητόρων, καὶ τούτους τοὺς νόμους ἀναγράψαντες ὑμῖν παρακατέθεντο, καὶ ὑμᾶς αὐτῶν ἐπέστησαν φύλακας. βούλομαι δὴ καὶ ἐγὼ πρὸς ὑμᾶς τὸν αὐτὸν τρόπον χρήσασθαι τῷ λόγῳ. ὄνπερ τοῖς νόμοις ὁ νομοθέτης. πρῶτον μὲν γὰρ διέξειμι πρὸς ὑμᾶς τοὺς νόμους οἳ κεῖνται περὶ τῆς εὐκοσμίας τῶν παίδων τῶν ὑμετέρων. ἔπειτα δεύτερον τοὺς περὶ τῶν μειρακίων. τρίτον δὲ ἐφεξῆς τοὺς περὶ τῶν ἄλλων ἡλικιῶν, οὐ μόνον περὶ τῶν ἰδιωτῶν, ἀλλὰ καὶ περὶ τῶν ῥητόρων, οὕτω γὰρ ἄν μοι μάλιστα ὑπολαμβάνω τοὺς λόγους εὐμαθεῖς γενέσθαι. ἅμα δὲ καὶ βούλομαι ὦ ἀθηναῖοι διεξελθεῖν πρῶτον πρὸς ὑμᾶς ὡς ἔχουσιν οἱ νόμοι περὶ τῆς πόλεως. πάλιν δὲ μετὰ τοῦτο ἀντεξετάσαι τοὺς τρόπους τοῦ τιμάρχου. εὑρήσετε γὰρ αὐτὸν ἐναντίως ἅπασι τοῖς νόμοις βεβιωκότα. ὁ γὰρ νομοθέτης πρῶτον μὲν τοῖς διδασκάλοις οἷς ἐξ ἀνάγκης παρακα-

[Marginal manuscript notes:]
ἐπαγγελίαν δοκιμασίαν
Privatis inimicitiis res in rep. corriguntur.
Tria reip. genera.
ἐν χειρῶν νόμῳ
Cu[m] feruntur leges, videnda[m] bene ferantur: ubi late, vt seruentur.
Quanta veteribus legu[m latoribus] temperantiæ cura f[uit]
ῥήτορες.
Propositio pulcherrima
ῥήτορες.
Lex de puerorum institut[ione]

τα τιθέμεθα τοὺς ἡμετέρους αὐτῶν παῖδας. εἰ ἐστὶν ὁ μὲν βίος ἀπὸ τοῦ σωφρονεῖν, ὁ δὲ ἀπορία ἐκ τῶν ἐναντίων, ὅμως ἀπιστῶν φαίνεται καὶ διαῤῥήδην ἀποδείκνυσι. πρῶτον μὲν ἣν ὥραν προσήκει ἰέναι τὸν παῖδα τὸν ἐλεύθερον εἰς τὸ διδασκαλεῖον· ἔπειτα μετὰ πόσων παίδων εἰσιέναι, καὶ πηνίκα ἀπιέναι. καὶ τοὺς διδασκάλους τὰ διδασκαλεῖα, καὶ τοὺς παιδοτρίβας, τὰς παλαίστρας ἀνοίγειν μὲν ἀπαγορεύει μὴ πρότερον πρὶν ἂν ὁ ἥλιος ἀνίσχῃ. κλείειν δὲ προστάττει πρὸ ἡλίου δεδυκότος, τὰς ἐρημίας καὶ τὸ σκότος ἐν πλείστῃ ὑποψίᾳ ποιούμενος. καὶ τοὺς νεανίσκους, τοὺς εἰσφοιτῶντας οὕς τινας δεῖ εἶναι καὶ ἅς τινας ἡλικίας ἔχοντας, καὶ ἀρχὴν ἥτις ἔσται ἡ τούτων ἐπιμελησομένη, καὶ περὶ παιδαγωγῶν ἐπιμελείας καὶ περὶ μουσείων ἐν τοῖς διδασκαλείοις, καὶ περὶ ἑρμαίων ἐν ταῖς παλαίστραις, καὶ τὸ τελευταῖον περὶ τῆς συμφοιτήσεως τῶν παίδων καὶ τῶν χορῶν τῶν ἐγκυκλίων. κελεύει γὰρ τὸν χορηγὸν τὸν μέλλοντα τὴν οὐσίαν τὴν ἑαυτοῦ εἰς ὑμᾶς ἀναλίσκειν, ὑπὲρ τετταράκοντα ἔτη γεγονότα τοῦτο πράττειν, ἵν' ἤδη ἐν τῇ σωφρονεστάτῃ αὐτοῦ ἡλικίᾳ ὢν οὕτως ἐντυγχάνῃ τοῖς ὑμετέροις παισί. ἀναγνώσεται οὖν ὑμῖν τούτους τοὺς νόμους ὁ γραμματεύς, ἵν' εἰδῆτε, ὅτι ὁ νομοθέτης ἡγήσατο τὸν καλῶς τραφέντα παῖδα ἄνδρα γενόμενον χρήσιμον ἔσεσθαι τῇ πόλει, ὅταν δ' ἡ φύσις τοῦ ἀνθρώπου εὐθὺς πονηρὰν ἀρχὴν λάβῃ τῆς παιδείας ἐκ τῶν κακῶς τεθραμμένων παίδων, παραπλησίους ἡγήσατο πολίτας ἔσεσθαι τιμάρχῳ τουτῳί. λέγε δ' αὐτοῖς τοὺς νόμους τούτους.

οὕτως

ΝΟΜΟΙ.

Οἱ δὲ τῶν παίδων διδάσκαλοι, ἀνοιγέτωσαν μὲν τὰ διδασκαλεῖα μὴ πρότερον ἡλίου ἀνιόντος, κλειέτωσαν δὲ πρὸ ἡλίου δύνοντος, καὶ μὴ ἐξέστω τοῖς ὑπὲρ τὴν τῶν παίδων ἡλικίαν οὖσιν εἰσιέναι τῶν παίδων ἔνδον ὄντων. ἐὰν μὴ υἱὸς διδασκάλου ἢ ἀδελφὸς, ἢ θυγατρὸς ἀνήρ. ἐὰν δέ τις παρὰ ταῦτ' εἰσίῃ, θανάτῳ ζημιούσθω. καὶ οἱ γυμνασιάρχαι τοῖς ἑρμαίοις μὴ ἐάτωσαν συγκαθιέναι μηδένα τῶν ἐν ἡλικίᾳ τρόπῳ μηδενί. ἐὰν δὲ ἐπιτρέπῃ καὶ μὴ ἐξείργῃ τοῦ γυμνασίου, ἔνοχος ἔστω ὁ γυμνασιάρχης τῷ τῆς ἐλευθέρων φθορᾶς νόμῳ. οἱ δὲ χορηγοὶ οἱ καθιστάμενοι ὑπὸ τοῦ δήμου ἔστωσαν τὴν ἡλικίαν ὑπὲρ τετταράκοντα ἔτη.

…malis actionibus orta leges.

μετὰ ταῦτα τοίνυν ὦ ἀθηναῖοι νομοθετεῖ περὶ ἀδικημάτων μεγάλων μὲν, γινομένων δ' οἶμαι ἐν τῇ πόλει. ἐκ γὰρ τοῦ πράττεσθαί τινα ὧν οὐ προσῆκεν, ἐκ τούτου τοὺς νόμους ἔθεντο οἱ παλαιοί. διαῤῥήδην γοῦν λέγει ὁ νόμος, ἐάν τινα ἐκμισθώσῃ ἑταιρεῖν πατὴρ ἢ ἀδελφὸς ἢ θεῖος ἢ ἐπίτροπος ἢ ὅλως τῶν κυρίων τις, κατ' αὐτοῦ μὲν τοῦ παιδὸς οὐκ ἐᾷ γραφὴν ἑταιρήσεως εἶναι. κατὰ δὲ τοῦ μισθώσαντος καὶ τοῦ μισθωσαμένου, τοῦ μὲν, ὅτι ἐξεμίσθωσε, τοῦ δὲ φησὶν ὅτι ἐμισθώσατο. καὶ ἴσα τὰ ἐπιτίμια ἑκατέρῳ πεποίηκε. καὶ μὴ ἐπάναγκες εἶναι τῷ παιδὶ ἡβήσαντι τρέφειν τὸν πατέρα, μὴ δὲ οἴκησιν παρέχειν ὃς ἂν ἐκμισθωθῇ ἑταιρεῖν· ἀποθανόντα δὲ θαπτέτω καὶ τἄλλα ποιείτω τὰ νομιζόμενα. Σκέψασθε δὴ ὡς καλῶς ὦ ἀθηναῖοι. ζῶντος μὲν αὐτοῦ ἀφαιρεῖται τὴν ὄνησιν τῆς παιδοποιίας ὥσπερ ἐκεῖνος τοῦ παιδὸς τὴν παῤῥησίαν, τελευτήσαντα δὲ αὐτὸν ἡνίκα ὁ μὲν εὐεργετούμενος οὐκ ἔτι αἰσθάνεται ὧν εὖ πάσχει, τιμᾶται δὲ ὁ νόμος καὶ τὸ θεῖον, θάπτειν ἤδη κελεύει. καὶ τ' ἄλλα ποιεῖν τὰ νομιζόμενα. καὶ τίνα ἕτερον νόμον ἔθηκε φύλακα τῶν ὑμετέρων παίδων; τὸν τῆς προαγωγείας, τὰ μέγιστα ἐπιτίμια ἐπιγράψας· ἐάν τις ἐλεύθερον παῖδα ἢ γυναῖκα προαγωγεύσῃ. καὶ ποῖον ἄλλον; τὸν τῆς ὕβρεως ὃς ἐνὶ κεφαλαίῳ πάντα τὰ τοιαῦτα συλλαβὼν ἔχει, ἐν ᾧ διαῤῥήδην γέγραπται ἐάν τις ὑβρίζῃ εἰς παῖδα, ὑβρίζει δὲ δή που ὁ μισθούμενος, ἢ ἄνδρα ἢ γυναῖκα ἢ τῶν ἐλευθέρων τινὰ ἢ τῶν δούλων, ἢ ἐὰν παράνομόν τι ποιῇ εἰς τούτων τινὰ γραφὰς ὕβρεως εἶναι πεποίηκεν. καὶ τίμημα ἐπέθηκεν ὅ,τι χρὴ παθεῖν ἢ ἀποτῖσαι. λέγε τὸν νόμον.

…in eos, qui pueros, seu …ros, seu servos, corrupis…

Ἄν τις ἀθηναίων ἐλεύθερον παῖδα ὑβρίσῃ, γραφέσθω ὁ κύριος τοῦ παιδὸς πρὸς τοὺς θεσμοθέτας· τίμημα ἐπιγραψάμενος. ᾧ ἂν τὸ δικαστήριον καταψηφισθῇ, παραδοθεὶς τοῖς ιά, τεθνάτω αὐθημερόν. ἐὰν δὲ εἰς ἀργύριον καταψηφισθῇ, ἀποτισάτω ἐν ιά ἡμέραις μετὰ τὴν δίκην, ἐὰν μὴ παραχρῆμα δύνηται ἀποτίνειν, ἕως δὲ τοῦ ἀποτῖσαι εἰρχθήτω. ἔνοχοι δὲ ἔστωσαν ταῖσδε ταῖς αἰτίαις

Undecimviris, de quibus apud Platonem in Critone & Iulio Pollucem 273.

τίαις, καὶ οἱ εἰς τὰ οἰκεῖα τινὲς σώματα ἐξαμαρτάνοντες. Ἴσως ἂν οὖν τις θαυμάσειεν ἐξαίφνης ἀκούσας, τί δή ποτε τῷ νόμῳ τῷ τῆς ὕβρεως προσεγράφη τοῦτο τὸ ῥῆμα, τὸ τῶν δούλων. τοῦτο δὲ ἐὰν σκοπῆτε, εὑρήσετε ὦ ἄνδρες ἀθηναῖοι ὅτι τοῦτο πάντων ἄριστα ἔχει, οὐ γὰρ ὑπὲρ τῶν οἰκετῶν ἐσπούδασεν ὁ νομοθέτης, ἀλλὰ βουλόμενος ὑμᾶς ἐθίσαι πολὺ ἀπέχειν τῆς τῶν ἐλευθέρων ὕβρεως, προσέγραψε μηδ' εἰς τοὺς δούλους ὑβρίζειν. ὅλως δὲ ἐν δημοκρατίᾳ τὸν εἰς ὁποιοῦν ὑβριστὴν, τοῦτον οὐκ ἐπιτήδειον ἡγήσατο εἶναι συμπολιτεύεσθαι. κἀκεῖνο δέ μοι συνδιαμνημονεύσατε ὦ ἄνδρες ἀθηναῖοι, ὅτι ἐνταῦθα ὁ νομοθέτης οὔπω διαλέγεται αὐτῷ τῷ σώματι τοῦ παιδὸς, ἀλλὰ τοῖς περὶ τὸν παῖδα, πατρὶ, ἀδελφῷ, ἐπιτρόπῳ, διδασκάλοις, καὶ ὅλως τοῖς κυρίοις. ἐπειδὰν δ' ἐγγραφῇς εἰς τὸ ληξιαρχικὸν γραμματεῖον καὶ τοὺς νόμους γνῷ καὶ εἰδῇ τοὺς τῆς πόλεως, καὶ ἤδη δύνηται διαλογίζεσθαι τὰ καλὰ καὶ τὰ μὴ, οὐκ ἔτι ἑτέρῳ διαλέγεται, ἀλλ' ἤδη αὐτῷ τιμάρχῳ. καὶ πῶς λέγει; ἐάν τις ἀθηναίων φησὶν ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι. ὅτι οἶμαι στεφανηφόρος ἡ ἀρχή. μηδ' ἱερωσύνην ἱεράσασθαι ὡς οὐδὲ καθαρῷ διαλέγεται τῷ σώματι. μηδὲ συνδικησάτω φησὶ τῷ δημοσίῳ. μηδὲ ἀρξάτω ἀρχὴν μηδεμίαν μηδέποτε, μήτ' ἔνδημον, μήτε ὑπερόριον, μήτε κληρωτὴν, μήτε χειροτονητὴν, μηδὲ κηρυκευσάτω, μηδὲ πρεσβευσάτω, μηδὲ τοὺς πρεσβεύσαντας κρινέτω, μηδὲ συκοφαντείτω μισθωθεὶς, μηδὲ γνώμην εἰπάτω μηδέποτε, μήτε ἐν τῷ δήμῳ, μήτε ἐν τῇ βουλῇ. μηδ' ἂν δεινότατος ᾖ λέγειν ἀθηναίων. ἐὰν δέ τις παρὰ ταῦτα πράττῃ, γραφὰς ἑταιρήσεως πεποίηκε. καὶ τὰ μέγιστα ἐπιτίμια ἐπέθηκε. λέγε αὐτοῖς καὶ τοῦτον τὸν νόμον, ἵν' εἰδῆτε, οἵων ὑμῖν κειμένων νόμων ὡς καλῶν καὶ σωφρόνων τετόλμηκε τίμαρχος δημηγορεῖν ὁ τοιοῦτος τὸν τρόπον οἷον ὑμεῖς ἐπίστασθε.

» Ἄν τις ἀθηναῖος ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν
» ἐννέα ἀρχόντων γενέσθαι. μηδ' ἱερωσύνην ἱεράσασθαι. μηδὲ συνδικῆσαι τῷ δήμῳ.
» μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν, μήτε ἔνδημον μήτε ὑπερόριον, μήτε κληρωτὴν, μήτε χει-
» ροτονητὴν, μηδὲ ἐπὶ κηρυκείαν ἀποστελλέσθω, μηδὲ γνώμην λεγέτω, μηδ' εἰς τὰ δη-
» μοτελῆ ἱερὰ εἰσίτω, μηδ' ἐν ταῖς κοιναῖς στεφανηφορίαις στεφανούσθω, μηδ' ἐντὸς τῆς
» ἀγορᾶς τῶν περιρραντηρίων πορευέσθω. ἐὰν δέ τις ταῦτα ποιῇ καταγνωσθέντος αὐτοῦ ἑ-
» ταιρεῖν θανάτῳ ζημιούσθω.

Τοῦτον μὲν τὸν νόμον ἔθηκε περὶ τῶν μειρακίων τῶν προχείρως εἰς τὰ ἑαυτῶν σώματα ἐξαμαρτανόντων, οὓς δὲ ὀλίγῳ πρότερον ὑμῖν ἀνέγνων, περὶ τῶν παίδων, οὓς δὲ νυνὶ μέλλω λέγειν περὶ τῶν ἄλλων ἀθηναίων. ἀπαλλαγεὶς γὰρ τῶν νόμων τούτων ἐσκέψατο, τίνα χρὴ τρόπον συλλεγομένους ὑμᾶς εἰς τὴν ἐκκλησίαν βουλεύεσθαι περὶ τῶν σπουδαιοτέρων πραγμάτων καὶ πόθεν ἄρχεται; Νόμοι φησὶ περὶ εὐκοσμίας. ἀπὸ σωφροσύνης πρῶτον ἤρξατο. ὡς ὅπου πλείστη εὐκοσμία ἐστὶ, ταύτην ἄριστα τὴν πόλιν οἰκησομένην, καὶ πῶς δὲ κελεύει τοὺς προέδρους χρηματίζειν; ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ, καὶ ὁ κῆρυξ τὰς πατρίους εὐχὰς εὔξηται, προχειροτονεῖν κελεύει τοὺς προέδρους περὶ ἱερῶν τῶν πατρίων, καὶ κηρύκων, καὶ πρεσβειῶν, καὶ ὁσίων, καὶ μετὰ ταῦτα ἐπερωτᾷ ὁ κῆρυξ. τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων. ἐπειδὰν δὲ οὗτοι πάντες εἴπωσι, τότε ἤδη κελεύει λέγειν τῶν ἄλλων ἀθηναίων τὸν βουλόμενον οἷς ἔξεστι. Σκέψασθε δὴ ὡς καλῶς ὦ ἄνδρες ἀθηναῖοι, οὐκ ἠγνόει οἶμαι ὁ νομοθέτης ὅτι οἱ πρεσβύτεροι τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν, ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων. βουλόμενος δὴ συνεθίσαι τοὺς ἄριστα φρονοῦντας τούτους ἐπαναγκὲς περὶ τῶν πραγμάτων λέγειν, ἐπειδὴ ὀνόματι αὐτῶν ἕκαστον ἀπορεῖ προσειπεῖν τὴν κοινὴν ἐπωνυμίαν τῆς ὅλης ἡλικίας ὑπολαβὼν, παρακαλεῖ ἐπὶ τὸ βῆμα καὶ προτρέπει δημηγορεῖν. ἅμα δὲ καὶ τοὺς νέους διδάσκει αἰσχύνεσθαι τοὺς πρεσβυτέρους, καὶ πάντα ὕστερα πράττειν καὶ τιμᾶν τὸ γῆρας, εἰς ὃ πάντες ἀφιξόμεθα ἐὰν ἄρα δὴ διαγενώμεθα. καὶ οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι ἐκεῖνοι ῥήτορες, ὁ περικλῆς, καὶ ὁ θεμιστοκλῆς καὶ ὁ ἀριστείδης, ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν τιμάρχῳ τουτῳΐ, ὁ δίκαιος ἐπικα-

ἐγγραφεὶς

Ληξιαρχικὸν γραμματεῖον Pollux. ὁ δὲ εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφεὶς, τὰ πατρῷα παραλαμβάνει, τὰ πατρῷα ἴδια, καὶ λῆξις ... λεῖτο.

Lex in adolescentes, qui se substraxerint.

lego, μηδ' ἐντὸς τῶν περιρραντηρίων πορευέσθω. de perirrhanterio autem est apud Jul. Pollux. lib. 1 cap. 7.

τίς ἀγορεύειν ...

λούμενος, ὥστε ὃ νυνὶ πάντες ἐν ἔθει πράττομεν, τὴν χεῖρα ἔξω ἔχοντες λέγειν, τότε τοῦτο θρασύ τι ἐδόκει εἶναι, καὶ εὐλαβοῦντο αὐτὸ πράττειν. μέγα δὲ τούτου πάνυ σημεῖον ἔργῳ οἶμαι ὑμῖν ἐπιδείξειν. εὖ γὰρ οἶδ' ὅτι πάντες ἐκπεπλεύκατε εἰς Σαλαμῖνα, καὶ τεθέασθε τὴν Σόλωνος εἰκόνα, καὶ αὐτοὶ μαρτυρήσαιτ' ἂν ὅτι ἐν τῇ ἀγορᾷ τῇ Σαλαμινίων ἀνάκειται ὁ Σόλων ἐντὸς τὴν χεῖρα ἔχων. τοῦτ' ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπόμνημα καὶ μίμημα τοῦ Σόλωνος σχήματος, ὃν τρόπον ἔχων αὐτὸς διελέγετο τῷ δήμῳ τῶν Ἀθηναίων. σκέψασθε δή, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσον διαφέρει ὁ Σόλων Τιμάρχου, καὶ οἱ ἄνδρες ἐκεῖνοι, ὧν ὀλίγῳ πρότερον ἐμνήσθην. ἐκεῖνοι μέν γε ᾐσχύνοντο ἔξω τὴν χεῖρα ἔχοντες λέγειν, οὑτοσὶ δὲ οὐ πάλαι, ἀλλὰ πρώην ποτὲ ῥίψας θοἰμάτιον, γυμνὸς ἐπαγκρατίαζεν ἐν τῇ ἐκκλησίᾳ· οὕτω κακῶς καὶ αἰσχρῶς διακείμενος τὸ σῶμα ὑπὸ μέθης καὶ βδελυρίας, ὥστε τούς γε εὖ φρονοῦντας ἐγκαλύψασθαι, αἰσχυνθέντας ὑπὲρ τῆς πόλεως, εἰ τοιούτοις συμβούλοις χρώμεθα. ἃ συνιδὼν ὁ νομοθέτης διαρρήδην ἀπέδειξεν οὓς χρὴ δημηγορεῖν, καὶ οὓς οὐ δεῖ λέγειν ἐν τῷ δήμῳ. καὶ οὐκ ἀπελαύνει ἀπὸ τοῦ βήματος εἴ τις μὴ προγόνων ἐστὶν ἐστρατηγηκότων υἱός· οὐδέ γε εἰ τέχνην τινὰ ἐργάζεται ἐπικουρῶν τῇ ἀναγκαίᾳ τροφῇ, ἀλλὰ καὶ τούτους καὶ μάλιστα ἀσπάζεται, καὶ διὰ τοῦτο πολλάκις ἐπερωτᾷ τίς ἀγορεύειν βούλεται· τίνας δ' οὐκ ᾤετο λέγειν; τοὺς αἰσχρῶς βεβιωκότας· τούτους οὐκ ἐᾷ δημηγορεῖν. καὶ ποῦ τοῦτο δηλοῖ; δοκιμασία φησὶ ῥητόρων· ἄν τις λέγῃ ἐν τῷ δήμῳ τὸν πατέρα τύπτων ἢ τὴν μητέρα, ἢ μὴ τρέφων ἢ μὴ παρέχων οἴκησιν, τοῦτον οὐκ ἐᾷ λέγειν. νὴ Δία, καλῶς γε, ὡς ἔγωγέ φημι. διὰ τί; ὅτι εἴ τις οὓς ἐξ ἴσου δεῖ τιμᾶν τοῖς θεοῖς, εἰς τούτους ἐστὶ φαῦλος, τί ποτέ φησιν ὑπ' αὐτοῦ πείσονται οἱ ἀλλότριοι, καὶ ἡ πόλις ὅλη; καὶ τίσι δεύτερον ἀπεῖπε μὴ λέγειν; εἰ τὰς στρατείας φησὶ μὴ ἐστρατευμένος ὅσαι ἂν αὐτῷ προσταχθῶσιν, ἢ τὴν ἀσπίδα ἀποβεβληκώς, δίκαια λέγων. τί δή ποτε; ἄνθρωπε, τῇ πόλει ὑπὲρ ἧς τὰ ὅπλα μὴ τίθεσαι, ἢ διὰ δειλίαν μὴ δυνατὸς εἶ ἐπαμῦναι, μηδὲ συμβουλεύειν ἀξίου. τρίτον τίσι διαλέγεται; εἰ πεπορνευμένος φησίν, ἢ ἡταιρηκώς· τὸν γὰρ τὸ σῶμα τὸ ἑαυτοῦ ἐφ' ὕβρει πεπρακότα, καὶ τὰ κοινὰ τὰ τῆς πόλεως ῥᾳδίως ἡγήσατο ἀποδώσεσθαι. τέταρτον τίσι διαλέγεται; εἰ ὁ τὰ πατρῷά φησι κατεδηδοκώς, ἢ ὧν ἂν κληρονόμος γένηται. τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα, καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν, καὶ οὐκ ἐδόκει οἷόν τ' εἶναι τῷ νομοθέτῃ τὸν αὐτὸν ἄνθρωπον ἰδίᾳ μὲν εἶναι πονηρόν, δημοσίᾳ δὲ χρηστόν. οὐδ' ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα τῶν λόγων ἐπιμεληθέντα πρότερον, ἀλλ' οὐ τοῦ βίου. καὶ παρὰ μὲν ἀνδρὸς καλοῦ καὶ ἀγαθοῦ, κἂν πάνυ κακῶς καὶ ἁπλῶς ῥηθῇ λόγος, χρήσιμα τὰ λεγόμενα ἡγήσατο εἶναι τοῖς ἀκούουσι. παρὰ δὲ ἀνθρώπου βδελυροῦ καὶ καταγελάστως μὲν κεχρημένου τῷ σώματι, αἰσχρῶς δὲ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότος, οὐδ' ἂν εὖ πάνυ λεχθῇ, συνοίσειν ἡγήσατο τοῖς ἀκούουσι. τούτους οὖν ἐξείργει τοῦ βήματος· τούτους ἀπαγορεύει μὴ δημηγορεῖν. ἐὰν δέ τις παρὰ ταῦτα μὴ μόνον λέγῃ, ἀλλὰ καὶ συκοφαντῇ καὶ ἀσελγαίνῃ, καὶ μηκέτι τὸν τοιοῦτον ἄνθρωπον δύνηται φέρειν ἡ πόλις, δοκιμασίαν μέν φησιν ἐπαγγειλάτω Ἀθηναίων ὁ βουλόμενος οἷς ἔξεστιν· ὑμᾶς δ' ἤδη κελεύει περὶ τούτων ἐν τῷ δικαστηρίῳ διαγινώσκειν. καὶ νῦν ἐγὼ κατὰ τοῦτον τὸν νόμον ἥκω πρὸς ὑμᾶς. ταῦτα μὲν οὖν πάλαι νενομοθέτηται. ὑμεῖς δὲ τί προσέθεσθε καινὸν νόμον μετὰ τὸ καλὸν παγκράτιον ὃ οὗτος ἐπαγκρατίασεν ἐν τῇ ἐκκλησίᾳ; ὑπεραισχυνθέντες γὰρ ἐπὶ τῷ πράγματι καθ' ἑκάστην ἐκκλησίαν νόμον ἐθήκατε καινὸν ἀποκληροῦν φυλὴν ἐπὶ τὸ βῆμα ἥτις προεδρεύσει. καὶ τί προσέταξεν ὁ τιθεὶς τὸν νόμον; καθῆσθαι κελεύει τοὺς φυλέτας βοηθοῦντας τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, ὡς εἰ μὴ βοήθειαν ποθὲν μεταπεμψόμεθα ἐπὶ τοὺς οὕτω βεβιωκότας, οὐδὲ βουλεύεσθαι ἡμᾶς δυνησομένους περὶ τῶν σπουδαιοτάτων πραγμάτων. ἔστι δ' οὐδὲν ὄφελος, ὦ Ἀθηναῖοι, ζητεῖν τοὺς τοιούτους ἀνθρώπους ἀπελαύνειν ἀπὸ τοῦ βήματος ταῖς κραυγαῖς· οὐ γὰρ αἰσχύνονται· ἀλλὰ ταῖς τιμωρίαις τούτους ἀπεθίζειν χρή· μόνως γὰρ ἂν οὕτως ἀνεκτοὶ γένοιντο. ἀναγνώσεται οὖν ὑμῖν τοὺς νόμους τοὺς περὶ τῆς εὐκοσμίας κα-

μένους τῶν ῥητόρων, καὶ τὸν περὶ τῆς προεδρίας τῶν φυλῶν νόμον, ὃν τίμαρχος οὑτοσὶ καὶ ἕτεροι τοιοῦτοι ῥήτορες συνελθόντες γεγραμμένοι εἰσὶ μὴ ἐπιτήδειον εἶναι. ἵν' ἐξῇ πράττειν αὐτοῖς καὶ λέγειν καὶ ζῆν ὡς αὐτοὶ βούλονται. Νόμοι.

» τῶν ῥητόρων ἐάν τις λέγῃ ἐν βουλῇ ἢ ἐν δήμῳ περὶ τοῦ εἰσφερομένου μὴ χωρὶς ἢ περὶ
» ἑκάστου ἢ δὶς περὶ τοῦ αὐτοῦ ὁ αὐτὸς τοῖς αὐτοῖς, ὅτι ἢ λοιδορῆται ἢ κακῶς ἀγορεύει
» τινὰ ἢ ὑποκρούει ἢ χρηματιζόντων μεταξὺ ἀνιστάμενος λέγῃ περὶ τῶν μὴ ἐπὶ τοῦ βή-
» ματος, ἢ παρακελεύηται ἢ ἕλκῃ τὸν ἐπιστάτην, ἀφειμένης τῆς ἐκκλησίας ἢ τῆς βου
» λῆς, κυριευέτωσαν οἱ πρόεδροι μέχρι ν' δραχμῶν. εἶθ' ἕκαστον ἀδίκημα ἐπιγράφειν
» τοῖς πράκτορσιν. ἐὰν δὲ πλείονος ἄξιός ἐστι ζημίας ἐπιβάλλοντες μέχρι ν' δραχμῶν
» εἰσφερέτωσαν εἰς τὴν βουλὴν ἢ εἰς τὴν πρώτην ἐκκλησίαν ἐν τῷ βουλευτηρίῳ. ὅταν
» δ' ἐξίωσι κλήσεις κρινέτωσαν, καὶ ἐὰν καταγνωσθῇ αὐτοῦ κρύβδην ψηφιζομένων τῶν
» βουλευτῶν ἐγγραψάτωσαν οἱ πρόεδροι τοῖς πράκτορσι τῶν νόμων.

τῶν μὲν οὖν νόμων ἀκηκόατε ὦ ἀθηναῖοι. καὶ εὖ οἶδ' ὅτι δοκοῦσιν ὑμῖν καλῶς ἔχειν. τούτους μέντοι τοὺς νόμους εἶναι χρησίμους ἢ ἀχρήστους ἐφ' ὑμῖν ἐστιν. ἐὰν μὲν γὰρ κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοὶ καὶ κύριοι. ἐὰν δ' ἀφιῆτε, καλοὶ μόνον, κύριοι δὲ οὐκ ἔτι. βούλομαι δὲ ὥσπερ ὑπεθέμην ἀρχόμενος τοῦ λόγου ἐπειδὴ περὶ τῶν νόμων εἴρηκα, πάλιν τὸ μετὰ τοῦτο ἀντεξετάσαι τοὺς τρόπους τοῦ τιμάρχου. ἵνα εἰδῆτε ὅσον διαφέρουσι τῶν νόμων τῶν ὑμετέρων, δέομαι δ' ὑμῶν ὦ ἀθηναῖοι, συγγνώμην μοι ἔχειν ἐὰν ἀναγκαζόμενος λέγειν περὶ ἐπιτηδευμάτων φύσει μὲν μὴ καλῶν, τούτῳ δὲ πεπραγμένων, προεξαχθῶ τι ῥῆμα εἰπεῖν ὅ ἐστιν ὅμοιον τοῖς ἔργοις τοῖς τιμάρχου. οὐδὲ γὰρ ἂν δικαίως ἐμοὶ ἐπιτιμήσετε, εἴ τι σαφῶς εἴποιμι διδάσκειν ὑμᾶς βουλόμενος. ἀλλὰ πολὺ μᾶλλον τουτῳί, οὕτω γὰρ αἰσχρῶς τυγχάνει βεβιωκώς, ὥστε τὸν τὰ τούτῳ πεπραγμένα διεξιόντα ἀδύνατον εἶναι εἰπεῖν ὡς αὐτὸς βούλεται, ἐὰν μή τι καὶ τῶν τοιούτων φθέγξηται ῥημάτων, εὐλαβήσομαι δ' αὐτὸ ποιεῖν ὡς ἂν δύνωμαι μάλιστα. σκέψασθε δὲ ὦ ἀθηναῖοι ὡς μετρίως μέλλω προσφέρεσθαι τιμάρχῳ τουτῳί. ἐγὼ γὰρ, ὅσα μὲν παῖς ὢν εἰς τὸ σῶμα τὸ ἑαυτοῦ ἡμάρτηκεν, ἀφίημι. καὶ ἔστω ταῦτα ἄκυρα ὡσπερ τὰ ἐπὶ τῶν τριάκοντα ἢ τὰ πρὸ εὐκλείδου, ἢ εἴ τις ἄλλη πώποτε τοιαύτη ἐγένετο προθεσμία. ἃ δὲ ἤδη φρονῶν καὶ μειράκιον ὢν καὶ τοὺς νόμους ἐπιστάμενος τοὺς τῆς πόλεως διαπέπρακται, περὶ τούτων ἔγωγε τὰς κατηγορίας ποιήσομαι. καὶ ὑμᾶς ἐπ' αὐτοῖς ἀξιῶ σπουδάζειν. οὗτος γὰρ πρῶτον πάντων μὲν ἐπειδὴ ἀπηλλάγη ἐκ παίδων, ἐκάθητο ἐν πειραιεῖ ἐπὶ τοῦ εὐθυδίκου ἰατρείου, προφάσει μὲν τῆς τέχνης μαθητής, τῇ δὲ ἀληθείᾳ πωλεῖν ἑαυτὸν προῃρημένος. ὡς αὐτὸ ἔδειξεν. ὅσοι μὲν οὖν τῶν ἐμπόρων ἢ τῶν ἄλλων ξένων ἢ τῶν πολιτῶν τῶν ἡμετέρων κατ' ἐκείνους τοὺς χρόνους ἐχρήσαντο τῷ σώματι τιμάρχου ἑκὼν καὶ τούτους ὑπερβήσομαι, ἵνα μή με τις εἴπῃ, ὡς ἄρα λίαν ἀκριβολογοῦμαι ἅπαντα. ὧν δὲ ἐν ταῖς οἰκίαις γέγονε καταισχύνων τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὴν πόλιν, μισθαρνῶν ἐπ' αὐτῷ τούτῳ ὃ ἀπαγορεύει ὁ νόμος μὴ πράττειν ἢ μὴ δημηγορεῖν, περὶ τούτων ποιήσομαι τοὺς λόγους, μισγόλας ἐστί τις ναυκράτους ὦ ἄνδρες ἀθηναῖοι κολυττεύς, ἀνὴρ τὰ μὲν ἄλλα καλὸς κἀγαθός, καὶ οὐδαμῇ ἄν τις αὐτὸν μέμψαιτο, περὶ δὲ τὸ πρᾶγμα τοῦτο δαιμονίως ἐσπουδακώς, καὶ ἀεί τινας ἔχειν εἰωθὼς περὶ αὐτὸν κιθαρῳδοὺς ἢ κιθαριστάς. ταυτὶ δὲ λέγω οὐ τοῦ φορτικοῦ ἕνεκα, ἀλλ' ἵνα γνωρίσητε αὐτὸν ὅς τις ἐστίν. οὗτος αἰσθόμενος ὧν ἕνεκα τὰς διατριβὰς ἐποιεῖτο τίμαρχος οὑτοσὶ ἐπὶ τοῦ ἰατρείου, ἀργύριόν τι προαναλώσας, ἀνέστησεν αὐτὸν καὶ εἶχε παρ' ἑαυτῷ, εὔσαρκον ὄντα καὶ νέον καὶ βδελυρόν, καὶ ἐπιτήδειον πρὸς τὸ πρᾶγμα ὃ προῃρεῖτο ἐκεῖνος μὲν πράττειν, οὗτος δὲ πάσχειν. καὶ ταῦτα οὐκ ὤκνησεν, ἀλλ' ὑπέστη τίμαρχος οὑτοσί, οὐδενὸς ὢν τῶν μετρίων ἐνδεής. πολλὴν γὰρ πάνυ κατέλιπεν ὁ πατὴρ αὐτῷ οὐσίαν, ἣν οὗτος κατεδήδοκεν, ὡς ἐγὼ προϊόντος ἐπιδείξω τοῦ λόγου. ἀλλ' ἔπραξε ταῦτα δουλεύων ταῖς αἰσχίσταις ἡδοναῖς, ὀψοφαγίαις καὶ πολυτελείαις δείπνων, καὶ αὐλητρίσι, καὶ ἑταίραις, καὶ κύβοις, καὶ τοῖς ἄλλοις ὑφ' ὧν οὐδενὸς.

χρὴ κρατεῖσθαι τὸν γενναῖον καὶ ἐλεύθερον.   Καὶ οὐκ ἠσχύνθη ὁ μιαρὸς οὗτος, ἐκλιπὼν μὲν τὴν πατρῴαν οἰκίαν, διαιτώμενος δὲ παρὰ μισγόλᾳ, οὔτε πατρικῷ ὄντι φίλῳ, οὔτε ἡλικιώτῃ, οὔτε παρ᾽ ἐπιτρόπῳ, ἀλλὰ παρ᾽ ἀλλοτρίῳ, καὶ πρεσβυτέρῳ ἑαυτοῦ, καὶ παρ᾽ ἀκολάστῳ περὶ ταῦτα, ὡραῖος ὤν.   Πολλὰ μὲν οὖν καὶ ἄλλα καταγέλαστα πέπρακται τιμάρχῳ κατ᾽ ἐκείνους τοὺς χρόνους, ἓν δὲ ὃ καὶ διηγήσασθαι ὑμῖν βούλομαι.   Ἦν μὲν διονυσίων τῶν ἐν ἄστει πομπή. ἐπόμπευε δὲ ἐν τῷ αὐτῷ ὅ, τε μισγόλας ὁ τοῦτον ἀνειληφώς, καὶ φαῖδρος ὁ καλλίου σφήττιος. συνθεμένου δ᾽ αὐτοῖς συμπομπεύειν τιμάρχου τουτουῒ οἱ μὲν, περὶ τὴν ἄλλην παρασκευὴν διέτριβον, οὗτος δὲ οὐκ ἐπανῆκε. παρωξυμμένος δὲ πρὸς τὸ πρᾶγμα ὁ μισγόλας, ζήτησιν αὐτοῦ ἐποιεῖτο μετὰ τοῦ φαίδρου, ἐξαγγελθέντος δὲ αὐτοῖς, εὑρίσκουσι τοῦτον ἐν συνοικίᾳ μετὰ ξένων τινῶν συναριστῶντα. διαπειλησαμένων δὲ τοῦ μισγόλα καὶ τοῦ φαίδρου τοῖς ξένοις καὶ κελευόντων ἤδη ἀκολουθεῖν εἰς τὸ δεσμωτήριον ὅτι μειράκιον ἐλεύθερον διέφθειραν, φοβηθέντες οἱ ξένοι φεύγοντες ᾤχοντο καταλιπόντες τὰ παρεσκευασμένα. καὶ ταῦθ᾽ ὅτι ἐγὼ ἀληθῆ λέγω ἅπαντες ὅσοι κατ᾽ ἐκείνους τοὺς χρόνους ἐγίνωσκον μισγόλαν καὶ τίμαρχον ἴσασιν, ἐγὼ δὲ καὶ πάνυ χαίρω, ὅτι μοι γέγονεν ἡ δίκη πρὸς ἄνθρωπον οὐκ ἠγνοημένον ὑφ᾽ ὑμῶν, οὐδ᾽ ἀπ᾽ ἄλλου γινωσκόμενον οὐδενὸς ἢ ἀπ᾽ αὐτοῦ τοῦ ἐπιτηδεύματος, περὶ οὗ καὶ τὴν ψῆφον μέλλετε φέρειν.   Περὶ μὲν γὰρ τῶν ἀγνοουμένων, σαφεῖς ἴσως προσήκει τὰς ἀποδείξεις ποιεῖσθαι τὸν κατήγορον. περὶ δὲ τῶν ὁμολογουμένων, οὐ λίαν ἔγωγε μέγα ἔργον εἶναι νομίζω τὸ κατηγορεῖν. ἀναμνῆσαι γὰρ μόνον προσήκει τοὺς ἀκούοντας.   Ἐγὼ τοίνυν καίπερ ὁμολογουμένου τοῦ πράγματος ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμὲν γέγραφα μαρτυρίαν μισγόλᾳ, ἀληθῆ μὲν, οὐκ ἀπαίδευτον δὲ, ὡς ἐγὼ ἐμαυτὸν πείθω. αὐτὸ μὲν γὰρ τοὔνομα τοῦ ἔργου ὃ ἔπραττε πρὸς τοῦτον οὐκ ἐγγράφω. οὐδ᾽ ἄλλο γέγραφα οὐδὲν ὃ ἐπιζήμιόν ἐστιν ἐκ τῶν νόμων τῷ μὴ τ᾽ ἀληθῆ μαρτυρήσαντι. ἃ δέ ἐστιν ὑμῖν τε ἀκοῦσι γνώριμα ἀκίνδυνα δὲ τῷ μαρτυροῦντι καὶ μὴ αἰσχρὰ, ταῦτα γέγραφα.   Ἐὰν μὲν οὖν ἐθελήσῃ ὁ μισγόλας δεῦρο παρελθὼν τ᾽ ἀληθῆ μαρτυρεῖν, τὰ δίκαια ποιήσει. ἐὰν δὲ προαιρῆται ἐκκλητευθῆναι μᾶλλον ἢ τἀληθῆ μαρτυρεῖν, ὑμεῖς τὸ ὅλον πρᾶγμα συνίδετε. εἰ γὰρ ὁ μὲν πράξας αἰσχυνεῖται καὶ προαιρήσεται χιλίας δραχμὰς μᾶλλον ἀποτῖσαι τῷ δημοσίῳ ὥστε μὴ δεῖξαι τὸ πρόσωπον τὸ ἑαυτοῦ ὑμῖν, ὁ δὲ πεπονθὼς δημηγορήσει, σοφὸς ὁ νομοθέτης ὁ τοὺς οὕτω βδελυροὺς ἐξείργων ἀπὸ τοῦ βήματος.
ἐὰν δ᾽ ὑπακούσῃ μὲν, τράπηται δὲ ἐπὶ τὸ ἀναιδέστατον ἐπὶ τὸ ἐξόμνυσθαι τὰς ἀληθείας ὡς τιμάρχῳ μὲν χάριτας ἀποδιδοὺς, ἑτέροις δὲ ἐπίδειξιν ποιούμενος ὡς εὖ ἐπίσταται τὰ τοιαῦτα συγκρύπτειν, πρῶτον μὲν εἰς ἑαυτὸν ἐξαμαρτήσεται ἐπιορκῶν, ἔπειτα οὐδὲν αὐτῷ ἔσται πλέον, ἑτέραν γὰρ ἐγὼ γέγραφα μαρτυρίαν τοῖς εἰδόσι τίμαρχον τουτονῒ καταλιπόντα τὴν πατρῴαν οἰκίαν καὶ διαιτώμενον παρὰ μισγόλᾳ. πρᾶγμα οἶμαι χαλεπὸν ἐξεργάσασθαι ἐπιχειρῶν. οὔτε γὰρ ἐμὲ δεῖ τοὺς ἐμαυτοῦ φίλους μάρτυρας παρασχέσθαι, οὔτε τοὺς τούτων ἐχθρούς. οὔτε τοὺς μηδετέρους ὑμῶν γιγνώσκοντας, ἀλλὰ τοὺς τούτων φίλους, ἂν δ᾽ ἄρα, καὶ τούτους πείσωσι μὴ μαρτυρεῖν ὡς οὐκ οἴομαι, εἰ δὲ μὴ ἀλλ᾽ οὐχ ἅπαντας, ἐκεῖνό γε οὐδέποτε δυνήσονται ἀφελέσθαι τὴν ἀλήθειαν. οὐδὲ τὴν ἐν τῇ πόλει περὶ τιμάρχου φήμην. ἣν οὐκ ἐγὼ τούτῳ παρεσκεύασα, ἀλλ᾽ αὐτὸς οὗτος ἑαυτῷ.   Οὕτω γὰρ χρὴ καθαρὸν τὸν βίον εἶναι τοῦ σώφρονος ἀνδρὸς, ὥστε μὴ ἐπιδέχεσθαι δόξαν αἰτίας πονηρᾶς. βούλομαι δὲ κἀκεῖνο προειπεῖν, ἐὰν ἄρα ὑπακούσῃ ὁ μισγόλας τῷ νόμῳ καὶ ὑμῖν.   Εἰσὶ φύσεις ἀνθρώπων πολὺ διαφέρουσαι ὀφθῆναι ἀλλήλων τὰ περὶ τὴν ἡλικίαν. οὗτοι μὲν γὰρ νέοι ὄντες προφερεῖς καὶ πρεσβύτεροι φαίνονται. ἕτεροι δὲ πολλὸν ἀριθμὸν χρόνου γεγονότες παντάπασι νέοι δοκοῦσιν εἶναι, τούτων δ᾽ ἐστὶ τῶν ἀνδρῶν μισγόλας. τυγχάνει μὲν γὰρ ἡλικιώτης ὢν ἐμὸς, καὶ συνέφηβος. καὶ ἔστιν ἡμῖν τουτὶ πέμπτον καὶ τετταρακοστὸν ἔτος. καὶ ἐγὼ μὲν τοσαυτασὶ πολιὰς ἔχω, ὅσας ὑμεῖς ὁρᾶτε.   Ἀλλ᾽ οὐκ ἐκεῖνος. διὰ τί δὴ ταῦτα

τα προλέγω· ἵνα μὴ ἐξαίφνης αὐτὸν ἰδόντες θαυμάσητε. καὶ τοιοῦτόν τι τῇ διανοίᾳ
ὑπολάβητε. ὦ ἡράκλεις, ἀλλ᾽ οὗτός γε τούτου οὐ πολὺ διαφέρει. ἅμα μὲν γὰρ ἐστὶν ἡ φύ-
σις τοιαύτη τοῦ ἀνθρώπου. ἅμα δὲ ἤδη μειρακίῳ ὄντι αὐτῷ ἐπλησίαζον. ἵνα δὲ μὴ δια-
τρίβω, κάλει μοι πρῶτον μὲν τοὺς εἰδότας τίμαρχον τουτονὶ διαιτώμενον ἐν τῇ μισγό-
λα οἰκίᾳ. ἔπειτα τὴν φαίδρου μαρτυρίαν ἀναγίνωσκε. τελευταίαν δέ μοι λάβε τὴν
αὐτοῦ μισγόλα μαρτυρίαν. ἵνα καὶ τοὺς θεοὺς δεδιὼς καὶ τοὺς συνειδότας αἰσχυνό-
μενος καὶ τοὺς ἄλλους πολίτας καὶ ὑμᾶς τοὺς δικαστὰς ἐθέλῃ τἀληθῆ μαρτυρεῖν.

ΜΑΡΤΥΡΙΑ. Μισγόλας νικίου πειραιεὺς μαρτυρεῖ. ἐμοὶ ἐγένετο ἐν τῇ συνηθείᾳ
» τίμαρχος, ὁ ἐπὶ τοῦ αὐτολύκου ἰατρείου ποτὲ καθεζόμενος, καὶ κατὰ τὴν γνῶσίν μοι
» τὴν πρὸς αὐτὸν πολυωρῶν εἰς τὴν νῦν οὐ διέλιπον. Εἰ μὲν τοίνυν ὦ ἀθηναῖοι τίμαρ-
χος οὑτοσὶ παρέμεινε παρὰ τῷ μισγόλᾳ καὶ μηκέτι ὡς ἄλλον ἧκε, μετριώτερα ἂν
διεπέπρακτο. εἴ δή τι τῶν τοιούτων ἐστὶ μέτριον, καὶ ἔγωγε οὐκ ἂν ὤκνησα αὐτὸν οὐδὲν
αἰτιᾶσθαι ἢ ὅπερ ὁ νομοθέτης παρρησιάζεται ἡταιρηκέναι μόνον. ὁ γὰρ πρὸς ἕνα
τοῦτο πράττων ἐπὶ μισθῷ δὲ τὴν πρᾶξιν ποιούμενος, αὐτῷ μοι δοκεῖ τούτῳ ἔνοχος
εἶναι. ἐὰν δ᾽ ὑμᾶς ἀναμνήσας ἐπιδείξω ὑπερβαίνων τούσδε τοὺς ἀγρίους ἄνδρας κη-
δωνίδην καὶ αὐτοκλείδην καὶ θέρσανδρον ἀλλ᾽ ἐπιδείξω αὐτοὺς λέγων ὧν ἐν ταῖς
οἰκίαις ἀνειλημμένος γέγονε καὶ μὴ μόνον παρὰ τῷ μισγόλᾳ μεμισθαρνηκότα αὐτὸν
ἐπὶ τῷ σώματι, ἀλλὰ καὶ παρ᾽ ἑτέρῳ, καὶ πάλιν παρ᾽ ἄλλῳ. καὶ παρὰ τούτου ὡς ἕτε-
ρον ἐληλυθότα, οὐκ ἔτι δή που μόνον φανήσεται ἡταιρηκώς, ἀλλὰ καὶ μὰ τὸν διόνυσον
οὐκ οἶδ᾽ ὅπως δυνήσομαι περιπλέκειν ὅλην τὴν ἡμέραν, καὶ πεπορνευμένος. ὁ γὰρ
εἰκῇ τοῦτο καὶ πρὸς πολλοὺς πράττων καὶ μισθοῦ, αὐτῷ μοι δοκεῖ τούτῳ ἔνοχος εἶναι.
ἐπειδὴ τοίνυν ὁ μισγόλας τῇ τε δαπάνῃ ἀπεῖπε καὶ τοῦτον ἐξέπεμψε παρ᾽ ἑαυτοῦ,
μετὰ τοῦτον ἀναλαμβάνει αὐτὸν ἀντικλῆς καλλίου εὐωνυμεύς. οὗτος μὲν οὖν
ἄπεστιν ἐν σάμῳ μετὰ τῶν κληρούχων, ἀλλὰ τὰ μετὰ ταῦτα ἐρῶ. ὡς γὰρ ἀπηλλάγη
παρὰ τοῦ ἀντικλέους καὶ τοῦ μισγόλα τίμαρχος οὑτοσὶ, οὐκ ἐνουθέτησεν ἑαυτόν,
οὐδὲ βελτιόνων διατριβῶν ἥψατο, ἀλλὰ διημέρευεν ἐν τῷ κυβείῳ, οὗ ἡ τηλία τίθεται.
καὶ τοὺς ἀλεκτρυόνας συμβάλλουσι, καὶ κυβεύουσιν. ἤδη γὰρ οἶμαι ὑμῶν τινας ἑωρακέ-
ναι ἃ λέγω. εἰ δὲ μὴ ἀλλ᾽ ἀκηκοέναι γε. τῶν δ᾽ ἐκ τῆς διατριβῆς ταύτης, ἔστι τις πιττά-
λακος, ἄνθρωπος δημόσιος οἰκέτης τῆς πόλεως. οὗτος εὐπορῶν ἀργυρίου, καὶ ὁρῶν
τοῦτον ἐν τῇ διατριβῇ ταύτῃ ἀνέλαβεν αὐτὸν, καὶ εἶχε παρ᾽ ἑαυτῷ. καὶ ταῦτ᾽ οὐκ ἐ-
δυσχέρανεν ὁ μιαρὸς οὑτοσὶ μέλλων ἑαυτὸν καταισχύνειν πρὸς ἄνθρωπον δημόσιον
οἰκέτην τῆς πόλεως. ἀλλ᾽ εἰ λήψεται χορηγὸν τῇ βδελυρίᾳ τῇ ἑαυτοῦ, τοῦτο μόνον
ἐσκέψατο. τῶν δὲ καλῶν ἢ τῶν αἰσχρῶν οὐδὲ μίαν πώποτε πρόνοιαν ἐποιήσατο.
καὶ τοιαῦτα ἁμαρτήματα καὶ τοιαύτας ὕβρεις ἐγὼ ἀκήκοα γεγονέναι ὑπὸ τοῦ ἀν-
θρώπου τούτου εἰς τὸ σῶμα τὸ τιμάρχου, οἵας ἐγὼ μὰ τὸν δία τὸν ὀλύμπιον οὐκ ἂν τολ-
μήσαιμι πρὸς ὑμᾶς εἰπεῖν. ἃ γὰρ αὐτὸς ἔργῳ πράττων οὐκ ᾐσχύνετο, ταῦτ᾽ ἐγὼ λό-
γῳ μόνον σαφῶς ἐν ὑμῖν εἰπὼν, οὐκ ἂν ἐδεξάμην ζῆν. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τού-
τους ἐν οἷς οὗτος ἦν παρὰ τῷ πιττάλακῳ καταπλεῖ δεῦρο ἐξ ἑλλησπόντου ἡγήσαν-
δρος ὁ τοῦτον ἀνειληφώς. περὶ οὗ πάλαι οἶδ᾽ ὅτι θαυμάζετε, διότι οὐ μέμνημαι. οὕτως
ἐναργὲς ἐστὶν ὃ ἐρῶ. Οὗτος ὁ ἡγήσανδρος ἀφικνεῖται ὃν ὑμεῖς ἴστε κάλλιον ἢ ἐγώ.
ἔτυχε δὲ τότε συμπλεύσας εἰς ἑλλήσποντον ταμίας ἅμα τιμομάχῳ τῷ ἀχαρνεῖ,
τῷ στρατηγήσαντι. καὶ ἧκε δεῦρο ἀπολελαυκὼς ὡς λέγεται τῆς ἐκείνου εὐη-
θείας, ἔχων οὐκ ἐλάττους ἢ ὀγδοήκοντα μνᾶς ἀργυρίου καὶ τρόπον τινὰ, οὐχ ἥ-
κιστα αἴτιος ἐγένετο τιμομάχῳ τῆς συμφορᾶς. ὢν δ᾽ ἐν τοιαύτῃ ἀφθονίᾳ, καὶ φοιτῶν
ὡς τὸν πιττάλακον συγκυβευτὴν ὄντα, καὶ τοῦτον ἰδὼν ἐκεῖ πρῶτον ἥσθη τε, καὶ ἐπεθύ-
μησε καὶ ἐβουλήθη ὡς αὑτὸν ἀναλαβεῖν. καί πως ἴσως αὐτὸν ἡγήσατο ἐγγὺς εἶναι τῆς
αὐτοῦ φύσεως. Πρῶτον μὲν οὖν τῷ πιττάλακῳ διελέχθη δεόμενος παραδοῦναι
τοῦτον, ὡς δὲ οὐκ ἔπειθεν, αὐτῷ τούτῳ προσβάλλει, καὶ οὐ πολλοὺς ἀνάλωσε λόγους,

ἀλλ' εὐθὺς ἐπιπεπείκει. καὶ γὰρ εἰς αὐτὸ τὸ πρᾶγμα δεινὴ ἡ κακία καὶ ἡ ἀπιστία. ὥστε καὶ διὰ αὐτῶν τούτων εἰκότως ἂν μισοῖτο. ὡς δὲ ἀπήλλακτο μὲν ἀπὸ τοῦ πιτταλάκου, ἀνείληπτο δὲ ὑπὸ τοῦ ἡγησάνδρου, ὠδυνᾶτο οἶμαι ὁ πιττάλακος τοσοῦτον ἀργύριον μάτην ὡς ᾤετο ἀνηλωκὼς, καὶ ἐζηλοτύπει τὰ γιγνόμενα· καὶ ἐφοίτα ἐπὶ τὴν οἰκίαν. ὅτε δὲ αὐτοῖς ἠνώχλει, σκέψασθε μεγάλην ῥώμην ἡγησάνδρου καὶ τιμάρχου. μεθυσθέντες γάρ ποτε καὶ αὐτοὶ, καὶ τῶν συγκυβευτῶν τινὲς καὶ ἄλλοι ὧν οὐ βούλομαι τὰ ὀνόματα λέγειν, εἰσεπηδήσαντες νύκτωρ εἰς τὴν οἰκίαν οὗ ᾤκει ὁ πιττάλακος, πρῶτον μὲν συνέτριβον τὰ σκευάρια καὶ διεῤῥίπτουν εἰς τὴν ὁδὸν ἀστραγάλους τέ τινας διασείστους καὶ φιμοὺς· καὶ κυβευτικὰ ἕτερα ὄργανα καὶ τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας οὓς ἠγάπα ὁ τρισκακοδαίμων ἄνθρωπος ἀπέκτειναν· τὸ δὲ τελευταῖον δήσαντες πρὸς τὸν κίονα αὐτὸν τὸν πιττάλακον ἐμαστίγουν τὰς ἐξ ἀνθρώπων πληγὰς οὕτω πολὺν χρόνον, ὥστε καὶ τοὺς γείτονας αἰσθέσθαι τῆς κραυγῆς· τῇ δὲ ὑστεραίᾳ ὑπεραγανακτήσας τῷ πράγματι ὁ πιττάλακος, ἔρχεται γυμνὸς εἰς τὴν ἀγορὰν καὶ καθίζει ἐπὶ τὸν βωμὸν τὸν τῆς μητρὸς τῶν θεῶν. ὄχλου δὲ συνδραμόντος οἷον εἴωθε γίνεσθαι, φοβηθέντες ὅ τε ἡγήσανδρος, καὶ ὁ τίμαρχος μὴ ἀνακηρυχθῇ αὐτῶν ἡ βδελυρία εἰς πᾶσαν τὴν πόλιν, ἐπῄει δὲ ἐκκλησία, θέουσι πρὸς τὸν βωμὸν καὶ αὐτοί, καὶ τῶν συγκυβευτῶν τινὲς, καὶ περιστάντες ἐδέοντο τοῦ πιτταλάκου ἀναστῆναι λέγοντες ὅτι τὸ ὅλον πρᾶγμα παροινία γέγονε, καὶ αὐτὸς δὲ οὗτος οὐδέ πω μὰ Δία ὥσπερ νῦν ἀργαλέος ὢν τὴν ὄψιν ἀλλ' ἔτι χρήσιμος ὑπογενειάζων τὸν ἄνθρωπον καὶ πάντα φάσκων πράξειν ἃ ἂν ἐκείνῳ συνδοκῇ. τελευταῖον πείθουσιν ἀναστῆναι τὸν ἄνθρωπον ἀπὸ τοῦ βωμοῦ, ὡς τευξόμενόν τινος τῶν δικαίων, ὡς δ' ἀπῆλθεν ἐκ τῆς ἀγορᾶς οὐκ ἔτι προσεῖχον αὐτῷ τὸν νοῦν. Βαρέως δὲ φέρων τὴν ὕβριν αὐτῶν ὁ ἄνθρωπος δίκην ἑκατέρῳ αὐτῶν λαγχάνει. ὅτε δὲ ἐδικάζετο σκέψασθε μεγάλην ῥώμην ἡγησάνδρου, ἄνθρωπον μηδὲν αὐτὸν ἠδικηκότα, ἀλλὰ τοὐναντίον ἠδικημένον, οὐδὲ προσήκοντα αὐτῷ, ἀλλὰ δημόσιον οἰκέτην τῆς πόλεως, ἦγεν εἰς δουλείαν φάσκων αὐτοῦ εἶναι δοῦλον. ἐν παντὶ δὲ κακῷ γενόμενος ὁ πιττάλακος, προσπίπτει πρὸς τὰ γόνατα ἀνδρὶ καὶ μάλα χρηστῷ. ἔστι τις γλαύκων χολαργεύς· οὗτος αὐτὸν ἀφαιρεῖται εἰς ἐλευθερίαν. τὸ δὲ μετὰ τοῦτο λήξεις δικῶν ἐποιήσαντο. Προϊόντος δὲ τοῦ χρόνου ἐπέτρεψαν διαγνῶναι τὸ πρᾶγμα διοπείθει τῷ σουνιεῖ δημότῃ τε ὄντι τοῦ ἡγησάνδρου καὶ ἤδη ποτὲ κεχρημένῳ ὅτ' ἦν ἐν ἡλικίᾳ. Παραλαβὼν δὲ τὸ πρᾶγμα ὁ διοπείθης ἀνεβάλλετο χαριζόμενος τούτοις χρόνους ἐκ χρόνων. ὡς δὲ παρῆλθεν ἐπὶ τὸ βῆμα τὸ ὑμέτερον ὁ ἡγήσανδρος ὅτε καὶ προσεπολέμει ἀριστοφῶντι τῷ ἀζηνιεῖ πρὶν αὐτῷ τὴν αὐτὴν ταύτην ἐπιλῆσαι ἐπαγγελίαν ἐν τῷ δήμῳ ἥνπερ ἐγὼ τιμάρχῳ ἐπήγγειλα, καὶ ἐπειδὴ κράβυλος ὁ ἀδελφὸς αὐτοῦ ἐδημηγόρει καὶ ὅλως ἀπετόλμων ἐν ὑμῖν πρῴην οὗτοι περὶ τῶν ἑλληνικῶν συμβουλεύειν, ἐνταῦθα ἤδη καταμεμψάμενος αὑτὸν ὁ πιττάλακος, καὶ ἐκλογισάμενος ὅστις ὢν πρὸς οὕστινας ἐπολέμει, ἐβουλεύσατο. δεῖ γὰρ τἀληθῆ λέγειν, ἡσυχίαν ἔχειν, καὶ ἠγάπησεν εἴ τι μὴ προσλάβοι καινὸν κακόν. ἐνταῦθα δὴ τὴν καλὴν νίκην ταύτην νενικηκὼς ὁ ἡγήσανδρος, ἀκονιτὶ ἔχει παρ' ἑαυτῷ τίμαρχον τουτονί, καὶ ταῦτα ὅτι ἐγὼ ἀληθῆ λέγω πάντες ἴστε. Τίς γὰρ ὑμῶν ἐς οὐ πώ ποτε εἰς τοὔψον ἀφῖκται, καὶ τὰς δαπάνας τὰς τούτων οὐ τεθεώρηκεν; ἢ τίς οὐ τοῖς τούτων κώμοις καὶ μαχείαις περιτυχὼν, οὐκ ἠχθέσθη ὑπὲρ τῆς πόλεως; ὅμως δὲ ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμὲν, κάλει μοι γλαύκωνα χολαργέα τὸν ἀφελόμενον εἰς ἐλευθερίαν τὸν πιττάλακον, καὶ τὰς ἑτέρας μαρτυρίας ἀναγίνωσκε. Μαρτυρία. Μαρτυ-
» ρεῖ γλαύκων τιμαίου χολαργεὺς, ἐγὼ ἀγόμενον εἰς δουλείαν ὑπὸ ἡγησάνδρου πιττά-
» λακον ἀφειλόμην εἰς ἐλευθερίαν. χρόνῳ δ' ὕστερον ἐλθὼν πρὸς ἐμὲ πιττάλακος ἔφη βού-
» λεσθαι διαλυθῆναι τὰ πρὸς ἡγήσανδρον καὶ προσπέμψαι αὐτῷ τῆς δίκης ἄρξασθαι.
» ἥν τε αὐτὸς ἐνεκαλέσατο ἡγήσανδρον καὶ τίμαρχον, καὶ ἣν ἡγήσανδρος τῆς δουλεί-
» ας αὐτὸν, καὶ διελύθησαν ὡσαύτως. Μαρτυρία. Ἀμφισθένης μαρτυρεῖ

ἐπ' ἀγόμενον εἰς δουλείαν ὑπὸ Ἡγησάνδρου Πιττάλακον ἀφειλόμην εἰς ἐλευθερίαν καὶ τὰ ἑξῆς. οὐκοῦν, καὶ αὐτὸν ὑμῖν καλέσω τὸν Ἡγήσανδρον. γέγραφα δ' αὐτῷ μαρτυρίαν κοσμιωτέραν μὲν ἢ κατ' ἐκεῖνον, μικρῷ δὲ σαφεστέραν, ἢ τῷ Μισγόλᾳ. οὐκ ἀγνοῶ δ' ὅτι ἀπομεῖται καὶ ἐπιορκήσει. διὰ τί οὖν αὐτὸν καλῶ ἐπὶ τὴν μαρτυρίαν. ἵν' ὑμῖν ἐπιδείξω, οἵους ἀπεργάζεται ἀνθρώπους τὸ ἐπιτήδευμα τοῦτο. ὡς καταφρονοῦντας μὲν τῶν θεῶν, ὑπερορῶντας δὲ τοὺς νόμους. ὀλιγώρως δ' ἔχοντας πρὸς ἅπασαν αἰσχύνην. κάλει μοι τὸν Ἡγήσανδρον. ΜΑΡΤΥΡΙΑ. Ἡγήσανδρος Διφίλου Στειριεὺς μαρτυρεῖ ὅτι κατέπλευσα ἐξ Ἑλλησπόντου, κατέλαβον παρὰ Πιττάλακῳ τῷ κυβευτῇ διατρίβοντα τὸν Τίμαρχον τὸν Ἀριζήλου, καὶ ἐξ ἐκείνης τῆς γνώσεως ἐχρησάμην Τιμάρχῳ ὁμιλῶν τῇ αὐτῇ ἀρέσει ᾗ καὶ τὸ πρότερον Λεωδάμαντι. οὐκ ἠγνόουν, ὅτι ὑπερόψεται τὸν ὅρκον ὦ Ἀθηναῖοι, ἀλλὰ καὶ προεῖπον ὑμῖν. κἀκεῖνο δέ μοι πρόδηλόν ἐστιν ὅτι ἐπειδὴ νῦν οὐκ ἐθέλει μαρτυρεῖν, αὐτίκα πάρεισιν ἐν τῇ ἀπολογίᾳ. καὶ οὐδέν γε μὰ Δία θαυμαστόν. ἀναβήσεται γὰρ οἶμαι δεῦρο πιστεύων τῷ αὐτοῦ βίῳ. ἀνὴρ καλὸς κἀγαθὸς καὶ μισοπόνηρος. καὶ τὸν Λεωδάμαντα ὅστις ἦν οὐ γινώσκων, ἐφ' ᾧ ὑμεῖς ἀνεθορυβήσατε τῆς μαρτυρίας ἀναγινωσκομένης.

ἆρά γε προαχθήσομαί τι σαφέστερον εἰπεῖν, ἢ κατὰ τὴν ἐμαυτοῦ φύσιν; εἴπατέ μοι πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν ὦ Ἀθηναῖοι ὅστις αὑτὸν καταισχύνει πρὸς Ἡγήσανδρον οὐ δοκεῖ ὑμῖν πρὸς τὸν πόρνον πεπορνεῦσθαι; ἢ τίνας οὐκ οἰόμεθ' αὐτοὺς ὑπερβολὰς ποιεῖσθαι βδελυρίας παροινοῦντας καὶ μονουμένους. οὐκ οἴεσθε τὸν Ἡγήσανδρον ἀπολογούμενον τὰς πρὸς τὸν Λεωδάμαντα πράξεις τὰς περιβοήτους, ἃς ὑμεῖς ἅπαντες σύνιστε. ὑπερήφανα τὰ ἐπιτάγματα ἐπιτάττειν ὡς ταῖς τούτου ὑπερβολαῖς αὑτὸν δόξαντα μέτρια διαπεπρᾶχθαι. ἀλλ' ὅμως ὄψεσθε ὅτι καὶ μάλα ἐπιστρεφῶς καὶ ῥητορικῶς αὐτός τε καὶ ὁ ἀδελφὸς αὐτοῦ Κρωβύλος αὐτίκα μάλα δεῦρο ἀναπηδήσαντες ταῦτα μὲν εἶναι πολλῆς ἀβελτηρίας φήσουσιν ἃ ἐγὼ λέγω. ἀξιώσουσι δέ με μάρτυρας παρέχεσθαι διαρρήδην μαρτυροῦντας ὅπου ἔπραττεν, ὅπως ἐποίει. ἢ τίς εἶδεν. ἢ τίς ἦν ὁ τρόπος, πρᾶγμα οἶμαι ἀναιδὲς λέγοντες. οὐ γὰρ οἶμαι ἔγωγε ὑμᾶς οὕτως ἐπιλήσμονας εἶναι, ὥστε ἀμνημονεῖν ὀλίγῳ πρότερον, ἀκούσαντας ἀναγινωσκομένων τῶν νόμων, ἐν οἷς γέγραπται ἐάν τις μισθώσηται τινὰ Ἀθηναῖον ἐπὶ ταύτην τὴν πρᾶξιν, ἢ ἐάν τις αὑτὸν μισθώσῃ, ἔνοχον εἶναι τοῖς μεγίστοις καὶ τοῖς ἴσοις ἐπιτιμίοις. τίς οὖν οὕτω ταλαίπωρός ἐστιν ἄνθρωπος ὅστις ἂν ἐθελήσειε σαφῶς τὴν τοιαύτην μαρτυρίαν μαρτυρῆσαι, ἐξ ἧς ὑπάρχει αὐτῷ ἐὰν τἀληθῆ μαρτυρῇ, ἐπιδεικνύναι ἔνοχον ὄντα αὑτὸν τοῖς ἐσχάτοις ἐπιτιμίοις. οὐκοῦν ὑπόλοιπόν ἐστι τὸν πεπονθότα ὁμολογεῖν. ἀλλὰ διὰ τοῦτο κρίνεται ὅτι ταῦτα πράξας παρὰ τοὺς νόμους ἐδημηγόρει. βούλεσθε οὖν τὸ ὅλον πρᾶγμα ἀφῶμεν καὶ μὴ ζητῶμεν νὴ τὸν Ποσειδῶ καλῶς ἄρα τὴν πόλιν οἰκήσομεν. εἰ ἃ αὐτοὶ ἔργῳ ἴσμεν γινόμενα, ταῦτα ἐὰν μή τις ἡμῖν δεῦρο παρελθὼν σαφῶς ἅμα καὶ ἀναισχύντως αὐτὸς μαρτυρήσῃ, διὰ τοῦτο ἐπιλησόμεθα. σκέψασθε δὲ καὶ ἐκ παραδειγμάτων. ἀνάγκη δὲ ἴσως ἔσται παραπλήσια τὰ παραδείγματα εἶναι τοῖς τρόποις τοῦ Τιμάρχου.

ὁρᾶτε τουτουσὶ τοὺς ἐπὶ τῶν οἰκημάτων καθεζομένους τοὺς ὁμολογουμένως τὴν πρᾶξιν ταύτην πράττοντας; οὗτοι μέντοι ὅταν πρὸς τῇ ἀνάγκῃ ταύτῃ γίνωνται ὅμως πρό γε τῆς αἰσχύνης προβάλλονταί τι καὶ συγκλείουσι τὰς θύρας, εἰ δή τις ὑμῶν ἔροιτο τοὺς ὁδῷ πορευομένους τί νῦν ὁ ἄνθρωπος οὗτος πράττει, εὐθὺς ἂν εἴποιτε τοῦ ἔργου τοὔνομα οὐχ ὁρῶντες τὸν εἰσεληλυθότα, ὅστις ἦν, ἀλλὰ τὴν προαίρεσιν τῆς ἐργασίας τοῦ ἀνθρώπου συνειδότες καὶ τὸ πρᾶγμα γνωρίζοντες. οὐκοῦν, τὸν αὐτὸν τρόπον προσήκει ὑμᾶς καὶ περὶ Τιμάρχου ἐξετάζειν καὶ μὴ σκοπεῖν εἴ τις εἶδεν, ἀλλ' εἰ πέπρακται τούτῳ ἡ πρᾶξις. ἐπεὶ πρὸς θεῶν Τίμαρχε, τί χρὴ λέγειν. ἢ τί σὺ ἂν εἴποις αὐτὸς περὶ ἑτέρου ἀνθρώπου ἐπὶ τῇ αὐτῇ αἰτίᾳ κρινομένου. ἢ τί χρὴ λέγειν ὅταν μειράκι-

ον νέον καταλιπὼν τὴν πατρῴαν οἰκίαν νυκτερεύῃ ἐν ἀλλοτρίαις οἰκίαις τὴν ὄ-
ψιν ἑτέρων διαφέρων, καὶ πολυτελῆ δεῖπνα δειπνῇ ἀσύμβολον καὶ αὐλητρί-
δας ἔχῃ καὶ ἑταίρας πολυτελεστάτας. καὶ κυβεύῃ καὶ μηδὲν ἐκτίνῃ αὐτὸς ἀλ-
λ' ἕτερος ὑπὲρ αὐτοῦ. ἔτι ταῦτα μαντείας προσδεῖται; οὐκ εὔδηλον ὅτι πᾶ-
σα ἀνάγκη τὸν τὰ τηλικαῦτα ἐπιτάγματα τισὶν ἐπιτάττοντα, καὶ αὐτὸν ἀντὶ τού-
των ἡδονάς τινας παρασκευάζειν τοῖς τὸ ἀργύριον προαναλίσκουσιν. οὐ γὰρ ἔχω μὰ τὸν
Δία τὸν ὀλύμπιον τίνα τρόπον εὐφημότερον μνησθῶ τῶν σοὶ καταγελάστως πεπρα-
γμένων ἔργων. θεωρήσατε δὲ εἰ βούλεσθε τὸ πρᾶγμα καὶ ἐκ πολιτικῶν τινῶν παραδει-
γμάτων, καὶ μάλιστα ἐκ τούτων ἃ νῦν μετὰ χεῖρας ἔχετε. Γεγόνασι διαψηφίσεις
ἐν τοῖς δήμοις. καὶ ἕκαστος ὑμῶν ψῆφον δέδωκε περὶ τοῦ σώματος, ὅστις ἀθηναῖος ὄν-
τως ἐστὶ καὶ ὅστις μή. καὶ ἔγωγε ἐπειδὰν προσστῶ τὸ δικαστήριον καὶ ἀκροάσωμαι τῶν
ἀγωνιζομένων, ὁρῶ ὅτι ἀεὶ τὸ αὐτὸ ἰσχύει παρ' ὑμῖν. ἐπειδὰν γὰρ εἴπῃ ὁ κατήγορος. ὦ ἄν-
δρες δικασταί, τούτου κατεψηφίσαντο οἱ δημόται ὀμόσαντες οὐδενὸς ἀνθρώπων οὔτε κα-
τηγορήσαντος οὔτε καταμαρτυρήσαντος. ἀλλ' αὐτοὶ συνειδότες, εὐθὺς οἶμαι θορυ-
βεῖτε ὑμεῖς ὡς οὐ μετὸν τῷ κρινομένῳ τῆς πόλεως. οὐδὲν γὰρ οἶμαι δοκεῖ προσδεῖσθαι
ὑμῖν λόγων οὐδὲ μαρτυρίας, ἅ τις σαφῶς οἶδεν αὐτός. Φέρε δὴ πρὸς τοῦ
διὸς εἰ ὥσπερ περὶ τοῦ γένους οὕτω καὶ περὶ τοῦ ἐπιτηδεύματος τούτου ἔδει δοῦναι
ψῆφον τίμαρχον εἴτε ἔνοχός ἐστιν εἴτε μή, ἐκρίνετο δὲ τὸ πρᾶγμα ἐν τῷ δικαστηρίῳ.
εἰσήγετο δὲ εἰς ὑμᾶς ὥσπερ νυνί, μὴ ἐξῆν δὲ ἐκ τοῦ νόμου ἢ τοῦ ψηφίσματος μήτε ἐμοὶ κα-
τηγορεῖν μήτε τούτῳ ἀπολογεῖσθαι, ὁ δὲ κῆρυξ ὁ νυνὶ παρεστηκὼς ἐμοὶ ἐπηρώτα ὑμᾶς
τὸ ἐκ τοῦ νόμου κήρυγμα τῶν ψήφων ἡ τετρυπημένη ὅτῳ δοκεῖ πεπορνεῦσθαι τίμαρ-
χος. ἡ δὲ πλήρης ὅτῳ μή. τί ἂν ἐψηφίσασθε. ἀκριβῶς οἶδ' ὅτι κατέγνωτ' ἂν αὐτοῦ.
εἰ δή τις με ἔροιτο ὑμῶν τί δὲ σὺ οἶσθα εἰ ὑμεῖς ἂν τούτου κατεψηφισάμεθα, εἴποιμ' ἂν διό-
τι ἐπαρρησιάσασθέ μοι. καὶ διείλεχθε, καὶ ὁπότε καὶ ὅπου ἕκαστος, ἐγὼ ὑμᾶς ὑπομνή-
σω ὅταν οὑτοσὶ ἐν τῷ δήμῳ ἀναβῇ ἐπὶ τὸ βῆμα, καὶ ἡ βουλὴ ὅτε ἐβούλευσε πέρυσιν. ἢ
ἐὰν μνησθῇ τειχῶν ἐπισκευῆς ἢ πύργου. ἢ ὡς ἀπήγε τόπου τις εὐθὺς ἐγελᾶτε καὶ ἐβοᾶ-
τε. καὶ αὐτοὶ ἐλέγετε τὴν ἐπωνυμίαν τῶν ἔργων, ὧν σύνιστε αὐτῷ. καὶ τὰ μὲν πολλὰ
καὶ παλαιὰ, ἐάσω. τὰ δὲ ἐν αὐτῇ τῇ ἐκκλησίᾳ γενόμενα ὅτε ἐγὼ τὴν ἐπαγγελίαν ταύ-
την τιμάρχῳ ἐπήγγειλα, ταῦθ' ὑμᾶς ἀναμνῆσαι βούλομαι. τῆς γὰρ βουλῆς τῆς ἐν ἀ-
ρείῳ πάγῳ πρόσοδον ποιουμένης πρὸς τὸν δῆμον κατὰ τὸ ψήφισμα τὸ τούτου ὃ οὗτος
εἰρήκει περὶ τῶν οἰκήσεων τῶν ἐν τῇ πνυκί, ἦν μὲν ὁ τὸν λόγον λέγων ἐκ τῶν ἀρεοπαγι-
τῶν αὐτόλυκος. καλῶς νὴ τὸν δία τὸν ὀλύμπιον καὶ τὸν ἀπόλλω καὶ σεμνῶς καὶ ἀξίως
τοῦ συνεδρίου ἐκείνου βεβιωκώς. ἐπειδὴ δέ που προϊόντος τοῦ λόγου εἶπεν ὅτι τόγε εἰσή-
γημα τὸ τιμάρχου ἀποδοκιμάζει ἡ βουλή, καὶ περὶ τῆς ἐρημίας ταύτης καὶ τοῦ τό-
που τοῦ ἐν τῇ πνυκί. μὴ θαυμάσητε ὦ ἀθηναῖοι ἔφη, εἰ τίμαρχος ἐμπειροτέρως ἔχει
τῆς βουλῆς τῆς ἐξ ἀρείου πάγου, ἀνεθορυβήσατε ὑμεῖς ἐνταῦθα καὶ ἔφατε τὸν αὐτό-
λυκον ἀληθῆ λέγειν. εἶναι γὰρ αὐτὸν τούτων ἔμπειρον. ἀγνοήσας δὲ ὑμῶν τὸν θόρυ-
βον αὐτόλυκος, μάλα σκυθρωπάσας καὶ διαλιπὼν εἶπεν. ἡμεῖς μέντοι ὦ ἀθηναῖοι οἱ
ἀρεοπαγῖται, οὔτε κατηγοροῦμεν τιμάρχου, οὔτε ἀπολογούμεθα. οὐ γὰρ ἡμῖν πάτρι-
ον ἐστίν. ἔχομεν δὲ τοιαύτην συγγνώμην τιμάρχῳ. οὗτος ἴσως ἔφη ᾠήθη ἐν τῇ ἡσυχίᾳ
ταύτῃ μικρὸν ὑμῶν ἑκάστῳ ἀνάλωμα γίνεσθαι. πάλιν ἐπὶ τῇ ἡσυχίᾳ καὶ τῷ μικρῷ
ἀναλώματι, μείζων ἀπήντα παρ' ὑμῶν μετὰ γέλωτος θόρυβος. ὡς δὲ ἐπεμνήσθη τῶν
οἰκοπέδων καὶ τῶν λάκκων, οὐδ' ἀναλαβεῖν αὐτοὺς ἐδύνασθε. ἔνθα καὶ παρέρχεται πύρ-
ρανδρος ἐπιτιμήσων ὑμῖν, καὶ ἤρετο τὸν δῆμον εἰ οὐκ αἰσχύνοιντο γελῶντες παρούσης τῆς βου-
λῆς τῆς ἐξ ἀρείου πάγου. ὑμεῖς δ' ἐξεβάλλετε αὐτὸν ὑπολαβόντες ἴσμεν ὦ πύρρανδρε, ὅ-
Vis veritatis. τι οὐ δεῖ γελᾶν τούτων ἐναντίον. ἀλλ' οὕτως ἰσχυρόν ἐστιν ἡ ἀλήθεια, ὥστε πάντων ἐπικρα-
τεῖ τῶν ἀνθρωπίνων λογισμῶν. ταύτην ἐγὼ ὑπολαμβάνω τὴν μαρτυρίαν μεμαρτυρῆ-
σθαι ὑμῖν ὑπὸ τοῦ δήμου τοῦ ἀθηναίων. ὃν ἁλῶναι ψευδομαρτυριῶν οὐ καλῶς ἔχει.

οὐκοῦν

Οὐκοῦν ἄτοπον ἂν εἴη ὦ ἀθηναῖοι, εἰ μηδὲν μὲν ἐμοῦ λέγοντος, αὐτοὶ βοᾶτε τὴν ἐπωνυμίαν τῶν ἔργων ὧν σύνιστε τούτῳ, ἐμοῦ δὲ λέγοντος ἐπιλέλησθε, καὶ μὴ γενομένης μὲν κρίσεως περὶ τοῦ πράγματος ἥλω ἄν, γεγονότος δὲ ἐλέγχου, ἀποφεύξεται. ἐπειδὴ δὲ ἐμνήσθην τῶν διαψηφίσεων καὶ τῶν τοῦ δημοφίλου πολιτευμάτων, βούλομαί τι καὶ ἄλλο παράδειγμα περὶ τούτων εἰπεῖν. ὁ γὰρ αὐτὸς οὗτος ἀνὴρ καὶ πρότερόν τι τοιοῦτον πολίτευμα ἐπολιτεύσατο. ἠτιάσατό τινας εἶναι οἳ παρὰ χρήματα ἐπεχείρουν συνδικάζειν τὴν ἐκκλησίαν καὶ τἆλλα δικαστήρια, ὥσπερ καὶ νῦν νικόστρατος, καὶ περὶ τούτων κρίσεις αἱ μὲν πάλαι γεγόνασιν, αἱ δὲ νῦν ἐνεστᾶσιν ἔτι. φέρε δὴ πρὸς τοῦ διὸς καὶ τῶν θεῶν εἰ ἔδει τὴν αὐτὴν ἐτράποντο ἀπολογίαν ἥνπερ τίμαρχος νυνὶ καὶ οἱ συναγορεύοντες αὐτῷ καὶ ἠξίουν διαρρήδην τινὰ μαρτυρεῖν περὶ τῆς αἰτίας ἢ τοὺς δικαστὰς μὴ πιστεύειν, ἅπασα δή που ἀνάγκη ἦν ἐκ τοῦ λόγου τούτου μαρτυρεῖν τὸν μέν, ὡς ἐδέκαζε, τὸν δέ, ὡς ἐδεκάζετο. προκειμένης ἑκατέρῳ ζημίας ἐκ τοῦ νόμου θανάτου, ὥσπερ ἐνθάδε ἄν τις μισθώσηταί τινα ἀθηναίων ἐφ' ὕβρει, καὶ πάλιν ἐάν τις ἀθηναίων ἑκὼν ἐπὶ τῇ τοῦ σώματος αἰσχύνῃ ἑκὼν μισθαρνῇ. ἔστιν οὖν ὅστις ἐμαρτύρησεν ἢ κατήγορος ὃς ἐνεχείρησε τοιαύτην ποιεῖσθαι τὴν ἀπόδειξιν τοῦ πράγματος; οὐ δῆτα. τί οὖν, ἀπέφυγον οἱ κρινόμενοι; μὰ τὸν ἡρακλέα, ἐπεὶ θανάτῳ ἐζημιώθησαν, πολὺ νὴ τὸν δία καὶ τὸν ἀπόλλω ἔλαττον ἁμάρτημα ἡμαρτηκότες τούτου τοῦ ἀνθρώπου. ἐκεῖνοι μέν γε οἱ ταλαίπωροι οὐ δυνάμενοι γῆρας ἅμα καὶ πενίαν ὑπενεγκεῖν τὰ μέγιστα τῶν ἐν ἀνθρώποις κακῶν ταύταις ἐχρήσαντο ταῖς συμφοραῖς. οὗτος δ' οὐκ ἐθέλων τὴν ἑαυτοῦ βδελυρίαν κατέχειν. Senectus & paupertas, duo maxima mala. Εἰ μὲν τοίνυν ἦν ὁ ἀγὼν οὗτος ἐν ἀπόλει ἐκκλήτου, ὑμᾶς ἂν ἔγωγε ἠξίωσα μάρτυράς μοι γενέσθαι τοὺς ἄριστα εἰδότας ὅτι ἀληθῆ λέγω. ἐπεὶ δ' ὁ μὲν ἀγὼν ἐστὶν ἀθήνησιν, οἱ δ' αὐτοὶ δικασταί μοι καὶ μάρτυρές ἐστε τῶν λόγων, ἐμοὶ μὲν ἀναμιμνήσκειν προσήκει, ὑμᾶς δέ μοι μὴ ἀπιστεῖν. καὶ γὰρ ἔμοιγε δοκεῖ τίμαρχος ὦ ἀθηναῖοι, οὐχ ὑπὲρ αὐτοῦ μόνον ἐσπουδακέναι, ἀλλὰ καὶ περὶ τῶν ἄλλων τῶν ταὐτὰ διαπεπραγμένων αὐτῷ. Εἰ γὰρ ἡ μὲν πρᾶξις αὕτη ἔσται ὥσπερ εἴωθε γίνεσθαι λάθρα καὶ ἐν ἐρημίαις καὶ ἐν ἰδίαις οἰκίαις, ὁ δὲ ἄριστα μὲν εἰδὼς, καταισχύνων δέ τινα τῶν πολιτῶν ἐὰν τἀληθῆ μαρτυρῇ, ἔνοχος ἔσται τοῖς μεγίστοις ἐπιτιμίοις, ὁ δὲ κρινόμενος καταμεμαρτυρημένος ὑπὸ τοῦ ἑαυτοῦ βίου καὶ τῆς ἀληθείας ἀξιώσει μὴ ἐξ ὧν γινώσκεται ἀλλ' ἐκ τῶν μαρτυριῶν κρίνεσθαι, ἀνῄρηται ὁ νόμος καὶ ἡ ἀλήθεια, καὶ δέδεικται φανερὰ ὁδὸς δι' ἧς οἱ τὰ μέγιστα κακουργοῦντες ἀποφεύξονται. τίς γὰρ ἢ τῶν λωποδυτῶν ἢ τῶν κλεπτῶν ἢ τῶν μοιχῶν, ἢ τῶν ἀνδροφόνων, ἢ τῶν τὰ μέγιστα μὲν ἀδικούντων λάθρα δὲ τοῦτο πραττόντων δώσει δίκην; καὶ γὰρ τούτων οἱ μὲν ἐπ' αὐτοφώρῳ ἁλόντες ἂν μὲν ὁμολογῶσι παραχρῆμα τῷ θανάτῳ ζημιοῦνται. οἱ δὲ λαθόντες καὶ ἔξαρνοι γινόμενοι κρίνονται ἐν τοῖς δικαστηρίοις, εὑρίσκεται γὰρ ἡ ἀλήθεια ἐκ τῶν εἰκότων, χρήσασθε δὲ παραδείγματι τῇ βουλῇ τῇ ἐξ ἀρείου πάγου, τῷ ἀκριβεστάτῳ συνεδρίῳ τῶν ἐν τῇ πόλει, πολλοὺς γὰρ ἔγωγ' ἤδη ἔγχος τε θεώρηκα ἐν τῷ βουλευτηρίῳ τούτῳ εὖ πάνυ εἰπόντας καὶ μάρτυρας πορισαμένους, ἁλόντας, ἤδη δέ τινας κακῶς πάνυ διαλεχθέντας καὶ πρᾶγμα ἀμάρτυρον ἔχοντας, οἶδα νικήσαντας. οὐ γὰρ ἐκ τοῦ λόγου μόνον οὐδ' ἐκ τῶν μαρτύρων, ἀλλ' ἐξ ὧν αὐτοὶ σύνισασι καὶ ἐξητάκασι τὴν ψῆφον φέρουσι. τοιγάρτοι διατελεῖ τοῦτο τὸ συνέδριον εὐδοκιμοῦν ἐν τῇ πόλει. τὸν αὐτὸν τοίνυν τρόπον ὦ ἀθηναῖοι καὶ ὑμεῖς τὴν κρίσιν ταύτην ποιήσασθε, καὶ πρῶτον μὲν ὑμῖν μηδὲν ἔστω πιστότερον ὧν αὐτοὶ σύνιστε καὶ πέπεισθε περὶ τιμάρχου τουτουί. ἔπειτα τὸ πρᾶγμα θεωρεῖτε μὴ ἐκ τοῦ παρόντος, ἀλλ' ἐκ τοῦ παρεληλυθότος χρόνου. οἱ μὲν γὰρ ἐν τῷ παρεληλυθότι χρόνῳ λεγόμενοι λόγοι περὶ τιμάρχου καὶ τῶν τούτου ἐπιτηδευμάτων διὰ τὴν ἀλήθειαν ἐλέγοντο. οἱ δ' ἐν τῇδε τῇ ἡμέρᾳ ῥηθησόμενοι διὰ τὴν κρίσιν τῆς ὑμετέρας ἀπάτης εἵνεκα. ἀπόδοτε οὖν τὴν ψῆφον τῷ πλείονι χρόνῳ, καὶ τῇ ἀληθείᾳ, καὶ οἷς αὐτοὶ σύνιστε, καίτοι λογογράφος γέ τις φησὶν ὁ μηχανώμενος αὐτοῖς τὴν ἀπολογίαν ἐναντία με λέγειν ἐμαυτῷ. οὐ γὰρ δὴ δοκεῖ εἶναι αὐτῷ δυνατὸν τὸν αὐτὸν

ἄνθρωπον πεπορνεῦσθαι καὶ τὰ πατρῷα κατεδηδοκέναι. τὸ μὲν γὰρ ἡμαρτηκέναι τὰ περὶ τὸ σῶμα, παιδὸς εἶναί φησι, τὸ δὲ τὰ πατρῷα κατεδηδοκέναι, ἀνδρός. ἔτι δὲ τοὺς καταισχύνοντας ἑαυτοὺς μισθούς φησι πράττεσθαι τοῦ πράγματος. ἀποθαυμάζων οὖν περιέρχεται, καὶ τερατευόμενος κατὰ τὴν ἀγορὰν, εἰ οὗτος πεπόρνευκέ τε καὶ τὰ πατρῷα κατεδήδοκεν. εἰ δέ τις ἀγνοεῖ ταῦτα ὅπως ἔχει, ἐγὼ σαφέστερον αὐτὰ πειράσομαι διορίσαι τῷ λόγῳ. ἕως μὲν γὰρ αὐτήρκει ἡ τῆς ἐπικλήρου οὐσία ἣν ἡγήσανδρος ὁ τοῦτον ἔχων ἔγημε, καὶ τὸ ἀργύριον ὃ ἔχων ἦλθεν ἐκ τῆς μετὰ τιμομάχου ἀποδημίας, ἦσαν ἐνθάδε πολλῆς ἀσελγείας καὶ ἀφθονίας, ἐπειδὴ δὲ ταῦτα μὲν ἀπωλώλει καὶ κατακεκύβευτο καὶ κατωψοφάγητο, οὗτος δὲ ἔξωρος ἐγίνετο, ἐδίδου δὲ εἰκότως οὐδεὶς οὐδὲν, ἡ δὲ βδελυρὰ φύσις καὶ ἀνόσιος ἀεὶ τούτου τῶν αὐτῶν ἐπεθύμει, καὶ καθ' ὑπερβολὴν ἀκρασίας ἕτερον ἐφ' ἑτέρῳ ἐπίταγμα ἐπέταττε καὶ ἀπεφέρετο εἰς τὸ καθ' ἡμέραν ἔθος ἐνταῦθα ἤδη ἐτράπετο ἐπὶ τὸ καταφαγεῖν τὴν πατρῴαν οὐσίαν, καὶ οὐ μόνον κατέφαγεν, ἀλλ' εἰ οἷόν τ' εἰπεῖν καὶ κατέπιεν, καὶ γὰρ οὐδὲ τῆς ἀξίας ἕκαστον τῶν κτημάτων ἀπεδίδοτο. οὐδ' ἐδύνατ' ἀναμένειν τὸ πλέον οὐδὲ τὸ λυσιτελοῦν, ἀλλὰ τοῦ ἤδη εὑρισκομένου ἀπεδίδοτο. οὕτως ἠπείγετο σφόδρα πρὸς τὰς ἡδονάς. τούτῳ γὰρ κατέλιπεν ὁ πατὴρ οὐσίαν ἐφ' ἧς ἕτερος μὲν ἂν ἐλειτούργει, οὗτος δὲ οὐδὲ αὐτὴν διαφυλάξαι ἐδυνήθη. οἰκίαν μὲν γὰρ ὄπισθεν τῆς πόλεως, ἐσχατιὰν δὲ σφηττοῖ. ἀλωπεκῆσι δὲ ἕτερον χωρίον, χωρὶς δὲ οἰκέτας δημιουργοὺς τῆς σκυτοτομικῆς τέχνης ἐννέα ἢ δέκα, ὧν ἕκαστος τούτῳ δύ' ὀβολοὺς ἀποφορὰν ἔφερε τῆς ἡμέρας. ὁ δ' ἡγεμὼν τοῦ ἐργαστηρίου τριώβολον, ἔτι δὲ πρὸς τούτοις γυναῖκα ἀμόργινα ἐπισταμένην ἐργάζεσθαι, καὶ ἔργα λεπτὰ εἰς τὴν ἀγορὰν ἐκφέρουσαν, καὶ ἄνδρα ποικιλτὴν, καὶ ὀφείλοντάς τινας αὐτῷ ἀργύριον καὶ ἔπιπλα. ὅτι δὲ ταῦτ' ἀληθῆ λέγω, ἐνταῦθα μέντοι νὴ δία σαφῶς πάνυ καὶ διαρρήδην, ἐγὼ μαρτυροῦντας ὑμῖν τοὺς μάρτυρας παρέξομαι. οὐδεὶς γὰρ κίνδυνος ὥσπερ ἐκεῖ, οὐδ' αἰσχύνη προσέσται οὐδεμία, τῷ τἀληθῆ μαρτυροῦντι, τὴν μὲν γὰρ οἰκίαν τὴν ἐν ἄστει ἀπέδοτο οὗτος ναυσικράτει τῷ κωμικῷ ὑποκριτῇ. ὕστερον δ' αὐτὴν ἐπρίατο παρὰ τοῦ ναυσικράτους εἴκοσι μνῶν κλεαίνετος ὁ χοροδιδάσκαλος, τὴν δ' ἐσχατιὰν ἐπρίατο παρ' αὐτοῦ μνησίθεος ὁ μυῤῥινούσιος. τόπον μὲν πολὺν, δεινῶς δ' ἐξηγριωμένον ὑπὸ τούτου, τὸ δ' ἀλωπεκῆσι χωρίον ὃ ἦν ἄποθεν τοῦ τείχους ἕνδεκα ἢ δώδεκα στάδια ἱκετευούσης καὶ ἀντιβολούσης τῆς μητρὸς ὡς ἐγὼ πυνθάνομαι ἐᾶσαι καὶ μὴ ἀποδόσθαι, ἀλλ' εἰ μή τι ἄλλο ἐνταφιῶσαι ὑπολιπεῖν αὐτῇ, οὐδὲ τούτου τοῦ χωρίου ἀπέσχετο, ἀλλὰ καὶ τοῦτ' ἀπέδοτο δισχιλίων δραχμῶν, καὶ τῶν θεραπαινῶν καὶ τῶν οἰκετῶν οὐδένα κατέλιπεν, ἀλλὰ πάντας πέπρακε, καὶ ταῦθ' ὅτι οὐ ψεύδομαι, ἐγὼ μὲν ὡς κατέλιπεν αὐτῷ ὁ πατὴρ, μάρτυρας παρέξομαι. οὗτος δ' εἰ μή φησι πεπρακέναι τὰ σώματα τῶν οἰκετῶν ἐμφανῆ παρασχέτω, ὡς δὲ καὶ ἀργύριόν τισιν ἐδάνειζεν, ὃ κομισάμενος οὗτος ἀνήλωκε μάρτυρα παρέξομαι ὑμῖν μεταγένη τὸν σφήττιον ὃς ὤφειλε μὲν ἐκείνῳ πλέους ἢ τριάκοντα μνᾶς. ὃ δ' ἦν ὑπόλοιπον, τελευτήσαντος τοῦ πατρὸς, τούτῳ ἀποδέδωκεν ἑπτὰ μνᾶς τιμάρχῳ, καί μοι κάλει μεταγένη τὸν σφήττιον. πασῶν δὲ πρώτην ἀνάγνωθι τὴν ναυσικράτους μαρτυρίαν τοῦ τὴν οἰκίαν πριαμένου, καὶ τὰς ἄλλας ἁπάσας λάβε περὶ ὧν ἐμνήσθην ἐν τῷ λόγῳ.

Μαρτυρίαι.

Ὡς τοίνυν ἐκέκτητο ὁ πατὴρ αὐτοῦ ἀργύριον οὐκ ὀλίγον ὃ οὗτος ἠφάνικε τοῦθ' ὑμῖν ἐπιδείξω. φοβηθεὶς γὰρ τὰς λειτουργίας, ἀπέδοτο ἃ ἦν αὐτῷ κτήματα ἄνευ τῶν ἀρτίως εἰρημένων χωρίων, κηφισιᾶσιν ἕτερον ἀγρόν. ἀμφιτροπῆσιν ἐργαστήρια δύο ἐν τοῖς ἀργυρείοις ἓν μὲν ἐν αὐλῶνι ἕτερον δὲ ἐνθάδε θρασύλλῳ ὅθεν δὲ ταῦτ' εὐπόρησεν ἐγὼ ἐρῶ. ἦσαν οὗτοι τρεῖς ἀδελφοί. εὐπόλεμός τε ὁ παιδοτρίβης, καὶ ἀρίζηλος ὁ τούτου πατὴρ, καὶ ἀριγνώτης, ὃς ἔτι καὶ νῦν πρεσβύτης διεφθαρμένος τοὺς ὀφθαλμούς. τούτων πρῶτος ἐτελεύτησεν ἀκμήτου τῆς οὐσίας οὔσης εὐπόλεμος, δεύτερος δ' ἀρίζηλος ὁ τιμάρχου πατήρ. ὅτε δ' ἔζη πᾶσαν τὴν οὐσίαν διεχείριζε διὰ τὴν νόσον καὶ τὴν συμφορὰν τὴν περὶ τὰ ὄμματα τοῦ ἀριγνώτου, καὶ διὰ τὸ τετελευτηκέναι τὸν εὐπόλεμον καὶ

τι καὶ

τι καὶ εἰς ζόφον συμπραξάμενος ἐδίδου τῷ ἀριγνώτῳ. ἐπειδὴ δὲ καὶ ὁ ἀρίζηλος ἐτελεύτησεν ὁ τιμάρχου τουτουὶ πατήρ, τοὺς μὲν πρώτους χρόνους ἕως παῖς ἦν οὗτος ἅπαντα τὰ μέτρια παρὰ τῶν ἐπιτρόπων ἐγίνετο τῷ ἀριγνώτῳ, ἐπειδὴ δ' ἐνεγράφη τίμαρχος οὗτος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον καὶ κύριος ἐγένετο τῆς οὐσίας παρωσάμενος ἄνδρα πρεσβύτην καὶ ἠτυχηκότα θεῖον ἑαυτοῦ, τήν τε οὐσίαν ἠφάνισε καὶ τῶν ἐπιτηδείων οὐδὲν ἐδίδου τῷ ἀριγνώτῳ, ἀλλὰ περιεῖδεν ἐκ τοσαύτης οὐσίας ἐν τοῖς ἀδυνάτοις μισθοφοροῦντα καὶ τὸ τελευταῖον ὃ καὶ δεινότατον ἀπολειφθέντος τοῦ πρεσβύτου τῆς γινομένης τοῖς ἀδυνάτοις δοκιμασίας ἱκετηρίαν θέντος εἰς τὴν βουλὴν ὑπὲρ τοῦ μισθοῦ, βουλευτὴς ὢν καὶ προεδρεύων ἐκείνην τὴν ἡμέραν οὐκ ἠξίωσεν αὐτῷ συνειπεῖν ἀλλὰ περιεῖδεν ἀπολέσαντα τὸν τῆς πρυτανείας μισθόν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι ἀρίγνωτον σφήττιον καὶ τὴν μαρτυρίαν ἀναγίνωσκε. μαρτυρία. ἀλλ' ἴσως ἄν τις εἴποι ὡς ἀποδόμενος τὴν πατρῴαν, οἰκίαν ἑτέραν ἄλλοθί που τοῦ ἄστεος ἐκτήσατο. ἀντὶ δὲ τῆς ἐσχατιᾶς καὶ τοῦ χωρίου τοῦ ἀλωπεκῆσι καὶ τῶν δημιουργῶν καὶ τῶν ἄλλων εἰς τἀργυρεῖά τι κατεσκευάσατο ὥσπερ καὶ ὁ πατὴρ αὐτοῦ πρότερον. ἀλλ' οὐκ ἔστι τούτῳ λοιπὸν οὐδὲν οὐκ οἰκία. οὐ συνοικία. οὐ χωρίον. οὐκ οἰκέται. οὐ δάνεισμα. οὐκ ἄλλ' οὐδὲν ἀφ' ὧν ἄνθρωποι μὴ κακοῦργοι ζῶσιν, ἀλλὰ τούτῳ ἀντὶ τῶν πατρῴων περίεστι βδελυρία. συκοφαντία. θράσος. τρυφή. δειλία. ἀναίδεια. τὸ μὴ ἐπίστασθαι ἐρυθριᾶν ἐπὶ τοῖς αἰσχροῖς. ἐξ ὧν ἂν ὁ κάκιστος καὶ ἀλυσιτελέστατος πολίτης γένοιτο. οὐ τοίνυν μόνον τὰ πατρῷα κατεδήδοκεν, ἀλλὰ καὶ τὰ κοινὰ τὰ ὑμέτερα ὅσων πώποτε κύριος γέγονεν, οὗτος γὰρ ταύτην τὴν ἡλικίαν ἔχων ἣν ὑμεῖς ὁρᾶτε οὐκ ἔστιν ἥντινα πώποτ' οὐκ ἦρξεν ἀρχὴν οὐδεμίαν λαχών. οὐδὲ χειροτονηθείς. ἀλλὰ πάσας παρὰ τοὺς νόμους πριάμενος. ὧν τὰς μὲν πλείστας παρήσω. δυοῖν δ' ἢ τριῶν μόνον μνησθήσομαι. λογιστὴς γὰρ γενόμενος, πλεῖστα μὲν τὴν πόλιν ἔβλαψε, δῶρα λαμβάνων παρὰ τῶν οὐ δικαίως ἀρξάντων, μάλιστα δ' ἐσυκοφάντησε τῶν ὑπευθύνων τοὺς μηδὲν ἠδικηκότας. ἦρξε δ' ἐν ἄνδρῳ πριάμενος τὴν ἀρχὴν τριάκοντα μνῶν δανεισάμενος ἐπ' ἐννέα ὀβολοῖς τὴν μνᾶν. εὐπορίαν τῇ βδελυρίᾳ τοὺς συμμάχους τοὺς ὑμετέρους ποιούμενος, καὶ τοσαύτην ἀσέλγειαν ἐπεδείξατο εἰς ἐλευθέρων ἀνθρώπων γυναῖκας, ἡλίκην οὐδεὶς πώποθ' ἕτερος, ὧν οὐδένα ἐγὼ παρακαλῶ δεῦρο τὴν αὑτοῦ συμφορὰν ἣν εἵλετο σιγᾶν εἰς πολλοὺς ἐκμαρτυρήσοντα. ἀλλ' ὑμῖν τοῦτο καταλείπω σκοπεῖν. τί δὲ προσδοκᾶτε; τὸν ἀθήνησιν ὑβριστὴν οὐκ εἰς τοὺς ἄλλους μόνον, ἀλλὰ καὶ εἰς τὸ σῶμα τὸ ἑαυτοῦ νόμων ὄντων, ὑμῶν ὁρώντων, ἐχθρῶν ἐφεστηκότων, τοῦτον αὐτὸν λαβόντα ἄδειαν καὶ ἐξουσίαν καὶ ἀρχήν, τίς ἂν ἐλπίσειεν ἀπολελοιπέναι τι τῶν ἀσελγεστάτων ἔργων, ἤδη νὴ τὸν δία καὶ τὸν ἀπόλλω πολλάκις ἐνεθυμήθην τὴν εὐτυχίαν τὴν τῆς ὑμετέρας πόλεως κατὰ πολλὰ μὲν καὶ ἄλλα, οὐχ ἥκιστα δὲ καὶ κατὰ ταῦτα. ὅτι κατ' ἐκείνους τοὺς χρόνους οὐδεὶς ἐγένετο τῆς ἀνδρίων πόλεως ὠνητής.

ἀλλ' ἴσως καθ' αὑτὸν μὲν ἄρχων φαῦλος ἦν οὗτος, μετὰ πλειόνων δ' ἐπιεικής. πόθεν, οὗτος ὦ ἀθηναῖοι βουλευτὴς ἐγένετο; ἐπὶ ἄρχοντος νικοφήμου. ἅπαντα μὲν οὖν διεξελθεῖν ἃ ἐν τούτῳ τῷ ἐνιαυτῷ ἐκακούργησε πρὸς μικρὸν μέρος τῆς ἡμέρας οὐκ ἄξιον ἐπιχειρεῖν. ἃ δ' ἐστὶν ἐγγυτάτω τῆς αἰτίας καθ' ἣν ἡ παροῦσα κρίσις ἐστί, ταῦτ' ἐρῶ διὰ βραχέων. ἐπὶ τοίνυν τοῦ αὐτοῦ ἄρχοντος ὅτ' ἐβούλευεν οὗτος ταμίας ἦν τῶν τῆς θεοῦ ἡγήσανδρος ὁ κρωβύλου ἀδελφός. ἔκλεπτον δὲ τῆς πόλεως κοινῇ καὶ μάλα φιλεταίρως χιλίας δραχμάς. αἰσθόμενος δὲ τὸ πρᾶγμα ἀνὴρ ἐπιεικὴς πάμφιλος ὁ ἀχερδούσιος προσκρούσας τι τούτῳ καὶ παροξυνθεὶς ἐκκλησίας οὔσης. εἶπεν ἀναστάς. ὦ ἀθηναῖοι. κλέπτουσιν ὑμῶν κοινῇ ἀνὴρ καὶ γυνὴ χιλίας δραχμάς. θαυμασάντων δὲ ὑμῶν πῶς ἀνὴρ καὶ γυνὴ καὶ τίς ὁ λόγος, εἶπε μικρὸν διαλιπών. ἀγνοεῖτε ἔφη ὅ, τι λέγω; ὁ μὲν ἀνήρ ἐστιν ἡγήσανδρος ἐκεῖνος νυνὶ ἔφη. πρότερον δ' ἦν καὶ αὐτὸς λεωδάμαντος γυνή. ἡ δὲ γυνὴ τίμαρχος οὑτοσί. ὃν δὲ τρόπον κλέπτεται τὸ ἀργύριον ἐγὼ ἐρῶ. μετὰ ταῦτα ἤδη διεξῄει περὶ τοῦ πράγματος, καὶ μάλα εἰδότως καὶ σαφῶς.

ἐπιδείξας δὴ ταῦτα, τί οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, ὃ συμβουλεύω ὑμῖν. ἐὰν μὲν ἡ βουλὴ καταγνοῦσα τουτονὶ ἀδικεῖν καὶ ἐκφυλλοφορήσασα δικαστηρίῳ παραδῷ, δότε τὴν δωρεὰν αὐτοῖς· ἐὰν δὲ μὴ κολάσωσι, μὴ δῶτε. ἀλλ᾽ εἰς ἐκείνην αὐτοῖς τὴν ἡμέραν ἀπομνημονεύσατε. μετὰ ταῦτα ὡς ἐπανῆλθεν ἡ βουλὴ εἰς τὸ βουλευτήριον, ἐξεφυλλοφόρησεν αὐτόν, ἐν δὲ τῇ ψήφῳ κατεδέξατο. ὅτι δ᾽ οὐ παρέδωκε δικαστηρίῳ οὐδ᾽ ἐξήλασεν ἐκ τοῦ βουλευτηρίου, ἄχθομαι μὲν λέγων, ἀνάγκη δὲ εἰπεῖν ὅτι τῆς δωρεᾶς ἀπετύγχανε. μὴ τοίνυν φανῆτε, ὦ Ἀθηναῖοι, τῇ μὲν βουλῇ χαλεπήναντες καὶ πεντακοσίους ἄνδρας τῶν πολιτῶν ἀστεφανώτους ποιήσαντες, ὅτι τοῦτον οὐκ ἐτιμωρήσαντο, αὐτοὶ δὲ ἀφῆτε, καὶ τὸν τῇ βουλῇ μὴ συνενεγκόντα ῥήτορα τοῦτον τῷ δήμῳ περιποιήσητε. ἀλλὰ περὶ μὲν τὰς κληρωτὰς ἀρχάς ἐστι τοιοῦτος, περὶ δὲ τὰς χειροτονητὰς βελτίων, καὶ τίς ὑμῶν οὐκ οἶδεν ὡς περιβοήτως ἐξηλέγχθη κλέπτης ὤν; πεμφθεὶς γὰρ ὑφ᾽ ὑμῶν ἐξεταστὴς τῶν ξένων ἐν Ἐρετρίᾳ, μόνος τῶν ἐξεταστῶν ὡμολόγει λαβεῖν ἀργύριον, καὶ οὐ περὶ τοῦ πράγματος ἀπελογεῖτο, ἀλλ᾽ εὐθὺς περὶ τοῦ τιμήματος ἱκέτευεν ὁμολογῶν ἀδικεῖν. ὑμεῖς δὲ τοῖς μὲν ἐξάρνοις ἐπετιμήσατε ταλάντου ἑκάστῳ· τούτῳ δὲ τριάκοντα μνῶν. οἱ δὲ νόμοι κελεύουσι τῶν κλεπτῶν τοὺς μὲν ὁμολογοῦντας θανάτῳ ζημιοῦσθαι, τοὺς δ᾽ ἀρνουμένους κρίνεσθαι. τοιγαροῦν οὕτως ὑμῶν κατεφρόνησεν, ὥστ᾽ εὐθὺς ἐπὶ ταῖς διαψηφίσεσι δισχιλίας ἔλαβε δραχμάς. φήσας γὰρ Φιλωτάδην τὸν Κυδαθηναιέα ἕνα τῶν πολιτῶν ἀπελεύθερον εἶναι ἑαυτοῦ, καὶ πείσας ἀποψηφίσασθαι τοὺς δημότας, ἐπιστὰς τῇ κατηγορίᾳ ἐπὶ τοῦ δικαστηρίου, καὶ λαβὼν εἰς τὴν ἑαυτοῦ χεῖρα τὰ ἱερὰ, καὶ ὀμόσας μὴ λαβεῖν δῶρα μήτε λήψεσθαι, καὶ ἐπομόσας τοὺς ὁρκίους θεοὺς καὶ τὴν ἐξώλειαν ἐπαρασάμενος ἑαυτῷ, εἰληφὼς ἐλέγχεται παρὰ Λευκωνίδου τοῦ Φιλωτάδου κηδεστοῦ διὰ Φιλήμονος τοῦ ὑποκριτοῦ εἴκοσι μνᾶς, ἃς ἐν ὀλίγῳ χρόνῳ πρὸς Φιλοξένην ἀνήλωσε τὴν ἑταίραν, καὶ προὔδωκε τὸν ἀγῶνα· καὶ τὸν ὅρκον ἐπιώρκησεν. ὅτι δὲ ἀληθῆ λέγω, κάλει μοι Φιλήμονα τὸν δόντα Τιμάρχῳ τὸ ἀργύριον καὶ Λευκωνίδην τὸν Φιλωτάδου κηδεστήν, καὶ τὰς συνθήκας ἀνάγνωθι, τὰ ἀντίγραφα, καθὼς τὴν πρᾶξιν ἐποιήσατο τοῦ ἀγῶνος. μαρτυρία. συνθῆκαι. περὶ μὲν οὖν τοὺς πολίτας καὶ τοὺς οἰκείους οἷος γεγένηται καὶ τὴν πατρῴαν οὐσίαν ὡς αἰσχρῶς ἀνήλωκε καὶ τὴν ὕβριν τὴν εἰς τὸ ἑαυτοῦ σῶμα ὡς ὑπερεώρακε, συνίστε μὲν καὶ πρὶν ἐμὲ λέγειν, ἱκανῶς δ᾽ ὑμᾶς ὑπομιμνήσκει καὶ ὁ παρ᾽ ἐμοῦ λόγος. δύο δέ μοι τῆς κατηγορίας εἴδη λέλειπται, ἐφ᾽ οἷς ἐμαυτόν τ᾽ εἰπεῖν εὔχομαι τοῖς θεοῖς πᾶσι καὶ πάσαις ὑπὲρ τῆς πόλεως ὡς προῄρημαι. ὑμᾶς τε βουλοίμην ἂν ἀκοῦσαι οἷς ἐγὼ μέλλω λέγειν καὶ προσέχειν τὸν νοῦν καὶ παρακολουθεῖν εὐμαθῶς. ἔστι δ᾽ ὁ μὲν πρότερός μοι λόγος προδιήγησις τῆς ἀπολογίας ἧς ἀκούω μέλλειν γίνεσθαι, ἵνα μὴ τοῦτο μὲν παραλιπόντος ἐμοῦ, ὁ τὰς τῶν λόγων τέχνας κατεπαγγελλόμενος τοὺς νέους διδάσκειν, ἀπάτῃ τινὶ παραλογισάμενος ὑμᾶς ἀφέληται τὸ τῆς πόλεως συμφέρον. ὁ δὲ δεύτερός ἐστί μοι λόγος, παράκλησις τῶν πολιτῶν πρὸς ἀρετήν. ὁρῶ δὲ πολλοὺς μὲν τῶν νεωτέρων προσεστηκότας πρὸς τῷ δικαστηρίῳ. πολλοὺς δὲ τῶν πρεσβυτέρων. οὐκ ἐλαχίστους δὲ τῶν ἐκ τῆς ἄλλης Ἑλλάδος συνειλεγμένους ἐπὶ τὴν ἀκρόασιν, οὓς μὴ νομίζετ᾽ ἐμὲ θεωρήσοντας ἥκειν, ἀλλὰ πολὺ μᾶλλον ὑμᾶς εἰσομένους, εἰ μὴ μόνον εὖ νομοθετεῖν ἐπίστασθε, ἀλλὰ καὶ κρίνειν τὰ καλὰ καὶ τὰ μὴ καλὰ δύνασθε. καὶ εἰ τιμᾶν ἐπίστασθε τοὺς ἄνδρας τοὺς ἀγαθούς, καὶ εἰ θέλετε κολάζειν τοὺς ὀνείδη τὸν ἑαυτῶν βίον τῇ πόλει παρασκευάζοντας. λέξω δὲ πρῶτον πρὸς ὑμᾶς περὶ τῆς ἀπολογίας. ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις Δημοσθένης, ἢ τοὺς νόμους φησὶν ὑμᾶς ἐξαλείφειν δεῖν, ἢ τοῖς ἐμοῖς λόγοις οὐκ εἶναι προσεκτέον, ἀποθαυμάζει γὰρ εἰ μὴ πάντες μέμνησθ᾽ ὅτι καθ᾽ ἕκαστον ἐνιαυτὸν ἡ βουλὴ πωλεῖ τὸ πορνικὸν τέλος. καὶ τοὺς πριαμένους τὸ τέλος οὐκ εἰκάζειν, ἀλλ᾽ ἀκριβῶς εἰδέναι τοὺς ταύτῃ χρωμένους τῇ ἐργασίᾳ. ὁπότε οὖν δὴ τετόλμηκα ἀντιγράψασθαι πεπορνευμένῳ Τιμάρχῳ μὴ ἐξεῖναι δημηγορεῖν, ἀπαιτεῖν φησι τὴν πρᾶξιν αὐτὴν οὐκ αἰτίαν κατηγόρου, ἀλλὰ μαρτυρίαν τελώ-

νου τοῦ

νου τοῦ παρὰ τιμάρχου τοῦτο ἐκλέξαντος τὸ τέλος. ἐγὼ δὲ πρὸς ταῦτ' ὦ ἀθηναῖοι σκέψασθ' ἂν ἁπλοῦν ὑμῖν καὶ ἐλευθέριον δόξω λόγον εἰπεῖν. αἰσχύνομαι γὰρ ὑπὲρ τῆς πόλεως εἰ τίμαρχος ὁ τοῦ δήμου σύμβουλος καὶ τὰς εἰς τὴν ἑλλάδα τολμῶν πρεσβείας πρεσβεύειν, μὴ τὸ πρᾶγμα ὅλον ἀποτρίψασθαι ἐπιχειρήσει. ἀλλὰ τοὺς τόπους ἐπερωτήσει ὅπου ἐκαθέζετο καὶ τοὺς τελώνας εἰ πώποτε παρ' αὐτοῦ πορνικὸν τέλος εἰλήφασιν. ταύτης μὲν οὖν τῆς ἀπολογίας ὑμῶν ἕνεκα παραχωρησάτω, ἕτερον δ' ἐγώ σοι λόγον ὑποβαλῶ καλὸν καὶ δίκαιον ᾧ χρήσῃ, εἰ μηδὲν αἰσχρὸν σαυτῷ σύνοισθα, τόλμησον γὰρ εἰς τοὺς δικαστὰς βλέψας εἰπεῖν ἃ προσήκει λέγειν ἀνδρὶ σώφρονι τὰ περὶ τὴν ἡλικίαν. ἄνδρες ἀθηναῖοι τέθραμμαι μὲν ἐκ παιδὸς καὶ μειρακίου παρ' ὑμῖν, οὐκ ἀφανεῖς δὲ διατριβὰς διατρίβω, ἀλλ' ἐν ταῖς ἐκκλησίαις μεθ' ὑμῶν ὁρῶμαι. οἶμαι δ' ἂν εἰ πρὸς ἄλλους τινὰς ἦν ὁ λόγος μοι περὶ τῆς αἰτίας ἧς κρίνομαι ταῖς ὑμετέραις μαρτυρίαις ῥᾳδίως ἂν ἀπολύσασθαι τοὺς τοῦ κατηγόρου λόγους. μὴ γὰρ εἰ ὅτι πέπρακταί μοι τι τούτων, ἀλλ' εἰ δοκῶ ὑμῖν παραπλησίως βεβιωκέναι ταῖς λεγομέναις ὑπὸ τούτου αἰτίαις ἀβίωτον ἡγούμενος εἶναι ἐμαυτῷ τὸν λοιπὸν βίον παραδίδωμι τὴν εἰς ἐμαυτὸν τιμωρίαν ἐναπολογήσασθαι τῇ πόλει πρὸς τοὺς ἕλληνας, οὐδ' ἥκω παραιτησόμενος ὑμᾶς ἀλλὰ καταχρήσασθέ μοι εἰ δοκῶ τοιοῦτος εἶναι, αὕτη μέν ἐστιν ὦ τίμαρχε ἀπολογία ἀνδρὸς ἀγαθοῦ καὶ σώφρονος καὶ πεπιστευκότος τῷ βίῳ, καὶ καταφρονοῦντος εἰκότως ἁπάσης βλασφημίας. ἃ δὲ πείθει σε λέγειν δημοσθένης, οὐκ ἀνδρός ἐστιν ἐλευθέρου, ἀλλὰ πόρνου περὶ τῶν τόπων διαφερομένου. ἐπειδὴ δ' εἰς τὰς ἐπωνυμίας τῶν οἰκήσεων καταφεύγεις κατ' οἴκημα τὸ πρᾶγμα ἐξετάζεσθαι ἀξιῶν ὅπου ἐκαθέζου, ἃ μέλλω λέγειν ἀκούσας εἰσαῦθις οὐ χρήσῃ τοιούτῳ λόγῳ ἐὰν σωφρονῇς. οὐ γὰρ τὰ οἰκήματα, οὐδ' αἱ οἰκήσεις τὰς ἐπωνυμίας τοῖς ἐνοικήσασι παρέχουσιν, ἀλλ' οἱ ἐνοικήσαντες τὰς τῶν ἰδίων ἐπιτηδευμάτων ἐπωνυμίας τοῖς τόποις παρασκευάζουσιν. ὅπου μὲν γὰρ πολλοὶ μισθωσάμενοι μίαν οἴκησιν διελόμενοι ἔχουσι, συνοικίαν καλοῦμεν. ὅπου δ' εἷς ἐνοικεῖ, οἰκίαν. ἐὰν δ' εἰς ἕν δή που τούτων τῶν ἐπὶ ταῖς ὁδοῖς ἐργαστηρίων ἰατρὸς εἰσοικήσηται, ἰατρεῖον καλεῖται. ἐὰν δ' ὁ μὲν ἐξοικήσηται, εἰς δὲ τὸ αὐτὸ τοῦτο ἐργαστήριον χαλκεὺς εἰσοικήσηται, χαλκεῖον ἐκλήθη. ἐὰν δὲ γναφεύς, γναφεῖον, ἐὰν δὲ τέκτων, τεκτονεῖον, ἐὰν δὲ πορνοβοσκὸς καὶ πόρναι ἀπὸ τῆς ἐργασίας εὐθὺς ἐκλήθη πορνεῖον, ὥστε σὺ πολλὰ πορνεῖα τῇ τῆς πράξεως εὐχερείᾳ πεποίηκας. μὴ οὖν ὅπου ποτὲ ἔπραττες ἐρώτα, ἀλλ' ὡς τοῦτο οὐ πεποίηκας ἀπολογοῦ. ἥξει δ' ὡς ἔοικε καὶ ἕτερος λόγος τις ὑπὸ τοῦ αὐτοῦ σοφιστοῦ συγκείμενος. λέγει γὰρ ὡς οὐδέν ἐστιν ἀδικώτερον φήμης. ἀγοραῖα τεκμήρια καὶ παντελῶς ἀκόλουθα τῷ αὐτοῦ βίῳ παρεχόμενος, πρῶτον μὲν γὰρ τὴν ἐν κολωνῷ συνοικίαν τὴν δήμωνος καλουμένην ψευδῆ φησι τὴν ἐπωνυμίαν ἔχειν, οὐ γὰρ εἶναι δήμωνος. ἔπειτα τὸν ἑρμῆν τὸν ἀνδοκίδου καλούμενον, οὐκ ἀνδοκίδου, ἀλλ' αἰγηΐδος φυλῆς εἶναι ἀνάθημα. παραφέρει δ' αὑτὸν ἐν σκώμματος μέρει ὡς ἡδὺς ἀνὴρ, καὶ περὶ τὰς ἰδίας διατριβὰς γελοῖος. εἰ μὴ καὶ ἐμὲ δεῖ φησὶν ὑπακούειν τοῖς ὄχλοις μὴ δημοσθένην καλούμενον, ἀλλὰ βάταλον, ὅτι ταύτην ἐξ ὑποκορίσματός τινος τίτθης τὴν ἐπωνυμίαν ἔχω. εἰ δὲ τίμαρχος ὡραῖος ἐγένετο καὶ σκώπτεται τῇ τοῦ πράγματος διαβολῇ καὶ μὴ τοῖς αὐτοῦ ἔργοις, οὐ δή που διὰ τοῦτ' αὐτόν φησι δεῖν συμφορᾷ περιπεσεῖν. ἐγὼ δὲ ὦ δημόσθενες περὶ μὲν τῶν ἀναθημάτων καὶ τῶν οἰκιῶν καὶ περὶ τῶν κτημάτων καὶ πάντων ὅλως τῶν ἀφώνων, πολλοὺς καὶ παντοδαποὺς καὶ οὐδέποτε τοὺς αὐτοὺς ἀκούω λόγους λεγομένους. οὐ γάρ εἰσιν ἐν αὐταῖς οὔτε καλαὶ οὔτε αἰσχραὶ πράξεις, ἀλλ' ὁ προσαψάμενος αὐτῶν καὶ παρατυχὼν ὅς τις ἂν ᾖ κατὰ τὸ μέγεθος τῆς αὐτοῦ δόξης λόγον παρέχει. περὶ δὲ τὸν τῶν ἀνθρώπων βίον καὶ λόγον καὶ τὰς πράξεις, καὶ ἀψευδής τις ἀπὸ ταυτομάτου πλανᾶται φήμη κατὰ τὴν πόλιν, καὶ διαγγέλλει τοῖς πολλοῖς τὰς ἰδίας πράξεις πολλὰ δὲ καὶ μαντεύεται περὶ τῶν μελλόντων ἔσεσθαι, καὶ οὕτως ἐναργές ἐστι καὶ

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

οὐ πεπλασμένον ὃ λέγω, ὡς εὑρήσετε καὶ τὴν πόλιν ὑμῶν καὶ τοὺς προγόνους φήμης ὡς θεοῦ μεγίστης βωμὸν ἱδρυμένους, καὶ τὸν ὅμηρον πολλάκις ἐν τῇ ἰλιάδι λέγοντα πρὸ τοῦ τι τῶν μελλόντων γενέσθαι· φήμη δ' εἰς στρατὸν ἦλθε, καὶ πάλιν τὸν εὐριπίδην ἀποφαινόμενον τὴν θεὸν ταύτην οὐ μόνον τοὺς ζῶντας ἐμφανίζειν δυναμένην ὁποῖοί τινες ἂν τυγχάνωσιν ὄντες, ἀλλὰ καὶ τοὺς τετελευτηκότας, ὅταν λέγῃ· φήμη τὸν ἐσθλὸν κἂν μυχῷ δείκνυσι γῆς. ὁ δὲ ἡσίοδος καὶ διαῤῥήδην θεὸν αὐτὴν ἀποδείκνυσι, πάνυ σαφῶς φράζων τοῖς βουλομένοις συνιέναι. λέγει γάρ, φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥν τινα λαοὶ πολλοὶ φημίξουσι· θεός νύ τίς ἐστι καὶ αὐτή, καὶ τούτων τῶν ποιημάτων τοὺς μὲν εὐσχημόνως βεβιωκότας εὑρήσετε ἐπαινέτας ὄντας, πάντες γὰρ οἱ δημοσίᾳ φιλότιμοι, παρὰ τῆς ἀγαθῆς φήμης ἡγοῦνται τὴν δόξαν κομιεῖσθαι. οἷς δ' αἰσχρός ἐστιν ὁ βίος οὐ τιμῶσι τὴν θεὸν ταύτην, κατήγορον γὰρ αὐτὴν ἀθάνατον ἔχειν ἡγοῦνται.

ἀναμνήσθητε οὖν ὦ ἄνδρες τίνι κέχρησθε φήμῃ περὶ τιμάρχου, οὐχ ἅμα τοὔνομα λέγεται καὶ τὸ ἐρώτημα εὐθὺς ἐρωτᾶτε, ποῖος τίμαρχος ὁ πόρνος; ἔπειτα εἰ μὲν μάρτυρας παρειχόμην περί τινος ἐπιστεύετ' ἄν μοι· εἰ δὲ τὴν θεὸν μάρτυρα παρέχομαι οὐ πιστεύσετε; ἣν οὐδὲ ψευδομαρτυριῶν θέμις ἐστὶν ἐπισκήψασθαι; ἐπεὶ καὶ περὶ τῆς δημοσθένους ἐπωνυμίας οὐ κακῶς ὑπὸ τῆς φήμης, ἀλλ' οὐχ ὑπὸ τῆς τίτθης βάταλος προσαγορεύεται. ἐξ ἀνανδρίας τινὸς καὶ κιναιδείας ἐνεγκάμενος τοὔνομα. εἰ γάρ τις σου τὰ κομψὰ ταῦτα χλανίσκια περιελόμενος καὶ τοὺς μαλακοὺς χιτωνίσκους ἐν οἷς τοὺς κατὰ τῶν φίλων λόγους γράφεις περιενέγκας δοίη εἰς τὰς χεῖρας τῶν δικαστῶν, οἶμαι ἂν αὐτούς, εἴ τις μὴ προειπὼν τοῦτο ποιήσειεν, ἀπορῆσαι εἴτε ἀνδρὸς εἴτε γυναικὸς εἰλήφασιν ἐσθῆτα. ἀναβήσεται δ' ἐν τῇ ἀπολογίᾳ καὶ τῶν στρατηγῶν τις ὡς ἀκούω ὑπτιάζων καὶ κατασκοπούμενος ἑαυτὸν ὡς ἐν παλαίστραις καὶ διατριβαῖς γεγονώς· ὃς ἐπιχειρήσει διασύρειν τὴν ὅλην ἔνστασιν τοῦ ἀγῶνος.

οὐ κρίσιν ἐξευρηκέναι με φάσκων, ἀλλὰ δεινῆς ἀπαιδευσίας ἀρχὴν παραφέρων, πρῶτον μὲν τοὺς εὐεργέτας τοὺς ὑμετέρους ἁρμόδιον καὶ ἀριστογείτονα καὶ τὴν πρὸς ἀλλήλους πίστιν καὶ τὸ πρᾶγμα ὡς συνήνεγκε τῇ πόλει διεξιών. οὐκ ἀφέξεται δ' ὥς φασιν οὐδὲ τῶν ὁμήρου ποιημάτων, οὐδὲ τῶν ὀνομάτων τῶν ἡρωϊκῶν, ἀλλὰ καὶ τὴν λεγομένην γενέσθαι φιλίαν δι' ἔρωτα πατρόκλου καὶ ἀχιλλέως ὑμνήσει, καὶ τὸ κάλλος ὡς πρὸ οὐ πάλαι μακαριζόμενον ἂν τύχῃ σωφροσύνης νῦν ἐγκωμιάσεται. εἰ γὰρ τὴν τοῦ σώματος εὐπρέπειαν ταύτην τινὲς διαβάλλοντες συμφορὰν τοῖς ἔχουσι καταστήσουσιν, οὐ ταὐτὰ κοινῇ ψηφιεῖσθαι φήσουσιν ὑμᾶς ἃ καὶ ἰδίᾳ εὔχεσθε. ἄτοπον γὰρ εἶναι ὡς δοκεῖν ἑαυτῷ, εἰ τοὺς μὲν υἱεῖς τοὺς μηδέπω γεγονότας ἅπαντες εὔχεσθε οἱ μέλλοντες παιδοποιεῖσθαι καλοὺς κἀγαθοὺς τὰς ἰδέας φῦναι καὶ τῆς πόλεως ἀξίους, τοὺς δὲ ἤδη γεγονότας ἐφ' οἷς προσήκει σεμνύνεσθαι τὴν πόλιν ἐὰν κάλλει καὶ ὥρᾳ διενεγκόντες ἐκπλήξωσί τινας καὶ περιμάχητοι ἐξ ἔρωτος γένωνται, τούτους ὡς ἔοικεν αἰσχίνῃ πεισθέντες ἀτιμώσετε. κἀνταῦθα δή τινα καταδρομὴν ὡς ἀκούω μέλλει περὶ ἐμοῦ ποιεῖσθαι, ἐπερωτῶν εἰ οὐκ αἰσχύνομαι αὐτὸς μὲν ἐν τοῖς γυμνασίοις ὀχληρὸς ὢν καὶ πλείστων ἐραστὴς γεγονώς, τὸ δὲ πρᾶγμα εἰς ὀνείδη καὶ κινδύνους καθιστάς, καὶ τὸ τελευταῖον ὡς ἀπαγγέλλουσί τινές μοι εἰς γέλωτα καὶ λῆρόν τινα προτρεπόμενος ὑμᾶς, ἐπιδείξεσθαί μου φησὶν ὅσα πεποίηκα ἐρωτικὰ εἴς τινας ποιήματα, καὶ λοιδοριῶν τινῶν καὶ πληγῶν ἐκ τοῦ πράγματος αἳ περὶ ἐμὲ γεγένηνται μαρτυρίας φησὶ παρέξεσθαι.

ἐγὼ δὲ οὔτε ἔρωτα δίκαιον ψέγω, οὔτε τοὺς κάλλει διαφέροντάς φημι πεπορνεῦσθαι, οὔτ' αὐτὸς ἐξαρνοῦμαι μὴ οὐ γεγονέναι ἐρωτικός. καὶ ἔτι καὶ νῦν εἶναι, τάς τε ἐκ τοῦ πράγματος γινομένας πρὸς ἑτέρους φιλονεικίας καὶ μάχας οὐκ ἀρνοῦμαι μὴ οὐχὶ συμβεβηκέναι μοι. περὶ δὲ τῶν ποιημάτων ὧν φασιν οὗτοί με πεποιηκέναι, τὰ μὲν ὁμολογῶ, τὰ δὲ ἐξαρνοῦμαι μὴ τοῦτον ἔχειν τὸν τρόπον ὃν οὗτοι διαφθείροντες παρέχονται. ὁρίζομαι δ' εἶναι τὸ μὲν ἐρᾶν τῶν καλῶν καὶ σωφρόνων φιλανθρώπου πάθους καὶ εὐγνώμονος ψυχῆς· τὸ δὲ ἀσελγαίνειν ἀργυ-

ρίου

ρίου τινὰ μισθούμενον, ὑβριστοῦ καὶ ἀπαιδεύτου ἀνδρὸς ἔργον εἶναι ἡγοῦμαι, καὶ τὸ μὲν ἀδιαφθόρως ἐρᾶσθαί φημι καλὸν εἶναι· τὸ δὲ ἐπαρθέντα μισθῷ πεπορνεῦσθαι αἰσχρόν. ὅσον δὲ ἑκάτερον τούτων ἀπ' ἀλλήλων διέστηκε, καὶ ὡς πολὺ διαφέρει, ἐν τοῖς ἐφεξῆς ὑμᾶς πειράσομαι λόγοις διδάσκειν. οἱ γὰρ πατέρες ὑμῶν ὅθ' ὑπὲρ τῶν ἐπιτηδευμάτων καὶ τῶν ἐκ φύσεως ἀναγκαίων καὶ καλῶν καὶ ἀγαθῶν ἐνομοθέτουν, ἃ τοῖς ἐλευθέροις ἡγοῦντο εἶναι πρακτέα, ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν. δοῦλον φησὶν ὁ νόμος μὴ γυμνάζεσθαι μηδὲ ξηραλοιφεῖν ἐν ταῖς παλαίστραις, καὶ οὐκ ἔτι προσέγραψε, τὸν δ' ἐλεύθερον ἀλείφεσθαι καὶ γυμνάζεσθαι. ὁπότε γὰρ οἱ νομοθέται τὸ καλὸν τὸ ἐκ τῶν γυμνασίων κατιδόντες, ἀπεῖπον τοῖς δούλοις μὴ μετέχειν, τῷ αὐτῷ νόμῳ ἡγοῦντο, ᾧ ἐκείνους ἐκώλυον, τοὺς ἐλευθέρους προτρέπειν ἐπὶ τὰ γυμνάσια. Πάλιν ὁ αὐτὸς οὗτος εἶπεν νομοθέτης, δοῦλον ἐλευθέρου παιδὸς μὴ ἐρᾶν μήτ' ἐπακολουθεῖν, ἢ τύπτεσθαι τῇ δημοσίᾳ μάστιγι πεντήκοντα πληγάς. ἀλλ' οὐ τὸν ἐλεύθερον ἐκώλυσεν ἐρᾶν καὶ ὁμιλεῖν καὶ ἀκολουθεῖν. οὐδὲ βλάβην τῷ παιδί, ἀλλὰ μαρτυρίαν σωφροσύνης ἡγήσατο συμβαίνειν. ἀκύρου δ' οἶμαι καὶ ἀδυνάτου ἔτι ὄντος κρῖναι τὸν ὄντως εὔνουν καὶ μὴ τὸν ἐρῶντα σωφρονίζει, καὶ τοὺς τῆς φιλίας λόγους εἰς τὴν φρονοῦσαν καὶ πρεσβυτέραν ἡλικίαν ἀναβάλλεται, τὸ δ' ἐπακολουθεῖν καὶ ἐφορᾶν, φρουρὰν καὶ φυλακὴν σωφροσύνης ἡγήσατο εἶναι μεγίστην. τοιγάρτοι τοὺς τῆς πόλεως μὲν εὐεργέτας, ταῖς δ' ἀρεταῖς ὑπερενηνοχότας ἁρμόδιον καὶ ἀριστογείτονα ὁ σώφρων καὶ ἔννομος εἴτε ἔρωτα εἴτε τρόπον αὐτὸν χρὴ προσειπεῖν τοιούτους ἐπαίδευσεν, ὥστε τοὺς ἐπαινοῦντας τὰ ἐκείνων ἔργα καταδεεστέρους δοκεῖν εἶναι ἐν τοῖς ἐγκωμίοις τῶν ἐκείνοις πεπραγμένων. ἐπειδὴ δὲ ἀχιλλέως καὶ πατρόκλου μέμνησθε καὶ ὁμήρου καὶ ἑτέρων ποιητῶν ὡς τῶν μὲν δικαστῶν ἀνηκόων παιδείας ὄντων, ὑμεῖς δὲ εὐσχήμονές τινες προσποιεῖσθε εἶναι καὶ ὑπερφρονοῦντες ἱστορίᾳ τὸν δῆμον, ἵν' εἰδῆτε ὅτι καὶ ἡμεῖς τι ἤδη ἠκούσαμεν καὶ ἐμάθομεν, λέξομέν τι καὶ ἡμεῖς περὶ τούτων. ἐπειδὴ γὰρ ἐπιχειροῦσι φιλοσόφων ἀνδρῶν μεμνῆσθαι καὶ καταφεύγειν ἐπὶ τοὺς εἰρημένους ἐν τῷ μέτρῳ λόγους, θεωρήσατε ἀποβλέψαντες ὦ ἀθηναῖοι εἰς τοὺς ὁμολογουμένους ἀγαθοὺς καὶ χρηστοὺς ποιητὰς ὅσον κεχωρίσθαι ἐνόμισαν τοὺς σώφρονας καὶ τῶν ὁμοίων ἐρῶντας καὶ τοὺς ἀκρατεῖς ὧν οὐ χρὴ καὶ τοὺς ὑβριστάς. λέξω δὲ πρῶτον μὲν περὶ ὁμήρου ὃν ἐν τοῖς πρεσβυτάτοις καὶ σοφωτάτοις τῶν ποιητῶν εἶναι τάττομεν. ἐκεῖνος γὰρ πολλαχοῦ μεμνημένος περὶ πατρόκλου καὶ ἀχιλλέως, τὸν μὲν ἔρωτα καὶ τὴν ἐπωνυμίαν αὐτῶν τῆς φιλίας ἀποκρύπτεται. ἡγούμενος τὰς τῆς εὐνοίας ὑπερβολὰς καταφανεῖς εἶναι τοῖς πεπαιδευμένοις τῶν ἀκροατῶν, λέγει γάρ που ἀχιλλεὺς ὀδυρόμενος τὸν τοῦ πατρόκλου θάνατον ὡς ἕν τι τοῦτο τῶν λυπηροτάτων ἀναμιμνησκόμενος· ὅτι τὴν ὑπόσχεσιν τὴν πρὸς τὸν πατέρα τὸν πατρόκλου τὸν μενοίτιον ἄκων ἐψεύσατο. ἐπαγγείλασθαι γὰρ αὐτὸν εἰς ὀποῦντα σῶον ἀπάξειν τὸν πάτροκλον. ἦν γὰρ ὀπούντιος, εἰ συμπέμψειεν αὐτὸν εἰς τὴν τροίαν καὶ παρακαταθοῖτο αὐτῷ. ᾧ καταφανής ἐστιν ὡς δι' ἔρωτα τὴν ἐπιμέλειαν αὐτοῦ παρέλαβεν. ἔστι δὲ τὰ ἔπη ἃ ἐγὼ νῦν μέλλω λέγειν.

Ω πόποι, ἦ ῥ' ἅλιον ἔπος ἔκβαλον ἤματι κείνῳ
Θαρσύνων ἥρωα μενοίτιον ἐν μεγάροισι.
Φῆν δέ οἱ εἰς ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν
Ἴλιον ἐκπέρσαντα λαχόντα τε ληΐδος αἶσαν,
Α λλ' οὐ ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ.
Α μφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεύθειν.

Οὐ τοίνυν ἐνταῦθα μόνον σχετλιάζων φαίνεται, ἀλλ' οὕτως αὐτὸν ἰσχυρῶς ἐπένθησεν ὥστε παρὰ θέτιδος τῆς αὑτοῦ μητρὸς προακούσας ὅτι μὴ μετελθὼν μὲν τοὺς ἐχθροὺς ἀλλ' ἐάσας ἀτιμώρητον τὸν τοῦ πατρόκλου θάνατον, ἐπανελθὼν οἴκαδε γηραιὸς ἐν τῇ αὑτοῦ πατρίδι ἀποθανεῖται, τιμωρησάμενος δὲ διὰ ταχέων μέλλει τὸν βίον τελευ-

τῶν, ἀλλὰ τὴν τοῦ τεθνεῶτος πίστιν μᾶλλον ἢ τὴν σωτηρίαν, οὕτως δὲ μεγαλοψύχως ἠπείγετο τὸν φονέα τὸν ἐκείνου τιμωρήσασθαι, ὥστε πάντων αὐτὸν παραμυθουμένων καὶ κελευόντων λούσασθαι καὶ σῖτον προσενέγκασθαι, ἀπόμνυσι μηδὲν αὐτὸν τούτων πράξειν πρὶν ἂν τὴν τοῦ Ἕκτορος κεφαλὴν ἐλθὼν ἐπὶ τὸν τοῦ Πατρόκλου τάφον ἀνενέγκῃ. καθεύδοντος δὲ αὐτοῦ ἐπὶ τῇ πυρᾷ ὥς φησιν ὁ ποιητής, εἴδωλον ἐφίσταται Πατρόκλου, καὶ τοιούτων ἐπεμνήσθη καὶ τοιαῦτα ἐπέσκηψε τῷ Ἀχιλλεῖ, ἐφ' οἷς καὶ δακρῦσαι καὶ ζηλῶσαι τὴν ἀρετὴν καὶ τὴν φιλίαν ἄξιον αὐτῶν ἐστιν. ἐπισκήπτει μὲν γὰρ αὐτῷ προειπὼν ὅτι οὐδὲ ἐκεῖνος ἀπέχει μακρὰν τῆς τοῦ βίου τελευτῆς, εἴ πως εἴη δυνατὸν προδιοικήσασθαι ὅπως τὸν αὐτὸν τρόπον ὥσπερ καὶ ἐτράφησαν καὶ ἐβίωσαν ἐν τῷ αὐτῷ, οὕτω καὶ τελευτησάντων αὐτῶν τὰ ὀστᾶ ἐν τῇ αὐτῇ σορῷ κείσεται. ὀδυρόμενος δὲ καὶ τὰς διατριβὰς διεξιὼν ἃς μετ' ἀλλήλων ζῶντες διέτριβον, λέγει ὅτι οὐκέτι περὶ τῶν μεγίστων ὥσπερ τὸ πρότερον καθεζόμενοι μετ' ἀλλήλων μόνοι ἄποθεν τῶν ἄλλων φίλων βουλευσόμεθα· τὴν πίστιν οἶμαι καὶ τὴν εὔνοιαν ποθεινοτάτην ἡγούμενος εἶναι.

Ἵνα δὲ καὶ διὰ τοῦ μέτρου τὰς γνώμας ἀκούσητε τοῦ ποιητοῦ, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὰ ἔπη τὰ περὶ τούτων ἃ Ὅμηρος πεποίηκε. λέγε πρῶτον τὰ περὶ τῆς Ἕκτορος τιμωρίας.

Α λλ' ἐπεὶ οὖν φίλ' ἑταῖρε σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν,
Ο ὔ σε πρὶν κτεριῶ πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνείκω
Τ εύχεα καὶ κεφαλὴν μεγαθύμου σεῖο φονῆος.

Α ναγίνωσκε δὲ ἃ περὶ τοῦ ὁμοτάφους αὐτοὺς γενέσθαι λέγει ἐν τῷ ὕπνῳ ὁ Πάτροκλος καὶ περὶ τῶν διατριβῶν ἃς συνδιέτριβον ἀλλήλοις.

Ο ὐ γὰρ ἔτι ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
Β ουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
Α μφέχανε στυγερὴ ἥπερ λάχε γινόμενόν περ,
Κ αὶ δέ σοι αὐτῷ μοῖρα θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ
Τ είχει ὑπὸ Τρώων εὐηγενέων ἀπολέσθαι.
Μ αρνάμενον δηΐοις Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
Α λλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
Μ ὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ' Ἀχιλλεῦ
Α λλ' ἵνα περ σὲ καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθῃ
Χ ρυσέῳ ἐν ἀμφιφορεῖ, τόν τοι πόρε πότνια μήτηρ
Ω ς ὁμοῦ ἐτράφεμεν περ ἐν ὑμετέροισι δόμοισιν
Ε ὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
Η γαγεν ὑμέτερόνδ' ἀνδροκτασίης ὑπὸ λυγρῆς
Η ματι τῷ ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος
Ν ήπιον οὐκ ἐθέλων ἀμφ' ἀστραγάλοισι χολωθείς.
Ε νθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεύς.
Ε τραφέ τ' ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνεν
Ω ς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι.

Ὡς τοίνυν ἐξὸν αὐτῷ σωθῆναι μὴ τιμωρησαμένῳ τὸν τοῦ Πατρόκλου θάνατον, ἀνάγνωθι ἃ λέγει ἡ Θέτις.

Ω κύμορος δή μοι τέκος ἔσσεαι, οἷ' ἀγορεύεις.
Α ὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος.
Τ ὴν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς.
Α ὐτίκα τεθναίην ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
Κ τεινομένῳ ἐπαμῦναι ὅ μοι πολὺ φίλτατος ἔσκεν.

Ὁ τοίνυν οὐδενὸς ἧττον σοφὸς τῶν ποιητῶν Εὐριπίδης, ἕν τι τῶν καλλίστων ὑπολαμβάνων εἶναι τὸ σωφρόνως ἐρᾶν, ἐν εὐχῆς μέρει τὸν ἔρωτα ποιούμενος λέγει που.

Ο δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως
Ζ ηλωτὸς ἀνθρώποισιν, ὧν εἴην ἐγώ.

Πάλιν τοίνυν ὁ αὐτὸς ποιητὴς ἐν τῷ φοίνικι ἀποφαίνεται ὑπὲρ τῆς γεγενημένης αὐτῷ πρὸς τὸν πατέρα διαβολῆς ἀπολογούμενος καὶ ἀπεθίζων τοὺς ἀνθρώπους μὴ ἐξ ὑποψίας, μηδ' ἐκ διαβολῆς, ἀλλ' ἐκ τοῦ βίου τὰς κρίσεις ποιεῖσθαι.

Η δη δὲ πολλῶν ᾑρέθην λόγων κριτὴς
Κ αὶ πόλλ' ἁμιλληθέντα μαρτύρων ὕπο
Τ ἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι
Κ ἀγὼ μὲν οὕτω ὅστις ἔστ' ἀνὴρ σοφός.
Λ ογίζομαι τἀληθὲς εἰς ἀνδρὸς φύσιν,
Σ κοπῶν δίαιταν ἥν τιν' ἡμερεύεται.
Ω ς τις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ
Ο ὐ πώποτ' ἠρώτησα γιγνώσκων ὅτι
Τ οιοῦτος ἔστιν οἷς περ ἥδεται ξυνών.

Σκέψασθε δὴ ὦ ἀθηναῖοι τὰς γνώμας ἃς ἀποφαίνεται ὁ ποιητής. ἤδη δὲ πολλῶν πραγμάτων φησὶ γεγενῆσθαι κριτὴς ὥσπερ νῦν ὑμεῖς δικασταί· καὶ τὰς κρίσεις οὐκ ἐκ τῶν μαρτυριῶν ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων καὶ τῶν ὁμιλιῶν φησι ποιεῖσθαι. ἐκεῖσε ἀποβλέπων πῶς τὸν καθ' ἡμέραν βίον ζῇ ὁ κρινόμενος, καὶ ὅν τινα τρόπον διοικεῖ τὴν ἑαυτοῦ οἰκίαν, ὡς παραπλησίως αὐτὸν καὶ τὰ τῆς πόλεως διοικήσοντα. καὶ τίσι χαίρει πλησιάζων. καὶ τελευτῶν οὐκ ὤκνησεν ἀποφήνασθαι τοιοῦτον αὐτὸν εἶναι οἷς περ ἥδεται ξυνών. Οὐκοῦν δίκαιον καὶ περὶ τιμάρχου τοῖς αὐτοῖς ὑμᾶς εὐριπίδῃ χρήσασθαι λογισμοῖς. πῶς διῴκηκε τὴν ἑαυτοῦ οὐσίαν; κατεδήδοκε τὰ πατρῷα καὶ τὰ τῶν φίλων, μεμισθαρνηκὼς τῷ σώματι, καὶ δωροδοκῶν δημοσίᾳ πάντ' ἠφάνικεν, ὥστε μηδὲν ἀλλ' ἢ τὰς αἰσχύνας αὐτῷ περιεῖναι. χαίρει δὲ τῷ συνών; ἡγησάνδρῳ. ὁ δ' ἡγήσανδρος, ἐκ τίνων ἐστὶν ἐπιτηδευμάτων; ἐκ τούτων, ἐξ ὧν αὐτὸν πράξαντα οἱ νόμοι ἀπαγορεύουσι δημηγορεῖν. ἐγὼ δὲ τί λέγω κατὰ τιμάρχου; καὶ τίνα ποτ' ἐστὶν ἃ ἀντιγέγραμμαι; μὴ δημηγορεῖν τίμαρχον πεπορνευμένον καὶ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότα. ὑμεῖς δὲ τί ὀμωμόκατε; ὑπὲρ αὐτῶν ψηφιεῖσθαι ὧν ἂν ἡ δίωξις ᾖ. ἵνα δὲ μὴ μακρολογῶ περὶ τῶν ποιητῶν διεξιών, ἀνδρῶν ἐρῶ πρεσβυτέρων καὶ γνωρίμων ὑμῖν ὀνόματα· καὶ μειρακίων καὶ παίδων, ὧν τοῖς μὲν, διὰ τὴν εὐπρέπειαν πολλοὶ γεγόνασιν ἐρασταί· ἐνίοις δὲ τῶν ἐν ἡλικίᾳ ἔτι καὶ νῦν εἰσιν, ὧν οὐδεὶς πώποτ' εἰς τὰς αὐτὰς αἰτίας ἀφῖκται τιμάρχῳ καὶ πάλιν ὑμῖν ἀντιδιέξειμι ἀνθρώπων πεπορνευμένων αἰσχρῶς καὶ φανερῶς ὀνόματα· ἵνα ὑμεῖς ἀναμνησθέντες κατανείμητε εἰς τὴν προσήκουσαν τάξιν τίμαρχον. πρῶτον δὲ λέξω τὰ τῶν ἐλευθέρως καὶ καλῶς βεβιωκότων ὀνόματα. γιγνώσκετε ὦ ἀθηναῖοι κρίτωνα τὸν ἀστυόχου καὶ περικλείδην τὸν περιθοίδην, καὶ πολεμαγένη, καὶ παντολέοντα τὸν κλεαγόρου καὶ τιμησίθεον τὸν δρομέα, καλλίστους οὐ μόνον τῶν πολιτῶν, ἀλλὰ καὶ τῶν ἑλλήνων γεγενημένους, καὶ πλείστων, καὶ σωφρονεστάτων τυχόντας ἐραστῶν. ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἔψεξε.

Πάλιν ἐκ τῶν μειρακίων καὶ τῶν ἐν παισὶν ἔτι καὶ νῦν ὄντων, πρῶτον μὲν τὸν ἀδελφιδοῦν τοῦ ἰφικράτους, υἱὸν δὲ τισίου τοῦ ῥαμνουσίου, ὁμώνυμον δὲ τοῦ νυνὶ κρινομένου τιμάρχου, ὃς εὐπρεπὴς ὢν ἰδεῖν, τοσοῦτον ἀπέχει τῶν αἰσχρῶν, ὥστε πρῴην ἐν τοῖς κατ' ἀγροὺς διονυσίοις κωμῳδῶν ὄντων ἐν κολυττῷ καὶ παραμένοντος τοῦ κωμικοῦ ὑποκριτοῦ, εἰπόντος τι πρὸς τὸν χορὸν ἀνάπαιστον, ἐν ᾧ ἦν, εἶναί τινας πόρνους μεγάλους τιμαρχώδεις, οὐδεὶς ὑπελάμβανεν εἰς τὸ μειράκιον, ἀλλ' εἰς σὲ πάντες. οὕτω κληρονόμος εἶ τοῦ ἐπιτηδεύματος. πάλιν ἀντικλέα τὸν σταδιοδρόμον καὶ φειδίαν τὸν ἀδελφὸν τοῦ μελησίου. ἔτι δὲ εἰπεῖν ἔχων πολλούς, παύσομαι, ἵνα μὴ δοκῶ τὸν ἔπαινον θεραπείᾳ τινὶ καθ' αὐτῶν ποιεῖσθαι. Περὶ δὲ τῶν ὁμοτρόπων τιμάρχου φειδόμενος τὰς ἀπεχθείας ὧν ἥκιστά μοι μέλει μνησθήσομαι. τίς γὰρ ὑμῶν τὸν ὀρφανὸν καλούμενον

Διόφαντον, οὐκ ἄλλον ὃς τὸν ξένον πρὸς τὸν ἄρχοντα ἀπήγαγεν, ᾧ παρῄδρευεν Ἀριστοφῶν ὁ Ἀζηνιεύς, ἐπαιτιασάμενος τέτταρας δραχμὰς αὐτὸν ὑπὲρ τῆς πράξεως ταύτης ἀποστερηκέναι, καὶ τοὺς νόμους λέγων, οἳ κελεύουσι τὸν ἄρχοντα τῶν ὀρφανῶν ἐπιμελεῖσθαι, τοὺς ὑπὲρ τῆς σωφροσύνης κειμένους ὑπερβεβηκὼς ἐμίσει. ἢ τίς τῶν πολιτῶν οὐκ ἐδυσχέραινε Κηφισόδωρον τὸν τοῦ Μόλωνος καλούμενον, κάλλιστον ὥραν ὄψεως ἀκλεέστατα διεφθαρκότα. ἢ Μνησίθεον τὸν τοῦ μαγείρου καλούμενον, ἢ πολλοὺς ἑτέρους ὧν ἑκὼν ἐπιλανθάνομαι. οὐ γὰρ ἐπεξελθεῖν αὐτῶν ἕκαστον κατ᾽ ὄνομα πικρῶς βούλομαι, ἀλλὰ μᾶλλον τῶν τοιούτων ἀπορεῖν ἂν εὐξαίμην ἐν τῷ λόγῳ διὰ τὴν πρὸς τὴν πόλιν εὔνοιαν. ἐπειδὴ δὲ ἑκατέρων προελόμενοί τινας διεξεληλύθαμεν, χωρὶς μὲν τοὺς διὰ σωφροσύνην ἐρωμένους, χωρὶς δὲ τοὺς εἰς ἑαυτοὺς ἐξαμαρτάνοντας, ὑμεῖς ἤδη τοῦτ᾽ ἐρωτηθέντες ἀποκρίνασθε πρὸς ἐμέ· εἰς ὁποτέραν τάξιν τὸν Τίμαρχον κατανέμετε· πότερον εἰς τοὺς ἐρωμένους, ἢ εἰς τοὺς πεπορνευμένους; οὔκουν μὴ καταλιπὼν ἣν εἵλου συμμορίαν αὐτομολήσεις εἰς τὰς τῶν ἐλευθέρων διατριβάς.

Ἐὰν δ᾽ ἐπιχειρῶσι λέγειν ὡς οὐχ ἡταίρηκεν ὅστις μὴ κατὰ συγγραφὰς ἐμισθώθη καὶ γραμματεῖον καὶ μάρτυρας ἀξιῶσί με τούτων παρασχέσθαι, πρῶτον μὲν τοὺς περὶ τῆς ἑταιρήσεως νόμους μέμνησθε, ἐν οἷς οὐδαμοῦ μνείαν ὁ νομοθέτης περὶ συνθηκῶν πεποίηται. οὐ γὰρ εἰ κατὰ γραμματεῖόν τις ἑαυτὸν κατῄσχυνε, τοῦτ᾽ ἐξήτασεν· ἀλλὰ παντελῶς ὅπως ἂν ἡ πρᾶξις γένηται, τὸν πράξαντα κελεύει μὴ μετέχειν τῶν τῆς πόλεως κοινῶν. εἰκότως, ὅστις γὰρ νέος ὢν ἀπέστη δι᾽ αἰσχρὰς ἡδονὰς τῆς εἰς τὰ καλὰ φιλοτιμίας, τοῦτον οὐκ ᾤετο δεῖν πρεσβύτερον γενόμενον ὁ τοὺς νόμους εἰς φέρων ἐπίτιμον εἶναι. ἔπειτα καὶ τὴν εὐήθειαν τοῦ λόγου τούτου ῥᾴδιόν ἐστιν ἐξετάσαι.

Πάντες γὰρ ἂν τοῦθ᾽ ὁμολογήσαιμεν, ὅτι τὰς συνθήκας τὰς πρὸς ἀλλήλους ἀπιστίας ἕνεκα ποιούμεθα, ἵν᾽ ὁ μὴ παραβὰς τὰ γεγραμμένα δίκην λάβῃ τῇ ψήφῳ παρὰ τοῦ παραβάντος. οὐκοῦν εἴπερ τὸ πρᾶγμα δίκης προσδεῖται, τοῖς κατὰ γραμματεῖον ἡταιρηκόσιν, ἂν ἀδικῶνται, ἡ τῶν νόμων, ὥς οὗτοί φασιν, ἐπικουρία καταλείπεται.

Καὶ τίς ἂν ὁ λόγος ἑκατέρου φανείη· μὴ γὰρ ὑπ᾽ ἐμοῦ λεγόμενον, ἀλλὰ γινόμενον τὸ πρᾶγμα νομίσαθ᾽ ὁρᾶν. ἔστω γὰρ ὁ μὲν μισθωσάμενος δίκαιος εἰς τὸ πρᾶγμα, ὁ δὲ μισθωθεὶς ἄδικος καὶ μὴ βέβαιος. ἢ πάλιν τοὐναντίον, ὁ μὲν μισθωθεὶς μέτριος καὶ ποιῶν τὰ ὡμολογημένα, ὁ δὲ τὴν ἡλικίαν προλαβὼν καὶ μισθωσάμενος, ἐψευσμένος. καὶ δικαστὰς ὑμᾶς αὐτοὺς νομίσατε καθῆσθαι. οὐκοῦν ὁ πρεσβύτερος ἀποδοθέντος τοῦ ὕδατος αὐτῷ καὶ λόγου κατηγορίας μετὰ σπουδῆς βλέπων δηλονότι πρὸς ὑμᾶς ἐρεῖ.

Ἐμισθωσάμην, ὦ Ἀθηναῖοι, Τίμαρχον ἑταιρεῖν ἐμαυτῷ κατὰ τὸ γραμματεῖον, τὸ παρὰ Δημοσθένει κείμενον· οὐδὲν γὰρ κωλύει οὕτως εἰρῆσθαι. ὁ δὲ οὐ ποιεῖ μοι τὰ ὡμολογημένα. καὶ ταῦτ᾽ ἤδη διέξεισι δηλονότι πρὸς τοὺς δικαστὰς λέγων ἃ χρὴ τὸν τοιοῦτον ποιεῖν.

Ἔπειτα οὐ καταλευσθήσεται ὁ μισθούμενος τὸν Ἀθηναῖον παρὰ τοὺς νόμους, καὶ προσοφλὼν ἄπεισιν ἐκ τοῦ δικαστηρίου, οὐ τὴν ἐπωβελίαν μόνον, ἀλλὰ καὶ ἄλλην ὕβριν; ἀλλ᾽ οὐχ οὗτος, ἀλλ᾽ ὁ μισθωθεὶς δικάζεται, λεγέτω δὴ παρελθὼν ὁ σοφὸς Βάταλος ὑπὲρ αὐτοῦ, ἵν᾽ εἰδῶμεν τί ποτ᾽ ἐρεῖ.

Ἄνδρες δικασταί, ἐμισθώσατό με ἑταιρεῖν αὐτῷ ἀργυρίου ὅστις δή ποτ᾽ οὖν, οὐδὲν γὰρ διαφέρει οὕτως εἰρῆσθαι· κἀγὼ μὲν ἅπαντα καὶ πεποίηκα καὶ ἔτι καὶ νῦν ποιῶ κατὰ τὸ γραμματεῖον, ἃ χρὴ ποιεῖν τὸν ἑταιροῦντα. οὗτος δὲ ὑπερβαίνει τὰς συνθήκας. ἔπειτ᾽ οὐ πολλὴ κραυγὴ παρὰ τῶν δικαστῶν αὐτῷ ἀπαντήσεται· τίς γὰρ οὐκ ἐρεῖ; ἔπειτα ἐμβάλλῃ εἰς τὴν ἀγοράν, ἢ στεφανοῖ, ἢ πράττει τι τῶν αὐτῶν ἡμῖν; οὐκοῦν οὐδὲν ὄφελος τῆς συγγραφῆς. πόθεν οὖν ἴσχυκε καὶ συνήθης γεγένηται λέγειν, ὡς κατὰ γραμματεῖον ἤδη τινὲς ἡταίρησαν, ἤδη ἐρῶ.

Ἀνὴρ εἷς τῶν πολιτῶν, τὸ δ᾽ ὄνομα οὐ λέξω, τὰς γὰρ ἀπεχθείας φεύγω, οὐδὲν προαισθόμενος ὧν ὀλίγῳ πρότερον ἐγὼ διεξῆλθον ὡς ὑμᾶς, λέγεται παρὰ τὰς συνθήκας ἡταιρηκέναι τὰς παρ᾽ Ἀντικλεῖ κειμένας· οὐκ ὢν ἰδιώτης, ἀλλὰ πρὸς τὰ κοινὰ προσιὼν καὶ λοιδορίαις περιπίπτων, εἰς συνήθειαν ἐποίησε

τοῦ λόγου τούτου τὴν πόλιν καταστῆναι, καὶ διὰ τοῦτο ἐρωτῶσί τινες εἰ κατὰ γραμμα-
τεῖον ἡ πρᾶξις γεγένηται. ὁ δὲ νομοθέτης οὐχ ὅπως τὸ πρᾶγμα γεγένηται
ἐφρόντισεν, ἀλλ' ἐὰν ὁπωσοῦν μίσθωσις γένηται, κατέγνωσε τοῦ πράξαντος αἰσχύ-
νην, ἀλλ' ὅμως οὕτω σαφῶς τούτων διωρισμένων, πολλαὶ παρεμβολαὶ λόγων ὑπὸ
δημοσθένους εὑρεθήσονται. καὶ ταῖς μὲν ὑπὸ τοῦ πράγματος κατηνεχθείσαις
λεγομέναις ἧττον ἄν τις ἀγανακτήσειεν. ἃ δ' ἔξωθεν ἐπεισάξεται λυμαινό-
μενος τὰ τῆς πόλεως δίκαια, ἤδη τούτοις ἄξιόν ἐστιν ὀργισθῆναι. πολὺς μὲν γὰρ
» ὁ φίλιππος ἔσται. ἀναμιχθήσεται δὲ καὶ τὸ τοῦ παιδὸς ὄνομα ἀλεξάνδρου. καὶ γὰρ
» πρὸς τοῖς ἄλλοις κακοῖς ἄμουσός τις οὗτος καὶ ἀπαίδευτος ἄνθρωπός ἐστι. τὸ μὲν γὰρ
εἰς τὸν φίλιππον τῷ λόγῳ πλημμελεῖν, ἀμαθὲς μὲν καὶ ἄκαιρον, ἔλαττον δ' οὗ μέλλω
λέγειν ἁμάρτημα. ὁμολογουμένως γὰρ εἰς ἄνδρα καὶ οὐκ ὢν αὐτὸς ἀνὴρ τὰς βλα-
σφημίας ποιήσεται. ὅταν δὲ ταῖς εἰς τὸν παῖδα πεπραγματευμέναις μεταφοραῖς
ὀνομάτων αἰσχρὰς ὑποψίας παρεμβάλλῃ, καταγέλαστον τὴν πόλιν ποιεῖ. ὡς γὰρ τὰς ἐ-
μὰς εὐθύνας βλάπτων ἃς ὑπὲρ τῆς πρεσβείας μέλλω διδόναι, φησί με ὅτ' αὐτὸς
πρώην πρὸς τὴν βουλὴν ὑπὲρ τοῦ παιδὸς ἀλεξάνδρου διεξῄει, ὡς ἐν τῷ πότῳ ἡμῶν
κιθαρίζοι καὶ λέγοι ῥήσεις τινὰς καὶ ἀντικρούσεις πρὸς ἕτερον παῖδα, καὶ περὶ τού-
των ἃ δή ποτε αὐτὸς ἐτύγχανε γινώσκων πρὸς τὴν βουλὴν ἀπεφήνατο, οὐχ ὡς συμ-
πρεσβευτὴν ἀλλ' ὡς συγγενῆ τοῖς εἰς τὸν παῖδα σκώμμασιν ἀγανακτῆσαι. ἐγὼ δ' ἀλε-
ξάνδρῳ μὲν εἰκότως διὰ τὴν ἡλικίαν οὐ διείλεγμαι. φίλιππον δὲ νῦν μὲν διὰ τὴν τῶν
λόγων εὐφημίαν ἐπαινῶ, ἐὰν δ' αὐτὸς ἐν τοῖς πρὸς ὑμᾶς ἔργοις γένηται οἷος νῦν ἐστιν
ἐν τοῖς ἐπαγγέλμασιν, ἀσφαλῆ καὶ ῥᾴδιον τὸν καθ' αὑτοῦ ποιήσεται ἔπαινον. ἐπιτί-
μησα δ' ἐν τῷ βουλευτηρίῳ δημοσθένει, οὐ τὸν παῖδα ἐκθεραπεύων, ἀλλ' ἐὰν τὰ τοι-
αῦτα ἀποδέχησθε, ὁμοίαν νομίζων τὴν πόλιν φανήσεσθαι τῇ τοῦ λέγοντος ἀκοσμίᾳ.
ὅλως δὲ ὦ ἀθηναῖοι τὰς ἔξωθεν τοῦ πράγματος ἀπολογίας μὴ προσδέχησθε.
πρῶτον μὲν τῶν ὅρκων ἕνεκεν οὓς ὠμόσατε. δεύτερον δὲ ὑπὲρ τοῦ μὴ παρακρουσθῆ-
ναι ὑπὸ ἀνθρώπου τεχνίτου λόγων. μικρὸν δὲ ἄνωθεν ἄρξομαι διδάσκων ὑμᾶς.
δημοσθένης γὰρ ἐπειδὴ τὴν πατρῴαν οὐσίαν ἀνήλωσε, περιῄει τὴν πόλιν θηρεύ-
ων νέους πλουσίους ὀρφανούς. ὧν οἱ μὲν πατέρες τετελευτήκεσαν, αἱ δὲ μητέρες
διῴκουν τὰς οὐσίας. πολλοὺς δ' ὑπερβὰς ἑνὸς τῶν δεινὰ πεπονθότων ὑπὸ τούτου, μνη-
σθήσομαι. κατιδὼν γὰρ οἰκίαν πλουσίαν καὶ οὐκ εὐνομουμένην ἧς ἡγεμὼν μὲν ἦν
γυνὴ μέγα φρονοῦσα καὶ νοῦν οὐκ ἔχουσα, νεανίσκος δὲ ὀρφανὸς ἡμιμανὴς διεχείριζε
τὴν οὐσίαν, ἀρίσταρχος ὁ τοῦ μόσχου, τούτου προσποιησάμενος ἐραστὴς εἶναι, καὶ τὸ
μειράκιον εἰς τὴν φιλίαν ταύτην προσκαλεσάμενος, ἐλπίδων κενῶν ἐμπλήσας, ὡς
αὐτίκα δὴ μάλα τῶν ῥητόρων πρωτεύσοντα, κατάλογον ἀποφαίνων, τοιούτων εἰσηγη-
τὴς αὐτῷ καὶ διδάσκαλος ἔργων ἐγένετο, ἐξ ὧν ἐκεῖνος μὲν φεύγει τὴν πατρίδα.
οὗτος δ' αὐτοῦ τὰ τῆς φυγῆς ἐφόδια προλαβὼν τρία τάλαντα ἀπεστέρηκε.
νικόδημος δ' ὁ ἀφιδναῖος ὑπ' ἀριστάρχου τετελεύτηκε βιαίῳ θανάτῳ, ἐκκοπεὶς ὁ δεί-
λαιος ἀμφοτέρους τοὺς ὀφθαλμοὺς καὶ τὴν γλῶτταν ἀποτμηθείς, ᾗ ἐπαρρησιάζετο πι-
στεύων τοῖς νόμοις καὶ ὑμῖν. ἔπειθ' ὑμεῖς ὦ ἀθηναῖοι σωκράτην μὲν τὸν σοφιστὴν
ἀπεκτείνατε, ὅτι κριτίαν ἐφάνη πεπαιδευκώς, ἕνα τῶν τριάκοντα τῶν τὸν δῆμον
καταλυσάντων. δημοσθένης δ' ὑμῖν ἑταίρους ἐξαιτήσεται, ὁ τηλικαύτας τι-
μωρίας λαμβάνων παρὰ τῶν ἰδιωτῶν καὶ δημοτικῶν ἀνθρώπων ὑπὲρ τῆς ἰση-
γορίας οὗ παρακεκλημένοι τινὲς τῶν μαθητῶν ἥκουσιν ἤδη τὴν ἀκρόασιν;
κατεπαγγέλλεται γὰρ πρὸς αὐτοὺς ἐργολαβῶν ἐφ' ὑμᾶς ὡς ἐγὼ πυνθάνομαι λήσειν
μεταλλάξας τὸν ἀγῶνα, καὶ τὴν ὑμετέραν ἀκρόασιν, καὶ παραστήσειν τῷ μὲν φυγόντι
θαρρεῖν ὅταν αὐτὸς δεῦρο παρέλθῃ. ἐκπεπλῆχθαι δὲ τῷ κατηγόρῳ καὶ περιφοβεῖσθαι
περὶ αὑτοῦ, τοσούτους δὲ καὶ τηλικούτους ἐκκαλέσασθαι παρὰ τῶν δικαστῶν θορύ-
βους παρεμβάλλων τὰς ἐμὰς δημηγορίας, καὶ ψέγων τὴν ἀφέλειαν τὴν δι' ἐμοῦ καὶ

φιλοκράτους γεγενημένην, ὡς τ' οὐδ' ἀπαντήσεσθαί με εἰς τὸ δικαστήριον ἀπολογη-
σόμενον ὅταν τὰς τῆς πρεσβείας εὐθύνας διδῶ, ἀλλ' ἀγαπήσειν ἐὰν μετρίῳ τιμή-
ματι περιπέσω καὶ μὴ θανάτῳ ζημιῶμαι. μηδενὶ δὴ τρόπῳ καθ' ὑμῶν αὐτῶν γέλω-
τα τῷ σοφιστῇ καὶ διατριβὴν παράσχητε. ἀλλ' ὑπολάβετ' ὁρᾶν εἰσεληλυθότα ἀπὸ τοῦ δι-
καστηρίου οἴκαδε καὶ σεμνυνόμενον ἐν τῇ τῶν μειρακίων διατριβῇ, καὶ διεξιόντα ὡς εὖ τὸ πρᾶ-
γμα ὑφείλετο τῶν δικαστῶν. ἀπαγαγὼν γὰρ αὐτοὺς ἀπὸ τῶν περὶ Τίμαρχον αἰτιῶν,
ἐπιστήσας φέρων ἐπὶ τὸν κατήγορον καὶ φίλιππον καὶ φωκέας, καὶ φόβους ἐπιρρί-
ψας τοῖς ἀκροωμένοις, ὥσθ' ὁ μὲν φεύγων κατηγόρει, ὁ δὲ κατηγορῶν ἐκρίνετο. οἱ δὲ δικα-
σταὶ, ὧν μὲν ἦσαν δικασταὶ ἐπελάθοντο, ὧν δ' οὐκ ἦσαν κριταὶ περὶ τούτων ἤκουον.
ὑμέτερον δ' ἐστὶν ἔργον πρὸς ταῦτα ἀντιτετάχθαι, πανταχῇ παρακολουθοῦντας μη-
δαμῇ παρεκκλίνειν αὐτὸν ἐᾶν, μὴ δὲ τοῖς ἔξω τοῦ ἀγῶνος λόγοις διισχυρίζεσθαι, ἀλλ'
ὥσπερ ἐν ταῖς ἱπποδρομίαις εἰς τὸν τοῦ πράγματος αὐτὸν δρόμον εἰσελαύνετε, κἂν ταῦ-
τα ποιῆτε, οὐ καταφρονηθήσεσθε, ἀλλὰ τὴν αὐτὴν ἕξετε γνώμην νομοθετοῦντες καὶ δι-
κάζοντες. εἰ δὲ μή, δόξετε μελλόντων μὲν κρίνεσθαι τῶν ἀδικημάτων, προαισθάνεσθαι
καὶ ὀργίζεσθαι, γεγονότων δ' οὐκ ἔτι φροντίζειν. ὡς δ' ἐν κεφαλαίῳ εἰρῆσθαι, ἐὰν μὲν
κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοὶ καὶ κύριοι, ἐὰν δ' ἀφίητε,
καλοὶ μὲν, κύριοι δ' οὐκ ἔτι. ὧν δ' ἕνεκα ταῦτα λέγω, οὐκ ὀκνήσω πρὸς ὑμᾶς παρ-
ρησιάσασθαι, ἔσται δ' ὁ λόγος ἐπὶ παραδείγματος. διὰ τί οἴεσθε ὦ ἄνδρες Ἀθηναῖοι
τοὺς νόμους μὲν καλῶς κεῖσθαι, τὰ δὲ ψηφίσματα τῆς πόλεως εἶναι καταδεέστερα,
καὶ τὰς κρίσεις ἐνίοτε τὰς ἐν τοῖς δικαστηρίοις ἔχειν ἐπιπλήξεις; ἐγὼ τὰς τούτων αἰ-
τίας ἐπιδείξω. ὅτι τοὺς μὲν νόμους τίθεσθε ἐπὶ πᾶσι τοῖς δικαίοις, οὔτε κέρδους ἕ-
νεκ' ἀδίκου, οὔτ' ἔχθρας, ἀλλὰ πρὸς αὐτὸ μόνον τὸ δίκαιον καὶ τὸ συμφέρον ἀπο-
βλέποντες, ἐπιδέξιοι δ' οἶμαι φύντες ἑτέρων μᾶλλον, εἰκότως καλλίστους νόμους τίθε-
σθε, ἐν δὲ ταῖς ἐκκλησίαις καὶ τοῖς δικαστηρίοις πολλάκις ἀφέμενοι τῶν εἰς αὐτὸ τὸ πρᾶ-
γμα λόγων, ὑπὸ τῆς ἀπάτης καὶ τῶν ἀλαζονευμάτων ὑπάγεσθε, καὶ πάντων ἀδι-
κώτατον ἔθος εἰς τοὺς ἀγῶνας παραδέχεσθε. ἐᾶτε γὰρ τοὺς ἀπολογουμένους ἀντικα-
τηγορεῖν τῶν κατηγορούντων. ἐπειδὰν δ' ἀποσπασθῆτ' ἀπὸ τῆς ἀπολογίας καὶ
τὰς ψυχὰς ἐφ' ἑτέρων γένησθε, εἰς λήθην ἐκπεσόντες τῆς κατηγορίας ἐξέρχεσθ' ἐκ τῶν
δικαστηρίων, οὐδὲ παρ' ἑτέρου δίκην εἰληφότες, οὔτε παρὰ τοῦ κατηγόρου, ψῆφος γὰρ
κατ' αὐτοῦ οὐ δίδοται, οὔτε παρὰ τοῦ ἀπολογουμένου. ταῖς γὰρ ἀλλοτρίαις αἰτίαις
ἀποτριψάμενος τὰ ὑπάρχοντα αὐτῷ ἐγκλήματα ἐκπέφευγεν ἐκ τοῦ δικαστηρίου,
οἱ δὲ νόμοι καταλύονται, καὶ ἡ δημοκρατία διαφθείρεται καὶ τὸ ἔθος ἐπὶ πολὺ προ-
A. Gellius cap. 3. lib. 18. βαίνει. ἀκρίτως γὰρ ἐνίοτε λόγον ἄνευ χρηστοῦ βίου προσδέχεσθε. ἀλλ' οὐ Λακεδαι-
μόνιοι. καλὸν δ' ἐστὶ καὶ τὰς ξενικὰς ἀρετὰς μιμεῖσθαι. δημηγοροῦντος γάρ τινος ἐν τῇ
τῶν Λακεδαιμονίων ἐκκλησίᾳ, ἀνδρὸς βεβιωκότος μὲν αἰσχρῶς λέγειν δ' εἰς ὑπερ-
βολὴν δυνατοῦ, καὶ τῶν Λακεδαιμονίων ὥς φασι κατὰ τὴν ἐκείνου γνώμην ψηφίζε-
σθαι μελλόντων, παρελθών τις τῶν γερόντων οὓς ἐκεῖνοι καὶ αἰσχύνονται καὶ δεδίασι
καὶ τὴν τῆς ἡλικίας αὐτῶν ἐπωνυμίαν ἀρχὴν μεγίστην εἶναι νομίζουσι, καθιστᾶσι
δ' αὐτοὺς ἐκ τῶν ἐκ παιδὸς εἰς γῆρας σωφρόνων, τούτων εἷς ὥς λέγεται παρελθὼν ἰ-
σχυρῶς ἐπέπληξε τοῖς Λακεδαιμονίοις καί τι τοιοῦτο κατ' αὐτῶν ἐβλασφήμησεν, ὡς
οὐ πολὺν χρόνον τὴν Σπάρτην ἀπόρθητον οἰκήσουσι, τοιούτοις ἐν ταῖς ἐκκλησίαις συμ-
βούλοις χρώμενοι. ἅμα δὲ παρακαλέσας ἄλλον τινὰ τῶν Λακεδαιμονίων ἄνδρα λέ-
γειν μὲν οὐκ εὐφυᾶ, τὰ δὲ κατὰ πόλεμον λαμπρὸν καὶ πρὸς δικαιοσύνην καὶ ἐγκρά-
τειαν διαφέροντα, ἐπέταξεν αὐτῷ τὰς αὐτὰς εἰπεῖν γνώμας, οὕτως ὅπως ἂν δύ-
νηται, ἃς εἶπεν ὁ πρότερος ῥήτωρ, ἵν' ἔφη οἱ Λακεδαιμόνιοι ἀνδρὸς ἀγαθοῦ φθεγξα-
μένου ψηφίσωνται. τὰς δὲ τῶν ὑποδεδειλιακότων καὶ πονηρῶν ἀνθρώπων φωνὰς μη-
δὲ τοῖς ὠσὶ προσδέχωνται. ταῦθ' ὁ γέρων ὁ ἐκ παιδὸς σεσωφρονηκὼς παρῄνεσε τοῖς
Cinædus Demosthenes. ἑαυτοῦ πολίταις. ταχὺ γὰρ Τίμαρχον ἢ τὸν κίναιδον Δημοσθένην εἴασε πολιτεύ-

θαι. ἵνα δὲ μὴ δοκῶ Λακεδαιμονίους θεραπεύειν καὶ τῶν ἡμετέρων προγόνων μνησθήσομαι, οὕτω γὰρ ἦσαν πρὸς τὰς αἰσχύνας χαλεποὶ καὶ περὶ πλείστου τῶν τέκνων τὴν σωφροσύνην ἐποιοῦντο, ὥστ᾽ ἀνὴρ εἷς τῶν πολιτῶν εὑρὼν τὴν ἑαυτοῦ θυγατέρα διεφθαρμένην καὶ τὴν ἡλικίαν οὐ καλῶς διαφυλάξασαν μέχρι γάμου, ἐγκατῳκοδόμησεν αὐτὴν μεθ᾽ ἵππου εἰς ἔρημον οἰκίαν, ἀφ᾽ οὗ προδήλως ἔμελλεν ἀπολεῖσθαι διὰ λιμὸν συγκαθειργμένη. καὶ ἔτι καὶ νῦν τῆς οἰκίας ταύτης ἕστηκε τὰ οἰκόπεδα ἐν τῷ ὑμετέρῳ ἄστει, καὶ ὁ τόπος οὗτος καλεῖται παρ᾽ ἵππον καὶ κόρην. ὁ δὲ Σόλων ὁ τῶν νομοθετῶν ἐνδοξότατος γέγραφεν ἀρχαίως καὶ σεμνῶς περὶ τῆς τῶν γυναικῶν εὐκοσμίας. τὴν γὰρ γυναῖκα ἐφ᾽ ᾗ ἂν ἁλῷ μοιχὸς οὐκ ἐᾷ κοσμεῖσθαι, οὐδὲ εἰς τὰ δημοτελῆ ἱερὰ εἰσιέναι, ἵνα μὴ τὰς ἀναμαρτήτους τῶν γυναικῶν ἀναμιγνυμένη διαφθείρῃ. ἐὰν δ᾽ εἰσίῃ ἢ κοσμῆται, τὸν ἐντυχόντα κελεύει καταρρηγνύναι τὰ ἱμάτια καὶ τὸν κόσμον ἀφαιρεῖσθαι καὶ τύπτειν εἰργόμενον θανάτου καὶ τοῦ ἀνάπηρον ποιῆσαι, ἀτιμῶν τὴν τοιαύτην γυναῖκα καὶ τὸν βίον ἀβίωτον αὐτῇ παρασκευάζων, καὶ τοὺς προαγωγοὺς γράφεσθαι κελεύει. κἂν ἁλῶσι θανάτῳ ζημιοῦν, ὅτι τῶν ἐξαμαρτάνειν ἐπιθυμούντων, ὀκνούντων καὶ αἰσχυνομένων ἀλλήλοις ἐντυγχάνειν, αὐτοὶ τὴν αὑτῶν ἀναίδειαν παρασχόντες ἐπὶ μισθῷ, τὸ πρᾶγμα εἰς διάπειραν καὶ λόγον κατέστησαν. ἔπειθ᾽ οἱ μὲν πατέρες ἡμῶν οὕτω περὶ τῶν αἰσχρῶν καὶ καλῶν διεγίνωσκον, ὑμεῖς δὲ Τίμαρχον ὄντα τοῖς αἰσχίστοις ἐπιτηδεύμασιν ἔνοχον ἀφήσετε; τὸν ἄνδρα μὲν καὶ ἄρρενα τὸ σῶμα, γυναικεῖα δὲ ἁμαρτήματα ἡμαρτηκότα; τίς οὖν ὑμῶν γυναῖκα λαβὼν ἀδικοῦσαν τιμωρήσεται; ἢ τίς οὐκ ἀπαίδευτος εἶναι δόξει τῇ μὲν κατὰ φύσιν ἁμαρτανούσῃ χαλεπαίνων, τῷ δὲ παρὰ φύσιν ἑαυτὸν ὑβρίσαντι συμβούλῳ χρώμενος; τίνα δ᾽ ἔχων ἕκαστος ὑμῶν γνώμην ἐπάνεισιν οἴκαδε ἐκ τοῦ δικαστηρίου; οὔτε γὰρ ὁ κρινόμενος ἀφανὴς ἀλλὰ γνώριμος, οὔθ᾽ ὁ νόμος ὁ περὶ τῆς τῶν ῥητόρων δοκιμασίας φαῦλος, ἀλλὰ κάλλιστος. τό τ᾽ ἐρέσθαι τοῖς παισὶ καὶ τοῖς μειρακίοις τοὺς ἑαυτῶν οἰκείους ὅπως τὸ πρᾶγμα κέκριται πρόχειρον. τί οὖν δὴ λέξετε οἱ τῆς ψήφου νῦν γεγονότες κύριοι, ὅταν οἱ ὑμέτεροι παῖδες ὑμᾶς ἔρωνται εἰ κατεδικάσατε ἢ ἀπεψηφίσασθε; οὐχ ἅμα Τίμαρχον ἀπολύσαντες ὁμολογήσετε καὶ τὴν κοινὴν παιδείαν ἀνατρέψατε; τί δ᾽ ὄφελος παιδαγωγοὺς τρέφειν, ἢ παιδοτρίβας καὶ διδασκάλους τοῖς παισὶν ἐφιστάναι, ὅταν οἱ τὴν τῶν νόμων παρακαταθήκην ἔχοντες πρὸς τὰς αἰσχύνας κατακάμπτωνται. θαυμάζω δ᾽ ὑμῶν ὦ Ἀθηναῖοι κἀκεῖνο, εἰ τοὺς μὲν πορνοβοσκοὺς μισεῖτε, τοὺς δ᾽ ἑκόντας πεπορνευμένους ἀφήσετε. καὶ ὡς ἔοικεν ὁ αὐτὸς οὗτος ἀνὴρ ἱερωσύνης μὲν οὐδενὸς θεῶν κληρώσεται ὡς οὐκ ὢν ἐκ τῶν νόμων καθαρὸς τὸ σῶμα, γράψει δ᾽ ἐν τοῖς ψηφίσμασιν εὐχὰς ὑπὲρ τῆς πόλεως ταῖς σεμναῖς θεαῖς; εἶτα τί θαυμάζομεν τὴν κοινὴν ἀπραξίαν, τοιούτων ῥητόρων ἐπὶ τὰς τοῦ δήμου γνώμας ἐπιγραφομένων, καὶ τὸν αἰσχρῶς οἴκοι βεβιωκότα ἔξω τῆς πόλεως πρεσβευτὴν πέμψομεν καὶ τούτῳ περὶ τῶν μεγίστων διαπιστεύσομεν. τί δ᾽ οὐκ ἂν ἀποδοῖτο ὁ τὴν τοῦ σώματος ὕβριν πεπρακώς; τίνα δ᾽ ἂν οὗτος ἐλεήσειεν, ὁ αὑτὸν οὐκ ἐλεήσας; τίνι δ᾽ ὑμῶν οὐκ εὔγνωστός ἐστιν ἡ Τιμάρχου βδελυρία; ὥσπερ γὰρ τοὺς γυμναζομένους κἂν μὴ παρῶμεν ἐν τοῖς γυμνασίοις εἰς τὰς εὐεξίας αὐτῶν ἀποβλέποντες γινώσκομεν, οὕτω τοὺς πεπορνευμένους κἂν μὴ παρῶμεν τοῖς αὐτῶν ἔργοις ἐκ τῆς ἀναιδείας καὶ τοῦ θράσους καὶ τῶν ἐπιτηδευμάτων γινώσκομεν. ὁ γὰρ περὶ τῶν μεγίστων τοὺς νόμους καὶ τὴν σωφροσύνην ὑπεριδὼν ἔχει τινὰ ἕξιν τῆς ψυχῆς ἣ διάδηλος ἐκ τῆς ἀκοσμίας τοῦ τρόπου γίνεται. πλείστους δ᾽ ἂν εὕροιτ᾽ ἐκ τῶν τοιούτων ἀνθρώπων πόλεις ἀνατετραφότας, καὶ ταῖς μεγίσταις συμφοραῖς αὐτοὺς περιπεπτωκότας. μὴ γὰρ οἴεσθε ὦ Ἀθηναῖοι τὰς τῶν ἀδικημάτων ἀρχὰς ἀπὸ θεῶν, ἀλλ᾽ οὐχ ὑπ᾽ ἀνθρώπων ἀσελγείας γίνεσθαι, μηδὲ τοὺς ἠσεβηκότας καθάπερ ἐν ταῖς τραγῳδίαις ποινὰς ἐλαύνειν καὶ κολάζειν δᾳσὶν ἡμμέναις, ἀλλ᾽ αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ καὶ τὸ μηδὲν ἱκανὸν ἡγεῖσθαι, ταῦτα πληροῖ τὰ λῃστήρια, ταῦτ᾽ εἰς τὸν ἐπακτροκέλητα ἐμβιβά-

Locus de furijs

ζει. ταῦτα ἐστὶν ἑκάστῳ ποινή. ταῦτα παρακελεύεται τοῖς νέοις· σφάττειν τοὺς πολίτας· ὑπηρετεῖν τοῖς τυράννοις· συγκαταλύειν τὸν δῆμον. οὐ γὰρ τὴν αἰσχύνην, οὐδ᾽ ἃ πείσονται λογίζονται, ἀλλ᾽ ἐφ᾽ οἷς κατορθώσαντες εὐφρανθήσονται, τούτοις κεκήληνται. ἐξαιρεῖτ᾽ οὖν ὦ Ἀθηναῖοι τὰς τοιαύτας φύσεις, καὶ τὰ τῶν νέων ζηλώματα ἐπ᾽ ἀρετὴν προτρέψασθε, εὖ δ᾽ ἐπίστασθε. καί μοι σφόδρα τὸ μέλλον ῥηθήσεσθαι διαμνημονεύετε. Εἰ μὲν δώσει τῶν ἐπιτηδευμάτων Τίμαρχος δίκην, ἀρχὴν εὐκοσμίας ἐν τῇ πόλει κατασκευάζετε. εἰ δ᾽ ἀποφεύξεται, κρείττων ἦν ὁ ἀγὼν μὴ γεγενημένος. πρὶν μὲν γὰρ εἰς κρίσιν Τίμαρχον καταστῆναι, φόβον τισὶ παρεῖχεν ὁ νόμος καὶ τὸ τῶν δικαστηρίων ὄνομα. εἰ δ᾽ ὁ πρωτεύων βδελυρίᾳ καὶ γνωριμώτατος εἰσελθὼν περιγενήσεται, πολλοὺς ἁμαρτάνειν ἐπαρεῖ, καὶ τελευτῶν οὐχ ὁ λόγος, ἀλλ᾽ ὁ καιρὸς ὑμᾶς ἐξοργιεῖ. μὴ οὖν εἰς ἀθρόους, ἀλλ᾽ εἰς ἕνα ἀποσκήψατε. καὶ τὴν παρασκευὴν καὶ τοὺς συνηγόρους αὐτῶν παρατηρεῖτε. ὧν οὐδενὸς ἐγὼ ὀνομαστὶ μνησθήσομαι, ἵνα μὴ ταύτην ἀρχὴν τοῦ λόγου ποιήσωνται ὡς οὐκ ἂν παρῆλθον, εἰ μή τις αὐτῶν ὀνομαστὶ ἐμνήσθη. ἀλλ᾽ ἐκεῖνο ποιήσω, ἀφελὼν τὰ ὀνόματα, διεξιὼν δὲ τὰ ἐπιτηδεύματα αὐτῶν, καὶ τὰ σώματα γνώριμα καταστήσω. ἔσται δ᾽ αὐτὸς ἑαυτῷ ἕκαστος αἴτιος, ἐὰν δεῦρο ἀναβῇ καὶ ἀναισχυντῇ. τούτῳ γὰρ πάρεισιν ἐκ τριῶν εἰδῶν συνήγοροι· οἱ μὲν ταῖς καθ᾽ ἡμέραν δαπάναις ἀνηλωκότες τὰς πατρῴας οὐσίας, οἱ δὲ ταῖς ἡλικίαις καὶ τοῖς ἑαυτῶν σώμασιν οὐ καλῶς κεχρημένοι καὶ δεδιότες οὐ περὶ Τιμάρχου, ἀλλὰ περὶ ἑαυτῶν καὶ τῶν ἐπιτηδευμάτων μή ποτε εἰς κρίσιν καταστῶσιν, ἕτεροι δ᾽ ἐκ τῶν ἀκολάστων καὶ τῶν τοιούτοις κεχρημένων ἀφθόνως, ἵνα ταῖς βοηθείαις αὐτῶν πιστεύοντες ῥᾷόν τινες ἐξαμαρτάνωσιν, ὧν πρὶν τῆς συνηγορίας ἀκοῦσαι τοὺς βίους ἀναμιμνήσκεσθε. καὶ τοὺς μὲν εἰς τὰ σώματα ἡμαρτηκότας μὴ ὑμῖν ἐνοχλεῖν, ἀλλὰ παύσασθαι δημηγοροῦντας κελεύετε, οὐδὲ γὰρ ὁ νόμος τοὺς ἰδιωτεύοντας, ἀλλὰ τοὺς πολιτευομένους ἐξετάζει. τοὺς δὲ τὰ πατρῷα κατεδηδοκότας, ἐργάζεσθαι καὶ ἑτέρωθεν κτᾶσθαι τὸν βίον κελεύετε. τοὺς δὲ τῶν νέων ὅσοι ῥᾳδίως ἁλίσκονται θηρευτὰς ὄντας, εἰς τοὺς ξένους καὶ τοὺς μετοίκους τρέπεσθαι κελεύετε, ἵνα μήτ᾽ ἐκεῖνοι τῆς προαιρέσεως ἀποστερῶνται, μήθ᾽ ὑμεῖς βλάπτησθε. Τὰ μὲν οὖν παρ᾽ ἐμοῦ δίκαια πάντα ἀπειλήφατε. ἐδίδαξα τοὺς νόμους· ἐξήτασα τὸν βίον τοῦ κρινομένου. Νῦν μὲν οὖν ὑμεῖς ἐστὲ τῶν ἐμῶν λόγων κριταί. αὐτίκα δ᾽ ὑμέτερος ἐγὼ θεατής. ἐν γὰρ ταῖς ὑμετέραις γνώμαις ἡ πρᾶξις καταλείπεται. ἐὰν οὖν βουλήσησθε τὰ δίκαια καὶ τὰ συμφέροντα ὑμῶν ποιησάντων, φιλοτιμότερον ὑμᾶς ἕξομεν τοὺς παρανομοῦντας ἐξετάζειν.

ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ ΠΕΡΙ ΤΗΣ ΠΑΡΑ ΠΡΕΣΒΕΙΑΣ ΛΟΓΟΣ.

δ

Δέομαι ὑμῶν ὦ Ἀθηναῖοι ἐθελῆσαι μετ᾽ εὐνοίας ἀκοῦσαί μου λέγοντος, ὑπολογιζομένους τό τε μέγεθος τοῦ κινδύνου καὶ τὸ πλῆθος τῶν αἰτιῶν πρὸς ἃς ἀπολογήσασθαί με δεῖ, καὶ τὰς τέχνας καὶ τὰς κατασκευὰς τοῦ κατηγόρου καὶ τὴν ὠμότητα· ὃς ἐτόλμησε παρακελεύσασθαι πρὸς ἄνδρας ὀμωμοκότας τῶν ἀντιδίκων ὁμοίως ἀμφοτέρων ἀκούσεσθαι, τὴν τοῦ κινδυνεύοντος φωνὴν μὴ ὑπομένειν, καὶ ταῦτ᾽ εἶπεν, οὐ δι᾽ ὀργήν, οὐδεὶς γὰρ τῶν ψευδομένων τοῖς ἀδίκως διαβαλλομένοις ὀργίζεται. ἀλλ᾽ οἱ τἀληθῆ λέγοντες κωλύουσι λόγου τυχεῖν τὸν φεύγοντα. ἡ γὰρ πρότερον κατηγορία ἰσχύει παρὰ τοῖς ἀκούουσι, πρὶν ἂν ὁ φεύγων ἀπολογίας τυχών, ἀδυνατήσει τὰς προειρημένας αἰτίας ἀπολύσασθαι. ἀλλ᾽ οἶμαι Δημοσθένης οὐ χαίρει δικαίοις λόγοις. οὐδ᾽ οὕτω παρεσκεύασται, ἀλλὰ τὴν ὑμετέραν ὀργὴν ἐκκαλέσασθαι βεβούληται, καὶ κατηγόρηκε δωροδοκίας ἀπίθανος ὢν πρὸς τὴν ὑποψίαν ταύτην. τὸν γὰρ ἤδη τοὺς δω

ῥᾳδιουργίαις τοὺς δικαστὰς προσεπόμενον ὀργίζεσθαι αὐτὸν χρὴ τῶν τοιούτων ὅρκων πολὺ ἀφεστάναι. ἐμοὶ δ' ὦ ἄνδρες ἀθηναῖοι συμβέβηκε τῆς δημοσθένους ἀκούοντι κατηγορίας, μήτε δεῖσαι πώποθ' οὕτως ὡς ἐν τῇδε τῇ ἡμέρᾳ, μήτ' ἀγανακτῆσαι μᾶλλον ἢ νῦν, μήτ' εἰς ὑπερβολὴν ὁμοίως ἡσθῆναι. ἐφοβήθην μὲν γὰρ καὶ ἔτι καὶ νῦν τεθορύβημαι, μή τινες ὑμῶν ἀγνοήσωσί με ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοήθεσι τούτοις ἀντιθέτοις. ἐξέστην δ' ἐμαυτοῦ καὶ τὴν αἰτίαν βαρέως ἤνεγκα ὅθ' ὕβριν καὶ παροινίαν εἰς γυναῖκα ἐλευθέραν καὶ τὸ γένος ὀλυνθίαν κατηγόρει μου. ἥσθην δ' ὅτ' αὐτὸν ἐπὶ τῆς αἰτίας ὄντα ταύτης ἐξεβάλετε. καὶ τῶν σεσωφρονισμένων ἐν τῷ βίῳ μοι χάριν ἀπειληφέναι νομίζω. Ὑμᾶς μὲν οὖν ἐπαινῶ καὶ διαφερόντως ἀγαπῶ, ὅτι τῷ βίῳ μᾶλλον τῷ τῶν κρινομένων πιστεύετε ἢ ταῖς παρὰ τῶν ἐχθρῶν αἰτίαις. αὐτὸς δ' οὐκ ἂν ἀποσταίην τῆς πρὸς ταῦτ' ἀπολογίας. εἰ γάρ τις ἢ τῶν ἔξωθεν περιεστηκότων πέπεισται, σχεδὸν δ' οἱ πλεῖστοι τῶν πολιτῶν πάρεισιν, ἢ τῶν δικαζόντων ὑμῶν, ὡς ἐγὼ τοιοῦτό τι διαπέπραγμαι μὴ μόνον εἰς ἐλεύθερον σῶμα ἀλλὰ καὶ εἰς τὸ τυχὸν, ἀβίωτον εἶναί μοι τὸν λοιπὸν βίον νομίζω. κἂν μὴ προϊούσης τῆς ἀπολογίας ἐλέγξω καὶ τὴν αἰτίαν οὖσαν ψευδῆ καὶ τὸν τολμήσαντ' εἰπεῖν ἀνόσιον καὶ συκοφάντην, κἂν τἆλλα πάντα μηδὲν ἀδικῶν φαίνωμαι, θανάτου τιμῶμαι.

Παράδοξος δέ μοι κἀκεῖνος ὁ λόγος ἐφάνη καὶ δεινῶς ἄδικος, ὅθ' ὑμᾶς ἐπηρώτα εἰ οἷόν τ' ἔστιν ἐν τῇ αὐτῇ πόλει φιλοκράτους μὲν θάνατον καταψηφίσασθαι ὅτι καταγνοὺς ἀδικεῖν ἑαυτοῦ, τὴν κρίσιν οὐχ ὑπέμεινεν, ἐμοῦ δ' ἀπογνῶναι. ἐγὼ δ' ἐπ' αὐτῷ τούτῳ δικαίως ἂν ὑπολαμβάνω μάλιστα σωθήσεσθαι. εἰ γὰρ ὁ καταγνοὺς ἑαυτοῦ καὶ μὴ παρὼν ἀδικεῖ, ὁ δὴ ἀπογνοὺς καὶ τὸ σῶμα τοῖς νόμοις καὶ τοῖς πολίταις παραδοὺς, οὐκ ἀδικεῖ. Περὶ δὲ τῆς ἄλλης κατηγορίας δέομαι ὑμῶν ὦ ἄνδρες, ἐάν τι παραλίπω καὶ μὴ μνησθῶ, ἐπερωτᾶν με. καὶ δηλοῦν ὅ τι ἂν ποθῆτέ μου ἀκοῦσαι, μηδὲν προκατεγνωκότες ὡς ἀδικῶ, ἀλλ' ἴσῃ τῇ εὐνοίᾳ ἀκούοντες. ἀπορῶ δ' ὁπόθεν χρὴ πρῶτον ἄρξασθαι διὰ τὴν ἀνωμαλίαν τῆς κατηγορίας. Σκέψασθε δὲ ἂν ὑμῖν εἰκός τι πρᾶγμα πάσχειν δόξω. εἰμὶ μὲν γὰρ ὁ κινδυνεύων ἐγὼ νυνὶ περὶ τοῦ σώματος. τῆς δὲ κατηγορίας τὴν πλείστην πεποίηται φιλοκράτους καὶ φρύνωνος. καὶ τῶν ἄλλων συμπρέσβεων, καὶ φιλίππου καὶ τῆς εἰρήνης καὶ τῶν εὐβούλου πολιτευμάτων. ἐν ἅπασι δὲ τούτοις ἐγὼ τέταγμαι. μόνος δ' ἐν τῷ λόγῳ φαίνεται κηδεμὼν τῆς πόλεως δημοσθένης. οἱ δ' ἄλλοι προδόται, διατετέλεκε γὰρ εἰς ὑμᾶς ὑβρίζων, καὶ λοιδορίας ψευδεῖς οὐκ ἐμοὶ μόνον λοιδορούμενος ἀλλὰ καὶ τοῖς ἄλλοις. ὃν δ' οὕτως ἀτιμάζει, πάλιν ἐκ μεταβολῆς ὅπου τύχοι ὥσπερ ἀλκιβιάδην ἢ θεμιστοκλῆ κρίνων, οἳ πλεῖστον τῶν ἑλλήνων δόξῃ διήνεγκαν, ἀνῃρηκέναι μὲν αἰτιᾶταί με τὰς ἐν φωκεῦσι πόλεις. ἀπηλλοτριωκέναι δ' ἀφ' ὑμῶν τὸν ἐπὶ θρᾴκης τόπον. ἐκβεβληκέναι δὲ καὶ τῆς ἀρχῆς κερσοβλέπτην ἄνδρα φίλον καὶ σύμμαχον τῆς πόλεως.

ἐνεχείρησε δ' ἀπεικάζειν με διονυσίῳ τῷ γενομένῳ τῆς σικελίας τυράννῳ. καὶ μετὰ σπουδῆς καὶ κραυγῆς πολλῆς παρεκελεύσαθ' ὑμῖν τὸ θηρίον φυλάξασθαι, καὶ τὸ τῆς ἱερείας ἐνύπνιον τῆς ἐν σικελίᾳ διηγήσατο. οὕτω δ' ἄνω τὸ πρᾶγμα ἐξάρας ἐφθόνησέ μου ταῖς διαβολαῖς. τὰς αἰτίας ἀνατιθεὶς τῶν πεπραγμένων, οὐ τοῖς ἐμοῖς λόγοις, ἀλλὰ τοῖς ὅπλοις τοῖς φιλίππου. Πρὸς δὲ τοσαύτην τόλμαν καὶ τερατείαν ἀνθρώπου χαλεπὸν καὶ διαμνημονεῦσαι τὰ λεχθέντα καθ' ἕκαστα. καὶ λέγειν μετὰ κινδύνου πρὸς ἀπροσδοκήτους διαβολάς. ᾗ δ' οἶμαι σαφεστάτους μοι τοὺς λόγους ἔσεσθαι καὶ γνωρίμους ὑμῖν καὶ δικαίους, ἐντεῦθεν ἄρξομαι, ἀπὸ τῶν περὶ τῆς εἰρήνης λόγων καὶ τῆς αἱρέσεως τῆς πρεσβείας. οὕτω γὰρ ἂν μάλιστα καὶ μεμνήσομαι καὶ δυνήσομαι εἰπεῖν. καὶ ὑμεῖς μαθήσεσθε. ἅπαντας γὰρ ἂν ὑμᾶς οἴομαι τοῦτό γε αὐτὸ μνημονεύειν ὅτ' οἱ πρέσβεις οἱ τῶν εὐβοέων ἐπειδὴ περὶ τῆς πρὸς αὐτοὺς εἰρήνης τῷ δήμῳ διελέχθησαν, εἶπον ὅτι καὶ φίλιππος αὐτοὺς κελεύσειεν ὑμῖν ἀπαγγεῖλαι ὅτι βούλεται διαλύσασθαι πρὸς ὑμᾶς καὶ τὴν εἰρήνην ἄγειν. Οὐ πολλῷ δ' ὕστερον

χρόνῳ φρύνων ὁ ῥαμνούσιος ἑάλω ὑπὸ λῃστῶν ἐν ταῖς σπονδαῖς ταῖς ὀλυμπικαῖς, ὡς αὐτὸς ᾐτιᾶτο. ἐπειδὴ δ' ἐπανῆλθε δεῦρο λυτρωθείς, ἐδεῖτο ὑμῶν πρεσβευτὴν αὐτῷ πρὸς φίλιππον ἑλέσθαι, ἵν' εἴ πως δύναιτο ἀπολάβοι τὰ λύτρα. πεισθέντες δ' ὑμεῖς προείλεσθ' αὐτῷ κτησιφῶντα πρεσβευτήν. ἐπειδὴ δ' ἐπανῆκε δεῦρ' ἀπὸ τῆς πρεσβείας ὁ κτησιφῶν, ἀπήγγειλε πρὸς ὑμᾶς ὑπὲρ ὧν ἐπέμφθη.

καὶ πρὸς τούτοις ὅτι φαίη φίλιππος ἄκων μὲν πολεμῆσαι πρὸς ὑμᾶς, βούλεσθαι δὲ καὶ νῦν ἀπαλλαγῆναι τοῦ πολέμου. εἰπόντος δὲ ταῦτα τοῦ κτησιφῶντος, καὶ πολλήν τινα διαγγείλαντος πρὸς τούτοις φιλανθρωπίαν καὶ τοῦ δήμου σφόδρα ἀποδεξαμένου καὶ τὸν κτησιφῶντα ἐπαινέσαντος, ἀντιστάντος δ' οὐδενός, ἐνταῦθα ἤδη δίδωσι ψήφισμα φιλοκράτης ὁ ἁγνούσιος· καὶ ὁ δῆμος ἅπας ὁμογνωμονῶν, ἐχειροτόνησεν ἐξεῖναι δεῦρο φιλίππῳ κήρυκα καὶ πρέσβεις πέμπειν ὑπὲρ εἰρήνης. πρότερον μὲν γὰρ καὶ αὐτὸ τοῦτ' ἐκωλύετο ὑπό τινων οἷς ἦν τοῦτ' ἐπιμελὲς ὡς αὐτὸ τὸ πρᾶγμα ἔδειξεν, γράφονται δ' οὗτοι παρανόμων τὸ ψήφισμα λυκῖνον ἐπὶ τὴν γραφὴν ἐπιγραψάμενοι. καὶ τίμημα ἐπέθηκαν ἑκατὸν τάλαντα. καὶ μετὰ ταῦτ' εἰσῄει ἡ γραφὴ εἰς τὸ δικαστήριον. ἀρρώστως δ' ἔχων ὁ φιλοκράτης ἐκάλεσεν αὐτῷ συνήγορον τὸν δημοσθένην, ἀλλ' οὐκ ἐμέ.

παρελθὼν δ' ὁ μισοφίλιππος δημοσθένης κατέτριψε τὴν ἡμέραν ὅλην ἀπολογούμενος, καὶ τὸ τελευταῖον ἀποφεύγει ὁ φιλοκράτης. ὁ δὲ γραψάμενος, τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταλαμβάνει, καὶ ταῦθ' ὑμεῖς ἅπαντες ἴστε.

ὑπὸ δὲ τοὺς αὐτοὺς καιροὺς ὄλυνθος ἑάλω. καὶ πολλοὶ τῶν ἡμετέρων ἐγκατελήφθησαν πολιτῶν. ὧν ἦν στρατοκλῆς ὁ ἐργοχάρους ἀδελφός, καὶ εὐκράτης ὁ στρομβίχου υἱός. ὑπὲρ δὲ τούτων ἱκετηρίαν θέντες οἱ οἰκεῖοι, ἐδέοντο ὑμῶν ἐπιμέλειαν ποιήσασθαι. παρελθόντες δ' αὐτοῖς συνήγοροι φιλοκράτης καὶ δημοσθένης, ἀλλ' οὐκ αἰσχίνης. καὶ πέμπουσι πρεσβευτὴν ἀριστόδημον τὸν ὑποκριτὴν πρὸς φίλιππον διὰ τὴν γνῶσιν καὶ φιλανθρωπίαν τῆς τέχνης.

ὡς δ' ἐπανήκων ἀπὸ τῆς πρεσβείας ὁ ἀριστόδημος, διά τινας ἀσχολίας οὐ προσῄει πρὸς τὴν βουλήν, ἀλλ' ἔφθασεν αὐτὸν ἰατροκλῆς ἐλθὼν ἐκ μακεδονίας ἀφεθεὶς ὑπὸ φιλίππου ἄνευ λύτρων γενόμενος αἰχμάλωτος, ἐνταῦθ' ἠγανάκτουν πολλοὶ ὅτι τὴν πρεσβείαν οὐκ ἀπήγγειλεν ὁ ἀριστόδημος τοὺς αὐτοὺς λόγους ἀκούοντες τοῦ ἰατροκλέους παρὰ τοῦ φιλίππου.

τελευταῖον δ' εἰς τὴν βουλὴν εἰσελθὼν δημοκράτης ὁ ἀφιδναῖος ἔπεισε τὴν βουλὴν ἀνακαλέσασθαι τὸν ἀριστόδημον. εἷς δὲ τῶν βουλευτῶν ἦν δημοσθένης ὁ ἐμὸς κατήγορος. παρελθὼν δ' ἀριστόδημος, πολλήν τινα εὔνοιαν ἀπήγγειλε τοῦ φιλίππου πρὸς τὴν πόλιν, καὶ προσέθηκεν ὅτι καὶ σύμμαχος βούλοιτο τῇ πόλει γενέσθαι. καὶ ταῦτ' οὐκ ἐν τῇ βουλῇ μόνον εἶπεν ἀλλὰ καὶ ἐν τῷ δήμῳ. καὶ ταῦθ' οὐδὲν ἀντεῖπε δημοσθένης, ἀλλὰ καὶ στεφανῶσαι τὸν ἀριστόδημον ἔγραψε.

ῥηθέντων δὲ τούτων ἐν τῷ δήμῳ, ψήφισμα ἔγραψεν ὁ φιλοκράτης ἑλέσθαι πρέσβεις ὑμᾶς πρὸς φίλιππον ἄνδρας δέκα. οἵτινες διαλέξονται φιλίππῳ περὶ εἰρήνης καὶ τῶν κοινῇ συμφερόντων ἀθηναίοις καὶ φιλίππῳ.

χειροτονουμένων δὲ τῶν δέκα πρέσβεων, ἐγὼ μὲν προεβλήθην ὑπὸ ναυσικλέους, δημοσθένης δ' ὑπὸ τοῦ φιλοκράτους ὁ νῦν φιλοκράτους κατηγορῶν. οὕτω δ' ἦν πρόθυμος εἰς τὰ πράγματα, ὥστε ἐν τῇ βουλῇ γράφει ἵνα ἀζήμιος ὢν ἡμῖν συμπρεσβεύῃ ὁ ἀριστόδημος, ἑλέσθαι πρέσβεις ἐπὶ τὰς πόλεις ἐν αἷς ἔδει τὸν ἀριστόδημον ἀγωνίζεσθαι. οἵτινες ὑπὲρ αὐτοῦ παραιτήσονται τὰς ζημίας. καὶ ὅτι ταῦτ' ἐστὶν ἀληθῆ λάβε μοι τὰ ψηφίσματα.

καὶ τὴν ἐκμαρτυρίαν ἀνάγνωθι τὴν ἀριστοδήμου, καὶ κάλει πρὸς οὓς ἐξεμαρτύρησεν, ἵν' εἰδῶσιν οἱ δικασταί, τίς ἦν φιλοκράτους ἑταῖρος, καὶ τίς ὁ τὰς δωρεὰς ἀριστοδήμῳ φάσκων πείσειν δοῦναι τὸν δῆμον.

ψήφισμα. ἐκμαρτυρία.

Ἡ μὲν τοίνυν ἐξ ἀρχῆς σύστασις τῶν ὅλων πραγμάτων ἐγένετο, οὐ δι' ἐμοῦ, ἀλλὰ διὰ δημοσθένους καὶ φιλοκράτους.

ἐν δὲ τῇ πρεσβείᾳ συσσιτεῖν ἡμῖν ἐσπούδασεν, οὐκ ἐμὲ πείσας, ἀλλὰ τοὺς μετ' ἐμοῦ, ἀγλαοκρέοντα τὸν τενέδιον, ὃν ἐκ τῶν συμμάχων εἵλεσθε.

καὶ

καὶ Ἰατροκλέα. ἐν δὲ τῇ πορείᾳ παρακαλέσαι με φησὶν αὐτὸν ὅπως τὸ θηρίον κοινῇ φυλάξομεν τὸν Φιλοκράτην. πρᾶγμα λέγων πεπλασμένον. πῶς γὰρ ἂν ἐγὼ Δημοσθένην ἤδη Φιλοκράτην παρεκάλουν, ὃν ᾔδειν συνειπόντα μὲν Φιλοκράτει ὅτ' ἦν ἡ τῶν παρανόμων γραφή. προβληθέντα δὲ εἰς τὴν πρεσβείαν ὑπὸ Φιλοκράτους. πρὸς δὲ τούτοις, οὐκ ἐν τοιούτοις οἶμαι λόγοις οἱ συμπρέσβεις. ἀλλ' ὅλην τὴν πορείαν ἠναγκαζόμεθα ὑπομένειν Δημοσθένην ἀφόρητον ὄντα καὶ βαρὺν ἄνθρωπον. ὃς διασκοπούντων ὑμῶν ὅτι χρὴ λέγειν ἡμᾶς τῶν συμπρέσβεων καὶ Κίμωνος εἰπόντος ὅτι φοβοῖτο μὴ δικαιολογούμενος περιγένοιτο ἡμῶν ὁ Φίλιππος, πηγὰς δὲ δὴ λόγων ἀφθόνους ἕξειν ἐπηγγέλλετο καὶ περὶ τῶν δικαίων τῶν ὑπὲρ Ἀμφιπόλεως καὶ τῆς ἀρχῆς τοῦ πολέμου τοιαῦτα ἐρεῖν ἔφη, ὥστε ἀπορράψειν τὸ Φιλίππου στόμα. ὁλοσχοίνῳ ἀβρόχῳ. καὶ πείσειν Ἀθηναίους μὲν καταδέξασθαι Λεωσθένην. Φίλιππον δ' Ἀθηναίοις Ἀμφίπολιν ἀποδοῦναι. ἵνα δὲ μὴ μακρολογῶ τὴν τούτου διεξιὼν ὑπερηφανίαν, ὡς τάχιστα ἥκομεν ὡς Μακεδονίαν, συνετάξαμεν ἡμᾶς αὐτοὺς ὅταν προσίωμεν Φιλίππῳ, τοὺς πρεσβυτάτους πρώτους λέγειν. καὶ τοὺς λοιποὺς καθ' ἡλικίαν, ἐτύγχανε δ' ἡμῶν νεώτατος ὤν ὡς ἔφη Δημοσθένης.

ἐπειδὴ δὲ εἰσεκλήθημεν, καὶ τούτοις ἤδη σφόδρα μοι προσέχετε τὸν νοῦν. ἐντεῦθεν γὰρ κατόψεσθε ἀνθρώπου φθόνον ὑπερβάλλοντα καὶ δεινὴν δειλίαν ἅμα καὶ κακοήθειαν, καὶ τοιαύτας ἐπιβουλὰς κατ' ἀνδρῶν συσσίτων καὶ συμπρέσβεων ἃς οὐδὲ κατὰ τῶν ἐχθίστων τις εἰκῇ ποιήσαιτο, τοὺς γὰρ τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσθαι, οὐκ ὢν ἐπιχώριος. ἐρῶ σοι γάρ, οὐδ' ἐγγενὴς ἡμῖν.

ἡμεῖς δὲ οἷς ἱερὰ καὶ τάφοι προγόνων ὑπάρχουσιν ἐν τῇ πατρίδι καὶ διατριβαὶ καὶ συνήθειαι μεθ' ὑμῶν ἐλεύθεροι καὶ γάμοι κατὰ τοὺς νόμους καὶ κηδεσταὶ καὶ τέκνα, Ἀθήνησι μὲν ἦμεν ἄξιοι τῆς ὑμετέρας πίστεως. οὐ γὰρ ἄν ποτε ἡμᾶς εἵλεσθε. ἐλθόντες δ' εἰς Μακεδονίαν ἐξαίφνης ἐγενόμεθα προδόται.

ὁ δὲ οὐδὲν ἄπρακτον ἔχων μέρος τοῦ σώματος οὐδ' ὅθεν τὴν φωνὴν προΐεται, ὡς ἂν Ἀριστείδης ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησιν ὁ δίκαιος ἐπικαλούμενος, δυσχεραίνει, καὶ καταπτύει δωροδοκίας. ἀκούσατε δὴ τούς τε ἡμετέρους λόγους οὓς εἴπομεν ὑπὲρ ὑμῶν, καὶ πάλιν οὓς τὸ μέγα ὄφελος τῆς πόλεως εἴρηκε Δημοσθένης, ἵν' ἐφεξῆς καὶ κατὰ μικρὸν πρὸς ἕκαστα τῶν κατηγορημένων ἀπολογήσωμαι.

ἐπαινῶ δ' εἰς ὑπερβολὴν πάντας ὑμᾶς ὦ ἄνδρες ὅτι σιγῇ καὶ δικαίως ἡμῶν ἀκούετε ὥστε ἐάν τι μὴ λύσω τῶν κατηγορημένων, οὐχ ὑμᾶς ἀλλ' ἐμαυτὸν αἰτιάσομαι.

ἐπειδὴ γὰρ οἱ πρεσβύτεροι ταῖς ἡλικίαις ὑπὲρ τῆς πρεσβείας εἰρήκεσαν καὶ καθῆκεν εἰς ἡμᾶς ὁ λόγος καὶ τὰ μὲν καθ' ἕκαστα τῶν ἐκεῖ ῥηθέντων ὑπ' ἐμοῦ καὶ τοὺς πρὸς ταῦτα λεχθέντας ὑπὸ Φιλίππου λόγους, ἐν τῷ δήμῳ σαφῶς ἀπήγγειλα πρὸς ἅπαντας Ἀθηναίους. νυνὶ δὲ πειράσομαι διὰ κεφαλαίων ὑμᾶς ὑπομιμνήσκειν.

πρῶτον μὲν γὰρ πρὸς αὐτὸν διεξῆλθον τὴν πατρικὴν εὔνοιαν, καὶ τὰς εὐεργεσίας ἃς ὑμεῖς ὑπήρξατε Ἀμύντᾳ, τῷ Φιλίππου πατρὶ οὐδὲν παραλείπων, ἀλλ' ἐφεξῆς ἅπαντα ὑπομιμνήσκων, δεύτερον δὲ ὧν αὐτὸς ἦν μάρτυς εὖ παθών. Ἀμύντου γὰρ νεωστὶ τετελευτηκότος καὶ Ἀλεξάνδρου τοῦ πρεσβυτάτου τῶν ἀδελφῶν, Περδίκκου δὲ καὶ Φιλίππου παίδων ὄντων, Εὐρυδίκης δὲ τῆς μητρὸς αὐτῶν προδεδομένης ὑπὸ τῶν δοκούντων αὐτῇ εἶναι φίλων. Παυσανίου δ' ἤδη τὴν ἀρχὴν αὐτῶν κατιόντος φυγάδος μὲν ὄντος, τῷ καιρῷ δ' ἰσχύοντος, πολλῶν δ' αὐτῷ συμπραττόντων, ἔχοντος δὲ Ἑλληνικὴν δύναμιν, εἰληφότος δὲ Ἀνθεμοῦντα καὶ Θέρμαν καὶ Στρέψαν καὶ ἄλλ' ἄττα χωρία, Μακεδόνων δὲ οὐχ ὁμονοούντων, ἀλλὰ τῶν πλείστων τὰ Παυσανίου φρονούντων, ἐπὶ τῶν καιρῶν τούτων ἐχειροτόνησαν στρατηγὸν Ἀθηναῖοι ἐπ' Ἀμφίπολιν Ἰφικράτην Ἀμφιπολιτῶν αὐτῶν ἐχόντων τὴν πόλιν καὶ τὴν χώραν τότε καρπουμένων. ἀφικομένου δ' εἰς τοὺς τόπους Ἰφικράτους μετ' ὀλίγων τὸ πρῶτον νεῶν τῆς κατασκοπῆς μᾶλλον τῶν πραγμάτων ἢ πολιορκίας τῆς πόλεως, ἐνταῦθ' ἔφην ἐγὼ μετεπέμψατο αὐτὸν Εὐρυδίκη ἡ μήτηρ ἡ σή. καὶ ὥς γε δὴ λέγουσιν οἱ παρόντες πάντες, Περδίκ-

καὶ μετὰ τὸν ἀδελφὸν τὸν σὸν καταστήσασα εἰς τὰς χεῖρας τὰς Ἰφικράτους, σὲ δὲ εἰς τὰ γόνατα τὰ ἐκείνου θεῖσα παιδίον ὄντα, εἶπεν ὅτι Ἀμύντας ὁ πατὴρ τῶν παιδίων τούτων ὅτ' ἔζη υἱὸν ἐποιήσατό σε. τῇ δὲ Ἀθηναίων πόλει οἰκείως ἐχρήσατο. ὥστε συμβαίνει σοὶ καὶ ἰδίᾳ τῶν παιδίων τούτων γεγενῆσθαι ἀδελφῷ, καὶ δημοσίᾳ φίλον ἡμῖν εἶναι. καὶ μετὰ ταῦτα ἤδη δέησιν ἰσχυρὰν ἐποιεῖτο καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ αὐτῆς καὶ ὑπὲρ τῆς ἀρχῆς. καὶ ὅλως ὑπὲρ τῆς σωτηρίας. ἀκούσας δὲ ταῦτα Ἰφικράτης ἐξήλασε Παυσανίαν ἐκ Μακεδονίας, καὶ τὴν δυναστείαν ὑμῖν ἔσωσε. καὶ μετὰ ταῦτα εἶπεν περὶ Πτολεμαίου ὃς ἦν ἐπίτροπος καθεστηκὼς τῶν πραγμάτων ὡς ἀχάριστον καὶ δεινὸν ἔργον διεπράξατο διδάσκων ὅτι πρῶτον μὲν ὑπὲρ Ἀμφιπόλεως ἀντέπραττε τῇ πόλει καὶ πρὸς Θηβαίους διαφερομένων Ἀθηναίων συμμαχίαν ἐποιήσατο. καὶ πάλιν ὡς Περδίκκας εἰς τὴν ἀρχὴν καταστὰς ὑπὲρ Ἀμφιπόλεως ἐπολέμησε τῇ πόλει. καὶ τὴν ὑμετέραν ἠδικημένων ὅμως φιλανθρωπίαν λέγων διεξῄειν ὅτι κρατοῦντες τῷ πολέμῳ Περδίκκαν, Καλλισθένους Ἀθηναίων ἡγουμένου ἀνοχὰς πρὸς αὐτὸν ἐποιήσασθε ἀεί τινος προσδοκῶντες τῶν δικαίων τεύξεσθαι. καὶ τὴν διαβολὴν ταύτην ἐπειρώμην διαλύειν, διδάσκων ὅτι Καλλισθένην ὁ δῆμος ἀπέκτεινεν οὐ διὰ τὰς πρὸς Περδίκκαν ἀνοχὰς, ἀλλὰ δι' ἑτέρας αἰτίας. καὶ πάλιν οὐκ ὤκνουν κατ' αὐτοῦ λέγειν Φιλίππου ἐπιτιμῶν, ὅτι τὴν ἐκδοχὴν ἐποιήσατο πρὸς τὴν πόλιν τοῦ πολέμου. καὶ πάντων ὧν ἂν εἴποιμι μάρτυρας τὰς ἐκείνων ἐπιστολὰς παρειχόμην. καὶ τὰ ψηφίσματα τοῦ δήμου καὶ τὰς Καλλισθένους ἀνοχάς. περὶ μὲν οὖν τῆς ἐξ ἀρχῆς κτήσεως τῆς χώρας καὶ τῶν καλουμένων ἐννέα ὁδῶν καὶ περὶ τῶν Θησέως παίδων ὧν Ἀκάμας λέγεται φερνὴν ἐπὶ τῇ γυναικὶ λαβεῖν τὴν χώραν αὐτήν, τότε μὲν ἡρμόττε λέγειν καὶ ἐρρέθη ὡς ἐνεδέχετο ἀκριβέστατα· νυνὶ δὲ ἴσως ἀνάγκη συντέμνειν τοὺς λόγους, ἃ δὲ ἦν τῶν σημείων οὐκ ἐν τοῖς ἀρχαίοις μύθοις ἀλλ' ἐφ' ἡμῶν γεγενημένα, τούτων ἐπεμνήσθην. Συμμαχίας γὰρ Λακεδαιμονίων καὶ τῶν ἄλλων Ἑλλήνων συνελθούσης εἷς ὢν τούτων Ἀμύντας ὁ Φιλίππου πατὴρ καὶ πέμπων σύνεδρον καὶ τῆς καθ' ἑαυτὸν ψήφου κύριος ὢν, ἐψηφίσατο Ἀμφίπολιν τὴν Ἀθηναίων συνεξαιρεῖν μετὰ τῶν ἄλλων Ἑλλήνων Ἀθηναίοις. καὶ τοῦτο τὸ κοινὸν δόγμα τῶν Ἑλλήνων καὶ τοὺς ψηφισαμένους ἐκ τῶν δημοσίων γραμμάτων μάρτυρας παρειχόμην. ὧν δὲ Ἀμύντας ἀπέστη ὁ Φιλίππου πατὴρ ἐναντίον τῶν Ἑλλήνων ἁπάντων οὐ μόνον λόγοις ἀλλὰ καὶ ψήφῳ, τούτων ἔφην ἐπὶ σὲ τὸν ἐξ ἐκείνου γεγενημένον οὐκ ἔστι δίκαιον ἀντιποιεῖσθαι. εἰ δ' ἀντιποιῇ κατὰ πόλεμον λαβὼν εἰκότως ἔχειν, εἰ μὲν πρὸς ἡμᾶς πολεμήσας δορυάλωτον τὴν πόλιν εἷλες, κυρίως ἔχεις τῷ τοῦ πολέμου νόμῳ κτησάμενος. εἰ δ' Ἀμφιπολίτας ἀφείλου τὴν Ἀθηναίων πόλιν, οὐ τὰ ἐκείνων ἔχεις, ἀλλὰ τὴν Ἀθηναίων χώραν. ῥηθέντων δὲ τούτων καὶ ἑτέρων λόγων, ἤδη καθῆκεν εἰς Δημοσθένην τὸ τῆς πρεσβείας μέρος. καὶ πάντες προσεῖχον ὡς ὑπερβολάς τινας δυνάμεως ἀκουσόμενοι λόγων. καὶ γὰρ πρὸς αὐτὸν τὸν Φίλιππον ὡς ἦν ὕστερον ἀκούειν, καὶ πρὸς τοὺς ἑταίρους αὐτοῦ ἐξηγγέλθη ἡ τῶν ἐπαγγελιῶν ὑπερβολή. οὕτω δὲ ἁπάντων διακειμένων πρὸς τὴν ἀκρόασιν, φθέγγεται τὸ θηρίον τοῦτο προοίμιον σκοτεινόν τι καὶ τεθνηκὸς δειλίᾳ. καὶ μικρὸν προαγαγὼν ἄνω τῶν πραγμάτων, ἐξαίφνης ἐσίγησε καὶ διηπορήθη. τελευτῶν δὲ ἐκπίπτει ἐκ τοῦ λόγου. ἰδὼν δὲ αὐτὸν ὁ Φίλιππος ὡς διέκειτο θαρρεῖν τε παρεκελεύετο, καὶ μὴ νομίζειν ὥσπερ ἐν τοῖς θεάτροις διὰ τοῦτο οἴεσθαί τι πεπονθέναι· ἀλλ' ἡσυχῇ καὶ κατὰ μικρὸν ἀναμιμνήσκεσθαι καὶ λέγειν ὡς προείλετο. ὁ δ' ὡς ἅπαξ ἐταράχθη καὶ τῶν γεγραμμένων διεσφάλη οὐδ' ἀναλαβεῖν ἑαυτὸν ἠδυνήθη. ἀλλὰ καὶ πάλιν λέγειν ἐπιχειρήσας ταυτὸν ἔπαθεν. ὡς δὲ ἦν σιωπὴ, μεταστῆναι ἡμᾶς ὁ κῆρυξ ἐκέλευεν. ἐπειδὴ δ' ἐφ' ἡμῶν αὐτῶν οἱ συμπρέσβεις ἐγενόμεθα, σφόδρα πάνυ σκυθρωπάσας ὁ χρηστὸς οὗτος Δημοσθένης, ἀπολωλεκέναι με ἔφη τὴν πόλιν καὶ τοὺς συμμάχους, ἐκπλαγέντος δὲ οὐκ ἐμοῦ μόνον ἀλλὰ καὶ τῶν συμπρέσβεων ἁπάντων καὶ τὴν αἰτίαν πυνθανομένων δι'

ὧν

ἦν ταῦτ' εἶπεν, ὅτι τότε μὲν τῶν Ἀθήνησι πραγμάτων ἐπιλέλησμαι, καὶ τὸν δῆμον καταπεπονημένον καὶ σφόδρα ἐπιθυμοῦντα τῆς εἰρήνης εἰ μὴ μέμνημαι. ἢ μέγα φρονεῖς ἔφη ἐπὶ ταῖς ἐψηφισμέναις μὲν πεντήκοντα ναυσίν, οὐδέποτε δὲ πληρωθησομέναις. οὕτω γὰρ ἠρέθισας Φίλιππον καὶ τοιαῦτα εἴρηκας, ἐξ ὧν οὐκ εἰρήνη γένοιτ' ἂν ἐκ πολέμου, ἀλλ' ἐξ εἰρήνης πόλεμος ἀκήρυκτος. ἀρξαμένου δέ μου πρὸς ταῦτα ἀντιλέγειν, ἐκάλουν ἡμᾶς οἱ ὑπηρέται οἱ τοῦ Φιλίππου, ὡς δ' εἰσήλθομεν καὶ ἐκαθεζόμεθα ἐξ ἀρχῆς πρὸς ἕκαστον τῶν εἰρημένων ἐνεχείρει τι λέγειν ὁ Φίλιππος. πλείστην δὲ εἰκότως ἐποιήσατο διατριβὴν πρὸς τοὺς ἐμοὺς λόγους. ἴσως γὰρ οὐδὲν τῶν ἐνόντων εἰπεῖν ὥς γε οἶμαι παρέλιπον, καὶ πολλάκις μου τοὔνομα ἐν τοῖς λόγοις ὠνόμαζε. πρὸς δὲ Δημοσθένην τὸν οὕτω καταγελάστως ἀπαλλάξαντα, οὐδ' ὑπὲρ ἑνὸς οἶμαι διελέχθη. τοῦτο δὲ ἄρα ἦν ἀγχόνη καὶ λύπη τούτῳ. ἐπειδὴ δὲ κατέστρεψεν εἰς φιλανθρωπίαν τοὺς λόγους Φίλιππος, καὶ τὸ συκοφάντημα ὃ προειρήκει κατ' ἐμοῦ πρὸς τοὺς συμπρέσβεις οὗτος, ὡς ἐσομένου πολέμου καὶ διαφορᾶς αἰτίου διέπιπτεν αὐτῷ, ἐνταῦθα ἤδη καὶ παντελῶς ἐξιστάμενος αὑτοῦ καταφανὴς ἦν. ὥστε καὶ κληθέντων ἡμῶν ἐπὶ ξένια δεινῶς ἀσχημονεῖν. ἀφορμώντων δ' ἡμῶν οἴκαδε ἐκ τῆς πρεσβείας ἐξαίφνης κατὰ τὴν ὁδὸν παραδόξως καὶ φιλανθρώπως πρὸς ἕκαστον διελέγετο. ὅτι μὲν οὖν ἦν ποθ' ὁ κέρκωψ ἢ τὸ καλούμενον παιπάλημα ἢ τὸ παλίμβολον ἢ τὰ τοιαῦτα ῥήματα, οὐκ ᾔδειν πρότερον. νυνὶ δ' ἐξηγητὴν τοῦτον λαβὼν τῆς πάσης κακοηθείας μεμάθηκα. διαλαμβάνων γὰρ ἕκαστον ἡμῶν ἐν μέρει, τῷ μέν, ἔρανον συστήσειν ἐπηγγέλλετο καὶ βοηθήσειν τοῖς ἰδίοις, τὸν δὲ εἰς στρατηγίαν καταστήσειν, ἐμοὶ δὲ παρακολουθῶν καὶ τὴν φύσιν μακαρίζων καὶ τοὺς λόγους οὓς εἶπον ἐγκωμιάζων πολὺς ἦν τοῖς ἐπαίνοις καὶ ἐπαχθής, συνδειπνούντων δ' ἡμῶν ἁπάντων ἐν Λαρίσῃ, εἰς αὑτὸν μὲν ἔσκωπτε καὶ τὴν ἀπορίαν τὴν ἐν τῷ λόγῳ συμβᾶσαν ἑαυτῷ. τὸν δὲ Φίλιππον τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων ἔφη πάντων εἶναι δεινότατον. συναποφηναμένου δὲ κἀμοῦ τι τοιοῦτον ὡς μνημονικῶς εἴποι πρὸς τὰ παρ' ἡμῶν ῥηθέντα, Κτησιφῶντος δὲ ὃς πρεσβύτατος ἦν ἡμῶν πρεσβύτατος ὑπερβολήν τινα ἑαυτοῦ παλαιότητος καὶ πλήθους ἐτῶν εἰπόντος καὶ προσθέντος ὡς ἐν τοσούτῳ χρόνῳ καὶ βίῳ οὐπώποθ' οὕτως ἡδὺν οὐδ' ἐπαφρόδιτον ἄνθρωπον ἑωρακὼς εἴη, ἀνακροτήσας ὁ Σίσυφος οὗτος τὰς χεῖρας, ταῦτα μέντοι ἔφη ὦ Κτησιφῶν οὔτ' ἂν σὺ πρὸς τὸν δῆμον εἴποις, οὔτ' ἂν οὗτος, ἐμὲ δὴ λέγων, τολμήσειεν εἰπεῖν πρὸς Ἀθηναίους. ὡς ἦν ὁ Φίλιππος δεινὸς εἰπεῖν καὶ μνημονικός. ἀναισθήτως δὲ ἡμῶν ἐχόντων καὶ τὴν ἐπιβουλὴν οὐ προορωμένων ἣν αὐτίκα ἀκούσεσθε, εἰς συνθήκην τινὰ ἡμᾶς κατέκλεισεν ὑπὲρ τοῦ ταῦτ' ἐρεῖν πρὸς ὑμᾶς. ἐμοῦ δὲ καὶ δέησίν τινα ἰσχυρὰν ἐδεήθη μὴ παραλιπεῖν, ἀλλ' εἰπεῖν ὡς ὑπὲρ Ἀμφιπόλεώς τι καὶ Δημοσθένης εἴποι. μέχρι μὲν οὖν τούτων οἱ συμπρέσβεις εἰσί μοι μάρτυρες, οὓς προπηλακίζων οὗτος καὶ διαβάλλων ἐν τῇ κατηγορίᾳ διατετέλεκε. τῶν δ' ἐπὶ τοῦ βήματος παρ' ἡμῖν λόγων ὑμεῖς ἀκηκόατε. ὥστε οὐκ ἐνέσται μοι ψεύσασθαι. δέομαι δὲ ὑμῶν προσεπιτρέψαι ἀκούοντας καὶ τὴν λοιπὴν διήγησιν. ὅτι μὲν γὰρ ἕκαστος ὑμῶν ποθεῖ τὰ περὶ Κερσοβλέπτην ἀκοῦσαι, καὶ τὰς περὶ Φωκέων αἰτίας σαφῶς οἶδα καὶ πρὸς ταῦτα σπεύδω. ἀλλ' ἐὰν μὴ τὰ πρὸ τούτων ἀκούσητε, οὐδ' ἐκείνοις ὁμοίως παρακολουθήσετε. ἐὰν δ' ἐμοὶ τῷ κινδυνεύοντι εἰπεῖν δῶτε ὡς βούλομαι, καὶ σώσετέ με εἰ μηδὲν ἀδικῶ δυνήσεσθε ἱκανὰς εἰληφότες ἀφορμάς, καὶ θεάσασθε ἐκ τῶν ὁμολογουμένων καὶ τὰ ἀντιλεγόμενα. ὡς γὰρ δεῦρ' ἤλθομεν καὶ πρὸς τὴν βουλήν, ἐν κεφαλαίῳ τὴν πρεσβείαν ἀπηγγείλαμεν, καὶ τὴν ἐπιστολὴν ἀπέδομεν τὴν παρὰ Φιλίππου, ἐπαινέτης ἦν ἡμῶν Δημοσθένης πρὸς τοὺς βουλευτάς, καὶ τὴν ἑστίαν ἐπώμοσε τὴν βουλαίαν συγχαίρειν τῇ πόλει, ὅτι τοιούτους ἄνδρας ἐπὶ τὴν πρεσβείαν ἐξέπεμψεν. οἳ καὶ τοῖς λόγοις, καὶ τῇ πίστει λέγοντες ἄξιοι ἦσαν τῆς πόλεως. ὑπὲρ ἐμοῦ δὲ εἶπέ τι τοιοῦτον, ὡς οὐ ψεύσαιμι τὰς τῶν ἑλομένων με ἐπὶ τὴν πρεσβείαν ἐλπίδας, τέλος δὲ πάντων ἔγραψεν ἡμᾶς στεφανῶσαι θαλλοῦ στεφάνῳ ἕκαστον εὐνοίας ἕνεκα τῆς εἰς τὸν δῆμον,

καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰσαύριον. ὅτι δ' οὐδὲν ψεῦδος εἴρηκα πρὸς
ὑμᾶς λαβέτω μοι τὸ ψήφισμα ὁ γραμματεὺς καὶ τὰς τῶν συμπρέσβεων μαρτυρί-
ας ἀναγνώτω. ψήφισμα βουλῆς ὁ δημοσθένης εἶπε. μαρτυρία τῶν συμπρέ-
σβεων περὶ τῶν εἰρημένων. ἐπειδὴ τοίνυν ἀπηγγέλλομεν τὴν πρεσβείαν ἐν τῷ
δήμῳ, εἶπε παρελθὼν πρῶτος ἡμῶν διὰ τὴν ἡλικίαν κτησιφῶν, ἄλλους τέ τινας λό-
γους καὶ τοὺς πρὸς δημοσθένην αὐτῷ συγκειμένους ἡμῖν ὀρθῶν, περί τε τῆς ἐντεύ-
ξεως τῆς φιλίππου, καὶ τῆς ἰδέας αὐτοῦ καὶ τῆς ἐν τοῖς πότοις ἐπιδεξιότητος, καὶ
μετὰ τοῦτον φιλοκράτους εἰπόντος μικρὰ καὶ δερκύλλου, παρῆλθον ἐγώ. ἐπειδὴ δὲ
τὴν ἄλλην διεξῆλθον πρεσβείαν ἅπαντι σαφῶς, καὶ πρὸς τὸν λόγον ὃν ἐν τοῖς συμπρέσβε-
σι διωμολογησάμην. εἰπὼν ὅτι μνημονικῶς καὶ δυνατῶς ὁ φίλιππος εἴποι, καὶ
τὴν δέησιν οὐκ ἐπιλαθόμην τὴν δημοσθένους ὅτι ταχθείη λέγειν ἐάν τι παραλίπω-
μεν ἡμεῖς ὑπὲρ ἀμφιπόλεως. ἐφ' ἅπασι δ' ἡμῖν ἀνίσταται τελευταῖος δημοσθένης,
καὶ τερατευσάμενος ὥσπερ εἴωθε τῷ σχήματι καὶ τρίψας τὴν κεφαλὴν ὁρῶν ἐπι-
σημαινόμενον τὸν δῆμον καὶ ἀποδεχόμενον τοὺς παρ' ἐμοῦ λόγους, ἀμφοτέρων ἔφη θαυ-
μάζειν, καὶ τῶν ἀκουόντων καὶ τῶν πρεσβευσάντων, ὅταν παρέντες τὸν χρόνον οἱ μὲν
τὸν τοῦ βουλεύσασθαι, οἱ δὲ, τὸν τοῦ συμβουλεύειν ἀποδιατρίβωσι τὴν ὑπερόριον ἀδο-
λεσχίαν ἀγαπῶντες ἐν τοῖς οἰκείοις πράγμασιν, οὐδὲν γὰρ εἶναι ῥᾷον ἢ πρεσβείαν ἀπαγ-
γεῖλαι. βούλομαι δ' ὑμῖν ἔφη καὶ ἐπιδεῖξαι ὡς δεῖ τὸ πρᾶγμα γίνεσθαι. ἅμα
δ' ἐκέλευσεν ἀναγνωσθῆναι τὸ ψήφισμα τοῦ δήμου, ἀναγνωσθέντος δὲ εἶπεν ὅτι κατὰ
τοῦτο ἐξεπέμφθημεν, καὶ ταῦτα ἐπράττομεν. ἃ ἐνταυθοῖ γέγραπται λάβε δή μοι καὶ
τὴν ἐπιστολὴν ἣν ἥκομεν παρὰ φιλίππου φέροντες. ἐπειδὴ δὲ ἀνεγνώσθη ἀπέχετε
ἔφη τὴν ἀπόκρισιν, καὶ λοιπὸν ὑμῖν ἐστι βουλεύσασθαι. θορυβησάντων δ' ἐπ' αὐτῷ τῶν
μὲν, ὡς δεινός τις εἴη καὶ σύντομος τῶν δὲ πλειόνων ὡς πονηρὸς καὶ φθονερὸς καὶ σκέψασθε
δὲ ἔφη ὡς συντόμως καὶ τ' ἄλλα πάντα ἀπαγγελῶ, ἐδόκει μνημονικὸς καὶ δεινὸς εἶναι
λέγειν αἰσχίνῃ φίλιππος, ἀλλ' οὐκ ἐμοί, ἀλλ' εἴ τις αὐτοῦ τὴν τύχην περιελὼν ἑτέρῳ πε-
ριθείη, οὐκ ἂν πολύ τι καταδεὴς εἴη. ἐδόκει κτησιφῶντι τὴν ὄψιν λαμπρὸς εἶναι. ἐμοὶ
δ' οὐ χείρων ἀριστόδημος ὁ ὑποκριτὴς ὃς παρῆν ἡμῖν καὶ συνεπρέσβευε. μνημονικόν
τις αὐτόν φησιν εἶναι; καὶ γὰρ ἕτεροι. συμπιεῖν δεινὸς ἦν; ἀλλὰ φιλοκράτης ὁ μεθ'
ἡμῶν δεινότερος; λόγον τίς φησιν ἐμοὶ καταλιπεῖν ὑπὲρ ἀμφιπόλεως, ἀλλ' οὔτ' ἂν ὑμῖν
ὁ ῥήτωρ οὗτος, οὔτ' ἂν ἐμοὶ λόγου μεταδοίη. ταῦτα μὲν οὖν λῆρός ἐστιν ἔφη. ἐγὼ δὲ ψή-
φισμα γράψω καὶ τῷ κήρυκι σπείσασθαι βούλομαι τῷ παρὰ φιλίππου ἥκοντι, καὶ
τοῖς μέλλουσι παρ' αὐτοῦ δεῦρο ἰέναι πρέσβεσι, καὶ τοὺς πρυτάνεις ἐπειδὰν ἥκωσιν
οἱ πρέσβεις ἐκκλησίαν ἐπὶ δύο ἡμέρας ποιεῖν. μὴ μόνον περὶ εἰρήνης, ἀλλὰ καὶ περὶ
συμμαχίας, καὶ τοὺς πρέσβεις ἡμᾶς εἰ δοκοῦμεν ἄξιοι εἶναι ἐπαινέσαι, καὶ καλέ-
σαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰσαύριον. ὅτι δ' ἀληθῆ λέγω, λάβε μοι τὰ ψηφί-
σματα. ἵνα εἰδῆτε ὦ ἄνδρες καὶ τὴν ἀνωμαλίαν αὐτοῦ καὶ τὸν φθόνον, καὶ τὴν τῶν
πραγμάτων μετὰ φιλοκράτους κοινωνίαν, καὶ τὸ ἦθος ὡς ἐπίβουλον καὶ ἄπιστον. κά-
λει δέ μοι καὶ τοὺς συμπρέσβεις καὶ τὰς μαρτυρίας αὐτῶν ἀνάγνωθι, καὶ τὰ ψη-
φίσματα δημοσθένους. ψηφίσματα δημοσθένους. Οὐ τοίνυν μόνον ταῦ-
τα ἔγραψεν, ἀλλὰ καὶ μετὰ ταῦτα ἐν τῇ βουλῇ εἶπε θέαν εἰς τὰ διονύσια κατανεῖ-
μαι τοῖς πρέσβεσιν ἐπειδὰν ἥκωσι τοῖς φιλίππου, λέγε καὶ τοῦτο τὸ ψήφισμα.
ψήφισμα δημοσθένους. ἀνάγνωθι δὴ καὶ τὴν τῶν συμπρέσβεων μαρτυρίαν, ἵν' εἰδῆ-
τε ὦ ἀθηναῖοι ὅτι δημοσθένης οὐχ ὑπὲρ τῆς πόλεως εἰπεῖν δύναται ἀλλ' ἐπὶ τοὺς συσ-
σίτους καὶ ὁμοσπόνδους μάλιστα. μαρτυρία. Τὴν μὲν τοίνυν μαρτυρίαν τῶν
ὑπὲρ τῆς εἰρήνης πράξεων, οὐκ ἐμὴν καὶ φιλοκράτους ἀλλὰ δημοσθένους καὶ φιλοκρά-
τους εὑρήσετε, καὶ τὰς πίστεις τῶν εἰρημένων ἱκανὰς ὑμῖν οἶμαι παρεσχῆσθαι. τῶν
μὲν γὰρ ἀπηγγελμένων ὑμεῖς ἐστέ μοι μάρτυρες. τῶν δ' ἐν μακεδονίᾳ ῥηθέντων καὶ τῶν
κατὰ τὴν πορείαν ὑμῖν συμβάντων, τοὺς συμπρέσβεις ὑμῖν μάρτυρας παρεσχόμην

τῆς δ

τῆς δὲ ὑπὸ δημοσθένους ἀρτίως εἰρημένης κατηγορίας ἠκούσατε καὶ μέμνησθε· ὅς τὴν ἀρχὴν ἐποιήσατο ἀπὸ τῆς δημηγορίας ἣν εἶπον περὶ τῆς εἰρήνης. πάντα δὲ ἐν τῷ μέρει τούτῳ τῆς κατηγορίας ἐψευσμένος, ἐπὶ τῷ καιρῷ τούτῳ δεινῶς ἐσχετλίασε. τοὺς γὰρ λόγους τούτους ἐναντίον φησὶ τῶν πρέσβεων λέγεσθαι οὓς ἔπεμψαν πρὸς ἡμᾶς οἱ ἕλληνες μεταπεμφθέντες ὑπὸ τοῦ δήμου ἵνα κοινῇ καὶ πολεμοῖεν εἰ δέοι φιλίππῳ μετὰ ἀθηναίων, καὶ τῆς εἰρήνης εἰ δοκοίη εἶναι σύμφορον, μετέχοιεν, σκέψασθε δὴ πράγματος μεγάλου κλοπὴν, καὶ δεινὴν ἀναισχυντίαν ἀνθρώπου. τῶν γὰρ πρέσβεων οὓς ἐξεπέμψατε εἰς τὴν ἑλλάδα ἔτι τοῦ πολέμου πρὸς φίλιππον ἡμῖν ἐνεστηκότος, οἱ μὲν χρόνοι τῆς αἱρέσεως ὅτε ἐξεπέμφθησαν καὶ τὰ τῶν πρεσβευσάντων ὀνόματα ἐν τοῖς δημοσίοις ἀναγέγραπται γράμμασι, τὰ δὲ σώματα αὐτῶν ἐστὶν οὐκ ἐν μακεδονίᾳ, ἀλλ' ἀθήνησι, ταῖς δὲ ξενικαῖς πρεσβείαις ἡ βουλὴ τὰς εἰς τὸν δῆμον προσόδους προβουλεύει. οὗτος δέ φησιν ἀπεστάλθαι τὰς παρὰ τῶν ἑλλήνων πρεσβείας, παρελθὼν τοίνυν δημόσθενες ἐπὶ τὸ βῆμα ἐντὸς ἐν τῷ ἐμῷ λόγῳ εἰπὲ πόλεως ἧς τινος βούλει τῶν ἑλληνίδων τοὔνομα ἐξ ἧς ἀφῖχθαι τότε φῂς τοὺς πρέσβεις, καὶ τὰ προβουλεύματα αὐτῶν ἐκ τοῦ βουλευτηρίου δὸς ἀναγνῶναι, καὶ τοὺς ἀθηναίων κάλει πρέσβεις οὓς ἐξέπεμψαν ἐπὶ τὰς πόλεις μάρτυρας, κἂν παρεῖναι καὶ μὴ ἀποδημεῖν ὅτε ἡ πόλις τὴν εἰρήνην ἐποιεῖτο μαρτυρήσωσιν, ἢ τὰς πρὸς τὴν βουλὴν αὐτῶν προσόδους καὶ τὰ ψηφίσματα ἃ παράσχῃ ἐν ᾧ σὺ φῂς ὄντα χρόνῳ, καταβαίνω καὶ θανάτου τιμῶμαι. ἀνάγνωθι δὴ καὶ τὸ τῶν συμμάχων δόγμα τί λέγει, ἐν ᾧ διαρρήδην γέγραπται, ἐπειδὴ βουλεύεται ὁ δῆμος ὁ ἀθηναίων ὑπὲρ εἰρήνης πρὸς φίλιππον, οἱ δὲ πρέσβεις οὔπω πάρεισιν οὓς ἐξέπεμψεν ὁ δῆμος εἰς τὴν ἑλλάδα παρακαλοῦντας τὰς πόλεις ὑπὲρ τῆς ἐλευθερίας τῶν ἑλλήνων, δεδόχθαι τοῖς συμμάχοις ἐπειδὰν ἐπιδημήσωσιν οἱ πρέσβεις καὶ τὰς πρεσβείας ἀπαγγείλωσιν ἀθηναίοις καὶ τοῖς συμμάχοις, προγράψαι τοὺς πρυτάνεις ἐκκλησίας δύο κατὰ τοὺς νόμους· ἐν δὲ ταύταις βουλεύσασθαι περὶ τῆς εἰρήνης ἀθηναίους· ὅτι δ' ἂν βουλεύσηται ὁ δῆμος, τοῦτ' εἶναι κοινὸν δόγμα τῶν συμμάχων. ἀνάγνωθι δή μοι τὸ τῶν συνέδρων δόγμα. Δόγμα συνέδρων.

Παραναγνωθι δή μοι καὶ τὸ τοῦ δημοσθένους ψήφισμα ἐν ᾧ κελεύει τοὺς πρυτάνεις μετὰ τὰ διονύσια τὰ ἐν ἄστει καὶ τὴν ἐν διονύσου ἐκκλησίαν προγράψαι δύο ἐκκλησίας, τὴν μὲν, τῇ ὀγδόῃ ἐπὶ δέκα, τὴν δὲ τῇ ἐνάτῃ ἐπὶ δέκα. ὁρίζων τὸν χρόνον, καὶ προαιρῶν τὰς ἐκκλησίας πρὶν ἐπιδημῆσαι τοὺς ἀπὸ τῶν ἑλλήνων πρέσβεις, καὶ τὸ μὲν τῶν συμμάχων δόγμα κελεύει ᾧ συνειπεῖν καὶ ἐγὼ ὁμολογῶ, ὑπὲρ τῆς εἰρήνης μόνον ὑμᾶς βουλεύσασθαι. δημοσθένης δὲ καὶ περὶ συμμαχίας κελεύει. λέγε αὐτοῖς τὸ ψήφισμα. Ψήφισμα δημοσθένους. τῶν μὲν ψηφισμάτων ἀμφοτέρων ὦ ἀθηναῖοι ἠκούσατε, ὑφ' ὧν ἐξελέγχεται δημοσθένης τὰς ἀποδημούσας πρεσβείας ἐπιδημεῖν φάσκων, καὶ βουλομένων ὑμῶν ἀκροάσασθαι τὸ τῶν συμμάχων ἄκυρον πεποιηκὼς δόγμα. οἱ μὲν, γὰρ ἀπεφήναντο ἀναμεῖναι τὴν πόλιν τὰς ἑλληνικὰς πρεσβείας· δημοσθένης δὲ οὐ λόγῳ μόνον κεκώλυκε περιμεῖναι ὁ πάντων ἄριστα καὶ τάχιστα μεταθέμενος, ἀλλ' ἔργῳ καὶ ψηφίσματι προστάξας ἤδη βουλεύσασθαι, εἴρηκε δὲ ὡς ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγορήσαντος φιλοκράτους, ὕστερον ἀναβὰς ἐγὼ κατεμεμψάμην ἣν εἰσηγεῖτο ἐκεῖνος εἰρήνην, αἰσχρὰν καὶ τῆς πόλεως ἀναξίαν εἶναι φάσκων, τῇ δ' ὑστεραίᾳ πάλιν ἡμέρᾳ ὡς συναγορεύοιμι τῷ φιλοκράτει, καὶ τὴν ἐκκλησίαν δημηγορήσας ᾠχόμην φέρων, πείθων ὑμᾶς μὴ προσέχειν τοῖς τὰς μάχας καὶ τὰ τῶν προγόνων λέγουσι τρόπαια, μηδὲ τοῖς ἕλλησι βοηθεῖν. ὅτι δ' οὐ ψευδῆ μόνον κατηγόρηκεν ἀλλὰ καὶ ἀδύνατα γενέσθαι μίαν μὲν αὐτὸς καθ' αὑτοῦ δημοσθένης μαρτυρίαν μαρτυρήσει· ἑτέραν δὲ πάντες ἀθηναῖοι καὶ ὑμεῖς ἀναμιμνησκόμενοι. τρίτην δὲ ἡ τῆς αἰτίας ἀπιθανότης. τετάρτην δὲ ἀνὴρ ἀξιόλογος, εἷς τῶν πολιτευομένων, ἀμύντωρ ᾧ τὸ ψήφισμα ἐπεδείξατο δημοσθένης καὶ ἀνεκοινοῦτο εἰ δῷ τῷ γραμματεῖ. οὐχ ὑπεναντίον, ἀλλὰ ταυτὸν γεγραφὼς φιλοκράτει καί μοι λάβε τὸ ψήφισμα καὶ ἀνάγνωθι τὸ

δημοσθένους, ἐν ᾧ φαίνεται γεγραφὼς τῇ μὲν προτέρᾳ τῶν ἐκκλησιῶν συμβουλεύειν τὸν βουλόμενον, τῇ δ' ὑστεραίᾳ τοὺς προέδρους ἐπιψηφίζειν τὰς γνώμας. λόγους δὲ μὴ προτιθέναι, ἐν ᾧ μέ φησιν αὐτὸς φιλοκράτει συνειπεῖν. ψήφισμα δημοσθένους. οὐκοῦν τὰ μὲν ψηφίσματα ὡς ἐξ ἀρχῆς ἐγράφη μένει. οἱ δὲ τῶν συκοφαντῶν λόγοι πρὸς τοὺς ἐφημέρους καιροὺς λέγονται. ποιεῖ δέ μου τὴν δημηγορίαν ὁ μὲν κατήγορος διπλῆν, τὸ ψήφισμα δὲ καὶ τἀληθὲς μίαν. λόγων γὰρ μὴ προτεθέντων εἰς τὴν ὑστέραν ἐκκλησίαν τῶν δὲ προέδρων κωλυόντων οὐκ ἦν εἰπεῖν. τί δὲ καὶ βουλόμενος ἐγὼ ταῦτα φιλοκράτει προειλόμην κατηγορεῖν μὲν πρὸς τοὺς αὐτοὺς ἀκροατὰς τῇ προτεραίᾳ, μίαν δὲ νύκτα διαλιπὼν συνηγορεῖν. πότερα ὡς αὐτὸς εὐδοξήσων, ἢ ὡς ἐκεῖνον ὠφελήσων· ἀλλ' οὐκ ἐνῆν ἀμφότερα ἐξενήγκασθαι. ἀλλ' ἐπὶ τὸ πάντων μὲν μισεῖσθαι, περαίνειν δὲ μηδέν. κάλει δέ μοι καὶ ἀμύντορα ἐρχιέα καὶ τὴν μαρτυρίαν ἀνάγνωθι, ὃν δὲ τρόπον γέγραπται, προδιελθεῖν ὑμῖν βούλομαι. μαρτυρεῖ ἀμύντωρ αἰσχίνῃ ὅτι ἐβουλεύετο ὁ δῆμος περὶ τῆς συμμαχίας τῆς πρὸς φίλιππον κατὰ τὸ δημοσθένους ψήφισμα ἐν τῇ ὑστεραίᾳ τῶν δυοῖν ἐκκλησιῶν ὅτε οὐκ ἐξῆν δημηγορεῖν, ἀλλὰ τὰ περὶ τῆς εἰρήνης καὶ συμμαχίας ψηφίσματα ἐπιψηφίζεσθαι ἐν ταύτῃ τῇ ἐκκλησίᾳ δημοσθένην ἐπιδείξασθαι παρακαθήμενον ψήφισμα γεγραμμένον ἑαυτῷ ἐφ' ᾧ ἐπεγέγραπτο δημοσθένους ὄνομα καὶ ἀνακοινοῦσθαι αὐτὸν αὐτῷ εἰ δῷ τῷ γραμματεῖ ἐπιψηφίσασθαι τοῖς προέδροις καὶ εἶναι ἐφ' οἷς τὴν εἰρήνην καὶ τὴν συμμαχίαν ἔγραψε ποιεῖσθαι ἐπὶ τοῖς αὐτοῖς, ἐφ' οἷσπερ καὶ φιλοκράτης ἐγεγράφει. κάλει δέ μοι ἀμύντορα ἐρχιέα. καὶ ἐκκλήτευε ἐὰν μὴ θέλῃ δεῦρο παρεῖναι. μαρτυρία ἀμύντορος. τὰς μὲν μαρτυρίας ἀκηκόατε ὦ ἄνδρες. σκοπεῖτε δὴ πότερα ὑμῖν δοκεῖ δημοσθένης ἐμοῦ κατηγορηκέναι, ἢ τοὐναντίον αὐτὸς ἑαυτοῦ ἐπὶ τῷ ἐμῷ ὀνόματι. ἐπειδὴ δὲ καὶ τὴν δημηγορίαν μου διαβάλλει καὶ τοὺς εἰρημένους λόγους ἐπὶ τὰ χείρω διεξέρχεται, οὔτ' ἂν ἀποδραίην, οὔτ' ἂν τῶν τότ' εἰρημένων οὐδὲν ἀρνησαίμην. οὔτ' αἰσχύνομαι ἐπ' αὐτοῖς, ἀλλὰ καὶ μᾶλλον φιλοτιμοῦμαι. βούλομαι δ' ὑμᾶς καὶ τοὺς καιροὺς ὑπομνῆσαι ἐν οἷς ἐβουλεύεσθε. τὴν μὲν γὰρ ἀρχὴν ἐποιησάμεθα τοῦ πολέμου ὑπὲρ ἀμφιπόλεως. συνέβαινε δ' ἡμῶν τὸν στρατηγὸν ἐν τῷ πολέμῳ μὲν ἑβδομήκοντα καὶ πέντε πόλεις συμμαχίδας ἀποβεβληκέναι. ἃς ἐκτήσατο τιμόθεος ὁ κόνωνος. καὶ κατέστησεν εἰς τὸ συνέδριον, προῄρημαι γὰρ παρρησιάσασθαι καὶ ἐλευθέρως ἅμα καὶ τἀληθῆ εἰπὼν σῴζεσθαι. ἐὰν δὲ ἄλλως πως γινώσκητε καταχρήσασθέ μοι. οὐ γὰρ ἂν ὑποστειλαίμην. ἑκατὸν δὲ καὶ πεντήκοντα τριήρεις λαβόντα ἐκ τῶν νεωρίων μὴ κατακεκομικέναι. καὶ ταῦτα ὑμῖν ἐν τοῖς ἀγῶσιν ἀεὶ τοῖς χάρητος οἱ κατήγοροι δεικνύουσι. χίλια δὲ καὶ πεντακόσια τάλαντα οὐκ εἰς στρατιώτας ἀλλ' εἰς ἡγεμόνων ἀλαζονείας ἀνηλωκέναι. δηιάρην δὲ καὶ δηίπυρον καὶ πολυφόντην δραπέτας ἀνθρώπους ἐκ τῆς ἑλλάδος συνειλεγμένους καὶ χωρὶς εἰς τοὺς περὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν μισθοφόρους, οἳ τοὺς μὲν ταλαιπώρους νησιώτας καθ' ἕκαστον ἐνιαυτὸν ἑξήκοντα τάλαντα εἰσέπραττον σύνταξιν, κατῆγον δὲ τὰ πλοῖα καὶ τοὺς ἕλληνας ἐκ τῆς κοινῆς θαλάττης. ἀντὶ δὲ ἀξιώματος καὶ τῆς τῶν ἑλλήνων ἡγεμονίας ἡ πόλις ὑμῶν μυοννήσου καὶ τῆς τῶν λῃστῶν δόξης ἀνεπίμπλατο. φίλιππος δὲ ὁρμηθεὶς ἐκ μακεδονίας, οὐκ ἔθ' ὑπὲρ ἀμφιπόλεως πρὸς ὑμᾶς ἠγωνίζετο ἀλλ' ἤδη περὶ λήμνου καὶ ἴμβρου καὶ σκύρου τῶν ἡμετέρων κτημάτων, ἐξέλιπον δὲ χερρόνησον ὑμῶν οἱ πολῖται τὴν οὖσαν ὁμολογουμένως ἀθηναίων. πλείους δὲ ἐκκλησίας συγκλήτους ἠναγκάζεσθε ἐκκλησιάζειν μετὰ φόβου καὶ θορύβου ἢ τὰς τεταγμένας ἐκ τῶν νόμων. οὕτω δ' ἦν σφαλερὰ καὶ ἐπικίνδυνα τὰ πράγματα, ὥστε ἠναγκάσθη γράψαι ψήφισμα κηφισοφῶν ὁ παιανιεὺς εἷς τῶν φίλων καὶ ἑταίρων τοῦ χάρητος ἐκπλεῖν τὴν ταχίστην ἀντίοχον τὸν ἐπὶ τῶν ὑπηρετικῶν καὶ ζητεῖν τὸν στρατηγὸν τὸν ἐπὶ τῇ δυνάμει τεταγμένον, κἂν ἐντύχῃ που φράζειν ὅτι θαυμάζει ὁ δῆμος ὁ τῶν ἀθηναίων,

εἰ φίλιππος μὲν ἤδη χερρόνησον τὴν ἀθηναίων πορθεῖ. ἀθηναῖοι δὲ οὐδὲ τὸν στρατηγὸν ἴσασιν, οὐδὲ τὴν δύναμιν ἣν ἐξέπεμψαν, ὅπου ἐστίν. ὅτι δ᾽ ἀληθῆ λέγω ἀκούσατε τοῦ ψηφίσματος καὶ ἀναμνήσθητε τοῦ πολέμου καὶ τὴν εἰρήνην, τοὺς τῶν πολέμων ἡγεμόνας, ἀλλὰ μὴ τοὺς πρέσβεις ἀπαιτεῖτε. ψήφισμα δήμου ὃ κηφισοφῶν εἶπεν.

Οἱ μὲν καιροὶ τῆς πόλεως τοιοῦτοι ἦσαν ἐν οἷς οἱ περὶ τῆς εἰρήνης ἐγένοντο λόγοι. ἀνιστάμενοι δὲ οἱ συντεταγμένοι ῥήτορες, περὶ μὲν τῆς σωτηρίας τῆς πόλεως οὐδὲν ἐνεχείρουν λέγειν. ἀποβλέπειν δὲ εἰς τὰ προπύλαια τῆς ἀκροπόλεως ἐκέλευον ὑμᾶς, καὶ τῆς ἐν σαλαμῖνι πρὸς τὸν πέρσην ναυμαχίας μεμνῆσθαι, καὶ τῶν τάφων καὶ τῶν προγόνων καὶ τῶν τροπαίων, ἐγὼ δὲ ἁπάντων μὲν τούτων ἔφην δεῖν μεμνῆσθαι, μιμεῖσθαι μέντοι τὰς τῶν προγόνων εὐβουλίας, τὰ δὲ ἁμαρτήματα αὐτῶν καὶ τὴν ἄκαιρον φιλονεικίαν φυλάττεσθαι. τὴν μὲν ἐν πλαταιαῖς πρὸς τοὺς πέρσας πεζομαχίαν, καὶ τοὺς ἀγῶνας τοὺς περὶ σαλαμῖνα, καὶ τὴν ἐν μαραθῶνι μάχην καὶ τὴν ἐπ᾽ ἀρτεμισίῳ ναυμαχίαν καὶ τὴν τολμίδου ζηλοῦν στρατηγίαν κελεύων, ὃς χιλίους ἐπιλέκτους ἔχων ἀθηναίων διὰ μέσης πελοποννήσου πολεμίας οὔσης ἀδεῶς διεξῄει. τὴν δ᾽ εἰς σικελίαν στρατείαν φυλάττεσθαι, ἣν ἐξέπεμψαν λεοντίνοις βοηθήσοντες. τῶν πολεμίων ἐμβεβληκότων εἰς τὴν χώραν ἡμῶν καὶ δεκελείας ἐπιτετειχισμένης. καὶ τὴν τελευταίαν ἀβουλίαν φυλάξασθαι, ὅθ᾽ ἡττημένοι τῷ πολέμῳ προκαλουμένων αὐτοὺς λακεδαιμονίων εἰρήνην ἄγειν ἔχοντας πρὸς τῇ ἀττικῇ λῆμνον καὶ ἴμβρον καὶ σκῦρον καὶ δημοκρατουμένους κατὰ τοὺς νόμους, τούτων μὲν οὐδὲν ἤθελον ποιεῖν. πολεμεῖν δὲ προῃροῦντο οὐ δυνάμενοι. κλεοφῶν δὲ ὁ λυροποιός, ὃν πολλοὶ δεδεμένον ἐν πέδαις ἐμνημόνευον. παρεγγραφεὶς αἰσχρῶς πολίτης καὶ διεφθαρκὼς νομῇ χρημάτων τὸν δῆμον, ἀποκόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ τις εἰρήνης μνησθήσεται. τελευτῶντες δὲ εἰς τοῦτο τὴν πόλιν προήγαγον. ὥστε ἀγαπητῶς τὴν εἰρήνην ποιήσασθαι. ἀποστάντας πάντων, καὶ τὰ τείχη καθελόντας, καὶ παραδεξαμένους φρουράν, καὶ λακεδαιμονίων ἁρμοστήν, καὶ τῆς δημοκρατίας τοῖς τριάκοντα ἀφεμένους οἳ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτως ἀπέκτειναν. τὴν μὲν τοιαύτην ἀβουλίαν ὁμολογῶ παραγγέλλειν φυλάττεσθαι. τὰ δ᾽ ὀλίγῳ πρότερον εἰρημένα μιμεῖσθαι. οὐ γὰρ παρὰ τῶν ἀλλοτρίων. ἀλλὰ παρὰ τοῦ πάντων οἰκειοτάτου ταῦτα ἐπυνθανόμην.

ἀτρόμητος γὰρ ὁ πατὴρ ὁ ἡμέτερος ὃν σὺ λοιδορεῖς οὔτ᾽ εἰδὼς οὔτ᾽ ἐπιδὼν τῆς ἑαυτοῦ ἡλικίας οἷος ἦν, καὶ ταῦτα ὦ δημόσθενες ἐκ τῶν νομάδων σκυθῶν τὸ πρὸς μητρὸς γένος ὤν, ἔφυγε μὲν ἐπὶ τῶν τριάκοντα. συγκατήγαγε δὲ τὸν δῆμον.

καὶ ὁ τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφὸς θεῖος δὲ ἡμέτερος κλεόβουλος ὁ γλαύκου τοῦ ἀχαρνέως υἱὸς μετὰ δημαινέτου τοῦ βουζύγου, συγκατεναυμάχησε χίλωνα τὸν λακεδαιμονίων ναύαρχον.

ὥστε οἰκεῖά μοι καὶ συνήθη τὰ τῆς πόλεως ἀτυχήματα εἶναι τοῖς ὠσὶν ἀκούειν, ἐπιτιμᾷς δέ μοι καὶ τὴν ἐν τοῖς μυρίοις ἐν ἀρκαδίᾳ δημηγορίαν καὶ πρεσβείαν, καὶ μεταβεβλῆσθαί με φῂς αὐτὸς ὢν ἀνδραποδώδης καὶ μονονοὺ ἐστιγμένος αὐτόμολος.

ἐγὼ δ᾽ ἐν μὲν τῷ πολέμῳ συνίστην καθ᾽ ὅσον ἦν δυνατὸς ἀρκάδας καὶ τοὺς ἄλλους ἕλληνας ἐπὶ φίλιππον, οὐδενὸς δ᾽ ἀνθρώπου ἐπικουροῦντος τῇ πόλει, ἀλλὰ τῶν μὲν, περιορώντων ὅ,τι συμβήσεται, τῶν δὲ, συνεπιστρατευόντων, τῶν δ᾽ ἐν τῇ πόλει ῥητόρων χορηγὸν ταῖς καθ᾽ ἡμέραν δαπάναις τὸν πόλεμον ποιουμένων, ὁμολογῶ συμβουλεῦσαι τῷ δήμῳ διαλύσασθαι πρὸς φίλιππον καὶ τὴν εἰρήνην συνθέσθαι. ἣν σὺ νῦν αἰσχρὰν νομίζεις οὐδεπώποθ᾽ ἁψάμενος ὅπλων, ἐγὼ δὲ ταύτην εἶναι πολλῷ φημι καλλίω τοῦ πολέμου.

χρὴ δ᾽ ὦ ἀθηναῖοι τοὺς μὲν πρέσβεις θεωρεῖν πρὸς τὸν καιρὸν καθ᾽ ὃν ἐπρέσβευον, τοὺς δὲ στρατηγοὺς πρὸς τὰς δυνάμεις ὧν ἡγοῦντο. καὶ γὰρ τὰς εἰκόνας ἵστατε, καὶ τὰς προεδρίας καὶ τοὺς στεφάνους καὶ τὰς ἐν τῷ πρυτανείῳ σιτήσεις δίδοτε, οὐ τοῖς τὴν εἰρήνην ἀπαγγείλασιν, ἀλλὰ τοῖς τὴν μάχην νικήσασιν. εἰ δ᾽ ἔσονται τῶν πολέμων, αἱ μὲν εὐθῦναι τῶν πρέσβεων, αἱ δὲ δωρεαὶ τῶν στρατηγῶν, ἀσπόνδους καὶ

ἀκηρύκτους τοὺς πολέμους ποιήσετε. οὐδεὶς γὰρ ἐθελήσει πρεσβεύειν. Περὶ δὲ Κερσοβλέπτου καὶ Φωκέων καὶ τῶν ἄλλων ἃ πρὸς τούτοις διαβέβλημαι ὑπόλοιπον εἰπεῖν. ἐγὼ γὰρ ὦ Ἀθηναῖοι καὶ ἐν τῇ προτέρᾳ καὶ ἐν τῇ ὑστέρᾳ πρεσβείᾳ, ἃ μὲν εἶδον ὡς εἶδον ὑμῖν ἀπήγγελλα, ἃ δ' ἤκουσα ὡς ἤκουσα. Τίνα οὖν ἦν ἑκάτερα τούτων ἅ τε εἶδον, ἅ τε ἤκουσα περὶ Κερσοβλέπτου; Εἴδομεν μὲν ἐγὼ καὶ οἱ συμπρέσβεις ἅπαντες ὁμηρεύοντα τὸν υἱὸν τὸν Κερσοβλέπτου παρὰ Φιλίππῳ· καὶ ἔτι καὶ νῦν τοῦθ' οὕτως ἔχει. Συνέβαινε δ' ὅτε τὴν προτέραν ἐπρεσβεύομεν πρεσβείαν, ἐμοὶ μὲν μετὰ τῶν συμπρέσβεων ἀπιέναι δεῦρο, Φιλίππῳ δ' ἐπὶ Θρᾴκην ἐξιέναι. πρὸς δ' ἡμᾶς ὡμολογηκέναι ἕως ἂν ὑμεῖς περὶ τῆς εἰρήνης βουλεύσησθε μὴ ἐπιβήσεσθαι μεθ' ὅπλων Χερρονήσου. ἐν ἐκείνῃ μὲν οὖν τῇ ἡμέρᾳ ᾗ ὑμεῖς ἐψηφίσασθε τὴν εἰρήνην, οὐδεμία μνεία ἐγένετο περὶ Κερσοβλέπτου. ἤδη δὲ ἡμῶν κεχειροτονημένων ἐπὶ τοὺς ὅρκους οὔπω δὲ ἀπηρκότων ἐπὶ τὴν ὑστέραν πρεσβείαν ἐκκλησία γίνεται. ἐν ᾗ Δημοσθένης ὁ νυνὶ κατηγορῶν ἐμοῦ λαγχάνει προεδρεύειν, ἐν δὲ ταύτῃ τῇ ἐκκλησίᾳ Κριτόβουλος ὁ Λαμψακηνὸς εἶπε παρελθὼν ὅτι πέμψειε μὲν αὐτὸν Κερσοβλέπτης. ἀξιοῖ δὲ ἀποδοῦναι τοὺς ὅρκους τοῖς Φιλίππου πρέσβεσι καὶ συναναγραφῆναι Κερσοβλέπτην ἐν τοῖς ὑμετέροις συμμάχοις. ῥηθέντων δὲ τῶν λόγων τούτων Ἀλεξίμαχος ὁ Πήληξ δίδωσιν ἀναγνῶναι ψήφισμα τοῖς προέδροις ἐν ᾧ ἐγέγραπτο ἀποδοῦναι τοὺς ὅρκους Φιλίππῳ μετὰ τῶν ἄλλων συμμάχων τὸν ἥκοντα παρὰ Κερσοβλέπτου, ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος, καὶ ταῦτα οἶμαι πάντας ὑμᾶς μνημονεύειν ἀναστὰς ἐκ τῶν προέδρων Δημοσθένης, οὐκ ἔφη τὸ ψήφισμα ἐπιψηφιεῖν, οὐδὲ λύσειν τὴν πρὸς Φίλιππον εἰρήνην, οὐδὲ γινώσκειν τῶν συμμάχων τοὺς συνεφαπτομένους ὥσπερ ἐν τοῖς σπένδουσι τῶν ἱερῶν, ἀποδεδόσθαι γὰρ περὶ τούτων ἑτέραν ἐκκλησίαν. βοώντων δὲ ὑμῶν καὶ τοὺς προέδρους ἐπὶ τὸ βῆμα καλούντων οὕτως ἄκοντος αὐτοῦ τὸ ψήφισμα ἐπεψηφίσθη. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τὸν γράψαντα τὸ ψήφισμα Ἀλεξίμαχον, καὶ τοὺς συμπροέδρους Δημοσθένους καὶ τὴν μαρτυρίαν ἀνάγνωθι. Μαρτυρία τῶν Δημοσθένους συμπροέδρων. Ὁ μὲν τοίνυν ἐπιδακρύσας ἀρτίως ἐνταυθοῖ Δημοσθένης μνησθεὶς Κερσοβλέπτου, φαίνεται τῆς συμμαχίας ἐκκλείων αὐτόν, ὡς δ' ἡ παροῦσα ἐκκλησία διελύθη, ἐξώρκιζον τοὺς συμμάχους οἱ τοῦ Φιλίππου πρέσβεις ἐν τῷ στρατηγίῳ τῷ ὑμετέρῳ, τετόλμηκε δὲ πρὸς ὑμᾶς εἰπεῖν ὁ κατήγορος ὡς ἀπὸ τῶν ἱερῶν ἐγὼ Κριτόβουλον ἀπήλασα τὸν πρεσβευτὴν τὸν παρὰ Κερσοβλέπτου. παρόντων μὲν τῶν συμμάχων, ἐψηφισμένου δὲ τοῦ δήμου, παρακαθημένων δὲ τῶν στρατηγῶν, πόθεν τοσαύτην ῥώμην λαβών, ἢ πῶς ἂν τὸ πρᾶγμα ἐσιγήθη; Εἰ δ' ἄρα ἐγὼ ἐτόλμων τοῦτο ποιεῖν, ἐπέτρεψας ἄν ὦ Δημόσθενες; καὶ οὐκ ἐνέπλησας βοῆς καὶ κραυγῆς τὴν ἀγοράν, ὁρῶν με, ὡς ἔφης ἀρτίως, ὠθοῦντα ἀπὸ τῶν ἱερῶν τὸν πρεσβευτήν; καλείτω δέ μοι τοὺς στρατηγοὺς ὁ κῆρυξ καὶ τοὺς συνέδρους τῶν συμμάχων καὶ τὰς μαρτυρίας αὐτῶν ἀκούσατε. Μαρτυρίαι. Οὐκοῦν δεινὸν ὦ Ἀθηναῖοι εἴ τις κατ' ἀνδρὸς πολίτου οὐχ ἑαυτοῦ, ἀλλ' ὑμετέρου (τοῦτο γὰρ προσδιορθοῦμαι) τολμᾷ τηλικαῦτα καταψεύδεσθαι κινδύνου ὄντος ὑπὲρ τοῦ σώματος, ἢ πῶς οὐκ εἰκότως οἱ πατέρες ἡμῶν ἐν τοῖς φονικοῖς δικαίοις ἐπὶ Παλλαδίῳ κατέδειξαν τέμνοντας τὰ τόμια τοὺς νικῶντας τῇ ψήφῳ ἐξορκίζεσθαι. καὶ τοῦτο ὑμῖν πάτριον ἐστὶν ἔτι καὶ νῦν τὰ ἀληθῆ καὶ τὰ δίκαια ψηφίζεσθαι τῶν δικαστῶν ὅσοι τὴν ψῆφον ἤνεγκαν αὐτῷ, καὶ ψεῦδος μηδὲν εἰρηκέναι, εἰ δὲ μή, ἐξώλη τε αὐτὸν εἶναι ἐπαρᾶσθαι καὶ τὴν οἰκίαν τὴν αὐτοῦ, τοῖς δὲ δικασταῖς εὔχεσθαι πολλὰ καὶ ἀγαθὰ εἶναι καὶ μάλα ὀρθῶς καὶ πολιτικῶς ὦ Ἀθηναῖοι. εἰ γὰρ μηδεὶς ἂν ὑμῶν ἑαυτὸν ἀναπλῆσαι φόνου δικαίου βούλοιτο, ἦ που ἀδίκου γε φυλάξαιτ' ἂν τὴν ψυχήν, ἢ τὴν οὐσίαν, ἢ τὴν ἐπιτιμίαν τινὸς ἀφελόμενος. ἐξ ὧν αὐτοὺς ἀνῄρηκασί τινες, οἱ δὲ καὶ δημοσίᾳ ἐτελεύτησαν. ἆρ' οὖν ὦ Ἀθηναῖοι δοίητ' ἄν μοι συγγνώμην κίναιδον αὐτὸν προσειπόντι καὶ μὴ καθαρεύοντα τῷ σώματι μηδ' ὅθεν τὴν

φωνὴν

φωνὴν ἀφίησιν, ἔπειτα τὸ λοιπὸν μέρος τοῦ κατηγορήματος τοῦ περὶ κερσοβλέπτην ἐπ' αὐτοφώρῳ δεῖξαι με ψευδὸς ὄν; κάλλιστον γὰρ οἶμαι πρᾶγμα, καὶ χρησιμώτατον τοῖς διαβαλλομένοις παρ' ὑμῖν γίνεται· καὶ γὰρ τοὺς χρόνους καὶ τὰ ψηφίσματα καὶ τοὺς ἐπιψηφίσαντας ἐν τοῖς δημοσίοις γράμμασι τὸν ἅπαντα χρόνον φυλάττετε. εἴρηκε δὲ οὗτος πρὸς ὑμᾶς παρ' ἐμὲ διαφθαρῆναι τὰ κερσοβλέπτου πράγματα, ὅτι τῆς πρεσβείας ὢν ἡγεμὼν ἐγὼ καὶ κατεψηφισμένως παρ' ὑμῖν αὐτοῦ κελεύοντος εἰς θρᾴκην ἡμᾶς ἰέναι κερσοβλέπτου πολιορκουμένου καὶ διαμαρτύρασθαι φιλίππῳ, ταῦτα μὴ ποιεῖν οὐκ ἠθέλησα, ἀλλ' ἐκαθήμην ἐν ὠρεῷ καὶ οἱ συμπρέσβεις προξενίας κατασκευαζόμενοι. ἀκούσατε δὴ τῆς χάρητος ἐπιστολῆς ἣν ἐπέστειλε τότε τῷ δήμῳ. ὅτι κερσοβλέπτης ἀπολώλεκε τὴν ἀρχὴν, καὶ τὸ ἱερὸν ὄρος κατείληφε φίλιππος ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος. δημοσθένης δ' ἐν τῷ δήμῳ προήδρευε τούτου τοῦ μηνὸς εἷς ὢν τῶν πρέσβεων ἑβδόμῃ φθίνοντος. ἐπιστολή. οὐ μόνον τοίνυν διετρίψαμεν τὰς λοιπὰς ἡμέρας τοῦ μηνὸς, ἀλλὰ μουνυχιῶνος ἐξωρμήσαμεν, καὶ τούτου τὴν βουλὴν μάρτυρα ὑμῖν παρέξομαι. ἔστι γὰρ αὐτῆς ψήφισμα ὃ κελεύει ἀπιέναι τοὺς πρέσβεις ἐπὶ τοὺς ὅρκους, καί μοι λέγε τὸ τῆς βουλῆς ψήφισμα. ψήφισμα. προσανάγνωθι δὴ καὶ τὸν χρόνον ὅστις ἦν. χρόνος. ἀκούετε ὅτι μουνυχιῶνος ἐψηφίσθη τρίτῃ ἱσταμένου; ὁ δὲ κερσοβλέπτης πόσαις πρότερον ἡμέραις ἀπώλεσε τὴν ἀρχὴν πρὶν ἐμὲ ἀπιέναι ὥς φησι χάρης ὁ στρατηγὸς, καὶ ἐπιστολὴ τοῦ προτέρου μηνὸς ἐστὶ περὶ ἐλαφηβολιῶνα ἢ μουνυχιῶνος πρότερος. ἐδυνάμην οὖν ἐγὼ σῶσαι κερσοβλέπτην ὃς πρὶν ἐμὲ ἐξορμᾶν οἴκαδε ἀπολώλει. ἔπειτα οἴεσθέ τι τοῦτον ἀληθὲς εἰρηκέναι, ἢ περὶ τῶν ἐν μακεδονίᾳ πραχθέντων, ἢ περὶ τῶν ἐν θετταλίᾳ ὃς τοῦ βουλευτηρίου καὶ τῶν δημοσίων γραμμάτων καὶ τοῦ χρόνου καὶ τῶν ἐκκλησιῶν καταψεύδεται; καὶ τὸν κερσοβλέπτην ἀθήνησι μὲν ἐκσπονδον ἐποίεις πρόεδρος ὢν ἐν ὠρεῷ δ' ἠλέεις, καὶ νῦν μὲν δωροδοκίας κατηγορεῖς πρότερον δ' ὑπέμεινας τὴν ἐπιβουλὴν τῆς βουλῆς τῆς ἐξ ἀρείου πάγου; οὐδ' ἐπεξιὼν τοῦ τραύματος γραφὴν ἣν ἐγράψω δημομέλην τὸν παιανιέα ἀνεψιὸν ὄντα ἐπιτεμὼν τὴν σαυτοῦ κεφαλήν; καὶ σεμνολογεῖς ὑμῖν ὡς οὐκ εἰδόσι τούτοις ὅτι δημοσθένης υἱὸς εἶ νόθος τοῦ μαχαιροποιοῦ; ἐπεὶ ἐπεχείρησας δ' εἰπεῖν, ὡς καὶ τὴν ἐπὶ τοὺς ἀμφικτύονας πρεσβείαν ἐξομοσάμενος παρεπρέσβευσα, καὶ ψήφισμα τὸ μὲν ἀνέγνως τὸ δὲ ὑπερέβης; ἐγὼ δ' αἱρεθεὶς πρεσβευτὴς ἐπὶ τοὺς ἀμφικτύονας ἀρρώστως δ' ἔχων καὶ μετὰ πολλῆς προθυμίας ἀπαγγέλλων ἀφ' ἧς ἧκον πρεσβείας πρὸς ὑμᾶς τὴν μὲν πρεσβείαν οὐκ ἐξωμοσάμην ἀλλ' ὑπεσχόμην πρεσβεύσειν ἐὰν ὦ δυνατὸς, πρὸς δὲ τὴν βουλὴν ἀπιόντων τῶν συμπρέσβεων, τὸν ἀδελφὸν τὸν ἐμαυτοῦ καὶ τὸν ἀδελφιδοῦν καὶ τὸν ἰατρὸν ἔπεμψα. οὐκ ἐξομουμένους ἐμέ. οὐδὲ γὰρ ὁ νόμος ἐᾷ τὰς ἐκ τοῦ δήμου χειροτονίας ἐν τῇ βουλῇ ἐξόμνυσθαι, ἀλλὰ τὴν ἀρρωστίαν μου δηλώσοντας. ἐπειδὴ δ' οἱ συμπρέσβεις πυθόμενοι τὰ περὶ τοὺς φωκέας συμβάντα ἀνέστρεψαν γενομένης ἐκκλησίας ἤδη παρὼν καὶ δυνάμενος τῷ σώματι προσαναγκάζοντος τοῦ δήμου μηδὲν ἧττον πρεσβεύειν ἡμᾶς τοὺς ἐξ ἀρχῆς αἱρεθέντας ἅπαντας ἀψευδεῖν πρὸς ἀθηναίους ᾤμην δεῖν, καὶ ταύτης τῆς πρεσβείας οὐ κατηγορεῖς μου διδόντος τὰς εὐθύνας, ἀλλ' ἐπὶ ταύτην τὴν πρεσβείαν ἥκεις τὴν ἐπὶ τοὺς ὅρκους. ὑπὲρ ἧς ἐγὼ σαφῶς καὶ δικαίως ἀπολογήσομαι. σοὶ μὲν γὰρ ἁρμόττει καὶ πᾶσι τοῖς ψευδομένοις μεταφέρειν τοὺς χρόνους. ἐμοὶ δ' ἐφεξῆς λέγειν ἀναλαβόντι τὴν ἀρχὴν τοῦ λόγου ἀπὸ τῆς πορείας τῆς ἐπὶ τοὺς ὅρκους καὶ τῆς πρεσβείας. πρῶτον μὲν γὰρ δέκα πρέσβεων ὄντων, ἐνδεκάτου δὲ τοῦ συμπεμφθέντος ἡμῖν ὑπὸ τῶν συμμάχων, οὐδεὶς αὐτῷ συσσιτεῖν ἐξῄει, οὐδ' ἐξιόντες ἐπὶ τὴν ὑστέραν πρεσβείαν ἤθελον, οὔτε ἐν ταῖς ὁδοῖς ὅπου δυνατὸν ἦν εἰς ταὐτὸ πανδοκεῖον καταλύειν, ὁρῶντες αὐτὸν ἐν τῇ προτέρᾳ πρεσβείᾳ πᾶσιν αὐτοῖς ἐπιβεβουλευκότα. περὶ μὲν οὖν τῆς ἐπὶ θρᾴκης ὁδοῦ οὐκ ἐγένετο μνεία, οὐδὲ γὰρ τὸ ψήφισμα τοῦθ' ἡμῖν προσέταττεν, ἀλλὰ ἀπολαβεῖν μόνον τοὺς ὅρκους καὶ ἄλλ' ἄττα ἅ τι ἐλθόντας πράττειν οὐδὲν ἐνεδέχετο περὶ κερ

σοβλέπτῃ ἤδη γεγενημένων ὡς ἀρτίως ἠκούσατε, ἓν οὗτος οὐδὲν ἀληθὲς εἶπεν, ἀλλὰ ψεύδεται καὶ κατηγορεῖν οὐδὲν ἀληθὲς ἔχων τερατεύεται, συνηκολούθουν δ' αὐτῷ ἄνθρωποι δύο στρωματόδεσμα φέροντες, ἐν δὲ τῷ ἑτέρῳ τούτων ὡς αὐτὸς ἔφη τάλαντον ἐνῆν ἀργυρίου. ὥστε τοὺς συμπρέσβεις ἀναμιμνήσκεσθαι τὰς ἀρχαίας ἐπωνυμίας αὐτοῦ. ἐν παισὶ μὲν γὰρ ὢν ἐκλήθη δι' αἰσχρουργίαν τινὰ ἢ κιναιδίαν βάταλος. ἐκ παίδων δὲ ἀπαλλαττόμενος καὶ δεκαταλάντους δίκας ἑκάστῳ τῶν ἐπιτρόπων λαγχάνων ἀργᾶς ἐκλήθη. ἀνὴρ δὲ γενόμενος προσείληφε τὴν τῶν πονηρῶν κοινὴν ἐπωνυμίαν συκοφάντης. ἐπορεύετο δὲ λυσόμενος τοὺς αἰχμαλώτους ὡς ἔφη καὶ πρὸς ὑμᾶς ἀρτίως εἴρηκεν, εἰδὼς μὲν φίλιππον ἐν τῷ πολέμῳ οὐδένα πώποτε ἀθηναίων λύτρα πραξάμενον, ἀκούων δὲ τῶν ἐκείνου φίλων ἁπάντων ὅτι καὶ τοὺς λοιποὺς ἐὰν εἰρήνη γένηται ἀφήσει. πολλῶν δ' ἠτυχηκότων τάλαντον φέρων ἑνὸς ἀνδρὸς οὐδὲ τούτου λίαν εὐπόρου ἱκανὰ λύτρα, ὡς δ' ἦμεν ἐν μακεδονίᾳ καὶ συνήλθομεν εἰς ταυτὸν, καὶ φίλιππον ἐκ θρᾴκης παρόντα κατειλήφαμεν, ἀνεγνώσθη μὲν τὸ ψήφισμα καθ' ὃ ἐπρεσβεύσαμεν, καὶ τὰ προστεταγμένα ἡμῖν πρὸς τὸ τοὺς ὅρκους ἀπολαβεῖν συνηριθμούμεθα. ὡς δὲ οὐδεὶς ὑπὲρ τῶν μεγίστων ἐμέμνητο, ἀλλὰ περὶ πραγμάτων ἐλαττόνων τὴν διατριβὴν ἐποιοῦντο, εἶπον ἐγὼ λόγους οὓς ἀναγκαῖόν ἐστι πρὸς ὑμᾶς ῥηθῆναι, καὶ πρὸς τῶν θεῶν ὦ ἀθηναῖοι ὥσπερ καὶ τῆς κατηγορίας ἠκούσατε ὡς αὐτὸς ὁ κατήγορος ἐβούλετο εἰπεῖν, οὕτω καὶ τῆς ἀπολογίας εὐτάκτως ἀκούσατε, καὶ τὸν αὐτόν μοι τρόπον διαμείνατε ὃν ὑπὲρ ἐξ ἀρχῆς ἐν τοῖς προειρημένοις ἤδη λόγοις ἠκροᾶσθε. ὅπερ γὰρ καὶ ἀρτίως ὑπεθέμην ὦ ἀθηναῖοι εἶπον συνειλεγμένων τῶν πρέσβεων ὅτι μοι δοκείη αὐτὸ τὸ μέγιστον πρόσταγμα τοῦ δήμου δεινῶς ἀγνοεῖν. τὸ μὲν γὰρ τοὺς ὅρκους ἀπολαβεῖν καὶ περὶ τῶν ἄλλων διαλεχθῆναι καὶ περὶ τῶν αἰχμαλώτων εἰπεῖν, κἂν εἰ τοὺς ὑπηρέτας ἔπεμψεν ἡ πόλις περιθεῖσα πίστιν αὐτοῖς, ἅπαντ' ἂν πραχθῆναι νομίζω. τὸ δὲ ὑπὲρ τῶν ὅλων ὀρθῶς βουλεύσασθαι ὅσα καθ' ὑμᾶς ἐστιν ἢ φίλιππον, τοῦτ' ἤδη ἔργον εἶναι πρέσβεων φρονίμων, λέγω δὴ ἔφην ἐγὼ περὶ τῆς εἰς πύλας στρατείας. ἣν ὁρᾶτε οὖσαν ἐν παρασκευῇ. ὅτι δὲ οὐ κακῶς στοχάζομαι περὶ τοῦ πράγματος, μεγάλα τούτων ὑμῖν σημεῖα δείξω. πάρεισι μὲν γὰρ θηβαίων, ἥκουσι δὲ λακεδαιμονίων πρέσβεις. ἀφίγμεθα δ' ἡμεῖς ἔχοντες τὸ τοῦ δήμου ψήφισμα. ἐν ᾧ γέγραπται πράττειν δὲ τοὺς πρέσβεις καὶ ἄλλ' ὅ,τι ἂν δύνωνται ἀγαθόν. ἅπαντες δ' οἱ ἕλληνες πρὸς τὸ μέλλον ἔσεσθαι βλέπουσιν. εἰ μὲν οὖν ἡγεῖτο ὁ δῆμος αὐτῷ καλῶς ἔχειν, ἐξεῖναι μετὰ παρρησίας ἐν τῷ ψηφίσματι πρὸς φίλιππον, θηβαίων μὲν κατηγορεῖν τὴν ὕβριν βοιωτῶν δὲ ἀναστῆσαι τὰ τείχη, ταῦτ' ἂν ἠξίωσεν ἐν τῷ ψηφίσματι. νῦν δὲ αὐτοῖς μὲν κατέλιπον τὴν εἰς τὸ ἀφανὲς ἀναφορὰν, ἂν μὴ πείθωσιν ἐν ἡμῖν δὲ ἀποκινδυνεύειν ᾠήθησαν δεῖν. δεῖ δὴ τοὺς πρὸς τὰ κοινὰ φιλοτιμουμένους μὴ κατέχειν τῶν ἑτέρων χώραν πρέσβεων. οὓς ἐξῆν πέμπειν ἀνθ' ἡμῶν ἀθηναίους αὐτοὺς δὲ τὰς πρὸς θηβαίους ἀπεχθείας φεύγειν ὧν εἷς ὢν ἐπαμινώνδας στρατηγὸς οὐχ ὑποπτήξας τὸ τῶν ἀθηναίων ἀξίωμα εἶπε διαρρήδην ἐν τῷ πλήθει τῶν θηβαίων ὡς δεῖ τὰ τῆς ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς καδμείας. ταῦτα δέ μου μεταξὺ λέγοντος, ἀνεβόα πάνυ μέγεθες δημοσθένης ὡς ἴσασι πάντες οἱ συμπρέσβεις ἡμῶν, καὶ γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς βοιωτιάζει. ἦν δ' οὖν παρ' αὐτοῦ ταυτὶ λεγόμενα. ἄνθρωπος οὗτος ταραχῆς καὶ τόλμης ἐστὶ μεστὸς, ἐγὼ δὲ ὁμολογῶ μαλακὸς εἶναι, καὶ τὰ δεινὰ πόρρωθεν δεδιέναι. ἀπαγορεύω μέντοι μὴ συνταράττειν ἡμᾶς πρὸς ἀλλήλας τὰς πόλεις. τὸ μὴ πολυπραγμονεῖν ἡμᾶς τοὺς πρέσβεις μηδὲν, τοῦτ' ἀγαθὸν ὑπολαμβάνων εἶναι. πορεύεται φίλιππος εἰς πύλας. ἐγὼ δὲ ἐγκαλύπτομαι. οὐδείς με τῶν ὅπλων ἕνεκα τῶν φιλίππου κρινεῖ. ἀλλ' ἐὰν εἴπω τι μὴ δέον, ἢ πράξω τι τῶν μὴ προστεταγμένων, πέρας δὲ τοῦ πράγματος ἐψηφίσαντο οἱ συμπρέσβεις, κατ' ἄνδρα ἐπερωτώμενος ἕκαστος ἡμῶν ὅ,τι νομίζοι συμφέρειν τοῦτο λέγειν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς συμπρέσβεις, καὶ τὴν μαρτυρίαν αὐτῶν λέγε.

μαρτυρία.

ἐπειδὴ τοίνυν ὦ ἀθηναῖοι συνελέγησαν μὲν εἰς

πάλιν αἱ πρεσβεῖαι, παρῆν δὲ ὁ Φίλιππος καὶ τοὺς Ἀθηναίων πρέσβεις ὁ κῆρυξ ἐκάλει, πρῶτον μὲν παρῆμεν οὐ καθ' ἡλικίαν ὥσπερ ἐν τῇ προτέρᾳ πρεσβείᾳ. ὃ παρά τισιν εὐδοκιμεῖ καὶ κόσμος εἶναι τῆς πόλεως ἐφαίνετο ἀλλὰ κατὰ τὴν Δημοσθένους ἀναισχυντίαν. φάσκων γὰρ νεώτατος εἶναι πάντων τὴν τάξιν τοῦ πρῶτος λέγειν οὐκ ἂν ἔφη παραλιπεῖν, οὐδ' ἐπιτρέψειν τινί. αἰνιττόμενος εἰς ἐμέ, προκαταλαβόντα τὰ Φιλίππου ὦτα τοῖς ἄλλοις λόγον μὴ καταλιπεῖν, ἀρξάμενος γὰρ τοῦ λέγειν, πρῶτος διαβολήν τινα κατὰ τῶν συμπρέσβεων ὑπεῖπεν ὡς οὐχ ἅπαντες ὑπὲρ τῶν αὐτῶν οὐδ' ὅμοιοι ταῖς δόξαις ἥκομεν, διεξῄει τὰς ὑπηρεσίας τὰς ὑπηργμένας εἰς Φίλιππον αὐτῷ, πρώτην μὲν τὴν ἐν τῷ ψηφίσματι τῷ Φιλοκράτους συνηγορίαν. ὅτ' ἔφευγε παρανόμων ἐξεῖναι γράψας Φιλίππῳ πρέσβεις, πρὸς Ἀθηναίους ὑπὲρ εἰρήνης πέμπειν. δεύτερον δὲ ὑπανέγνω τὸ ψήφισμα ὃ γεγραφὼς αὐτὸς ἦν. σπείσασθαι τῷ κήρυκι καὶ τῇ παρὰ Φιλίππου πρεσβείᾳ. τρίτον δὲ τὸ περὶ τοῦ βουλεύσασθαι τὸν δῆμον ὑπὲρ εἰρήνης ἐν τακταῖς ἡμέραις, καὶ προσέθηκέ τι τοιοῦτον ἐνθύμημα τῷ λόγῳ ὅτι πρῶτος ἐπιστομίσαι τοὺς τὴν εἰρήνην ἐκκλείοντας οὐ τοῖς λόγοις, ἀλλὰ τοῖς χρόνοις. ἔπειθ' ἕτερον ἐπῆγε ψήφισμα τὸ καὶ περὶ συμμαχίας βουλεύσασθαι τὸν δῆμον, καὶ μετὰ ταῦτ' ἤδη τὸ περὶ τῆς προεδρίας τῆς εἰς τὰ Διονύσια τοῖς πρέσβεσι τοῖς Φιλίππου ψήφισμα, καὶ προσέθηκε τὴν ἐπιμέλειαν τὴν ἐπ' αὐτούς, καὶ προσκεφαλαίων θέσιν, καὶ φυλακάς τινας, καὶ ἀγρυπνίας διὰ τοὺς φθονοῦντας καὶ βουλομένους εἰς τὴν αὐτοῦ φιλοτιμίαν ὑβρίσαι, καὶ τά γε δὴ καταγέλαστα παντελῶς, ἐφ' οἷς οἱ συμπρέσβεις ἐνεκαλύψαντο, ὡς ἐξένισε τοὺς πρέσβεις τοὺς Φιλίππου. ὡς ἐμισθώσατ' αὐτοῖς ὅτ' ἀπῄεσαν ὀρικὰ ζεύγη, καὶ συμπαρῄει ἐφ' ἵππου οὐ καταδὺς εἰς τὸ σκότος ὥσπερ ἕτεροί τινες, ἀλλὰ φανερῶς ἐπιδεικνύμενος τὴν τῶν πραγμάτων θεραπείαν. ἐκεῖνα δὲ ἤδη καὶ σφόδρα διωρθοῦτο. οὐκ εἶπον ὡς καλὸς εἶ. γυνὴ γὰρ τῶν ὄντων ἐστὶ κάλλιστον. οὐδ' ὡς δεινὸς συμπιεῖν, σπογγιᾶς τὸν ἔπαινον ὑπολαμβάνων τοῦτον εἶναι οὐδ' ὡς μνημονικὸς σοφιστοῦ τὰ τοιαῦτα νομίζων [illegible] ἐγκώμια εἶναι, ἵνα δὲ μὴ μακρολογῶ τοιαῦτα ἅττα ἔλεγε παρόντων τῶν πρέσβεων ὡς ἔπος εἰπεῖν ἐξ ἁπάσης τῆς Ἑλλάδος, ἐφ' οἷς γέλωτες οὐχ οἱ τυχόντες ἐγένοντο. ἐπειδὴ δέ ποτ' ἐπαύσατο καὶ σιωπὴ ἐγένετο, ἠναγκαζόμην ἐγὼ λέγειν μετὰ τοιαύτην ἀπαιδευσίαν, καὶ κολακείας αἰσχρᾶς ὑπερβολήν, καὶ μικρὰ προεῖπον ἐξ ἀνάγκης πρὸς τὴν προειρημένην κατὰ τῶν συμπρέσβεων ὑπ' αὐτοῦ διαβολήν. λέγων ὅτι πέμψειαν ἡμᾶς Ἀθηναῖοι πρέσβεις οὐκ ἀπολογησομένους ἐν Μακεδονίᾳ περὶ ἡμῶν αὐτῶν, ἀλλ' οἴκοθεν ἐκ τοῦ βίου δεδοκιμασμένους ἀξίους τῆς πόλεως εἶναι. βραχέα δ' ὑπὲρ τῶν ὅρκων προειπὼν ἐφ' οὓς ἥκομεν ἀποληψόμενοι καὶ περὶ τῶν ἄλλων ἃ προσετάξατε ὑμεῖς διεξιών, ὁ γὰρ περιττὸς καὶ τοῖς λόγοις δεινὸς Δημοσθένης, οὐδενὸς τῶν ἀναγκαίων ἐμνήσθη, καὶ δὴ περὶ τῆς εἰς Πύλας στρατείας εἶπον, καὶ περὶ τῶν ἱερῶν, καὶ περὶ Δελφῶν, καὶ περὶ τῶν Ἀμφικτυόνων, καὶ μάλιστα μὲν Φίλιππον ἠξίουν μὴ μεθ' ὅπλων ἀλλὰ μετὰ ψήφου καὶ κρίσεως τἀκεῖ καθιστάναι. εἰ δ' ἄρα μὴ δυνατὸν εἴη, τοῦτο δ' ἦν πρόδηλον, τὸ γὰρ στρατόπεδον παρῆν καὶ συνήθροιστο, εἶπον ὅτι τὸν μέλλοντα ὑπὲρ Ἑλληνικῶν ἱερῶν βουλεύεσθαι, πολλὴν προσήκει πρόνοιαν ὑπὲρ εὐσεβείας ἔχειν, καὶ τοῖς περὶ τῶν πατρίων ἐγχειροῦσι διδάσκειν, προσέχειν τὸν νοῦν. ἅμα δὲ ἐξ ἀρχῆς διεξῆλθον τὴν κτίσιν τοῦ ἱεροῦ καὶ τὴν πρώτην σύνοδον γενομένην τῶν Ἀμφικτυόνων καὶ τοὺς ὅρκους αὐτῶν ἀνέγνων ἐν οἷς ἔνορκον ἦν τοῖς ἀρχαίοις μηδεμίαν πόλιν τῶν Ἀμφικτυονίδων ἀνάστατον ποιήσειν, μηδ' ὑδάτων ναματιαίων εἴρξειν. μήτ' ἐν πολέμῳ, μήτ' ἐν εἰρήνῃ ἐὰν δέ τις ταῦτα παραβῇ στρατεύσειν ἐπὶ τοῦτον, καὶ τὰς πόλεις ἀναστήσειν, καὶ ἐάν τις ἢ συλᾷ τὰ τοῦ θεοῦ, ἢ συνειδῇ τι, ἢ βουλεύσῃ τι κατὰ τῶν ἐν τῷ ἱερῷ, τιμωρήσειν καὶ ποδὶ καὶ χειρί, καὶ φωνῇ, καὶ πάσῃ δυνάμει, καὶ προσῆν τῷ ὅρκῳ ἀρὰ ἰσχυρά. τούτων δὲ ἀναγνωσθέντων, ἀπεφηνάμην ὅτι ἐμοὶ δοκεῖ δίκαιον εἶναι μὴ περιορᾶν κατεσκαμμένας τὰς ἐν Βοιωτοῖς πόλεις. ὅτι δ' ἦσαν Ἀμφικτυονίδες καὶ ἔνορκοι,

κατηριθμησάμην ἔθνη δώδεκα τὰ μετέχοντα τοῦ ἱεροῦ. Θετταλούς. Βοιωτούς. οὐ Θηβαίους μόνους. Δωριέας. Ἴωνας. Περραιβούς. Μάγνητας. Λοκρούς. Οἰταίους. Φθιώτας. Μαλιεῖς. Φωκέας. καὶ τούτων ἔδειξα ἕκαστον ἔθνος ἰσόψηφον γενόμενον, τὸ μέγιστον τῷ ἐλάττονι. τὸν ἥκοντα ἐκ Δωρίου, καὶ Κυτινίου ἴσον δυνάμενον Λακεδαιμονίοις. δύο γὰρ ψήφους ἕκαστον φέρει ἔθνος. πάλιν ἐκ τῶν Ἰώνων τὸν Ἐρετριέα, καὶ Πριηνέα τοῖς Ἀθηναίοις, καὶ τοὺς ἄλλους κατὰ ταὐτά. τὴν μὲν οὖν ἀρχὴν τῆς στρατείας ταύτης ὁσίαν, καὶ δικαίαν ἀπεφηνάμην εἶναι, συλλεγέντων δὲ τῶν Ἀμφικτυόνων εἰς τὸ ἱερὸν, καὶ τυχόντων σωτηρίας, καὶ ψήφου, τοὺς αἰτίους τῆς ἐξ ἀρχῆς καταλήψεως τοῦ ἱεροῦ, δίκης ἠξίουν τυχεῖν, μὴ τὰς πατρίδας αὐτῶν, ἀλλ' αὐτοὺς τοὺς χειρουργήσαντας, καὶ βουλεύσαντας, τὰς δὲ πόλεις παρασχούσας εἰς κρίσιν τοὺς ἀδικήσαντας ἀζημίους εἶναι. εἰ δὲ ἐπεξελθὼν δυνάμει βεβαιώσεις τὰ Θηβαίων ἀδικήματα, παρ' ὧν μὲν βοηθεῖς, οὐκ ἀπολήψῃ χάριν, οὐ γὰρ ἂν δύναιο αὐτοὺς τηλικαῦτα εὐεργετῆσαι, ἡλίκα Ἀθηναῖοι πρότερον, ὧν οὐ μέμνηνται. οὓς δ' ἐγκαταλείψῃς, ἀδικήσεις. χρήσῃ δ' ἐχθροῖς μείζοσιν, ἀλλ' οὐ φίλοις. ἵνα δὲ μὴ διατρίβω τοὺς ἐκεῖ λόγους ῥηθέντας, νῦν πρὸς ὑμᾶς ἀκριβῶς διεξιὼν ἐν κεφαλαίῳ περὶ πάντων εἰπὼν παύσομαι, ἡ μὲν τύχη, καὶ Φίλιππος ἦσαν τῶν ἔργων κύριοι. ἐγὼ δὲ τῆς πρὸς ὑμᾶς εὐνοίας, καὶ τῶν λόγων, παρ' ἐμοῦ μὲν οὖν ἐρρέθη τὰ δίκαια, καὶ τὰ συμφέροντα ὑμῖν. ἀπέβη δὲ οὐχ ὡς ἡμεῖς ηὐχόμεθα, ἀλλ' ὡς Φίλιππος ἔπραξε.

Πότερον οὖν ὁ μηδὲν προθυμηθεὶς ἐργάσασθαι ἀγαθὸν, δίκαιός ἐστιν εὐδοξεῖν, ἢ ὁ μηδὲν ὧν ἦν δυνατὸς ἐλλείπων. ἐν δὲ τῷ παρόντι νυνὶ πολλὰ διὰ τὸν καιρὸν παραλείπω.

Ἔτι δὲ, ὡς ἐψευδολόγουν φάσκων ἐν ὀλίγων ἡμερῶν τὰς Θήβας ἔσεσθαι ταπεινὰς, καὶ τοὺς Εὐβοέας, ὡς ἐφόβουν προάγων εἰς ἐλπίδας τινὰς ὑμᾶς. ὃ δὲ ποιεῖ καταμάθετε ὦ Ἀθηναῖοι. ἐγὼ γὰρ παρὰ Φιλίππῳ μὲν ὢν, ἠξίωσα. πρὸς δ' ὑμᾶς ἥκων, ἀπήγγελλον, ὅτι τὰς Θήβας Βοιωτίας δίκαιον ἡγοίμην εἶναι, καὶ μὴ τὴν Βοιωτίαν Θήβας. τοῦτο οὐκ ἀπαγγεῖλαι, ἀλλ' ὑποσχέσθαι με φησίν. ἔλεγον δὲ πρὸς ὑμᾶς ὅτι Κλεοχάρης, ὁ Χαλκιδεὺς θαυμάζειν ὑμῶν καὶ Φιλίππου φαίη τὴν ἐξαίφνης ὁμόνοιαν, ὡς καὶ τοῦ προστεταγμένου ἡμῖν πράττειν ἀγαθὸν, ὅτι ἂν δυνώμεθα ἐν τῷ ψηφίσματι. τοὺς γὰρ μικροπολίτας, ὥσπερ αὐτοὺς φοβεῖν τὰ τῶν μειζόνων ἀπόρρητα. ταῦτα οὐ διηγήσασθαί με φησὶν, ἀλλ' ἐπηγγέλθαι τὴν Εὔβοιαν παραδώσειν. ἐγὼ δὲ ὑπειλήφειν δεῖν τὴν πόλιν τὴν ὑπὲρ τῶν ὅλων μέλλουσαν βουλεύεσθαι μηδενὸς λόγου ἑλληνικοῦ ἀνήκοον εἶναι. διέβαλλε δὲ κἀκεῖνον διαιρούμενος τὸν λόγον, ὡς ἀπαγγέλλειν τἀληθῆ βουλόμενος, ὑπ' ἐμοῦ, καὶ Φιλοκράτους κωλυθείη. ἐγὼ δ' ἡδέως ἂν ὑμᾶς ἐροίμην, εἴ τις πώποτε Ἀθηναίων πρεσβευτὴς ἐκπεμφθεὶς, ἐφ' οἷς ἐπρέσβευσε κεκώλυται πρὸς τὸν δῆμον ἀπαγγέλλειν, καὶ ταῦτα παθὼν, καὶ ἀτιμασθεὶς ὑπὸ τῶν συμπρέσβεων, τούτους ἔγραψεν ἐπαινέσαι, καὶ καλέσαι ἐπὶ δεῖπνον. Δημοσθένης τοίνυν ἥκων ἀπὸ τῆς ὑστέρας πρεσβείας, ἐν ᾗ φησι τὰ τῶν Ἑλλήνων πράγματα ἀνατραπῆναι, οὐκ ἐν τῷ ψηφίσματι μόνον ἡμᾶς ἐπῄνει, ἀλλ' ἀπαγγείλαντος πρὸς τὸν δῆμον ἐμοῦ, τούς τε περὶ τῶν Ἀμφικτυόνων λόγους, καὶ Βοιωτῶν οὐχ ὥσπερ νῦν συντέμνοντος, οὐδ' ἐπειγομένου, ἀλλ' ὡς ἐδυνάμην κατὰ ῥῆμα ἀκριβέστατα, καὶ τοῦ δήμου σφόδρα ἀποδεχομένου, παρακληθεὶς ὑπ' ἐμοῦ μετὰ τῶν ἄλλων συμπρέσβεων, καὶ διερωτώμενος εἰ τἀληθῆ, καὶ ταὐτὰ ἀπαγγέλλω πρὸς Ἀθηναίους, ἅπερ καὶ πρὸς Φίλιππον εἶπον, πάντων μαρτυρούντων, καὶ ἐπαινούντων με τῶν συμπρέσβεων, ἐπαναστὰς ἐπὶ πᾶσιν, οὐκ ἔφη με ὥσπερ ἐκεῖ εἶπον, οὕτως ἐν τῷ παρόντι λέγειν, ἀλλ' ἐκεῖ διπλασίως ἄμεινον. καὶ τούτων ὑμεῖς οἱ τὴν ψῆφον μέλλοντες φέρειν, ἐστέ μοι μάρτυρες. καίτοι τίς ἂν αὐτῷ καλλίων καιρὸς ἐγένετο, ἢ τότ' ἐξελέγχειν εὐθὺς εἴ τι τὴν πόλιν ἐξηπάτων; φὴς γάρ με ἐν μὲν τῇ πρώτῃ πρεσβείᾳ λαθεῖν σαυτὸν συνεστηκότα ἐπὶ τὴν πόλιν, ἐν δὲ τῇ ὑστεραίᾳ αἰσθέσθαι, ἐν ᾗ συνηγορῶν μοι φαίνῃ. κἀκείνης μὲν ἅμα κατηγορῶν, οὐ φῂς κατηγορεῖν. τῆς δ' ἐπὶ τοὺς ὅρκους κατηγορεῖς. καίτοι εἰ τὴν εἰρήνην ψέγεις, σὺ καὶ τὴν συμμαχίαν ἔγραψας, καὶ Φίλιπ

πος ἔτι τὴν πόλιν ἐξηπάτα, διὰ τοῦτο ἐψεύδετο, ὅπως τῆς εἰρήνης εἴ τι περὶ συνέφερον αὐτῷ τύχοι. οὐκοῦν ἡ μὲν προτέρα πρεσβεία τὸν καιρὸν τοῦτον εἶχεν· ἡ δὲ ὑστέρα ἤδη πεπραγμένοις ἐγίνετο. τίνος οὖν ἦσαν αἱ ἀπάται; ταῦτα γὰρ τοῦ γόητος ἀνθρώπου, ὧν εἴρηκε λογίσασθε. εἰσπλεῖν με φησὶν ἐν μονοξύλῳ πλοίῳ κατὰ τὸν Λυδίαν ποταμὸν τῆς νυκτὸς, ὡς Φίλιππον, καὶ τὴν ἐπιστολὴν, τὴν δεῦρο ἐλθοῦσαν Φιλίππῳ γράψαι. ὁ μὲν γὰρ Λεωσθένης, ὁ φεύγων ἐνθένδε διὰ τοὺς συκοφάντας, οὐ δυνατὸς ἦν ἐπιδεξίως ἐπιστολὴν γράψαι. ὃν οὐκ ὀκνοῦσί τινες ἀποφαίνεσθαι μετὰ Καλλίστρατον τὸν Ἀφιδναῖον τῶν ἄλλων μάλιστα εἰπεῖν δύνασθαι, οὐδ' αὐτὸς ὁ Φίλιππος πρὸς ὃν ἀντειπεῖν Δημοσθένης ὑπὲρ ὑμῶν οὐκ ἠδυνήθη· οὐδ' ὁ Βυζάντιος Πύθων, ἄνθρωπος ἐπὶ τῷ γράφειν μέγα φρονῶν, ἀλλ' ὡς ἔοικε τὸ πρᾶγμα ἐμοῦ προσεδεῖτο. καὶ λέγεις μὲν, ὅτι Φιλίππῳ μεθ' ἡμέραν, πολλάκις μόνος μόνῳ, διελεγόμην, αἰτιᾷ δὲ εἰσπλεῖν με νύκτωρ κατὰ τὸν ποταμὸν, οὕτω νυκτερινῆς ἐπιστολῆς τὸ πρᾶγμα ἐδεῖτο, ὅτι δ' οὐδὲν ἀληθὲς λέγεις, ἥκουσι μὲν μαρτυρήσοντες μεθ' ὧν συνεσίτουν, Ἀγλαοκρέων ὁ Τενέδιος, καὶ Ἰατροκλῆς ὁ Πασιφῶντος, μεθ' ὧν ἑξῆς ἅπαντα τὸν χρόνον τὰς νύκτας ἀνεπαυόμην. οἳ συνίσασιν ἐμοὶ μηδεμίαν πώποτε ἀπ' αὐτῶν νύκτα ἀπογενομένῳ, μὴ δὲ μέρος νυκτός. ἄγομεν δὲ καὶ τοὺς οἰκέτας, καὶ παραδίδομεν εἰς βάσανον. καὶ τὸν μὲν λόγον εἰ συγχωρήσοι ὁ κατήγορος καταλύω. παρέσται δὲ ἤδη ὁ δήμιος, καὶ βασανιεῖ ἐναντίον ὑμῶν ἂν κελεύητε. ἐνδέχεται τὸ λοιπὸν μέρος τῆς ἡμέρας ταῦτα πρᾶξαι. πρὸς ἕνδεκα γὰρ ἀμφορέας ἐν διαμεμετρημένῃ τῇ ἡμέρᾳ κρίνομαι. κἂν φῶσιν ἀποκτείνειν με τουτωνὶ πώποτε τῶν συσσίτων βασανιζόμενοι γεγονέναι, μὴ φείσησθέ μου ὦ Ἀθηναῖοι· ἀλλ' ἐξαναστάντες ἀποκτείνατε. ἂν δ' ἐξελεγχθῇς ψευδόμενος Δημόσθενες, τοιαύτην δίκην δὸς, ὁμολογήσον ἀνδρόγυνος εἶναι, καὶ μὴ ἐλεύθερος ἐναντίον τούτων. κάλει μοι τοὺς οἰκέτας δεῦρο ἤδη ἐπὶ τὸ βῆμα, καὶ τὴν τῶν συμπρέσβεων ἀναγίνωσκε μαρτυρίαν. μαρτυρία.

πρόκλησις. ἐπειδὴ τοίνυν οὐ δέχεται τὴν πρόκλησιν, ἀλλ' ἂν φησιν οὐ βασάνοις ἀνδραπόδων γενέσθαι, λάβε μοι τὴν ἐπιστολὴν ταύτην, ἣν ὁ Φίλιππος ἔπεμψε, δῆλον γὰρ, ὅτι τὰ μάλιστα τὴν πόλιν παραλογίζεται δι' ἣν ἠγρυπνοῦμεν γράφοντες. ἐπιστολή.

ἀκούσατε ὦ Ἀθηναῖοι, ὅτι τοὺς ὅρκους ἀποδεδωκέναι φησὶ τοῖς ὑμετέροις πρέσβεσι, καὶ τῶν συμμάχων ἑαυτοῦ τοὺς παραγενομένους κατ' ὄνομα γέγραφε, καὶ αὐτοὺς, καὶ τὰς πόλεις αὐτῶν, τοὺς δ' ὑστερήσαντας τῶν συμμάχων ἀποστελεῖν φησι πρὸς ὑμᾶς. ταῦτ' οὖν οὐκ ἂν οἴεσθε δύνασθαι γράψαι Φίλιππον μεθ' ἡμέραν ἄνευ ἐμοῦ; ἀλλ' ἔμοιγε νὴ τοὺς θεοὺς οὗτος δοκεῖ τοῦτο μόνον λογίζεσθαι, ὅπως μεταξὺ λέγων εὐδοκιμήσῃ, εἰ δὲ μικρὸν ἐπισχὼν δόξει πονηρότατος τῶν Ἑλλήνων εἶναι, οὐδὲ μικρὸν φροντίζει. τί γὰρ ἂν τις τούτῳ πιστεύσειεν ἀνθρώπῳ, ὃς ἐγκεχείρηκε λέγειν, ὡς Φίλιππος οὐ τοῖς αὐτοῦ στρατηγήμασιν, ἀλλὰ ταῖς ἐμαῖς δημηγορίαις εἴσω Πυλῶν παρῆλθε. καὶ λογισμόν τινα ἡμερῶν συνετίθετο πρὸς ὑμᾶς. ἐν αἷς ἐγὼ μὲν ἀπήγγελλον τὴν πρεσβείαν, οἱ δὲ Φαλαίκου τοῦ Φωκέων τυράννου δημοκήρυκες, τἀνθένδε ἐκεῖσε διήγγελλον. πιστεύσαντες δὲ οἱ Φωκεῖς ἐμοὶ, εἴσω Πυλῶν αὐτὸν παρεδέξαντο. καὶ τὰς πόλεις, τὰς αὐτῶν παρέδοσαν. ταῦτα μὲν οὖν ὁ κατήγορος μεμηχάνηται, τὰ δ' ἐν Φωκεῦσι διέφθαρη πράγματα, πρῶτον μὲν διὰ τὴν τύχην, ἣ πάντων ἐστὶ κυρία. ἔπειτα διὰ τὸ μῆκος τοῦ χρόνου, καὶ τὸν δεκαετῆ πόλεμον, τὸ γὰρ αὐτὸ ηὔξησέ τε τῶν ἐν Φωκεῦσι τυράννων τὰ πράγματα, καὶ καθεῖλε. κατέστησαν μὲν γὰρ εἰς τὴν ἀρχὴν τολμήσαντες τῶν ἱερῶν χρημάτων ἅψασθαι, καὶ διὰ ξένων τὰς πολιτείας μετέστησαν, κατελύθησαν δ' ἀπορίᾳ χρημάτων, ἐπειδὴ κατεμισθοφόρησαν τὰ ὑπάρχοντα. τρίτον δ' αὐτοὺς καθεῖλεν ἡ τοῖς ἀπορουμένοις στρατοπέδοις συνήθως παρακολουθοῦσα στάσις. τέταρτον δ' ἡ Φαλαίκου περὶ τῶν μελλόντων ἔσεσθαι πραγμάτων ἄγνοια. ἡ μὲν γὰρ Θετταλῶν, καὶ Φιλίππου στρατεία, πρόδηλος ἦν. οὐ πολλῷ δὲ χρόνῳ πρότερον πρὶν ἢ τὴν πρὸς ὑμᾶς εἰρήνην γενέσθαι, πρέσβεις πρὸς ὑμᾶς ἦλθον ἐκ Φωκέων βοηθεῖν αὐτοῖς κελεύοντες, καὶ ἐπαγγελλόμενοι παραδώσειν Ἀλπωνὸν, καὶ Θρόνιον, καὶ Νίκαιαν, τὰ

τῶν παρόδων τῶν εἰς πύλας χωρία κύρια. ψηφισαμένων δ' ὑμῶν παραδοῦναι προξένῳ τῷ στρατηγῷ τοὺς φωκέας ταῦτα τὰ χωρία, καὶ πεντήκοντα πληροῦν τριήρεις, καὶ τοὺς μέχρι τριάκοντα ἔτη γεγονότας ἐξιέναι, ἀντὶ τοῦ παραδοῦναι τὰ χωρία προξένῳ, ἔδησαν οἱ τύραννοι τοὺς πρέσβεις τοὺς ἐπαγγελλομένους ὑμῖν παραδοῦναι τὰ φυλακτήρια, καὶ τοῖς σπονδοφόροις τοῖς τὰς μυστηριώτιδας σπονδὰς ἀπαγγέλλουσι μόνοι τῶν ἑλλήνων φωκεῖς οὐκ ἐσπείσαντο. καὶ πάλιν ἀρχιδάμου τοῦ λάκωνος παραλαμβάνειν ὄντος ἑτοίμου τὰ χωρία, καὶ φυλάττειν, οὐκ ἐπείσθησαν. ἀλλ' ἀπεκρίναντο αὐτῷ τὰ τῆς σπάρτης δεινὰ δεδιέναι, καὶ μὴ παρ' αὐτοῖς. κοὔπω ταῦτα οὔπω διελέλυσθε φιλίππῳ, ἀλλ' ἐν τῇ αὐτῇ ἡμέρᾳ περί τε τῆς εἰρήνης ἐβουλεύεσθε, καὶ τῆς ἐπιστολῆς ἠκούετε τῆς προξένου, ὅτι φωκεῖς οὐ παραδεδώκασιν αὐτῷ τὰ χωρία, καὶ οἱ τὰ μυστήρια ἀπαγγέλλοντες μόνους τῶν ἄλλων ἑλλήνων ἀπέφηναν φωκέας οὐ δεδεγμένους τὰς σπονδάς, ἀλλὰ καὶ τοὺς δεῦρο ἐληλυθότας πρέσβεις δεδεκότας. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς σπονδοφόρους, καὶ τοὺς παρὰ προξένου τοῦ στρατηγοῦ πρεσβεύσαντας εἰς φωκέας, καλλιστράτην, καὶ μεταγένη. καὶ τῆς ἐπιστολῆς ἀκούσατε τῆς προξένου.

ἐπιστολή.

ἀκούετε ὦ ἀθηναῖοι τῶν χρόνων παραναγιγνωσκομένων ἐκ τῶν δημοσίων γραμμάτων καὶ τῶν μαρτύρων ὑμῖν προσδιαμαρτυρησάντων, ὅτι πρὶν ἐμὲ χειροτονηθῆναι πρεσβευτήν, φάλαικος, ὁ τῶν φωκέων τύραννος, ὑμῖν μὲν, καὶ λακεδαιμονίοις ἠπίστει, φιλίππῳ δ' ἐπίστευεν, ἀλλ' οὗτος μόνος τὸ συμβησόμενον ἠγνόει; ὑμεῖς δ' αὐτοὶ δημοσίᾳ πῶς διέκεισθε; οὐ πάντες προσεδοκᾶτε φίλιππον ταπεινώσειν θηβαίους; ὁρῶντα αὐτῶν τὴν θρασύτητα καὶ τὸ μὴ βούλεσθαι δύναμιν ἀνθρώπων ἀπίστων ἐπαυξῆσαι. λακεδαιμόνιοι δ' οὐ μεθ' ἡμῶν τἀναντία θηβαίοις ἐπρέσβευον, καὶ τελευτῶντες προσέκρουον φανερῶς ἐν μακεδονίᾳ, καὶ διηπείλουν τοῖς τῶν θηβαίων πρέσβεσιν; αὐτοὶ δ' οὐκ ἠπόρουν, καὶ ἐφοβοῦντο οἱ τῶν θηβαίων πρέσβεις; θετταλοὶ δ' οὐ κατεγέλων τῶν ἄλλων ὑπὲρ αὐτῶν φάσκοντες τὴν στρατείαν εἶναι; τῶν δ' ἑταίρων τινὲς τῶν φιλίππου, οὐ διαρρήδην πρὸς τινάς ὑμῶν ἔλεγον, ὅτι τὰς ἐν βοιωτοῖς πόλεις κατοικιεῖ φίλιππος; θηβαῖοι δ' οὐκ ἐξεληλύθεσαν πανδημεὶ ἀπιστοῦντες τοῖς πράγμασιν; ὑμῖν δὲ ταῦθ' ὁρῶν οὐκ ἔπεμψεν ἐπιστολὴν ὁ φίλιππος ἐξιέναι πάσῃ τῇ δυνάμει βοηθήσοντας τοῖς δικαίοις, οἱ δὲ νῦν πολεμικοὶ, καὶ τὴν εἰρήνην ἀνανδρίαν καλοῦντες, οὐ διεκώλυσαν ὑμᾶς ἐξελθεῖν εἰρήνης, καὶ συμμαχίας γεγενημένης, δεδιέναι φάσκοντες, μὴ τοὺς στρατιώτας ὑμῶν ὁμήρους λάβῃ φίλιππος; πότερον οὖν ἐγὼ τοὺς προγόνους ἐκώλυσα τὸν δῆμον μιμεῖσθαι, ἢ σὺ, καὶ οἱ συνεστηκότες ἐπὶ τὰ κοινά, καὶ πότερον ἦν ἀσφαλεστέρα, καὶ καλλίων ἀθηναίοις ἡ ἔξοδος ἡνίκα ἤκμαζον ἐν τῇ μανίᾳ φωκεῖς, ἐπολέμουν δὲ φιλίππῳ. εἶχον δὲ ἀλπωνὸν, καὶ νίκαιαν μήπω παραδόντος φιλίππου μακεδόσι, τὰς σπονδὰς δὲ, αἷς ἐμέλλομεν βοηθεῖν τὰς μυστηριώτιδας οὐκ ἐδέχοντο, θηβαίους δ' ὄπισθεν κατελίπομεν, μεταπεμπομένου μὲν φιλίππου, ὅρκων δ' ἡμῖν, καὶ συμμαχίας γεγενημένης, θετταλῶν δὲ, καὶ τῶν ἄλλων ἀμφικτυόνων στρατευόντων, οὐ πολλῷ καλλίων οὗτος ἦν ὁ καιρὸς ἐκείνου, ἐν ᾧ διὰ τὴν σὴν ἀνανδρίαν, καὶ ἅμα φθόνον ἐσκευαγώγησαν ἐκ τῶν ἀγρῶν ἀθηναῖοι πρεσβεύοντος ἐμοῦ τὴν τρίτην ἤδη πρεσβείαν ἐπὶ τὸ κοινὸν τῶν ἀμφικτυόνων, ἐφ' ἣν τολμᾷς με λέγειν, ὡς οὐ χειροτονηθεὶς ᾠχόμην, ἐχθρὸς δ' ὢν οὔπω καὶ τήμερον τεθέληκάς με εἰσαγγεῖλαι παραπρεσβεύσασθαι; οὐ γὰρ δὴ φθονεῖς γέ μοι τῆς εἰς τὸ σῶμα τιμημάτων. τοιγάρτοι θηβαίων μὲν παρακαθημένων, καὶ δεομένων, τῆς δ' ἡμετέρας πόλεως διὰ σὲ τεθορυβημένης, καὶ τῶν ἀθηναίων ὁπλιτῶν οὐ παρόντων, θετταλῶν δὲ θηβαίοις προστιθεμένων διὰ τὴν ὑμετέραν ἀβουλίαν, καὶ τὴν πρὸς φωκέας ἔχθραν, ἣ προϋπῆρχε θετταλοῖς ἐκ παλαιῶν χρόνων, ὅτε αὐτῶν τοὺς ὁμήρους λαβόντες φωκεῖς κατηλόησαν, φαλαίκου δὲ πρὶν ἐμὲ ἐλθεῖν, καὶ στέφανον, καὶ δέρκυλον, καὶ τοὺς ἀμφικτυόνας πρέσβεις ἀπεληλυθότος ὑποσπόνδου, ὀρχομενίων δὲ περιδεῶν ὄντων, καὶ σπονδὰς τοῖς σώμασιν αἰτησάντων, ὥστε ἀπελθεῖν ἐκ τῆς βοιωτίας, παρεστ

κύτου μὲν τῶν θηβαίων πρέσβεων, ὑπολειπομένους δ' ἔχθρας φανερᾶς φιλίππῳ πρὸς θηβαίους, καὶ θετταλούς, τό τε ἀπώλοντο αἱ πράξεις, οὐ δι' ἐμέ, ἀλλὰ διὰ τὴν σὴν προδοσίαν, καὶ τὴν πρὸς θηβαίους προξενίαν. μεγάλα δ' οἶμαι τούτων ἐγὼ σημεῖα ἐπιδείξειν. Εἰ γάρ τι τούτων ἀληθὲς ἦν, ὧν σὺ λέγεις, κατηγόρουν ἄν μου βοιωτοί, καὶ φωκέων οἱ φεύγοντες, ὧν τοὺς μὲν, ἐξεβεβλήκειν, τοὺς δ' ἐκώλυσα κατελθεῖν. νῦν δ' οὐ τὰ συμβάντα λογιζόμενοι, ἀλλὰ τὴν εὔνοιαν τὴν ἐμὴν ἀποδεχόμενοι, συλλεγέντες οἱ φεύγοντες βοιωτῶν, ᾕρηνταί μοι συνηγόρους. ἥκουσι δ' ἀπὸ τῶν ἐν φωκεῦσι πόλεων πρέσβεις, οὓς ἐγὼ τὴν τρίτην πρεσβείαν ἐλθὼν εἰς τοὺς ἀμφικτύονας πρεσβεύων ἔσωσα. οἰταίων ἐγχειρούντων λέγειν, ὡς δεῖ τοὺς ἡβῶντας ὠθεῖν κατὰ τῶν κρημνῶν, καὶ παρήγαγον εἰς τοὺς ἀμφικτύονας, ὥστε ἀπολογίας τυχεῖν. ὁ μὲν γὰρ φάλαικος τύραννος ὑπόσπονδος ἀφεῖτο· οἱ δὲ ἀναίτιοι, ἀποθνήσκειν ἔμελλον· συναγορεύοντος δέ μου, διεσώθησαν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι μνάσωνα τὸν φωκέα, καὶ τοὺς συμπρέσβεις, καὶ τοὺς ἀπὸ τῆς τῶν βοιωτῶν φυγῆς εἱρημένους. ἀνάβηθι δεῦρο λίπαρε, καὶ πυθίων, καὶ τὴν αὐτὴν ἀπόδοτέ μοι χάριν εἰς τὴν τοῦ σώματος σωτηρίαν, ἥνπερ ἐγὼ ὑμῖν. Συνηγορία βοιωτῶν, καὶ φωκέων. ὡς οὖν οὐκ ἂν δεινὰ πάθοιμι, εἰ κατηγοροῦντος μὲν δημοσθένους τοῦ θηβαίων προξένου, καὶ πονηροτάτου τῶν ἑλλήνων, συναγορευόντων δέ μοι φωκέων, καὶ βοιωτῶν ἁλοίην, ἐτόλμησε δ' εἰπεῖν, ὡς ἐγὼ τοῖς ἐμαυτοῦ λόγοις περιπίπτω. φησὶ γάρ με εἰπεῖν, ὅτ' ἔκρινον τίμαρχον, ὅτι πάντες κατ' αὐτοῦ τὴν τῆς πορνείας φήμην παρειλήφασι· τὸν δ' ἡσίοδον ποιητὴν
» ἀγαθὸν ὄντα λέγειν, φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ λαοὶ φημί-
» ξουσι, θεός νύ τις ἐστὶ καὶ αὐτή. τὴν δ' αὐτὴν ταύτην θεὸν ἥκειν νῦν κατηγοροῦσαν ἐμοῦ. πάντας γὰρ λέγειν ὡς χρήματα ἔχω παρὰ φιλίππου. Εὖ δ' ἴστε ὦ ἀθηναῖοι, ὅτι πλεῖστον διαφέρει φήμη, καὶ συκοφαντία. φήμη μὲν γὰρ οὐ κοινωνεῖ διαβολῇ. διαβολὴ δέ, ἀδελφόν ἐστι, καὶ συκοφαντία. διοριῶ δ' αὐτῶν ἑκάτερον σαφῶς. φήμη μέν ἐστιν, ὅταν τὸ πλῆθος τῶν πολιτῶν αὐτόματον ἐκ μηδεμιᾶς προφάσεως λέγῃ τινά, ὡς γεγενημένην πρᾶξιν. Συκοφαντία δ' ἐστίν, ὅταν πρὸς τοὺς πολλοὺς εἷς ἀνὴρ αἰτίαν ἐμβαλών, ἔν τε ταῖς ἐκκλησίαις ἁπάσαις, πρός τε τὴν βουλὴν διαβάλλῃ τινά. καὶ τῇ μὲν φήμῃ δημοσίᾳ θύομεν, ὡς θεῷ. τῶν δὲ συκοφαντῶν, ὡς κακούργων δημοσίᾳ προβολὰς ποιούμεθα. μὴ οὖν συνάγε εἰς ταυτὸ τὰ κάλλιστα τοῖς αἰσχίστοις.

ἐπὶ πολλοῖς μὲν οὖν ἔγωγε τῶν κατηγορημένων ἠγανάκτησα, μάλιστα δὲ ἡνίκα ᾐτιᾶτο εἶναί με προδότην, ἅμα γὰρ ταῖς αἰτίαις ταύταις φανῆναί με δεῖ θηριώδη, καὶ τὴν ψυχὴν ἄστοργον, καὶ πολλοῖς ἑτέροις ἁμαρτήμασι πρότερον ἔνοχον, τὸν μὲν οὖν ἐμὸν βίον, καὶ τὴν καθ' ἡμέραν δίαιταν ὑμᾶς δοκιμαστὰς ἱκανοὺς εἶναι νομίζω. ἃ δ' ἐστὶ τοῖς μὲν πολλοῖς ἀσυνόπτα, τοῖς δὲ χρηστοῖς τὰς ψυχὰς μέγιστα, τούτων ὑμῖν τὰ πλεῖστα, καὶ καλῶς ἔχοντα ἐκ τῶν ἐμῶν ὁρᾶν ἀναβιβῶμαι. ἵν' εἰδῆτε τίνας ἐμὰς παρακαταθήκας, ἃς οἴκοι καταλιπὼν εἰς μακεδονίαν ἐπρέσβευσα. Σὺ μὲν ὦ δημόσθενες ταῦτα ἔπλασας ἐπ' ἐμέ· ἐγὼ δ' ὡς ἐπαιδεύθην, καὶ δικαίως ἐξηγήσομαι. Οὑτοσὶ μέν μοι ἐστὶ πατὴρ ἀτρόμητος σχεδὸν πρεσβύτατος τῶν πολιτῶν. ἔτη γὰρ ἤδη βεβίωκεν ἐνενήκοντα, καὶ τέτταρα, καὶ συμβέβηκεν αὐτῷ νέῳ μὲν ὄντι, πρὶν τὴν οὐσίαν ἀπολέσαι διὰ τὸν πόλεμον, ἀθλεῖν τῷ σώματι, ἐκπεσόντι δ' ὑπὸ τῶν τριάκοντα, στρατεύεσθαι μὲν ἐν τῇ ἀσίᾳ, ἀριστεύειν δ' ἐν τοῖς κινδύνοις· εἶναι δ' ἐκ φατρίας τὸ γένος, ἣ τῶν αὐτῶν βωμῶν ἐτεοβουτάδαις μετέχει. ὅθεν ἡ τῆς ἀθηνᾶς τῆς πολιάδος ἐστὶν ἱέρεια. συγκατάγειν δὲ τὸν δῆμον, ὡς καὶ ὀλίγῳ πρότερον εἶπον· ἐλευθέρους δέ μοι συμβέβηκεν εἶναι, καὶ τοὺς πρὸς μητρὸς ἅπαντας, ἣ νῦν ἐμοὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνεται φοβουμένη περὶ τῆς ἐμῆς σωτηρίας, καὶ διηπορημένη. Καίτοι ὦ δημόσθενες, ἡ μὲν ἐμὴ μήτηρ ἔφυγε μετὰ τοῦ αὐτῆς ἀνδρὸς ἐπὶ τῶν τριάκοντα εἰς κόρινθον, καὶ μετέσχε τῶν πολιτικῶν κακῶν. σὺ δὲ ἀμφισβητῶν ἀνὴρ εἶναι, καὶ γὰρ ἂν ἀμφισβητήσαιμι εἰπεῖν, ὡς ἀνὴρ εἶ, ἐγράφης λειποταξίου, καὶ τὸν γραψάμενον νι-

κόδημον τὸν ἀφιδναῖον χρήμασι πείσας ἐσώθης, ὃν ὕστερον μετὰ ἀριστάρχου συναπέκτεινας, καὶ οὐ καθαρὸς ὢν τὰς χεῖρας εἰς τὴν ἀγορὰν ἐμβάλλεις. φιλοχάρης δ' οὑτοσὶ, ὁ πρεσβύτατος ἀδελφὸς ἡμῶν, οὐκ ἄγεν εἰς διατριβὰς, ὡς σὺ βλασφημεῖς ἔχων, ἀλλ' ἐν γυμνασίοις διατρίβων, καὶ μετὰ ἰφικράτους συνεστρατευμένος, καὶ συνεχῶς ἔτος ἤδη τουτὶ τρίτον στρατηγῶν, ἥκει δεησόμενος ὑμῶν ἐμὲ σῶσαι. ἀφόβητος δ' οὑτοσὶ ὁ νεώτατος ἀδελφὸς ἡμῶν, πεπρέσβευκε μὲν ὑπὲρ ὑμῶν ἀξίως τῆς πόλεως πρὸς τὸν τῶν περσῶν βασιλέα, καλῶς δὲ καὶ δικαίως τῶν ὑμετέρων προσόδων ἐπιμεληθεὶς, ὅτε αὐτὸν ἐπὶ τὴν κοινὴν διοίκησιν εἵλεσθε, καὶ πεπαιδοποιημένος κατὰ τοὺς νόμους, ἀλλ' οὐ κνωσίωνι τὴν ἑαυτοῦ γυναῖκα παρακατακλίνων, ὥσπερ σὺ, πάρεστι καταφρονῶν τῶν σῶν λοιδοριῶν. τὸ γὰρ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται. ἐτόλμησας δὲ κατὰ τῶν ἐμῶν κηδεστῶν εἰπεῖν οὕτως ἀναιδὴς, καὶ πόρρωθεν ἀχάριστος εἶ, ὃς φιλόδημον τὸν φίλωνος πατέρα, καὶ ἐπικράτους οὐκ ἀγαπᾷς, οὐδὲ προσκυνεῖς δι' ὃν εἰς τοὺς δημότας ἐνεγράφης, ὡς ἴσασιν οἱ πρεσβύτεροι παιανιέων. ἐκπέπληγμαι δὲ, εἰ σὺ λοιδορεῖν φίλωνα τολμᾷς, καὶ ταῦτα ἐν τοῖς ἐπιεικεστάτοις ἀθηναίων, οἳ δεῦρο εἰσεληλύθασι δικάζοντες ἕνεκα τοῦ βελτίστου τῆς πόλεως. καὶ μᾶλλον προσέχουσι τοῖς βίοις ἡμῶν, ἢ τοῖς λόγοις. πότερα γὰρ ἂν προσδοκᾷς αὐτοὺς εὔξασθαι μυρίους ὁπλίτας ὁμοίους φίλωνι γενέσθαι, καὶ τὰ σώματα οὕτω διακειμένους, καὶ τὴν ψυχὴν οὕτω σώφρονας, ἢ τρισμυρίους κιναίδους, οἵους περ σὺ, καὶ τὴν ἐπικράτους εὐαγωγίαν τοῦ φίλωνος ἀδελφοῦ ἐπανάγεις εἰς ὀνείδη; καὶ τίς αὐτὸν εἶδέ πώ ποτε ἀσχημονήσαντα, ἢ μεθ' ἡμέραν, ὡς σὺ φῂς ἐν τῇ πομπῇ τῶν διονυσίων, ἢ νύκτωρ; οὐ γὰρ ἂν τοῦτό γ' εἴποις, ὡς ἔλαθεν. οὐ γὰρ ἠγνοεῖτο. ἐμοὶ δὲ ὦ ἀθηναῖοι ἐκ τῆς φιλοδήμου θυγατρὸς, καὶ φίλωνος ἀδελφῆς, καὶ ἐπικράτους, τρεῖς παῖδές εἰσι. μία μὲν θυγάτηρ, δύο δὲ υἱοί· οὓς ἐγὼ ἥκω μετὰ τῶν ἄλλων κομίζων ἑνὸς ἐρωτήματος ἕνεκα, καὶ τεκμηρίου πρὸς τοὺς δικαστὰς ὃ νῦν ἤδη χρήσομαι. ἐρωτῶ γὰρ ὦ ἀθηναῖοι, εἰ δοκῶ ἂν ὑμῖν πρὸς τῇ πατρίδι, καὶ τῇ τῶν φίλων συνηθείᾳ, καὶ ἱερῶν, καὶ τάφων πατρῴων μετουσίᾳ, τούτους τοὺς πάντων ἀνθρώπων ἐμοὶ φιλτάτους προδοῦναι φιλίππῳ. καὶ περὶ πλείονος τὴν ἐκείνου φιλίαν τῆς τούτων σωτηρίας ποιήσασθαι. ποίᾳ κρατηθεὶς ἡδονῇ; ἢ τί πώ ποτε ἄσχημον ἕνεκα χρημάτων πράξας; οὐ γὰρ ἡ μακεδονία κακοὺς ἢ χρηστοὺς ποιεῖ, ἀλλ' ἡ φύσις. οὐδ' ἐσμὲν ἕτεροί τινες ἥκοντες ἀπὸ τῆς πρεσβείας, ἀλλ' οἵους ἐξεπέμψατε. συμπέπλεγμαι δ' ἐν τῇ πολιτείᾳ κατ' ὑπερβολὴν ἀνθρώπῳ γόητι, καὶ πονηρῷ, ὃς οὐδ' ἂν ἄκων ἀληθὲς οὐδὲν εἴποι. ἡγεῖται δ' ὅταν τι ψεύδηται τῶν λόγων ὅρκος κατὰ τῶν ἀναισχύντων ὀφθαλμῶν, καὶ τὰ γεγενημένα οὐ μόνον, ὡς ἔστι λέγειν, ἀλλὰ καὶ τὴν ἡμέραν, ἐν ᾗ φησι γενέσθαι, καὶ προστίθησι τινὸς ὄνομα πλασάμενος, ὡς ἔτυχε παρὼν μιμούμενος τοὺς τἀληθῆ λέγοντας. οἱ δὲ εὐτυχοῦμεν οἱ μηδὲν ἀδικοῦντες, ὅτι πρὸς τῇ τερατείᾳ τοῦ τρόπου, καὶ τῇ τῶν ὀνομάτων συνθέσει, νοῦν οὐκ ἔχει. σκέψασθε γὰρ ἀφροσύνην ἅμα, καὶ ἀπαιδευσίαν ἀνθρώπου. ὃς τοιοῦτον ἔπλασε τὸν περὶ τὴν ὀλυνθίαν γυναῖκα ψεῦδος κατ' ἐμοῦ, ἐφ' ᾧ μεταξὺ μὲν λέγων ἐφ' ὑμῶν ἐξερρίφη, τὸν δὲ πλεῖστον ἀφεστηκότα τοῦ τοιούτων πρὸς τοὺς εἰδότας διέβαλλε. σκέψασθε δὲ ὡς πόρρωθεν ἐπὶ τὴν αἰτίαν ταύτην παρεσκευάζετο. ἔστι γάρ τις ἐπιδημῶν ἡμῶν εἰς τὴν πόλιν ἀριστοφάνης ὀλύνθιος, τούτῳ συσταθεὶς ὑπό τινων, καὶ πυθόμενος, ὡς εἰπεῖν δύναται, ὑπερεκθεραπεύσας αὐτὸν, καὶ προσαγαγόμενος, ἔπειθεν ἐμοῦ τὰ ψευδῆ καταμαρτυρεῖν πρὸς ὑμᾶς. κἂν παρελθὼν ἐθελήσῃ σχετλιάσαι, καὶ λέγειν, ὡς εἰς οἰκείαν αὐτοῦ γυναῖκα, καὶ αἰχμάλωτον γεγενημένην πεπαρῴνηκα, πεντακοσίας μὲν ἤδη δραχμὰς ὑπισχνεῖτο αὐτῷ δώσειν, πεντακοσίας δ' ἑτέρας ἐπειδὰν καταμαρτυρήσῃ. ὁ δ' αὐτῷ ἀπεκρίνατο, ὡς αὐτὸς διηγεῖτο, ὅτι τῆς μὲν φυγῆς, καὶ τῆς παρούσης ἀπορίας ἑαυτῷ οὐ κακῶς, ἀλλ' ὡς οἷόν τε ἄριστα στοχάζοιτο. τοῦ δὲ τρόπου, πλεῖστον εἴη διημαρτηκώς. οὐδὲν γὰρ ἂν τοιοῦτο πρᾶξαι. ὅτι δὲ ἀληθῆ λέγω, αὐτὸν ἀριστοφάνην μαρτυροῦντα παρέξομαι. κάλει

ξομαι. κάλει

ξομαι. κέλευε μοι ἀριστοφάνην ὀλύνθιον, καὶ τὴν μαρτυρίαν ἀναγίνωσκε, καὶ τοὺς ἀκηκοότας αὐτοῦ, καὶ πρὸς ἐμὲ ἀπαγγείλαντας δερκύλον αὐτοκλέους ἁγνούσιον, καὶ ἀριστείδην εὐφιλήτου κηφισιέα. ΜΑΡΤΥΡΙΑ. Τῶν μὲν μαρτύρων διομνυμένων, καὶ μαρτυρούντων ἀκούετε, τὰς δ' ἀνοσίους τῶν λόγων τούτου τέχνας, ἃς οὗτος πρὸς τοὺς νέους ἐπαγγέλλεται, καὶ κέχρηται νυνὶ κατ' ἐμοῦ, ἆρα μέμνησθε, ὡς ἐπιδακρύσας, καὶ τὴν ἑλλάδα κατοδυράμενος, καὶ σάτυρον τὸν κωμικὸν ὑποκριτὴν προσεπαινέσας, ὅτι ξένους τινὰς αὐτοῦ αἰχμαλώτους σκάπτοντας ἐν τῷ φιλίππου ἀμπελουργείῳ, καὶ δεδεμένους παρὰ τὸν πότον ἐξῃτήσατο παρὰ τοῦ φιλίππου, ταῦθ' ὑποθεὶς ἐπεῖπεν ἐντεινάμενος ταύτην τὴν ὀξεῖαν, καὶ ἀνοσίαν φωνήν, ὡς δεινὸν εἰ ὁ μὲν τοὺς καρίωνας, καὶ ξανθίας ὑποκρινόμενος οὕτως εὐγενὴς, καὶ μεγαλόψυχος γένοιτο. ἐγὼ δ' ὁ τῆς μεγίστης πόλεως σύμβουλος, ὁ τοὺς μυρίους ἀρκάδων νουθετῶν οὐ κατάσχοιμι τὴν ὕβριν, ἀλλὰ παροξυνθεὶς, ὅθ' ἡμᾶς εἱστία ξενόδοκος τῶν ἑταίρων τις τῶν φιλίππου, ἑλκοίμην τῶν τριχῶν, καὶ λαβὼν ῥυτῆρα μαστιγοίην αἰχμάλωτον γυναῖκα. εἰ τοίνυν ὑμεῖς αὐτῷ ἐπιστεύσατε, ἢ ἀριστοφάνης μου συγκατεψεύσατο ἐπ' αἰσχραῖς αἰτίαις ἀδίκως ἂν ἀπωλόμην. ἐάσετε οὖν αὐτὸν τοιοῦτον προστρόπαιον μὴ γὰρ δὴ τῆς πόλεως, ὥστε ἐν ὑμῖν ἀναστρέφεσθαι, καὶ τὴν μὲν ἐκκλησίαν καθαίρετε. ἐν δὲ τοῖς ψηφίσμασι διὰ τούτου τὰς εὐχὰς ποιήσεσθε; καὶ στρατιὰν, ἢ πεζὴν, ἢ ναυτικὴν ἐκπέμψετε; καὶ μὴν ὅ γε ἡσίοδος λέγει.

Π ολλάκι τοι ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα.
Ο ς κεν ἀλιτραίνῃ, καὶ ἀτάσθαλα μηχανάαται.

ἓν δὲ πρὸς τοῖς εἰρημένοις εἰπεῖν ἔτι βούλομαι. εἰ γάρ που τίς ἐστι κακία κατ' ἀνθρώπους, ἣν μὴ προστιθέντα περὶ ταύτην ἀποδείξω δημοσθένην, θανάτου τιμῶμαι. ἀλλ' οἶμαι πολλά, καὶ χαλεπὰ παρακολουθεῖ τῷ κρινομένῳ, καὶ μετακαλεῖ τὴν ψυχὴν ἀπὸ τῆς ὀργῆς ὁ κίνδυνος ἐπὶ τοὺς ὑπὲρ τῆς σωτηρίας λόγους. καὶ διαλογισμὸν παρίστησι, μή τι παραλίπῃ τῶν κατηγορημένων, ὥστε ἅμα μὲν ὑμᾶς, ἅμα δὲ ἐμαυτὸν εἰς ἀνάμνησιν τῶν κατηγορημένων ἀναγαγεῖν βούλομαι. Σκοπεῖτε γὰρ δὴ καθ' ἕκαστον ὦ ἀθηναῖοι, ποῖον ἐγὼ ψήφισμα γράψας κρίνομαι, ἢ ποῖον νόμον λύσας, ἢ ποῖον γενέσθαι κωλύσας, ἢ τίνας ὑπὲρ τῆς πόλεως συνθήκας ποιησάμενος, ἢ τί τῶν δεδογμένων περὶ τῆς εἰρήνης ἀπαλείψας, ἢ τί τῶν δοξάντων ὑμῖν προσγράψας. οὐκ ἤρεσκέ τισι τῶν ῥητόρων ἡ εἰρήνη; ἔπειτα οὐ τότε ἀντιλέγειν αὐτοὺς ἐχρῆν, ἀλλὰ μὴ νῦν ἐμὲ κρίνειν; ἐπλούτουν τινὲς ἐκ τοῦ πολέμου ἀπὸ τῶν ὑμετέρων εἰσφορῶν, καὶ τῶν δημοσίων προσόδων. νῦν δὲ πέπαυνται. εἰρήνη γὰρ ἀργίαν οὐ τρέφει. ἔπειτα οἱ μὲν, οὐκ ἀδικούμενοι, ἀλλ' ἀδικοῦντες τὴν πόλιν, τιμωρήσονται τὸν προστάντα τῆς εἰρήνης. οἱ δ' ὠφελούμενοι τοὺς χρησίμους εἰς τὰ κοινὰ γενομένους ἐγκαταλείψετε. συνῇδον γὰρ τοὺς παιᾶνας φιλίππῳ κατεσκαμμένων τῶν ἐν φωκεῦσι πόλεων, ὡς φησιν ὁ κατήγορος. καὶ τίνι τεκμηρίῳ δύναιτ' ἄν τις σαφῶς τοῦτο ἐπιδεῖξαι. ἐκλήθην μὲν γὰρ ἐπὶ τὰ ξένια μετὰ τῶν συμπρέσβεων. ἦσαν δ' οἱ κληθέντες, καὶ συνδειπνοῦντες, σὺν ταῖς ἀπὸ τῶν ἑλλήνων πρεσβείαις οὐκ ἐλάττους, ἢ διακόσιοι. ἐν δὲ τούτοις, ὡς ἔοικεν, ἐγὼ διαφανὴς ἦν. οὐχ ὑποσιγῶν, ἀλλὰ συνᾴδων, ὥς φησι δημοσθένης. οὔτ' αὐτὸς παρὼν οὔτε τῶν ἐκεῖ παρόντων οὐδένα παρασχόμενος μάρτυρα. καὶ τῷ γε δῆλος ἦν. εἰ μή γε ὥσπερ ἐν τοῖς χοροῖς προῆδον. οὐκοῦν εἰ μὲν ἐσίγων, ψευδῆ μου κατηγορεῖς, εἰ δὲ ὀρθῆς μὲν τῆς πατρίδος οὔσης, καὶ τῶν πολιτῶν κοινῇ μηδὲν ἀτυχούντων συνῇδον μετὰ τῶν ἄλλων συμπρέσβεων τὸν παιᾶνα. ἡνίκα ὁ θεὸς μὲν ἐτιμᾶτο. ἀθηναῖοι δὲ μηδὲν ἠδόξουν. εὐσέβουν, ἀλλ' οὐκ ἠδίκουν, καὶ δικαίως ἂν σῳζοίμην. ἔπειτα ἐγὼ μὲν διὰ ταῦτα ἀνηλεής τις εἰμὶ ἀνήρ. σὺ δὲ εὐσεβὴς, ὁ τῶν συσπόνδων, καὶ συσσίτων κατήγορος. ὠνείδισας δέ μοι, καὶ πολιτείας ἐμπληξίαν. εἰ πεπρέσβευκα πρὸς φίλιππον, πρότερον παρακαλῶν ἐπ' ἐκεῖνον τοὺς ἕλληνας. καίτοι ταύτην εἰ βούλει τὴν κατηγορίαν, καὶ τῶν ἄλλων ἀθηναίων δημοσίᾳ κατηγορήσεις. ἐπολεμεῖτε λακεδαιμονίοις,

μετὰ τὴν ἐν λεύκτροις συμφορὰν τοῖς αὐτοῖς ἐβοηθεῖτε. κατηγάγετε εἰς τὴν πατρίδα φεύγοντας θηβαίους, καὶ πάλιν τούτοις ἐμάχεσθε ἐν μαντινείᾳ. ἐπολεμήσατε ἐρετριεῦσι, καὶ θεμίσωνι, καὶ πάλιν ἐσώσατε, καὶ μυρίοις ἄλλοις, ἤδη τῶν ἑλλήνων οὕτω κέχρησθε. τοῖς γὰρ καιροῖς συμπεριφέρεσθαι ἀνάγκη πρὸς τὸ κράτιστον, καὶ τὸν ἄνδρα, καὶ τὴν πόλιν. τὸν δὲ ἀγαθὸν σύμβουλον τί χρὴ ποιεῖν, οὐ τῇ πόλει πρὸς τὸ παρὸν τὰ βέλτιστα συμβουλεύειν; τὸν δὲ πονηρὸν κατήγορον, τί χρὴ λέγειν, οὐ τοὺς καιροὺς ἀποκρυπτόμενον τῆς πράξεως κατηγορεῖν; τὸν δὲ ἐκ φύσεως προδότην πῶς χρὴ θεωρεῖν, ἆρά γε οὐχ ὡς σὺ τοῖς ἐντυγχάνουσι, καὶ πιστεύσασι κέχρησαι λόγους, εἰς δικαστήρια γράφοντα μισθοῦ τούτους ἐκφέρειν τοῖς ἀντιδίκοις. ἔγραψας λόγον φορμίωνι τῷ τραπεζίτῃ χρήματα λαβών. τοῦτον ἐξήνεγκας ἀπολλοδώρῳ τῷ περὶ τοῦ σώματος κρίνοντι φορμίωνα. εἰσῆλθες εἰς εὐδαιμονοῦσαν οἰκίαν τὴν ἀριστάρχου τοῦ μόσχου. ταύτην ἀπώλεσας, προὔλαβες τρία τάλαντα παρ' ἀριστάρχου φεύγοντος. τοῦτον τὰ τῆς φυγῆς ἐφόδια ἀπεστέρησας. οὐκ αἰσχυνθεὶς τὴν φήμην, ἣν προσεποιήσω ζηλωτὴς εἶναι τῆς ἡλικίας τοῦ μειρακίου, οὐ γὰρ δὴ τῇ γε ἀληθείᾳ. οὐ γὰρ προσδέχεται δίκαιος ἔρως πονηρίαν. τοῦτ' ἐστὶν ὁ προδότης, καὶ τὰ τούτοις ὅμοια. ἐμνήσθη δέ που περὶ τῆς στρατείας, καὶ τὸν καλὸν στρατιώτην ἐμὲ ὠνόμασεν. ἐγὼ δὲ οὐχ ἕνεκα τῆς τούτου βλασφημίας, ἀλλὰ τοῦ παρόντος κινδύνου προνοούμενος, καὶ περὶ τούτων ἀνεπίφθονον λέγειν εἶναί μοι νομίζω. ποῦ γάρ, ἢ πότε αὐτῶν, ἢ πρὸς τίνας παραλιπὼν, τήνδε τὴν ἡμέραν μνησθήσομαι. ἐκ παίδων μὲν γὰρ ἀπαλλαγεὶς περίπολος τῆς χώρας ταύτης ἐγενόμην δύο ἔτη, καὶ τούτων ὑμῖν τοὺς συνεφήβους, καὶ τοὺς συνάρχοντας ἡμῶν μάρτυρας παρέξομαι. πρώτην δ' ἐξελθὼν στρατείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην, καὶ συμπαραπέμπων μετὰ τῶν ἡλικιωτῶν, καὶ τῶν ἀλκιβιάδου ξένων τὴν εἰς φλιοῦντα παραπομπήν, κινδύνου συμβάντος ἡμῖν περὶ τὴν νεμεάδα καλουμένην χαράδραν, οὕτως ἠγωνισάμην, ὥστε ὑπὸ τῶν ἡγεμόνων ἐπαινεῖσθαι. καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους, τὰς ἐν τοῖς ἐπωνύμοις, καὶ τοῖς μέρεσιν ἐξῆλθον, καὶ τὴν ἐν μαντινείᾳ μάχην συνεμαχεσάμην οὐκ αἰσχρῶς, οὐδ' ἀναξίως τῆς πόλεως, καὶ τὰς εἰς εὔβοιαν στρατείας ἐστρατευσάμην, καὶ τὴν ἐν ταμύναις μάχην ἐν τοῖς ἐπιλέκτοις οὕτως ἐκινδύνευσα, ὥστε κἀκεῖ στεφανωθῆναι ὑπὸ τῶν ἡγεμόνων, καὶ δεῦρο ἥκων πάλιν ὑπὸ τοῦ δήμου, τήν τε νίκην τῆς πόλεως ἐπαγγείλας, καὶ τεμενίδου τοῦ τῆς πανδιονίδος ταξιαρχοῦ, καὶ συμπρεσβεύσαντος ἀπὸ στρατοπέδου μοι δεῦρο, καὶ τὰ περὶ τὸν γενόμενον κίνδυνον, οἷος ἦν ἀπαγγείλαντος, ὅτι δὲ ἀληθῆ λέγω, λάβε μοι τοῦτο τὸ ψήφισμα, καὶ κάλει τὸν τεμενίδην, καὶ τοὺς συνεστρατευμένους μοι τὰς ὑπὲρ τῆς πόλεως στρατείας, καὶ φωκίωνα τὸν στρατηγὸν μήπω συνήγορον, ἂν μὴ τούτοις συνδοκῇ. ἀλλ' ὑπεύθυνον τῷ συκοφάντῃ μάρτυρα, ἐὰν ψεύδηται. ψήφισμα. μαρτυρίαι. ἀπαγγείλας τοίνυν πρῶτος τὴν τῆς πόλεως νίκην ὑμῖν, καὶ τὴν τῶν παίδων τῶν ὑμετέρων κατόρθωσιν, πρώτην ὑμᾶς ἀπαιτῶ χάριν τὴν τοῦ σώματος σωτηρίαν. οὐ μισόδημος ὤν, ὥς φησιν ὁ κατήγορος, ἀλλὰ μισοπόνηρος, ὁ τοὺς δημοσθένους ὑμᾶς ἐῶν προγόνους μιμεῖσθαι. οὐ γάρ εἰσιν, ἀλλὰ τῶν καλῶν τῇ πόλει βουλευμάτων ζηλωτὰς εἶναι παρακαλῶν. νῦν δ' αὐτὰ πόρρωθεν ἀρξάμενος μικρῷ διέξειμι σαφέστερον. πρότερον ἡ πόλις ἡμῶν εὐδοξοῦσα μετὰ τὴν ἐν σαλαμῖνι ναυμαχίαν πρὸς τὸν πέρσην, καὶ τῶν τειχῶν ὑπὸ τῶν βαρβάρων πεπτωκότων, εἰρήνης δ' ὑπαρχούσης πρὸς λακεδαιμονίους, διέμενεν ἡμῖν τὸ τῆς δημοκρατίας πολίτευμα. συνταραχθέντες δὲ ὑπό τινων, καὶ καταστάντες πρὸς λακεδαιμονίους εἰς πόλεμον, πολλὰ καὶ παθόντες κακά, καὶ ποιήσαντες, μιλτιάδου τοῦ κίμωνος προκηρυκευσαμένου πρὸς λακεδαιμονίους ὄντος προξένου, σπονδὰς τοῦ πολέμου πεντηκονταετεῖς ἐποιησάμεθα. ἐχρησάμεθα αὐταῖς δὲ ἔτη τρισκαίδεκα. ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐτειχίσαμεν τὸν πειραιᾶ, καὶ τὸ βόρειον τεῖχος ᾠκοδομήσαμεν. ἑκατὸν δὲ τριήρεις πρὸς ταῖς ὑπαρχούσαις ἐναυπηγησάμεθα. τριακοσίους δὲ ἱππέας προσκατεσκευασάμεθα. καὶ

θα. καὶ τειχισάμενοι, τοξότας σκύθας ἐπριάμεθα, καὶ τὴν δημοκρατίαν βεβαίως εἴχο
μεν. παρεμπεσόντων δ᾽ εἰς τὴν πολιτείαν ἡμῶν οὐκ ἐλευθέρων ἀνθρώπων, καὶ τοῖς τρό
ποις οὐ μετρίων, πάλιν πρὸς αἰγινήτας εἰς πόλεμον κατέστημεν. κἀνταῦθα οὐκ ὀλίγα
βλαβέντες τῆς μὲν εἰρήνης ἐπεθυμήσαμεν. ἀνδοκίδην δ᾽ ἐκπέμψαντες πρὸς τοὺς λακε
δαιμονίους, καὶ τοὺς συμπρέσβεις, εἰρήνην ἔτη τετταράκοντα ἠγάγομεν. ἡ τὸν δῆμον ὑ
ψηλὸν ἦρεν. χίλια μὲν τάλαντα ἀνηνέγκαμεν νομίσματος εἰς τὴν ἀκρόπολιν. ἑκα
τὸν δὲ τριήρεις ἑτέρας ἐναυπηγησάμεθα, καὶ νεωσοίκους ᾠκοδομήσαμεν. χιλίους δὲ
καὶ διακοσίους ἱππέας κατεστήσαμεν. καὶ τοξότας ἑτέρους τοσούτους, καὶ τὸ μακρὸν
τεῖχος τὸ νότιον ἐτειχίσθη, καὶ τὸν δῆμον οὐδεὶς ἐπεχείρησε καταλῦσαι. πάλιν
δὲ εἰς πόλεμον διὰ μεγαρέας πεισθέντες καταστάντες, καὶ τὴν χώραν τμηθῆναι προέ
μενοι, καὶ πολλῶν ἀγαθῶν στερηθέντες, εἰρήνης ἐδεήθημεν, καὶ ἐποιησάμεθα διὰ νικίου
τοῦ νικηράτου. καὶ πάλιν ἐν τῷ χρόνῳ τούτῳ ἑπτακισχίλια τάλαντα ἀνηνέγκαμεν εἰς
τὴν ἀκρόπολιν διὰ τὴν εἰρήνην ταύτην. τριήρεις δ᾽ ἐκτησάμεθα πλοΐμους καὶ ἐντε
λεῖς οὐκ ἐλάττους ἢ τριακοσίας. φόρος δ᾽ ἡμῖν κατ᾽ ἐνιαυτὸν προσῄει πλέον, ἢ χίλια,
καὶ διακόσια τάλαντα. καὶ χερρόνησον καὶ νάξον, καὶ τὴν εὔβοιαν εἴχομεν, πλείστας δ᾽
ἀποικίας ἐν τοῖς χρόνοις τούτοις ἀπεστείλαμεν, καὶ τοσαῦτα ἔχοντες τἀγαθὰ πόλεμον
δι᾽ ἀργείους πρὸς λακεδαιμονίους ἠνέγκαμεν πεισθέντες ὑπ᾽ ἀργείων. καὶ τελευ
τῶντες ἐκ τῆς τῶν ῥητόρων φιλονικίας εἰς φρουρὰν τῆς πόλεως, καὶ τοὺς τετρακοσί-
ους, καὶ τοὺς ἀσεβεῖς τριάκοντα ἐνεπέσομεν, οὐκ εἰρήνην ποιησάμενοι. ἀλλ᾽ ἐκ προσ-
ταγμάτων ἀναγκασθέντες. πάλιν δὲ σωφρόνως πολιτευθέντες, καὶ τοῦ δήμου κατελ
θόντος ἀπὸ φυλῆς, ἀρχίνου, καὶ θρασυβούλου προστάντων τοῦ δήμου, καὶ τὸ μὴ μνησικα
κεῖν πρὸς ἀλλήλους ὅρκους ἡμῖν καταστησάντων. ὅθεν σοφωτάτην πάντες τὴν πό
λιν ἡγήσαντο εἶναι. κἀνταῦθα ἀναφυέντος τοῦ δήμου, καὶ πάλιν ἐξ ἀρχῆς ἰσχύσαντος
ἄνθρωποι παρέγγραπτοι γεγενημένοι πολῖται, καὶ τὸ νοσοῦν τῆς πόλεως ἀεὶ προσα
γόμενοι καὶ πόλεμον ἐκ πολέμου πολιτευόμενοι, ἐν μὲν εἰρήνῃ τὰ δεινὰ τῷ λόγῳ προ
ορώμενοι, καὶ τὰς ψυχὰς τὰς φιλοτίμους, καὶ λίαν ὀξείας ἐρεθίζοντες, ἐν δὲ τοῖς
πολέμοις ὅπλων οὐχ ἁπτόμενοι, ἐξετασταὶ δὲ καὶ ἀποστολεῖς γινόμενοι, παιδοποιούμε
νοι δ᾽ ἐξ ἑταιρῶν, ἄτιμοι δὲ ἐκ συκοφαντίας εἰς τοὺς ἐσχάτους ὑμῶν κινδύνους τὴν πό
λιν καθιστᾶσι, καὶ τὸ μὲν τῆς δημοκρατίας ὄνομα οὐ τοῖς ἤθεσιν, ἀλλὰ τῇ κολακείᾳ θε
ραπεύοντες, καταλύοντες δὲ τὴν εἰρήνην, ᾗ δημοκρατία σώζεται. συναγωνιζόμενοι δὲ
τοῖς πολέμοις ἐξ ὧν ὁ δῆμος καταλύεται. οὗτοι νῦν ἐπ᾽ ἐμὲ συστραφέντες ἥκουσι.
καί φασι μὲν φίλιππον τὴν εἰρήνην πρίασθαι, καὶ προλαβεῖν ἐν ταῖς συνθή-
καις ἡμῶν ἅπαντα. ἣν δ᾽ αὐτὸς ᾤετο εἰρήνην αὐτῷ συμφέρειν, ταύτην παραβε-
βηκέναι. ἐμὲ δ᾽ οὐχ ὡς πρεσβευτὴν κρίνουσιν, ἀλλ᾽ ὡς ἐγγυητὴν φιλίππου, καὶ τῆς εἰ
ρήνης, καὶ τὸν τῶν ὅλων λόγων κύριον τὰς τῶν ἔργων προσδοκίας ἀπαιτοῦσι. τὸν αὐ
τὸν δὲ ἐν μὲν τοῖς ψηφίσμασιν ἐπαινέτην ἐπιδείκνυμι, ἐν δὲ τῷ δικαστηρίῳ κατηγόρῳ
κέχρημαι. δέκατος δ᾽ αὐτὸς πρεσβεύσας μόνος τὰς εὐθύνας δίδωμι. κἀμοὶ μὲν οἱ συν
δεησόμενοι πάρεισιν ὑμῶν. πατὴρ μὲν οὗ τὰς τοῦ γήρως ἐλπίδας μὴ ἀφέλησθε. ἀδελ-
φοὶ δὲ οἳ διαζυγέντος ἐμοῦ, ζῆν οὐκ ἂν προέλοιντο. κηδεσταὶ δὲ καὶ ταυτὶ μὲν τὰ μι
κρὰ παιδία, καὶ τοὺς κινδύνους οὔπω συνιέντα. ἐλεεινὰ δ᾽ εἴ τι συμβήσεται ὑμῖν πα
θεῖν. ὑπὲρ ὧν ἐγὼ δέομαι καὶ ἱκετεύω πολλὴν πρόνοιαν ποιήσασθαι, καὶ μὴ τοῖς ἐ-
χθροῖς αὐτοὺς, μηδ᾽ ἀνάνδρῳ, καὶ γυναικείῳ ἀνθρώπῳ τὴν ὀργὴν παραδοῦναι.
παρακαλῶ δὲ καὶ ἱκετεύω σῶσαί με πρῶτον μὲν τοὺς θεούς. δεύτερον δὲ ὑμᾶς τοὺς
τῆς ψήφου κυρίους, οἷς ἐγὼ πρὸς ἕκαστον τῶν κατηγορημένων εἰς μνήμην ἧκε. τῆν ἐμὴν ἀπο
λελόγημαι. καὶ δέομαι σῶσαί με. καὶ μὴ τῷ λογογράφῳ, καὶ σκύθῃ με ἐκδοῦναι. ὅτι παρα
δοῦναι. ὅσοι μὲν ὑμῶν πατέρες εἰσὶ παίδων ἢ νεωτέρους ἀδελφοὺς περὶ πολλοῦ ποιεῖ
σθε, ἀναμνησθέντες ὅτι τὴν τῆς σωφροσύνης παράκλησιν διὰ τῆς περὶ τιμάρχου κρί
σεως ἀμνήστως παρακέκληκα. τοὺς δ᾽ ἄλλους ἅπαντας, οἷς ἐμαυτὸν ἄλυπον παρέ-

ἔχημαι, τὴν μὲν τύχην ἰδιώτης ὤν, καὶ τοῖς μετρίοις ὑμῶν ὅμοιος, ἐν δὲ τοῖς πολιτικοῖς ἀγῶσι μόνος τῶν ἄλλων ἐφ' ὑμᾶς οὐ συνεστηκώς, αἴτιος παρ' ὑμῶν τὴν σωτηρίαν, μετὰ πάσης εὐνοίας τῇ πόλει πεπρεσβευκώς, καὶ μόνος ὑπομείνας τὸν τῶν συκοφαντῶν θόρυβον, ὃν ἤδη πολλοὶ τῶν τὰς ψυχὰς ἐν τοῖς πολέμοις λαμπρῶν οὐχ ὑπέστησαν. οὐ γὰρ ὁ θάνατος δεινόν· ἀλλ' ἡ περὶ τὴν τελευτὴν ὕβρις φοβερά. πῶς δὲ οὐκ οἰκτρὸν βλέπειν ἐχθροῦ πρόσωπον ἐπιγελῶντος, καὶ τοῖς ὠσὶ τῶν ὀνειδῶν ἀκοῦσαι. ἀλλ' ὅμως τετόλμηται, δέδοται τὸ σῶμα τῷ κινδύνῳ. παρ' ὑμῖν ἐτράφην, ἐν ταῖς ὑμετέραις διατριβαῖς βεβίωκα. οὐδεὶς ὑμῶν διὰ τὰς ἐμὰς ἡδονὰς χείρων οἰκεῖ. οὐδὲ ἐστέρηται τῆς πατρίδος κατηγόρου τυχὼν ἐν ταῖς δίκαις, ὅτ' ἦσαν αἱ διαψηφίσεις. ἀλλ' ὑπεύθυνος ὢν ἀρχῆς ἐκινδύνευσα μακρὰ δ' εἰπὼν ἤδη καταβαίνω. ἐγὼ γὰρ ὦ ἄνδρες ἀθηναῖοι τοῦ μὲν μηδὲν ἀδικεῖν ὑμᾶς, κύριος ἦν· τοῦ δὲ μὴ ἔχειν αἰτίαν ἡ τύχη. ἥ συνεκλήρωσέ με ἀνθρώπῳ συκοφάντῃ βαρβάρῳ. ὃς οὔτε ἱερῶν, οὔτε σπονδῶν, οὔτε τραπέζης φροντίσας, ἀλλὰ τοὺς εἰς τὸν μέλλοντα αὐτῷ χρόνον ἀντερῶντας ἐκφοβῶν ἥκει ψευδῆ συντάξας καθ' ἡμῶν κατηγορίαν. ἐὰν οὖν ἐθελήσητε σώζειν τοὺς τῆς εἰρήνης, καὶ τῆς ὑμετέρας ἀδείας συναγωνιστάς, πολλοὺς βοηθοὺς λήψεται τὸ τῆς πόλεως συμφέρον. καὶ κινδυνεύειν ὑπὲρ ὑμῶν ἑτοίμους. παρακαλῶ δὲ εὔβουλον μὲν ἐκ τῶν πολιτικῶν καὶ σωφρόνων ἀνδρῶν συνήγορον· φωκίωνα δὲ ἐκ τῶν στρατηγῶν, ἅμα δὲ καὶ δικαιοσύνῃ διενηνοχότα πάντων· ἐκ δὲ τῶν φίλων καὶ τῶν ἡλικιωτῶν τῶν ἐμαυτοῦ, ναυσικλέα. καὶ τοὺς ἄλλους ἅπαντας οἷς τισιν ἐγὼ κέχρημαι. καὶ τῶν αὐτῶν ἐπιτηδευμάτων μετέσχηκα. ὁ μὲν οὖν ἐμὸς λόγος εἴρηται. τὸ δὲ σῶμα τοὐμὸν ἤδη παραδίδωσιν ὑμῖν, καὶ ἐγὼ, καὶ ὁ νόμος.

περὶ αἰσχίνου.

○ πὴ δυνήθη νικῆσαι τὴν κατηγορίαν εὐβούλου συναγωνισαμένου κατὰ τοῦ δημοσθένους ἐν τῷ πεῖσαι τοὺς δικαστὰς ἀναστῆναι, ἔτι τοῦ δημοσθένους λέγοντος, ὡς ἔγνωμεν καὶ ἐν τοῖς δημοσθενικοῖς. συνέβη δὲ αὐτῷ ἐκπεσεῖν τῆς πατρίδος ὕστερον διὰ τὸ κατηγορῆσαι τοῦ ψηφίσματος τοῦ ὑπὲρ τοῦ δημοσθένους, ὡς παρανόμου, καὶ ὁρίσαντος τὸ πρόστιμον ἐὰν μὴ λάβῃ αὐτὸ πεμπτημόριον, καὶ ἡττηθέντος, καὶ διὰ τὸ μὴ δύνασθαι καταβαλεῖν τὴν δίκην, ἣν αὐτὸς ὥρισε φυγῇ χρησαμένῳ, ὡς καὶ ἐν τῷ ἔγνωμεν ἐν τῷ ὑπὲρ τοῦ στεφάνου. φυγὼν δὲ τὴν πατρίδα, καὶ θελήσας ἀπελθεῖν πρὸς ἀλέξανδρον, μαθὼν περὶ τῆς αὐτοῦ τελευτῆς, καὶ τῆς ταραχῆς τῶν τούτου διαδόχων εἰς ῥόδον ἔπλευσε. καὶ ῥοδιακὸν διδασκαλεῖον συνέστησε. παιδεύων τε οὕτω τοὺς νέους, καὶ τοῖς τελεωτέροις ἀνδράσιν ἀναγινώσκων τὸν λόγον τὸν κατὰ κτησιφῶντος, ὃν εἶπε κατὰ τοῦ δημοσθένους, καὶ θαυμαζόμενος σφόδρα παρ' αὐτῶν ἐπὶ τούτῳ, καὶ ἐρωτώμενος παρ' αὐτῶν πῶς ἐπὶ τοιούτῳ λόγῳ ἥττηται, ἀπεκρίνατο· θαυμάζετε πῶς ἥττημαι, καὶ ταῦτα οὐκ ἠκούσατε ὑμεῖς τοῦ θηρίου ἐκείνου. θηρίον γὰρ αὐτὸν ἐκάλει, διὰ τὸ δεινὸν τῶν τρόπων, καὶ ἀνελεῆμον. λέγεται δὲ, ὅτι καὶ τὰς λεγομένας μελέτας, καὶ τὰ πλάσματα τῶν ζητημάτων αὐτὸς πρῶτος ἐκεῖσε εὗρεν ἐν τῷ σχολάζειν.

○ Ἐ μαθητὴς ἐγένετο, ὡς μὲν δημήτριος ὁ φαληρεύς φησι, σωκράτους τοῦ φιλοσόφου, εἶθ' ὕστερον πλάτωνος, ὡς δὲ καικίλιος, καὶ ἰδομενεὺς, καὶ ἕρμιππος ἱστοροῦσιν, οὐκ ἤκουσε τούτων τῶν ἀνδρῶν μαθήσεως χάριν. φασὶ γὰρ ὡς ὅτι οὐδὲν τοῦ χαρακτῆρος τοῦ πλατωνικοῦ σώζει. οὔτε τὸ ἀκριβὲς, καὶ καθαρὸν, καὶ ἀπέριττον, καὶ εὔρυθμον, ἀλλὰ κεχηνυῖα πώς ἐστιν αὐτοῦ ἡ ἰδέα τοῦ λόγου. καὶ ἄτεχνος μὲν, καὶ προπετὴς, καὶ δυσχερῶς ἐπὶ τὸ λοιδορεῖν αἰσχρῶς, καὶ ἀπρεπῶς ῥέπει ὑπαγομένη. ἔχουσα δέ τι εὐφυὲς, καὶ εὐάγωγον, καὶ οἷον ἂν γένοιτό τινι ἐκ φύσεως, καὶ μελέτης ἀφανοῦς.

τ

Ην μὲν παρασκευὴν ὁρᾶτε ὦ ἀθηναῖοι, καὶ τὴν παράταξιν, ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνταί τινες, ὑπὲρ τοῦ τὰ μέτρια, καὶ τὰ συνήθη μὴ γίγνεσθαι ἐν τῇ πόλει· ἐγὼ δὲ πεπιστευκὼς ἥκω πρῶτον μὲν τοῖς θεοῖς, δεύτερον δὲ τοῖς νόμοις, καὶ ὑμῖν ἡγούμενος οὐδεμίαν παρασκευὴν ἰσχύειν παρ' ὑμῖν μεῖζον τῶν νόμων, καὶ τῶν δικαίων. Ἐβουλόμην μὲν οὖν ὦ ἀθηναῖοι, καὶ τὴν βουλὴν τοὺς πεντακοσίους, καὶ τὰς ἐκκλησίας ὑπὸ τῶν ἐφεστηκότων ὀρθῶς διοικεῖσθαι καὶ τοὺς νόμους, οὓς ἐνομοθέτησεν ὁ σόλων περὶ τῆς τῶν ῥητόρων εὐκοσμίας ἰσχύειν· ἵνα ἐξῆν πρῶτον μὲν τῷ πρεσβυτάτῳ τῶν πολιτῶν ὥσπερ οἱ νόμοι κελεύουσι σωφρόνως ἐπὶ τὸ βῆμα παρελθόντι, ἄνευ θορύβου, καὶ ταραχῆς ἐξ ἐμπειρίας τὰ βέλτιστα τῇ πόλει συμβουλεύειν. δεύτερον δ' ἤδη, καὶ τῶν ἄλλων πολιτῶν τὸν βουλόμενον καθ' ἡλικίαν χωρὶς, καὶ ἐν μέρει περὶ ἑκάστου γνώμην ἀποφαίνεσθαι. οὕτω γὰρ ἄν μοι δοκεῖ ἥ τε πόλις ἄριστα διοικεῖσθαι, αἵ τε κρίσεις ἐλάχισται γίγνεσθαι. ἐπειδὴ δὲ πάντα τὰ πρότερον ὡμολογημένα καλῶς ἔχειν νυνὶ καταλέλυται, καὶ γράφουσί τινες ῥᾳδίως παρανόμους γνώμας, καὶ ταῦτα ἕτεροί τινες τὰ ψηφίσματα ἐπιψηφίζουσιν, οὐκ ἐκ τοῦ δικαιοτάτου τρόπου λαχόντες προεδρεύειν, ἀλλ' ἐκ παρασκευῆς καθεζόμενοι, ἂν δέ τις τῶν ἄλλων βουλευτῶν ὄντως λάχῃ κληρούμενος προεδρεύειν, καὶ τὰς ὑμετέρας χειροτονίας ὀρθῶς ἀναγορεύῃ, τοῦτον οἱ τὴν πολιτείαν οὐκέτι κοινὴν, ἀλλ' ἰδίαν αὑτῶν ἡγούμενοι εἶναι, ἀπειλοῦσιν εἰσαγγέλλειν καταδουλούμενοι τοὺς ἰδιώτας, καὶ δυναστείας ἑαυτοῖς περιποιοῦντες, τὰς μὲν κρίσεις, τὰς μὲν ἐκ τῶν νόμων καταλελύκασι, τὰς δ' ἐκ τῶν ψηφισμάτων μετ' ὀργῆς κρίνουσι. σεσίγηται τὸ κάλλιστον, καὶ σωφρονέστατον κήρυγμα τῶν ἐν τῇ πόλει, τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων, καὶ πάλιν ἐν μέρει τῶν ἄλλων ἀθηναίων, τῆς δὲ τῶν ῥητόρων ἀκοσμίας οὐκέτι κρατεῖν δύνανται οὔθ' οἱ νόμοι, οὔθ' οἱ πρυτάνεις, οὔθ' οἱ πρόεδροι, οὔθ' ἡ προεδρεύουσα φυλή, τὸ δέκατον μέρος τῆς πόλεως. Τούτων δ' ἐχόντων οὕτως, καὶ τῶν καιρῶν ὄντων τῇ πόλει τοιούτων ὁποίους αὐτοὺς ὑμεῖς ὑπολαμβάνετε εἶναι, ἓν ὑπολείπεται μέρος τῆς πολιτείας, εἴ τι κἀγὼ τυγχάνω γιγνώσκων, αἱ τῶν παρανόμων γραφαί. εἰ δὲ καὶ ταύτας καταλύσετε, ἢ τοῖς καταλύουσιν ἐπιτρέψετε, προλέγω ὑμῖν, ὅτι λήσετε κατὰ μικρὸν τῆς πολιτείας τισὶ παραχωρήσαντες. Εὖ γὰρ ἴστε ὦ ἀθηναῖοι, ὅτι τρεῖς εἰσὶ πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς, καὶ ὀλιγαρχία, καὶ δημοκρατία. διοικοῦνται δ' αἱ μὲν τυραννίδες, καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. μηδεὶς οὖν ὑμῶν τοῦτ' ἀγνοείτω, ἀλλὰ σαφῶς ἕκαστος ἐπιστάσθω, ὅτι ὅταν εἰσίῃ εἰς δικαστήριον γραφὴν παρανόμων δικάσων, ἐν ταύτῃ τῇ ἡμέρᾳ μέλλει τὴν ψῆφον φέρειν περὶ τῆς ἑαυτοῦ παρρησίας. διόπερ καὶ ὁ νομοθέτης τοῦτο πρῶτον ἔταξεν ἐν τῷ τῶν δικαστῶν ὅρκῳ. ψηφιοῦμαι κατὰ τοὺς νόμους. ἐκεῖνό γε εὖ εἰδὼς, ὅτι ὅταν διατηρηθῶσιν οἱ νόμοι τῇ πόλει, σῴζεται καὶ ἡ δημοκρατία. ἃ χρὴ διαμνημονεύοντας ὑμᾶς, μισεῖν τοὺς τὰ παράνομα γράφοντας. καὶ μηδὲν μικρὸν ἡγεῖσθαι εἶναι τῶν τοιούτων ἀδικημάτων, ἀλλ' ἕκαστον ὑπερμέγεθες, καὶ τοῦθ' ὑμῶν τὸ δίκαιον μηδένα ἀνθρώπων ἐξαιρεῖσθαι, μήτε τὰς τῶν στρατηγῶν συνηγορίας, οἳ ἐπὶ πολὺν ἤδη χρόνον συνεργοῦντές τισι τῶν ῥητόρων λυμαίνονται τὴν πολιτείαν, μήτε τὰς τῶν ξένων δεήσεις, οὓς ἀναβιβαζόμενοί τινες ἐκφεύγουσιν ἐκ τῶν δικαστηρίων παρανόμους πολιτείας πολιτευόμενοι. ἀλλ' ὥσπερ ἂν ὑμῶν ἕκαστος αἰσχυνθείη τὴν τάξιν λιπεῖν, ἣν ἂν ταχθῇ ἐν τῷ πολέμῳ, οὕτω καὶ νῦν αἰσχύνθητε ἐκλιπεῖν τὴν τάξιν, ἣν τέταχθε ὑπὸ τῶν νόμων φύλακες τῆς δημοκρατίας τήνδε τὴν ἡμέραν. Κἀκεῖνο δὲ χρὴ διαμνημονεύειν, ὅτι νυνὶ ἅπαντες οἱ πολῖται παρακαταθέμενοι τὴν

Solonis lex de ratione dicendi sententiam.

ἔτ. b.

Tria rerump. genera.

γραφὴν

πόλιν ὑμῶν, καὶ τὴν πολιτείαν διαπιστεύσαντες, οἱ μὲν πάρεισι, καὶ ἐπακούουσι τῆς δε τῆς κρίσεως, οἱ δὲ, ἄπεισιν ἐπὶ τῶν ἰδίων ἔργων, οὓς αἰσχυνόμενοι, καὶ τῶν ὅρκων, οὓς ὠμόσατε μεμνημένοι, καὶ τῶν νόμων, ἐὰν ἐλέγξωμεν κτησιφῶντα, καὶ παράνομα γεγραφότα, καὶ ψευδῆ καὶ ἀσύμφορα τῇ πόλει, λύετε ὦ ἀθηναῖοι τὰς παρανόμους γνώμας. βεβαιοῦτε τῇ πόλει τὴν δημοκρατίαν. κολάζετε τοὺς ὑπεναντίως τοῖς νόμοις, καὶ τῇ πόλει, καὶ τῷ συμφέροντι τῷ ὑμετέρῳ πολιτευομένους. κἂν ταύτην ἔχοντες τὴν διάνοιαν, ἀκούσητε τῶν μελλόντων ῥηθήσεσθαι λόγων, εὖ οἶδ' ὅτι δίκαια, καὶ εὔορκα, καὶ συμφέροντα ὑμῖν αὐτοῖς ψηφιεῖσθε, καὶ πάσῃ τῇ πόλει. περὶ μὲν οὖν τῆς ὅλης κατηγορίας μετρίως μοι ἐλπίζω προειρῆσθαι, περὶ δὲ αὐτῶν τῶν νόμων, οἳ κεῖνται περὶ τῶν ὑπευθύνων, παρ' οὓς τὸ ψήφισμα τὸ τυγχάνει γεγραφὼς κτησιφῶν, διὰ βραχέων εἰπεῖν βούλομαι. ἐν γὰρ τοῖς ἔμπροσθεν χρόνοις ἄρχοντές τινες τὰς μεγίστας ἀρχὰς, καὶ τὰς προσόδους διοικοῦντες, καὶ δωροδοκοῦντες περὶ ἕκαστα τούτων, προσλαμβάνοντες τούς τε ἐκ τοῦ βουλευτηρίου ῥήτορας, καὶ τοὺς ἐκ τοῦ δήμου πόῤῥωθεν, προκατελάμβανον τὰς εὐθύνας ἐπαίνοις, καὶ κηρύγμασιν, ὥστε ἐν ταῖς εὐθύναις τῶν ἀρχόντων εἰς τὴν μεγίστην μὲν ἀπορίαν ἀφικνεῖσθαι τοὺς κατηγόρους, πολὺ δὲ ἔτι μᾶλλον τοὺς δικαστάς. πολλοὶ γὰρ πάνυ τῶν ὑπευθύνων ἐπαυτοφώρῳ κλέπται τῶν δημοσίων χρημάτων ὄντες, ἐξελεγχόμενοι διεφύγγανον ἐκ τῶν δικαστηρίων, εἰκότως. ᾐσχύνοντο γὰρ οἶμαι οἱ δικασταὶ, εἰ φανήσεται ὁ αὐτὸς ἀνὴρ ἐν τῇ αὐτῇ πόλει τυχὸν δὲ καὶ ἐν τῷ αὐτῷ ἐνιαυτῷ πρῴην μέν ποτε ἀναγορευόμενος ἐν τοῖς ἀγῶσιν, ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα, καὶ δικαιοσύνης ὑπὸ τοῦ δήμου χρυσῷ στεφάνῳ. ὁ δὲ αὐτὸς ἀνὴρ μικρὸν ἐπισχὼν ἔξεισιν ἐκ τοῦ δικαστηρίου κλοπῆς ἕνεκα τὰς εὐθύνας ὠφληκώς. ὥστε ἠναγκάζοντο τὴν ψῆφον φέρειν οἱ δικασταὶ, οὐ περὶ τοῦ παρόντος ἀδικήματος, ἀλλ' ὑπὲρ τῆς αἰσχύνης τοῦ δήμου. κατιδὼν δέ τις ταῦτα νομοθέτης, τίθησι νόμον, καὶ μάλα καλῶς ἔχοντα, τὸν διαῤῥήδην ἀπαγορεύοντα τοὺς ὑπευθύνους μὴ στεφανοῦν. καὶ ταῦτα οὕτως εὖ προκατειληφότος τοῦ νομοθέτου, εὕρηνται κρείττονες λόγοι τῶν νόμων, οὓς εἰ μή τις ὑμῖν ἐρεῖ, λήσετε ἐξαπατηθέντες. τούτων γάρ τινες τῶν τοὺς ὑπευθύνους στεφανούντων παρὰ τοὺς νόμους, οἱ μὲν, φύσει μέτριοί εἰσιν, εἰ δή τις ἐστὶ μέτριος ἐπὶ τῶν τὰ παράνομα γραφόντων, ἀλλ' οὖν προβάλλονταί γέ τι πρὸ τῆς αἰσχύνης. προσεγγράφουσι γάρ τι πρὸς τὰ ψηφίσματα στεφανοῦν τὸν ὑπεύθυνον, ἐπειδὰν λόγον, καὶ εὐθύνας τῆς ἀρχῆς δῷ. καὶ ἡ μὲν πόλις τὸ ἴσον ἀδίκημα ἀδικεῖται. προκαταλαμβάνονται γὰρ ἐπαίνοις, καὶ στεφάνοις αἱ εὐθύναι. ὁ δὲ τὸ ψήφισμα γράφων ἐνδείκνυται τοῖς ἀκούουσιν, ὅτι γέγραφε μὲν παράνομα, αἰσχύνεται δὲ ἐφ' οἷς ἡμάρτηκε. Κτησιφῶν δὲ ὦ ἀθηναῖοι ὑπερπηδήσας τὸν νόμον τὸν περὶ τῶν ὑπευθύνων κείμενον, καὶ τὴν πρόφασιν, ἣν ἐγὼ ἀρτίως προεῖπον ὑμῖν ἀνελὼν, πρὶν λόγον, πρὶν εὐθύνας δοῦναι, γέγραφε μεταξὺ δημοσθένην ἄρχοντα στεφανοῦν. λέξουσι δὲ ὦ ἀθηναῖοι καὶ ἕτερόν τινα λόγον ὑπεναντίον τῷ ἀρτίως εἰρημένῳ. ὡς ἄρα ὅσα τις αἱρετὸς ὢν πράττει κατὰ ψήφισμα, οὐκ ἔστι ταῦτα ἀρχή. ἀλλ' ἐπιμέλειά τις, καὶ διακονία. ἀρχὰς δὲ φήσουσιν ἐκείνας εἶναι ἃς οἱ θεσμοθέται ἀποκληροῦσιν ἐν τῷ θησείῳ. κἀκείνας ἃς ὁ δῆμος εἴωθε χειροτονεῖν ἐν ἀρχαιρεσίαις στρατηγοὺς, καὶ ἱππάρχους. καὶ τὰς μετὰ τούτων ἀρχάς. τὰ δ' ἄλλα πάντα πραγματείας προστεταγμένας κατὰ ψήφισμα. ἐγὼ δὲ πρὸς τοὺς λόγους τοὺς τούτων, νόμον ὑμέτερον παρέξομαι. ὃν ὑμεῖς ἐνομοθετήσατε λύσειν ἡγούμενοι τὰς τοιαύτας προφάσεις. ἐν ᾧ διαῤῥήδην γέγραπται, τὰς χειροτονητάς φησιν ἀρχὰς ἁπάσας ἐνὶ περιλαβὼν ὀνόματι ὁ νομοθέτης, καὶ προσειπὼν ἀρχὰς ἁπάσας εἶναι, ἃς ὁ δῆμος χειροτονεῖ. καὶ τοὺς ἐπιστάτας φησὶ τῶν δημοσίων ἔργων. ἔστι δὲ ὁ δημοσθένης τειχοποιὸς ἐπιστάτης τοῦ μεγίστου τῶν ἔργων. καὶ πάντας ὅσοι διαχειρίζουσί τι τῶν τῆς πόλεως πλέον ἢ τριάκονθ' ἡμέρας, καὶ ὅσοι λαμβάνουσιν ἡγεμονίας δικαστηρίων. οἱ δὲ τῶν ἔργων ἐπιστάται πάντες ἡγεμονίᾳ χρῶνται δικαστηρίου. τί τούτους κε-

λεύει

λύειν ποιεῖν; οὐ διακονεῖν· ἀλλ' ἄρχειν δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ. ἐπειδὴ καὶ αἱ κληρωταὶ ἀρχαὶ οὐκ ἀδοκίμαστοι, ἀλλὰ δοκιμασθεῖσαι ἄρχουσι, καὶ λόγον καὶ εὐθύνας ἐγγράφειν πρὸς τὸν γραμματέα, καὶ τοὺς λογιστὰς καθάπερ καὶ τὰς ἄλλας ἀρχὰς κελεύει. ὅτι δὲ ἀληθῆ λέγω, τοὺς νόμους αὐτοὺς ὑμῖν ἀναγνώσεται.

Νόμοι.

Ὅταν τοίνυν ὦ Ἀθηναῖοι ἃς ὁ νομοθέτης ἀρχὰς ὀνομάζει, οὗτοι προσαγορεύωσι πραγματείας, καὶ ἐπιμελείας, ὑμέτερον ἔργον ἐστὶν ἀπομνημονεύειν, καὶ ἀντιτάττειν τὸν νόμον πρὸς τὴν τούτων ἀναίδειαν. καὶ ὑποβάλλειν αὐτοῖς, ὅτι οὐ προσδέχεσθε κακοῦργον σοφιστὴν οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, ἀλλ' ὅσῳ ἄν τις ἄμεινον λέγῃ παράνομα γεγραφώς, τοσούτῳ μείζονος ὀργῆς τεύξεται. χρὴ γὰρ ὦ Ἀθηναῖοι τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα, καὶ τὸν νόμον· ὅταν δὲ ἑτέραν μὲν φωνὴν ἀφιῇ ὁ νόμος, ἑτέραν δὲ ὁ ῥήτωρ, τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον, οὐ τῇ τοῦ λέγοντος ἀναισχυντίᾳ. πρὸς δὲ δὴ τὸν ἄφυκτον λόγον, ὅν φησι Δημοσθένης, βραχέα βούλομαι προειπεῖν. λέξει γὰρ οὗτος, τειχοποιός εἰμι· ὁμολογῶ· ἀλλ' ἐπιδέδωκα τῇ πόλει μνᾶς ἑκατόν· καὶ τὸ ἔργον μεῖζον ἐξείργασμαι· τίνος οὖν εἰμι ὑπεύθυνος, εἰ μή τίς ἐστιν εὐνοίας εὐθύνη. πρὸς δὴ ταύτην τὴν πρόφασιν ἀκούσατέ μου λέγοντος καὶ δίκαια, καὶ συμφέροντα.

Ἐν γὰρ ταύτῃ τῇ πόλει οὕτως ἀρχαίᾳ οὔσῃ, καὶ τηλικαύτῃ τὸ μέγεθος, οὐδείς ἐστιν ἀνυπεύθυνος, τῶν καὶ ὁπωσοῦν πρὸς τὰ κοινὰ προσεληλυθότων. διδάξω δ' ὑμᾶς πρῶτον ἐπὶ τῶν παραδόξων, οἷον τοὺς ἱερεῖς, καὶ τὰς ἱερείας, ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, καὶ συλλήβδην ἅπαντας, καὶ χωρὶς ἑκάστους κατὰ σῶμα τοὺς τὰ γέρα μόνον λαμβάνοντας, καὶ τὰς εὐχὰς ὑπὲρ ὑμῶν πρὸς τοὺς θεοὺς εὐχομένους. καὶ οὐ μόνον ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ τὰ γένη· Εὐμολπίδας, καὶ Κήρυκας, καὶ τοὺς ἄλλους ἅπαντας, πάλιν τοὺς τριηράρχους ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, οὐ τὰ κοινὰ διαχειρίσαντας, οὐδ' ἀπὸ τῶν ὑμετέρων προσόδων πολλὰ μὲν ὑφαιρουμένους, βραχέα δὲ κατατιθέντας, ἐπιδιδόναι δὲ φάσκοντας, ἀποδιδόντας δὲ ὑμῖν τὰ ὑμέτερα. ἀλλ' ὁμολογουμένως τὰς πατρῴας οὐσίας εἰς τὴν πρὸς ὑμᾶς ἀνηλωκότας φιλοτιμίαν. οὐ τοίνυν μόνοι οἱ τριήραρχοι, ἀλλὰ καὶ τὰ μέγιστα τῶν ἐν τῇ πόλει συνεδρίων ὑπὸ τὴν τῶν δικαστηρίων ἔρχεται ψῆφον, πρῶτον μὲν γὰρ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ ἐγγράφειν πρὸς τοὺς λογιστὰς ὁ νόμος κελεύει λόγον, καὶ εὐθύνας διδόναι καὶ τὴν ἐκεῖ σκυθρωπὸν, καὶ τῶν μεγίστων κυρίαν ἄγει ὑπὸ τὴν ὑμετέραν ψῆφον. οὐκ ἄρα στεφανωθήσεται ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου, οὐδὲ γὰρ πάτριον αὐτοῖς ἐστιν. οὐκ ἄρα φιλοτιμοῦνται· πάνυ γε· ἀλλ' οὐκ ἀγαπῶσιν, ἐάν τις παρ' αὐτοῖς μὴ ἀδικῇ· ἀλλ' ἐάν τις ἐξαμαρτάνῃ, κολάζουσιν· οἱ δὲ ὑμέτεροι ῥήτορες τρυφῶσι. πάλιν τὴν βουλὴν τοὺς πεντακοσίους ὑπεύθυνον πεποίηκεν ὁ νομοθέτης. καὶ οὕτως ἰσχυρῶς ἀπιστεῖ τοῖς ὑπευθύνοις, ὥστ' εὐθέως ἀρχόμενος τῶν νόμων λέγει· ἀρχὴν ὑπεύθυνον φησὶ μὴ ἀποδημεῖν. ὦ Ἡράκλεις. ὑπολάβοι ἄν τις, ὅτι ἦρξα μὴ ἀποδημήσω; ἵνα γε μὴ προλαβὼν χρήματα τῆς πόλεως, ἢ πράξεις, δρασμῷ χρήσῃ· πάλιν ὑπεύθυνον οὐκ ἐᾷ τὴν οὐσίαν καθιεροῦν. οὐδὲ ἀνάθημα ἀναθεῖναι, οὐδὲ ἐκποίητον γενέσθαι· οὐδὲ διαθέσθαι τὰ ἑαυτοῦ, οὐδὲ ἄλλα πολλά· ἑνὶ δὲ λόγῳ ἐνεχυράζει τὰς οὐσίας ὁ νομοθέτης, τὰς τῶν ὑπευθύνων, ἕως ἂν λόγον ἀποδῶσι τῇ πόλει. ναί· ἀλλ' ἔστι τις ἄνθρωπος ὃς οὔτε εἴληφεν οὐδὲν τῶν δημοσίων, οὔτ' ἀνήλωκε· προσῆλθε δὲ πρός τι τῶν κοινῶν, καὶ τοῦτον ἀποφέρειν κελεύει λόγον πρὸς τοὺς λογιστάς, καὶ πῶς ὅ γε μηδὲν λαβὼν, μηδ' ἀναλώσας ἀποίσει λόγον τῇ πόλει; αὐτὸς ὑποβάλλει, καὶ διδάσκει ὁ νόμος, ἃ χρὴ γράφειν. κελεύει γὰρ αὐτὸ τοῦτο ἐγγράφειν, ὅτι οὔτ' ἔλαβον οὐδὲν τῶν τῆς πόλεως, οὔτ' ἀνήλωσα. ἀνεύθυνον δὲ καὶ ἀζήτητον, καὶ ἀνεξέταστον οὐδέν ἐστι τῶν ἐν τῇ πόλει· ὅτι δὲ ἀληθῆ λέγω, αὐτῶν ἀκούσατε τῶν νόμων.

Νόμοι.

Ὅταν τοίνυν μάλιστα θρασύνηται Δημοσθένης λέγων, ὡς διὰ τὴν ἐπίδοσιν οὐκ ἔστιν ὑπεύθυνος, ἐκεῖνο αὐτῷ ὑποβάλλετε, οὐκοῦν ἐχρῆν σε ὦ Δημόσθενες ἐᾶσαι τὸν τῶν λογιστῶν κήρυκα κηρῦξαι τὸ πάτριον καὶ ἔννομον κήρυγμα τοῦτο, τίς βούλεται κατηγορεῖν; ἔασον ἀμφισβητῆσαί σοι τὸν βουλόμενον τῶν πολιτῶν,

ὡς οὐκ ἐπιδέδωκας, ἀλλ' ἀπὸ πολλῶν, ὧν ἔχεις εἰς τὴν τῶν τειχῶν οἰκοδομίαν μικρὰ κατέθηκας, δέκα τάλαντα εἰς ταῦτα ἐκ τῆς πόλεως εἰληφώς. μὴ ἅρπαζε τὴν φιλοτιμίαν· μὴ δὲ ἐξαιροῦ τῶν δικαστῶν τὰς ψήφους ἐκ τῶν χειρῶν· μὴ δ' ἔμπροσθεν τῶν νόμων, ἀλλ' ὕστερος πολιτεύου. ταῦτα γὰρ ὀρθοῖ τὴν δημοκρατίαν. πρὸς μὲν οὖν τὰς κενὰς προφάσεις, ἃς οὗτοι προφασιοῦνται, μέχρι δεῦρο εἰρήσθω μοι. ὅτι δὲ ὄντως ἦν ὑπεύθυνος ὁ Δημοσθένης ὅθ' οὗτος εἰσήνεγκε τὸ ψήφισμα, ἄρχων μὲν τὴν ἐπὶ τοῦ θεωρικοῦ ἀρχήν, ἄρχων δὲ τὴν τῶν τειχοποιῶν, οὐδετέρας δέ πω τῶν ἀρχῶν τούτων λόγον ὑμῖν οὐδ' εὐθύνας δεδωκώς, ταῦτ' ἤδη πειράσομαι ὑμᾶς διδάσκειν ἐκ τῶν δημοσίων γραμμάτων. καί μοι ἀνάγνωθι ἐπὶ τίνος ἄρχοντος, καὶ ποίου μηνός, καὶ ἐν τίνι ἡμέρᾳ, καὶ ἐν ποίᾳ ἐκκλησίᾳ ἐχειροτονήθη Δημοσθένης, τὴν ἀρχὴν τὴν ἐπὶ τοῦ θεωρικοῦ, ὅτι μεσοῦντα τὴν ἀρχήν, ἔγραψεν αὐτὸν στεφανοῦν. ἀναγίνωσκε. Διαλογισμὸς τῶν ἡμερῶν.

Οὐκοῦν εἰ μηδὲν ἔτι περαιτέρω τούτου δείξαιμι, δικαίως ἂν ἁλίσκοιτο Κτησιφῶν. αἱρεῖ γὰρ αὐτὸν οὐχ ἡ κατηγορία ἡ ἐμή, ἀλλὰ τὰ δημόσια γράμματα. πρότερον μὲν τοίνυν ὦ Ἀθηναῖοι ἀντιγραφεὺς ἦν χειροτονητὸς τῇ πόλει. ὃς καθ' ἑκάστην πρυτανείαν ἀπελογίζετο τὰς προσόδους τῷ δήμῳ. διὰ δὲ τὴν πρὸς Εὔβουλον γενομένην πίστιν, ὑμῖν οἱ ἐπὶ τὸ θεωρικὸν κεχειροτονημένοι, ἦρχον μὲν πρὶν ἢ τὸν Ἡγήμονος νόμον γενέσθαι, τὴν τοῦ ἀντιγραφέως ἀρχήν, ἦρχον δὲ τὴν τῶν ἀποδεκτῶν καὶ νεωρίων ἀρχήν· καὶ σκευοθήκην ᾠκοδόμουν. ἦσαν δὲ καὶ ὁδοποιοί, καὶ σχεδὸν τὴν ὅλην διοίκησιν εἶχον τῆς πόλεως. καὶ οὐ κατηγορῶν αὐτῶν, οὐδ' ἐπιτιμῶν λέγω, ἀλλ' ἐκεῖνο ὑμῖν ἐνδείξασθαι βούλομαι, ὅτι ὁ μὲν νομοθέτης ἐάν τις μιᾶς ἀρχῆς τῆς ἐλαχίστης ὑπεύθυνος ᾖ, τοῦτον οὐκ ἐᾷ πρὶν ἂν λόγους, καὶ εὐθύνας δῷ στεφανοῦν. ὁ δὲ Κτησιφῶν Δημοσθένην τὸν συλλήβδην ἁπάσας τὰς Ἀθήνησιν ἀρχὰς ἄρχοντα, οὐκ ὤκνησε γράψαι στεφανῶσαι. ὡς τοίνυν καὶ τὴν τῶν τειχοποιῶν ἀρχὴν ἦρχεν, ὅθ' οὗτος τὸ ψήφισμα ἔγραψε, καὶ τὰ δημόσια χρήματα διεχείριζε, καὶ ἐπιβολὰς ἐπέβαλε, καθάπερ οἱ ἄλλοι ἄρχοντες, καὶ δικαστηρίων ἡγεμονίας ἐλάμβανε, τούτων ὑμῖν αὐτὸν Δημοσθένην, καὶ Κτησιφῶντα μάρτυρας παρέξομαι. ἐπὶ γὰρ Χαιρώνδου ἄρχοντος Θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος ἐκκλησίας οὔσης, ἔγραψε ψήφισμα Δημοσθένης, ἀγορὰν ποιῆσαι τῶν φυλῶν Σκιρροφοριῶνος δευτέρᾳ ἱσταμένου, καὶ τρίτῃ, καὶ ἐπέταξεν ἐν τῷ ψηφίσματι ἑκάστης τῶν φυλῶν ἑλέσθαι τοὺς ἐπιμελησομένους τῶν ἔργων ἐπὶ τὰ τείχη, καὶ ταμίας, καὶ μάλα ὀρθῶς, ἵν' ἡ πόλις ἔχῃ ὑπεύθυνα σώματα. παρ' ὧν ἔμελλε τῶν ἀναλισκομένων λόγον ἀπολήψεσθαι. καί μοι λέγε τὰ ψηφίσματα. Ψηφίσματα.

Ναὶ ἀλλ' ἀντιδιαπλέκει πρὸς τοῦτο εὐθέως λέγων, ὡς οὔτ' ἔλαχε τειχοποιός, οὔτ' ἐχειροτονήθη ὑπὸ τοῦ δήμου, καὶ περὶ τούτου Δημοσθένης μὲν, καὶ Κτησιφῶν πολὺν ποιήσονται λόγον. ὁ δὲ γενόμενος βραχύς, καὶ σαφής, καὶ ταχὺ λύων τὰς τούτων τέχνας, μικρὰ δὲ ὑμῖν ὑπὲρ αὐτῶν πρῶτον προειπεῖν βούλομαι.

ἔστι γὰρ ὦ Ἀθηναῖοι τῶν περὶ τὰς ἀρχὰς εἴδη τρία. ὧν ἓν μὲν καὶ πᾶσι φανερώτατον, οἱ κληρωτοί, καὶ οἱ χειροτονητοὶ ἄρχοντες. Δεύτερον δέ, ὅσοι τι διαχειρίζουσι τῶν τῆς πόλεως ὑπὲρ τριάκοντα ἡμέρας, καὶ οἱ τῶν δημοσίων ἔργων ἐπιστάται. τρίτον δ' ἐν τῷ νόμῳ γέγραπται, καὶ εἴ τινες ἄλλοι αἱρετοὶ ἡγεμονίας δικαστηρίων λαμβάνουσι, καὶ τούτους ἄρχειν δοκιμασθέντας. ἐπειδὰν δὲ ἀφέλῃ τις τοὺς ὑπὸ τοῦ δήμου κεχειροτονημένους, καὶ τοὺς κληρωτοὺς ἄρχοντας, καταλείπεται, οὓς αἱ φυλαί, καὶ αἱ τριττύες, καὶ οἱ δῆμοι ἐξ ἑαυτῶν αἱροῦνται τὰ δημόσια χρήματα διαχειρίζειν, τούτους αἱρετοὺς ἄρχοντας εἶναι. τοῦτο δὲ γίνεται, ὅταν ὥσπερ νῦν ἐπιταχθῇ τι ταῖς φυλαῖς, ἢ τάφρους ἐξεργάζεσθαι, ἢ τριήρεις ναυπηγεῖσθαι. ὅτι δὲ ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν νόμων μαθήσεσθε. Νόμοι.

ἀναμνήσθητε δὴ τοὺς προειρημένους λόγους, ὅτι ὁ μὲν νομοθέτης τοὺς ἐκ τῶν φυλῶν ἄρχειν κελεύει δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ. ἡ δὲ Πανδιονὶς φυλὴ ἄρχοντα, καὶ τειχοποιὸν ἀπέδειξε Δημοσθένην. ὃς ἐκ τῆς διοικήσεως εἰς ταῦτα ἔχει, μικροῦ δεῖν δέκα τάλαντα. ἕτερος δὲ ἀπαγορεύει νόμος, ἀρχὴν ὑπεύθυνον μὴ στεφανοῦν.

φανοῦν. ὑμεῖς δὲ ὀμωμόκατε κατὰ τοὺς νόμους ψηφιεῖσθαι. ὁ δὲ ῥήτωρ γέγραφε τὸν ὑπεύθυνον στεφανοῦν, μὴ προσθεὶς, ἐπειδὰν δῷ λόγον, καὶ εὐθύνας. ἐγὼ δὲ ἐξελέγξω τὸ παράνομον, μάρτυρας ἅμα τοὺς νόμους, καὶ τὰ ψηφίσματα, καὶ τοὺς ἀντιδίκους παρεχόμενος. πῶς γὰρ ἄν τις περιφανέστερον ἐπιδείξειεν ἄνθρωπον παρανομώτατα γεγραφότα; ὡς δ᾽ εἶναι καὶ τὴν ἀνάρρησιν τοῦ στεφάνου παρανόμως ἐν τῷ ψηφίσματι κελεύει γίνεσθαι, καὶ τοῦθ᾽ ὑμᾶς διδάξω. ὁ γὰρ νόμος διαῤῥήδην κελεύει, ἐὰν μέν τινα στεφανοῖ ἡ βουλὴ, ἐν τῷ βουλευτηρίῳ ἀνακηρύττεσθαι, ἐὰν δ᾽ ὁ δῆμος, ἐν τῇ ἐκκλησίᾳ. ἄλλοθι δὲ μηδαμοῦ. καί μοι λέγε τὸν νόμον. Νόμος. Οὗτος ὁ νόμος ὦ ἀθηναῖοι, καὶ μάλα καλῶς ἔχει. οὐ γὰρ οἶμαι ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα σεμνύνεσθαι πρὸς τοὺς ἔξωθεν, ἀλλ᾽ ἀγαπᾶν ἐν αὐτῇ τῇ πόλει τιμώμενον ὑπὸ τοῦ δήμου, καὶ μὴ ἐργολαβεῖν ἐν τοῖς κηρύγμασιν. ὁ μὲν νομοθέτης οὕτως. ὁ δὲ κτησιφῶν, πῶς; ἀνάγνωσκε τὸ ψήφισμα. Ψήφισμα. ἀκούετε ὦ ἀθηναῖοι ὅτι ὁ μὲν νομοθέτης κελεύει ἐν τῷ δήμῳ ἐν πυκνὶ τῇ ἐκκλησίᾳ ἀνακηρύττειν, τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον, ἄλλοθι δὲ, μηδαμοῦ, κτησιφῶν δὲ ἐν τῷ θεάτρῳ, οὐ τοὺς νόμους μόνον ὑπερβὰς, ἀλλὰ καὶ τὸν τόπον μετενεγκὼν, οὐδὲ ἐκκλησιαζόντων ἀθηναίων, ἀλλὰ τραγῳδῶν ἀγωνιζομένων καινῶν, οὐδ᾽ ἐναντίον τοῦ δήμου, ἀλλ᾽ ἐναντίον τῶν ἑλλήνων, ἵν᾽ ἡμῖν συνειδῶσιν, οἷον ἄνδρα τιμῶμεν. οὕτω τοίνυν περιφανῶς παράνομα γεγραφὼς παραταχθεὶς μετὰ δημοσθένους ἐποίσει τέχνας τοῖς νόμοις. ἃς ἐγὼ δηλώσω, καὶ προερῶ ὑμῖν, ἵνα μὴ λάθητε ἐξαπατηθέντες. οὗτοι γὰρ ὡς μὲν οὐκ ἀπαγορεύουσιν οἱ νόμοι τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττειν ἔξω τῆς ἐκκλησίας, οὐχ ἕξουσι λέγειν. οἴσουσι δὲ εἰς τὴν ἀπολογίαν τὸν διονυσιακὸν νόμον, καὶ χρήσονται τοῦ νόμου μέρει τινὶ κλέπτοντες τὴν ἀκρόασιν ὑμῶν, καὶ παρέξονται νόμον οὐδὲν προσήκοντα τῇδε τῇ γραφῇ, καὶ λέξουσιν, ὡς εἰσὶ τῇ πόλει δύο νόμοι κείμενοι περὶ τῶν κηρυγμάτων, εἷς μὲν ὃν νῦν ἐγὼ παρέχομαι, διαῤῥήδην ἀπαγορεύοντα τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον, μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας. ἕτερον δὲ εἶναι νόμον φήσουσιν ἐναντίον τούτῳ. τὸν δεδωκότα ἐξουσίαν ποιεῖσθαι τὴν ἀνάῤῥησιν τοῦ στεφάνου τραγῳδοῖς ἐν τῷ θεάτρῳ, ἐὰν ψηφίσηται ὁ δῆμος, κατὰ δὴ τοῦτον τὸν νόμον φήσουσι γεγραφέναι τὸν κτησιφῶντα. ἐγὼ δὲ πρὸς τὰς τούτων τέχνας παρέξομαι συνηγόρους τοὺς νόμους, τοὺς ὑμετέρους. ὅπερ διατελῶ σπουδάζων παρὰ πᾶσαν τὴν κατηγορίαν. εἰ γὰρ τοῦτό ἐστιν ἀληθὲς, καὶ τοιοῦτον ἔθος παραδέδυκεν ὑμῶν εἰς τὴν πολιτείαν, ὥστε ἀκύρους νόμους ἐν τοῖς κυρίοις ἀναγεγράφθαι καὶ δύο περὶ μιᾶς πράξεως ὑπεναντίους ἀλλήλοις. τί ἂν ἔτι ταύτην εἴποι τις εἶναι τὴν πολιτείαν ἐν ᾗ ταὐτὰ προστάττουσιν οἱ νόμοι ποιεῖν, καὶ μὴ ποιεῖν, ἀλλ᾽ οὐκ ἔχει ταῦτα οὕτως, μήθ᾽ ὑμεῖς ποτε εἰς τοσαύτην ἀταξίαν τῶν νόμων προβαίητε. οὔτε ἠμέληται περὶ τῶν τοιούτων τῷ νομοθέτῃ τῷ τὴν δημοκρατίαν καταστήσαντι, ἀλλὰ διαῤῥήδην προστέτακται τοῖς θεσμοθέταις καθ᾽ ἕκαστον ἐνιαυτὸν διορθοῦν ἐν τῷ δημοσίῳ τοὺς νόμους ἀκριβῶς ἐξετάσαντας, καὶ σκεψαμένους, εἴ τις ἀναγέγραπται νόμος ἐναντίος, νόμῳ, ἢ ἄκυρος ἐν τοῖς κυρίοις, ἢ εἴ που εἰσὶ νόμοι πλείους ἑνὸς ἀναγεγραμμένοι περὶ ἑκάστης πράξεως, κἄν τι τοιοῦτον εὑρίσκωσιν ἀναγεγραφότας ἐν σανίσιν, ἐκτιθέναι κελεύει πρόσθεν τῶν ἐπωνύμων. τοὺς δὲ πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐπιγράψαντας νομοθέτας, τὸν δ᾽ ἐπιστάτην τῶν προέδρων διαχειροτονίαν διδόναι τῷ δήμῳ, καὶ τοὺς μὲν, ἀναιρεῖν τῶν νόμων, τοὺς δὲ, καταλείπειν. ὅπως ἂν εἷς ᾖ νόμος, καὶ μὴ πλείους ἑκάστης πράξεως. καί μοι λέγε τοὺς νόμους. Νόμοι. εἰ τοίνυν ὦ ἀθηναῖοι ἀληθὴς ἦν ὁ παρὰ τούτων λόγος, καὶ ἦσαν δύο κείμενοι νόμοι περὶ τῶν κηρυγμάτων ἐξ ἀνάγκης οἶμαι τῶν μὲν θεσμοθετῶν ἐξευρόντων, τῶν δὲ πρυτάνεων ἀποδιδόντων τοῖς νομοθέταις, ἀνῄρητ᾽ ἂν ὁ ἕτερος τῶν νόμων. ἤτοι ὁ τὴν ἐξουσίαν δεδωκὼς ἀνειπεῖν, ἢ ὁ ἀπαγορεύων. ὁπότε δὲ μηδὲν τούτων γίνεται, φανερῶς δήπου ἐξελέγχονται οὐ μόνον ψευδῆ λέγοντες, ἀλλὰ καὶ παντελῶς ἀδύνατα γενέσθαι. ὅθεν δὲ δὴ τὸ ψεῦδος τοῦτο ἐπιφέρουσιν, ἐγὼ διδάξω ὑμᾶς. προειπὼν ὧν ἕνεκα οἱ νόμοι

ἐτέθησαν, οἱ περὶ τῶν ἐν τῷ θεάτρῳ κηρυγμάτων. Γινομένων γὰρ τῶν ἐν ἄστει τραγῳδῶν, ἀνεκήρυττόν τινες οὐ πείσαντες τὸν δῆμον, οἱ μὲν, ὅτι στεφανοῦνται ὑπὸ τῶν φυλετῶν, ἕτεροι δὲ ὑπὸ τῶν δημοτῶν, ἄλλοι δέ τινες ὑποκηρυξάμενοι, τοὺς αὑτῶν οἰκέτας ἀφίεσαν ἀπελευθέρους, μάρτυρας τῆς ἀπελευθερίας τοὺς ἕλληνας ποιούμενοι. ὃ δ' ἦν ἐπιφθονώτατον, προξενίας τινὲς εὑρημένοι ἐν ταῖς ἔξω πόλεσι διεπράττοντο ἀναγορεύεσθαι, ὅτι στεφανοῖ αὐτοὺς ὁ δῆμος, εἰ οὕτω τύχοι, ὁ τῶν ῥοδίων, ἢ χίων, ἢ καὶ ἄλλης τινὸς πόλεως ἕνεκα ἀρετῆς καὶ ἀνδραγαθίας. καὶ ταῦτα ἔπραττον, οὐχ ὥσπερ οἱ ὑπὸ τῆς βουλῆς τῆς ὑμετέρας στεφανούμενοι, ἢ ὑπὸ τοῦ δήμου πείσαντες ὑμᾶς, καὶ μετὰ ψηφίσματος πολλὴν χάριν καταθέμενοι, ἀλλ' αὐτοὶ προελόμενοι ἄνευ δόγματος ὑμετέρου. Ἐκ δὲ τούτου τοῦ τρόπου συνέβαινε τοὺς μὲν θεατὰς, καὶ τοὺς χορηγοὺς καὶ τοὺς ἀγωνιστὰς ἐνοχλεῖσθαι. τοὺς δὲ ἀνακηρυττομένους ἐν τῷ θεάτρῳ, μείζοσι τιμᾶσθαι τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων. τοῖς μὲν γὰρ ἀπεδέδεικτο τόπος ἡ ἐκκλησία, ἐν ᾗ χρὴ στεφανοῦσθαι, καὶ ἀπείρητο ἄλλοθι μηδαμοῦ κηρύττεσθαι. οἱ δὲ, ἀνηγορεύοντο ἐνώπιον ἁπάντων τῶν ἑλλήνων, κἀκεῖνοι μὲν μετὰ ψηφίσματος πείσαντες ὑμᾶς, οὗτοι δ' ἄνευ ψηφίσματος. Συνιδὼν δή τις ταῦτα νομοθέτης, τίθησι νόμον οὐδὲν ἐπικοινωνοῦντα τῷ περὶ τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων νόμῳ. οὔτε λύσας ἐκεῖνον, οὐδὲ γὰρ ἡ ἐκκλησία ἠνωχλεῖτο, ἀλλὰ τὸ θέατρον, οὔτε ἐναντίον τοῖς πρότερον κειμένοις νόμοις τιθείς. οὐ γὰρ ἔξεστιν, ἀλλὰ περὶ τῶν ἄνευ ψηφίσματος ὑμετέρου στεφανουμένων ὑπὸ τῶν φυλετῶν, καὶ δημοτῶν, καὶ περὶ τῶν τοὺς οἰκέτας ἀπελευθερούντων, καὶ περὶ τῶν ξενικῶν στεφάνων, καὶ διαῤῥήδην ἀπαγορεύει μήτε οἰκέτην ἀπελευθεροῦν ἐν τῷ θεάτρῳ, μήτε ὑπὸ τῶν φυλετῶν, ἢ δημοτῶν ἀναγορεύεσθαι στεφανούμενον, μήθ' ὑπ' ἄλλου φησὶ μηδενὸς, ἢ ἄτιμον εἶναι τὸν κήρυκα. Ὅταν οὖν ἀποδείξῃ τοῖς μὲν ὑπὸ τῆς βουλῆς στεφανουμένοις, εἰς τὸ βουλευτήριον ἀναῤῥηθῆναι, τοῖς δὲ ὑπὸ τοῦ δήμου στεφανουμένοις εἰς τὴν ἐκκλησίαν. τοῖς δ' ὑπὸ τῶν δημοτῶν στεφανουμένοις, καὶ φυλετῶν ἀπείπῃ μὴ κηρύττεσθαι τοῖς τραγῳδοῖς, ἵνα μηδεὶς ἐρανίζων στεφάνους, καὶ κηρύγματα ψευδῆ φιλοτιμίαν κτᾶται. προσαπεῖπε δὲ ἐν τῷ νόμῳ μηδὲ ὑπὸ ἄλλου μηδενὸς ἀνακηρύττεσθαι ἀπούσης βουλῆς, καὶ δήμου, καὶ φυλετῶν, καὶ δημοτῶν, ὅταν δέ τις ταῦτα ἀφέληται τί τὸ καταλειπόμενόν ἐστι, πλὴν οἱ ξενικοὶ στέφανοι. ὅτι δὲ ἀληθῆ λέγω, μέγα σημεῖον ὑμῖν τούτου ἐξ αὐτῶν τῶν νόμων ἐπιδείξω. Αὐτὸν γὰρ τὸν χρυσοῦν στέφανον, ὃς ἂν ἐν τῷ θεάτρῳ ἐν ἄστει ἀναῤῥηθῇ, ἱερὸν εἶναι τῆς ἀθηνᾶς κελεύει ὁ νόμος, ἀφελόμενος τὸν στεφανούμενον, καίτοι, τίς ἂν ὑμῶν τολμήσειε τοσαύτην ἀνελευθερίαν καταγνῶναι τοῦ δήμου τῶν ἀθηναίων; μὴ γὰρ ὅτι πόλις, ἀλλ' οὐδ' ἂν ἰδιώτης οὐδεὶς οὕτως ἀγεννὴς γένοιτο. ὥστε ὃν αὐτὸς ἔδωκε στέφανον ἅμα ἀνακηρύττειν, καὶ ἀφαιρεῖσθαι, καὶ καθιεροῦν. ἀλλ' οἶμαι διὰ τὸ ξενικὸν εἶναι τὸν στέφανον, καὶ καθιέρωσις γίγνεται, ἵνα μηδεὶς ἀλλοτρίαν εὔνοιαν περὶ πλείονος ποιούμενος τῆς πατρίδος χείρων γένηται τὴν ψυχήν. ἀλλ' οὐκ ἐκεῖνον τὸν ἐν τῇ ἐκκλησίᾳ ἀναῤῥηθέντα στέφανον οὐδεὶς καθιεροῖ. ἀλλ' ἔξεστι κεκτῆσθαι, ἵνα μὴ μόνον αὐτὸς, ἀλλὰ καὶ οἱ ἐξ ἐκείνου ἔχοντες ἐν τῇ οἰκίᾳ τὸ ὑπόμνημα μηδέποτε κακοὶ τὴν ψυχὴν εἰς τὸν δῆμον γίνωνται, καὶ διὰ τοῦτο προσέθηκεν ὁ νομοθέτης, μὴ κηρύττεσθαι τὸν ἀλλότριον στέφανον ἐν τῷ θεάτρῳ, ἐὰν μὴ ψηφίσηται ὁ δῆμος, ἵν' ἡ πόλις ἡ βουλομένη τινὰ τῶν ὑμετέρων στεφανοῦν πρέσβεις πέμψασα, δεηθῇ τοῦ δήμου, ἵνα κηρυττόμενος μείζω χάριν εἰδῇ τῶν στεφανούντων ὑμῖν, ἢ τοῖς στεφανοῦσιν, ὅτι κηρύξαι ἐπετρέψατε. ὅτι δὲ ἀληθῆ λέγω, τῶν νόμων αὐτῶν ἀκούσατε. Νόμοι. Ἐπειδὰν τοίνυν ἐξαπατῶντες ὑμᾶς λέγωσιν, ὡς προγέγραπται ἐν τῷ νόμῳ ἐξεῖναι στεφανοῦν ἐὰν ψηφίσηται ὁ δῆμος, ἀπομνημονεύετε αὐτοῖς ὑποβαλεῖν. ναί. εἴγε σέ τις ἄλλη πόλις στεφανοῖ. εἰ δὲ ὁ δῆμος ὁ ἀθηναίων, ἀποδέδεικταί σοι τόπος, ὅπου δεῖ τοῦτο γίνεσθαι, ἀπείρηταί σοι ἔξω τῆς ἐκκλησίας μὴ κηρύττεσθαι. τὸ δὲ ἄλλοθι δὲ μηδαμοῦ, ὅ τι ἐστὶν ὅλην τὴν ἡμέραν λέγε. οὐ γὰρ ἀποδείξεις ὡς ἔννομα γέγραφας. Ἔστι δὲ ὑπόλοιπόν

μοι μέρος τῆς κατηγορίας, ἐφ' ᾧ μάλιστα σπουδάζω. τοῦτο δ' ἐστὶν ἡ πρόφασις, δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι. λέγει γὰρ οὕτως ἐν τῷ ψηφίσματι· καὶ τὸν κήρυκα ἀναγορεύειν ἐν τῷ θεάτρῳ πρὸς τοὺς Ἕλληνας, ὅτι στεφανοῖ αὐτὸν ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας, καὶ τὸ μέγιστον, ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ. ἁπλοῦς δὴ παντάπασιν ὁ μετὰ ταῦτα ἡμῖν λόγος γίνεται, καὶ ὑμῖν ἀκούσασι κρῖναι εὐμαθής. δεῖ γὰρ δή που τὸν μὲν κατηγοροῦντα ἐμὲ τοῦθ' ὑμῖν ἐπιδεικνύναι, ὡς εἰσὶν οἱ κατὰ Δημοσθένους ἔπαινοι ψευδεῖς, καὶ ὡς οὔτ' ἤρξατο λέγειν τὰ βέλτιστα, οὔτε νῦν διατελεῖ πράττων τὰ συμφέροντα τῷ δήμῳ. κἂν τοῦτ' ἐπιδείξω, δικαίως δή που τὴν γραφὴν ἁλώσεται Κτησιφῶν· ἅπαντες γὰρ ἀπαγορεύουσιν οἱ νόμοι μηδένα ψευδῆ γράφειν ἐν τοῖς δημοσίοις ψηφίσμασι· τῷ δ' ἀπολογουμένῳ τοὐναντίον τούτου δεικτέον ἐστίν. ὑμεῖς δ' ἡμῖν ἔσεσθαι τῶν λόγων κριταί. ἔχει δ' οὕτως.

ἐγὼ τὸν μὲν βίον τοῦ Δημοσθένους ἐξετάζειν μακροτέρου λόγου ἔργον ἡγοῦμαι εἶναι. τί γὰρ δεῖ νῦν ταῦτα λέγειν, ἢ τὰ περὶ τὴν τοῦ τραύματος γραφὴν αὐτῷ συμβεβηκότα, ὅτ' ἐγράψατο εἰς ἄρειον πάγον Δημομέλην τὸν παιανιέα, ἀνεψιὸν ὄντα ἑαυτῷ, καὶ τὴν τῆς κεφαλῆς ἐπιτομήν· ἢ τὰ περὶ τὴν Κηφισοδότου στρατηγίαν, καὶ τὸν τῶν νεῶν ἔκπλουν τὸν εἰς Ἑλλήσποντον, ὅτε εἷς ὢν τῶν τριηράρχων Δημοσθένης, καὶ περιάγων τὸν στρατηγὸν ἐπὶ τῆς νεώς, καὶ συσσιτῶν, καὶ συνθύων, καὶ συσπένδων, καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς αὐτῷ φίλος εἶναι, οὐκ ὤκνησεν ἀπ' εἰσαγγελίας αὐτοῦ κρινομένου περὶ θανάτου κατήγορος γενέσθαι. καὶ ταῦτα ἤδη τὰ περὶ μειδίαν, καὶ τοὺς κονδύλους, οὓς ἔλαβεν ἐν τῇ ὀρχήστρᾳ χορηγὸς ὤν. καὶ ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς αὐτὸν ὕβριν, καὶ τὴν τοῦ δήμου καταχειροτονίαν, ἣν ἐν Διονύσου κατεχειροτόνησε μειδίου, ταῦτα μὲν οὖν μοι δοκῶ, καὶ τἄλλα τὰ τούτοις ὅμοια ὑπερβήσεσθαι. οὐ προδιδοὺς ὑμᾶς, οὐδὲ τὸν ἀγῶνα καταχαριζόμενος, ἀλλ' ἐκεῖνο φοβούμενος, μή μοι παρ' ὑμῶν ἀπαντήσῃ τὸ δοκεῖν μὲν ἀληθῆ λέγειν, ἀρχαῖα δὲ, καὶ λίαν ὁμολογούμενα. καίτοι ὦ Κτησιφῶν, ὅτῳ τὰ μέγιστα τῶν αἰσχρῶν οὕτως ἐστὶ πιστὰ καὶ γνώριμα τοῖς ἀκούουσιν, ὥστε τὸν κατήγορον μὴ δοκεῖν ψευδῆ λέγειν, ἀλλὰ παλαιὰ, καὶ λίαν προωμολογημένα. πότερα αὐτὸν δεῖ χρυσῷ στεφάνῳ στεφανωθῆναι, ἢ ψέγεσθαι; καὶ σὲ τὸν ψευδῆ καὶ παράνομα τολμῶντα γράφειν, πότερα χρὴ καταφρονεῖν τῶν δικαστηρίων, ἢ δίκην τῇ πόλει διδόναι; περὶ δὲ τῶν δημοσίων ἀδικημάτων πειράσομαι σαφέστερον εἰπεῖν. καὶ γὰρ πυνθάνομαι μέλλειν Δημοσθένην, ἐπειδὰν αὐτοῖς ὁ λόγος ἀποδοθῇ, καταριθμεῖσθαι πρὸς ὑμᾶς ὡς ἄρα τῇ πόλει τέτταρες ἤδη γεγένηνται καιροὶ, ἐν οἷς αὐτὸς πεπολίτευται. ὧν ἕνα μὲν καὶ πρῶτον, ὡς ἔγωγε ἀκούω, καταλογίζεται ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ πρὸς Φίλιππον ὑπὲρ ἀμφιπόλεως ἐπολεμοῦμεν, τοῦτον δ' ἀφορίζεται τὸν χρόνον τῇ γενομένῃ εἰρήνῃ, καὶ συμμαχίᾳ, ἣν Φιλοκράτης ὁ ἁγνούσιος ἔγραψε, καὶ αὐτὸς οὗτος μετ' ἐκείνου, ὡς ἐγὼ δείξω. δεύτερον δὲ καιρόν φησι γενέσθαι ὃν ἤγομεν χρόνον τὴν εἰρήνην, δηλονότι μέχρι τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ καταλύσας τὴν ὑπάρχουσαν εἰρήνην τῇ πόλει ὁ αὐτὸς ῥήτωρ ἔγραψε τὸν πόλεμον. τρίτον δὲ, ὃν ἐπολεμοῦμεν χρόνον μέχρι τῆς ἀτυχίας τῆς ἐν Χαιρωνείᾳ. τέταρτον δὲ τὸν νῦν παρόντα καιρόν. ταῦτα δὲ καταριθμησάμενος, ὡς ἀκούω, μέλλει με παρακαλεῖν, καὶ ἐπερωτᾶν ὁποῖον τούτων τῶν τεττάρων αὐτοῦ καιρῶν κατηγορῶ, καὶ πότε αὐτὸν οὐ τὰ βέλτιστα φημὶ τῷ δήμῳ πεπολιτεῦσθαι. κἂν μὴ θέλω ἀποκρίνασθαι, ἀλλ' ἐγκαλύπτωμαι, καὶ ἀποδιδράσκω, ἐκκαλύψειν μέ φησι προσελθὼν, καὶ ἄξειν ἐπὶ τὸ βῆμα, καὶ ἀναγκάσειν ἀποκρίνασθαι. ἵν' οὖν μήθ' οὗτος ἰσχυρίζηται, ὑμεῖς τε προειδῆτε, ἐγώ τε ἀποκρίνωμαι, ἐναντίον σοι τῶν δικαστῶν Δημόσθενες, καὶ τῶν ἄλλων πολιτῶν, ὅσοι δὴ ἔξωθεν περιεστᾶσι, καὶ τῶν Ἑλλήνων ὅσοις ἐπιμελὲς γέγονεν ὑπακούειν τῆσδε τῆς κρίσεως. ὁρῶ δ' οὐκ ὀλίγους παρόντας, ἀλλ' ὅσους οὐδεὶς πώποτε μέμνηται πρὸς ἀγῶνα δημόσιον παραγενομένους, ἀποκρίνομαι, ὅτι ἁπάντων τῶν τεττάρων καιρῶν κατηγορῶ σου, οὓς σὺ διαιρεῖ. καὶ ἐὰν οἱ θεοὶ θέλωσι, καὶ οἱ δικασταὶ ἐξ ἴσου

Adversus Demosthenē.

ὑμῶν ἀκούσωσι, καὶ ὅσα δύναμαι ἀπομνημονεῦσαι, ἅ σοι σύνοιδα. πάλιν προσδοκῶ ἀποδεί-ξειν τοῖς δικασταῖς τῆς μὲν σωτηρίας τῇ πόλει τοὺς θεοὺς αἰτίους γεγενημένους, καὶ τοὺς φιλανθρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους, τῶν δὲ ἀτυχημάτων ἁπάντων Δημοσθένην αἴτιον γεγενημένον, καὶ χρήσομαι τῇ τοῦ λόγου τάξει ταύτῃ, ἣν ἐγὼ πυνθάνομαι ποιεῖσθαι μέλλειν. λέξω δὲ πρῶτον περὶ τοῦ πρώτου καιροῦ, καὶ δεύτερον περὶ τοῦ δευτέρου, καὶ τρίτον περὶ τοῦ ἐφεξῆς, καὶ τέταρτον περὶ τῶν νῦν καθεστηκότων πραγμάτων, καὶ δὴ ἐπανάγω ἐμαυτὸν ἐπὶ τὴν εἰρήνην, ἣν σὺ καὶ Φιλοκράτης ἐγράψατε.

τῶν

ὑμῖν γὰρ ἐξεγένετο ἂν ὦ Ἀθηναῖοι τὴν προτέραν ἐκείνην εἰρήνην ποιήσασθαι μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων, εἴ τινες ὑμᾶς εἴασαν περιμεῖναι τὰς πρεσβείας, ἃς ἦτε ἐκπεπομφότες, κατ' ἐκεῖνον τὸν καιρὸν εἰς τὴν Ἑλλάδα παρακαλοῦντες ἐπὶ Φίλιππον μετασχεῖν Ἑλληνικοῦ συνεδρίου καὶ προϊόντος τοῦ χρόνου παρ' ἑκόντων τῶν Ἑλλήνων ἀπολαβεῖν τὴν ἡγεμονίαν, καὶ τούτων ἀπεστερήθητε διὰ Δημοσθένην, καὶ Φιλοκράτην, καὶ τὰς τούτων δωροδοκίας, ἃς ἐδωροδόκησαν συστάντες ἐπὶ τὸ δημόσιον τὸ ὑμέτερον.

εἰ δέ τισιν ὑμῶν ἐξαίφνης ἀκούσασιν ἀπιστότερος προσπέπτωκεν ὁ τοιοῦτος λόγος, ἐκείνως τὴν ὑπόλοιπον ποιήσασθε ἀκρόασιν, ὥσπερ ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρόνου καθεζόμεθα ἐπὶ τοὺς λογισμούς. ἐρχόμεθα δή που ψευδεῖς οἴκοθεν ἐνίοτε δόξας ἔχοντες κατὰ τῶν λογισμῶν. ἀλλ' ὅμως ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς ὑμῶν ἐστιν οὕτω δύσκολος τὴν φύσιν, ὅστις οὐκ ἀπέρχεται ταῦθ' ὁμολογήσας, καὶ ἐπινεύσας ἀληθὲς εἶναι, ὅ, τι ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ. οὕτω καὶ νῦν τὴν ἀκρόασιν ποιήσασθε. εἴ τινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἥκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν δόξαν· ὡς ἄρα ὁ Δημοσθένης οὐδὲν πώποτε εἴρηκεν ὑπὲρ Φιλίππου συστὰς μετὰ Φιλοκράτους, ὅστις οὕτω διάκειται, μήτε ἀπογνώτω μηδέν, μήτε καταγνώτω πρὶν ἀκούσῃ. οὐ γὰρ δίκαιον, ἀλλ' ἐὰν ἐμοῦ διὰ βραχέων ἀκούσητε ὑπομιμνήσκοντος τοὺς καιρούς, καὶ τὸ ψήφισμα παρεχομένου ὃ μετὰ Φιλοκράτους ἔγραψε Δημοσθένης, ἐὰν αὐτὸς ὁ τῆς ἀληθείας λογισμὸς ἐγκαταλαμβάνῃ τὸν Δημοσθένην, πλείω μὲν γεγραφότα ψηφίσματα μετὰ Φιλοκράτους περὶ τῆς ἐξαρχῆς εἰρήνης, καὶ συμμαχίας, καθ' ὑπερβολὴν δὲ αἰσχύνης κεκολακευκότα Φίλιππον, καὶ τοὺς παρ' ἐκείνου πρέσβεις οὐκ ἀναμείναντα, αἴτιον δὲ γεγονότα τῷ δήμῳ τοῦ μὴ μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον δὲ Φιλίππῳ πεποιηκότα Κερσοβλέπτην τὸν Θρᾴκης βασιλέα, ἄνδρα φίλον, καὶ σύμμαχον τῇ πόλει.

ἐὰν ταῦθ' ὑμῖν σαφῶς ἐπιδείξω, δεήσομαι ὑμῶν μετρίαν δέησιν, ἐπινεύσατέ μοι πρὸς θεῶν τὸν πρῶτον τῶν τεττάρων καιρῶν, μὴ καλῶς αὐτὸν πεπολιτεῦσθαι. λέξω δὲ ὅθεν μάλιστα παρακολουθήσετε. ἔγραψε Φιλοκράτης ἐξεῖναι Φιλίππῳ δεῦρο κήρυκα, καὶ πρέσβεις πέμπειν περὶ εἰρήνης, καὶ συμμαχίας. τοῦτο τὸ ψήφισμα ἐγράφη παρανόμων. ἧκον οἱ τῆς κρίσεως χρόνοι. κατηγόρει μὲν Λυκῖνος ὁ γραψάμενος, ἀπελογεῖτο Φιλοκράτης. συναπελογεῖτο δὲ καὶ Δημοσθένης, ἀπέφυγε Φιλοκράτης. μετὰ ταῦτα ἐπῄει ὁ χρόνος Θεμιστοκλῆς ἄρχων, ἐνταῦθα εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης οὔτε λαχών, οὔτε ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος, ἵν' εἰς ὑποδοχὴν ἅπαντα, καὶ λέγοι, καὶ πράττοι Φιλοκράτει, ὡς αὐτὸ ἔδειξε τὸ ἔργον. νικᾷ γὰρ ἕτερον ψήφισμα Φιλοκράτης, ἐν ᾧ κελεύει ἑλέσθαι δέκα πρέσβεις, οἵτινες ἀφικόμενοι πρὸς Φίλιππον ἀξιώσουσιν αὐτὸν δεῦρο πρέσβεις αὐτοκράτορας πέμπειν ὑπὲρ τῆς εἰρήνης. τούτων εἷς ἦν Δημοσθένης. κἀκεῖθεν ἐπανήκων ἐπαινέτης ἦν τῆς εἰρήνης, καὶ ταὐτὰ τοῖς ἄλλοις πρέσβεσιν ἀπήγγελλε, καὶ μόνος τῶν βουλευτῶν ἔγραψε σπείσασθαι τῷ κήρυκι τῷ ὑπὸ τοῦ Φιλίππου, καὶ τοῖς πρέσβεσιν ἀκόλουθα γράφων Φιλοκράτει, ὁ μέν γε τὴν ἐξουσίαν δέδωκε τοῦ δεῦρο κήρυκας, καὶ πρέσβεις πέμπεσθαι. ὁ δέ, τῇ πρεσβείᾳ σπένδεται. τὰ δὲ μετὰ ταῦτα ἤδη μοι σφόδρα προσέχετε τὸν νοῦν. ἐπράττετο γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις τὰ πολλὰ συκοφαντηθέντας ὕστερον ἐκ μετα-

βολῆς ὑπὸ δημοσθένους, ἀλλὰ πρὸς φιλοκράτην, καὶ δημοσθένην. εἰκότως τοὺς ἅμα μὲν πρεσβεύοντας, ἅμα δὲ τὰ ψηφίσματα γράφοντας, πρῶτον μὲν, ὅπως μὴ περιμείνητε τοὺς πρέσβεις, οὓς ἦτε ἐκπεπομφότες, παρακαλοῦντες ἐπὶ φίλιππον, ἵνα μὴ μετὰ τῶν ἄλλων ἑλλήνων, ἀλλ' ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην. δεύτερον δ' ὅπως μὴ μόνον τὴν εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν εἶναι ψηφιεῖσθε πρὸς φίλιππον, ἵν' εἴ τινες προσέχοιεν τῷ πλήθει τῷ ὑμετέρῳ, εἰς τὴν ἐσχάτην ἐμπίπτοιεν ἀθυμίαν, ὁρῶντες ὑμᾶς αὐτοὺς μὲν παρακαλοῦντας ἐπὶ τὸν πόλεμον, οἴκοι δὲ μὴ μόνον εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν ἐψηφισμένους ποιεῖσθαι. τρίτον δὲ, ὅπως κερσοβλέπτης ὁ θρᾴκης βασιλεὺς, μὴ ἔσται ἔνορκος, μή τε μετέσται τῆς συμμαχίας, καὶ τῆς εἰρήνης αὐτῷ. παρηγγέλλετο δὲ ἐπ' αὐτὸν ἤδη στρατιά. καὶ ταῦθ' ὁ μὲν ἐξωνούμενος οὐκ ἠδίκει. πρὸ γὰρ τῶν ὅρκων, καὶ τῶν συνθηκῶν ἀνεμέσητον ἦν αὐτῷ πράττειν τὰ συμφέροντα. οἱ δὲ ἀποδόμενοι, καὶ κατακοινωνήσαντες τὰ τῆς πόλεως, ἰσχυρᾶς μεγάλης ὀργῆς ἦσαν ἄξιοι. ὁ γὰρ μισαλέξανδρος νυνὶ φάσκων εἶναι, καὶ τότε μισοφίλιππος δημοσθένης, ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τὴν ἀλεξάνδρου, γράφει ψήφισμα τοὺς καιροὺς τῆς πόλεως ὑφαιρούμενος, ἐκκλησίαν ποιεῖν τοὺς πρυτάνεις τῇ ὀγδόῃ ἱσταμένου τοῦ ἐλαφηβολιῶνος μηνός. ὅτε ἦν τῷ ἀσκληπιῷ ἡ θυσία. καὶ ὁ προαγὼν ἐν τῇ ἱερᾷ ἡμέρᾳ, ὃ πρότερον οὐδεὶς μέμνηται γενόμενον τινὰ πρόφασιν ποιησάμενος. ἵνα φησὶν ἐὰν ἤδη παρῶσιν οἱ τοῦ φιλίππου πρέσβεις βουλεύσηται ὁ δῆμος ὡς τάχιστα περὶ τῶν πρὸς φίλιππον πρεσβειῶν τοῖς οὔπω παροῦσι πρέσβεσι. προκαταλαμβάνων τὴν ἐκκλησίαν, καὶ τοὺς χρόνους ὑμῶν ὑποτεμνόμενος, καὶ τὸ πρᾶγμα κατασπεύδων, ἵνα μὴ μετὰ τῶν ἄλλων ἑλλήνων ἐπανελθόντων τῶν ὑμετέρων πρέσβεων, ἀλλὰ μόνοι ποιήσησθε τὴν εἰρήνην. μετὰ δὲ ταῦτα ὦ ἀθηναῖοι ἧκον οἱ τοῦ φιλίππου πρέσβεις. οἱ δὲ ὑμέτεροι ἀπεδήμουν παρακαλοῦντες τοὺς ἕλληνας ἐπὶ φίλιππον. ἐνταῦθα ἕτερον ψήφισμα νικᾷ δημοσθένης. ἐν ᾧ γράφει μὴ μόνον ὑπὲρ τῆς εἰρήνης, ἀλλὰ καὶ συμμαχίας ὑμᾶς βουλεύσασθαι μὴ περιμείναντας τοὺς πρέσβεις τοὺς ὑμετέρους, ἀλλ' εὐθὺς μετὰ τὰ ἐν ἄστει διονύσια τῇ ὀγδόῃ καὶ ἐνάτῃ ἐπὶ δέκα. ὅτι δὲ ἀληθῆ λέγω, ἀκούσατε τῶν ψηφισμάτων.

ψηφίσματα. ἐπειδὴ τοίνυν ὦ ἀθηναῖοι παρεληλύθει τὰ διονύσια ἐγίγνοντο δὲ αἱ ἐκκλησίαι, ἐν δὲ τῇ προτέρᾳ τῶν ἐκκλησιῶν ἀνεγνώσθη δόγμα τῇ ὀγδόῃ ἐπὶ δέκα κοινὸν τῶν συμμάχων, οὗ τὰ κεφάλαια διὰ βραχέων ἐγὼ προερῶ. πρῶτον μὲν γὰρ ἔγραψαν ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι, τὸ δὲ τῆς συμμαχίας ὄνομα ὑπερέβησαν, οὐκ ἐπιλελησμένοι, ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν, ἢ καλλίω ὑπολαμβάνοντες εἶναι. ἔπειτα ἀπήντησαν ὀρθῶς ἰασόμενοι τὸ δημοσθένους δωροδόκημα, καὶ προσέγραψαν ἐν τῷ δόγματι ἐξεῖναι τῷ βουλομένῳ τῶν ἑλλήνων ἐν τρισὶ μησὶν εἰς τὴν αὐτὴν στήλην ἀναγεγράφθαι μετ' ἀθηναίων, καὶ μετέχειν τῶν ὅρκων, καὶ τῶν συνθηκῶν. δύο μέγιστα προκαταλαμβάνοντες. πρῶτον μὲν ἔσω τὸν χρόνον τὸν τῆς τριμήνου ταῖς τῶν ἑλλήνων πρεσβείαις ἱκανὸν γενέσθαι παρασκευάζοντες, ἔπειτα τὴν τῶν ἑλλήνων εὔνοιαν τῇ πόλει μετὰ κοινοῦ συνεδρίου κτώμενοι. ἵν' εἰ παραβαίνοιντο αἱ συνθῆκαι μὴ μόνοι μηδ' ἀπαράσκευοι πολεμήσαιμεν. ἃ νυνὶ ὑμῖν παθεῖν συνέβη διὰ δημοσθένην, ὅτι δὲ ἀληθῆ λέγω, ἐξ αὐτοῦ τοῦ δόγματος ἀκούσαντες μαθήσεσθε.

δόγμα συμμάχων. τούτῳ τῷ δόγματι συνειπεῖν ὁμολογῶ καὶ πάντες, οἱ ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγοροῦντες. καὶ ὁ δῆμος ἀπῆλθε τοιαύτην τινὰ δόξαν εἰληφώς. ὡς ἔσται μὲν εἰρήνη. περὶ δὲ συμμαχίας ἄμεινον εἴη διὰ τὴν τῶν ἑλλήνων παράκλησιν βουλεύσασθαι. ἔσται δὲ κοινῇ μετὰ τῶν ἑλλήνων ἁπάντων. νὺξ ἐν μέσῳ, καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν. ἐνταῦθα δὴ προκαταλαμβάνων δημοσθένης τὸ βῆμα οὐδενὶ τῶν ἄλλων παραλιπὼν λόγον οὐδὲν ὄφελος ἔφη τῶν χθὲς εἰρημένων εἶναι λόγων, εἰ τοῦθ' οἱ φιλίππου μὴ συμπεισθήσονται πρέσβεις, οὐδὲ γιγνώσκειν ἔφη τὴν εἰρήνην ἀπούσης συμμαχίας. οὐ γὰρ ἔφη δεῖν, καὶ γὰρ τὸ ῥῆμα μέμνημαι ὡς εἶπε διὰ τὴν ἀηδίαν τοῦ λέγοντος ἅμα καὶ τοῦ ὀνόματος, ἀπορρῆξαι τῆς εἰρήνης τὴν συμμαχίαν. οὐδὲ τὰ τῶν ἑλλήνων

νὺξ ἐν μέσῳ· una nox inter

ἀναμένειν μελλήματα, ἀλλ᾽ ἢ πολεμεῖν αὐτοὺς, ἢ τὴν εἰρήνην ἰδίᾳ ποιεῖσθαι. καὶ τελευτῶν ἐπὶ τὸ βῆμα παρακαλέσας Ἀντίπατρον, ἐρώτημά τι ἠρώτα, προειπὼν μὲν, ἃ ἐρήσεται· προδιδάξας δὲ, ἃ χρὴ κατὰ τῆς πόλεως ἀποκρίνασθαι. καὶ τέλος ταῦτα ἐνίκα, τῷ μὲν λόγῳ προβιασαμένου τοῦ Δημοσθένους. τὸ δὲ ψήφισμα γράψαντος Φιλοκράτους. ὃ δ᾽ ἦν ὑπόλοιπον αὐτοῖς, Κερσοβλέπτην, καὶ τὸν ἐπὶ Θρᾴκης τόπον ἔκδοτον ποιῆσαι, καὶ τοῦτ᾽ ἔπραξαν ἕκτῃ φθίνοντος τοῦ ἐλαφηβολιῶνος μηνός· πρὶν ἐπὶ τὴν ὑστέραν ἀπαίρειν πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους Δημοσθένην. ὁ γὰρ μισαλέξανδρος, καὶ μισοφίλιππος ὑμῖν οὗτος ῥήτωρ, δὶς ἐπρέσβευσεν εἰς Μακεδονίαν, ἐξὸν μὴ δὲ ἅπαξ. ὁ νυνὶ κελεύων τῶν Μακεδόνων καταπτύειν. εἰς δὲ τὴν ἐκκλησίαν τὴν τῇ ἕκτῃ λέγω καθεζόμενος, βουλευτὴς ὢν ἐκ παρασκευῆς, ἔκδοτον Κερσοβλέπτην μετὰ Φιλοκράτους ἐποίησε. λανθάνει γὰρ ὁ μὲν Φιλοκράτης ἐν ψηφίσματι μετὰ τῶν ἄλλων γραμμάτων παρεγγράψας. ὁ δ᾽ ἐπιψηφίσας Δημοσθένης, ἐν ᾧ γέγραπται ἀποδοῦναι τοὺς ὅρκους τοῖς πρέσβεσι τοῖς παρὰ Φιλίππου ἐν τῇδε τῇ ἡμέρᾳ τοὺς συνέδρους τῶν συμμάχων. παρὰ δὲ τοῦ Κερσοβλέπτου σύνεδρος οὐκ ἐκάθητο. γράψας δὲ τοὺς συνεδρεύοντας ὀμνύναι, τὸν Κερσοβλέπτην οὐ συνεδρεύοντα ἐξέκλεισε τῶν ὅρκων. ὅτι δὲ ἀληθῆ λέγω, ἀνάγνωθί μοι, τίς ἦν ὁ ταῦτα γράψας· καὶ τίς ὁ ταῦτα ἐπιψηφίσας πρόεδρος. ψήφισμα. πρόεδρος. καλὸν ὦ Ἀθηναῖοι, καλὸν, ἡ τῶν δημοσίων γραμμάτων φυλακή· ἀκίνητον γάρ ἐστι, καὶ οὐ μεταπίπτει τοῖς αὐτομολοῦσιν ἐν τῇ πολιτείᾳ, ἀλλ᾽ ἐπέδωκε τῷ δήμῳ, ὁπόταν βούληται συνιδεῖν τοὺς πάλαι μὲν πονηρούς, ἐκ μεταβολῆς δ᾽ ἀξιοῦντας εἶναι χρηστούς. ὑπόλοιπον δέ μοι ἐστὶ τὴν κολακείαν αὐτοῦ διεξελθεῖν. Δημοσθένης γὰρ ἐνιαυτὸν βουλεύσας, οὐδεμίαν πώποτε φανεῖται πρεσβείαν εἰς προεδρίαν καλέσας. ἀλλὰ τότε μόνον, καὶ πρῶτον πρέσβεις εἰς προεδρίαν ἔθηκε. καὶ προσκεφάλαια ἔθηκε, καὶ φοινικίδας περιεπέτασε. καὶ ἅμα τῇ ἡμέρᾳ ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συρίττεσθαι διὰ τὴν ἀσχημοσύνην, καὶ κολακείαν, καὶ ὅτε ἀπῄεσαν εἰς Θήβας, ἐμισθώσατο αὐτοῖς τρία ζεύγη ὀρικά, καὶ τοὺς πρέσβεις προὔπεμψεν εἰς Θήβας, ἐγκαταγέλαστον τὴν πόλιν ποιῶν, ἵνα δ᾽ ἐπὶ τῆς ὑποθέσεως μένω, λάβε μοι τὸ ψήφισμα τὸ περὶ τῆς προεδρίας. ψήφισμα. οὗτος τοίνυν ὦ Ἀθηναῖοι ὁ τηλικοῦτος, τὸ μέγεθος κόλαξ, πρῶτος διὰ τῶν κατασκόπων τῶν παρὰ Χαριδήμου πυθόμενος τὴν Φιλίππου τελευτήν, τῶν μὲν θεῶν συμπλάσας ἑαυτῷ ἐνύπνιον, κατεψεύσατο ὡς οὐ παρὰ Χαριδήμου τὸ πρᾶγμα πεπυσμένος, ἀλλὰ παρὰ τοῦ Διὸς, καὶ τῆς Ἀθηνᾶς, οὓς μεθ᾽ ἡμέραν ἐπιορκῶν, νύκτωρ φησὶν ἑαυτῷ διαλέγεσθαι, καὶ τὰ μέλλοντα ἔσεσθαι προλέγειν, ἑβδόμην δ᾽ ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆσαι, καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος, καὶ λευκὴν ἐσθῆτα λαβὼν, ἐβουθύτει, καὶ παρενόμει, τὴν μόνην ὁ δείλαιος, καὶ πρώτην αὐτὸν πατέρα προσειποῦσαν, ἀπολέσας, καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω, ἀλλὰ τὸν τρόπον ἐξετάζω. ὁ γὰρ μισότεκνος, καὶ πατὴρ πονηρὸς, οὐκ ἄν ποτε γένοιτο δημαγωγὸς χρηστὸς, οὐδὲ ὁ τὰ φίλτατα, καὶ οἰκειότατα σώματα μὴ στέργων, οὐδέποτε ὑμᾶς περὶ πλείονος ποιήσεται τοὺς ἀλλοτρίους, οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς, οὐκ ἄν ποτε γένοιτο δημοσίᾳ χρηστός. οὐδ᾽ ὅστις ἐστὶν οἴκοι φαῦλος, οὐδέποτ᾽ ἦν ἐν Μακεδονίᾳ κατὰ τὴν πρεσβείαν καλὸς, κἀγαθός. οὐ γὰρ τὸν τρόπον, ἀλλὰ τὸν τόπον μόνον μετήλλαξε. πόθεν οὖν ἐπὶ τὴν μεταβολὴν ἦλθε τῶν πραγμάτων; οὗτος γάρ ἐστιν ὁ δεύτερος καιρὸς, καὶ τί ποτ᾽ ἐστὶ τὸ αἴτιον, ὅτι Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ᾽ εἰσαγγελίας γεγένηται, Δημοσθένης δὲ ἐπέστη τῶν ἄλλων κατήγορος; καὶ πόθεν ποθ᾽ ἡμᾶς εἰς τὰς ἀτυχίας ὁ μιαρὸς ἄνθρωπος ἐμβέβληκε, ταῦτ᾽ ἤδη διαφερόντως ἄξιόν ἐστιν ἀκοῦσαι. ὡς γὰρ τάχιστα εἴσω Πυλῶν Φίλιππος παρῆλθε, καὶ τάς τε ἐν Φωκεῦσι πόλεις παραδόξως ἀναστάτους ἐποίησε, Θηβαίους δὲ ὡς τόθ᾽ ὑμῖν ἐδόκει, προτέρω καιροῦ, καὶ τοῦ ὑμετέρου συμφέροντος ἰσχυροὺς κατεσκεύασεν, ὑμεῖς δ᾽ ἐκ τῶν ἀγρῶν φοβηθέντες, ἐσκευαγωγήκατε, ἐν τοῖς μεγίστοις

δεδώκασιν αἰτίας οἱ πρέσβεις, οἱ περὶ τῆς εἰρήνης πρεσβεύσαντες, πολὺ δὲ τῶν ἄλλων διαφερόντως Φιλοκράτης, καὶ Δημοσθένης διὰ τὸ μὴ μόνον πρεσβεῦσαι, ἀλλὰ καὶ τὰ ψηφίσματα γεγραφέναι. συνέβη δ' ἐν τοῖς αὐτοῖς χρόνοις διαφέρεσθαί τι τὸν Δημοσθένην, καὶ Φιλοκράτην, σχεδὸν ὑπὲρ τούτων ὑπὲρ ὧν καὶ ὑμεῖς αὐτοὺς ὑπωπτεύσατε διενεχθῆναι, τοιαύτης δὲ ἐπιπεσούσης ταραχῆς μετὰ τῶν συμφύτων νοσημάτων αὐτῷ, ἤδη τὰ μετὰ ταῦτα ἐβουλεύετο μετὰ δειλίας, καὶ τῆς πρὸς Φιλοκράτην ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας, καὶ ἡγήσατο εἰ τῶν συμπρεσβευόντων, καὶ τοῦ Φιλίππου κατήγορος ἀναφανείη, τὸν μὲν Φιλοκράτην προδήλως ἀπολεῖσθαι, τοὺς δὲ ἄλλους συμπρέσβεις κινδυνεύσειν, αὐτὸς δ' εὐδοκιμήσειν, καὶ προδότης ὢν τῶν φίλων, καὶ πονηρὸς πιστὸς τῷ δήμῳ φανήσεσθαι. κατιδόντες δ' αὐτὸν οἱ τῆς πόλεως προπολεμοῦντες ἡσυχίᾳ, ἄσμενοι παρεκάλουν ἐπὶ τὸ βῆμα τὸν μόνον ἀδωροδόκητον ὀνομάζοντες τῇ πόλει· ὁ δὲ, παριὼν ἀρχὰς αὐτοῖς ἐνεδίδου πολέμου, καὶ ταραχῆς. οὗτός ἐστιν ὦ Ἀθηναῖοι ὁ πρῶτος ἐξευρὼν Σέρριον τεῖχος, καὶ Δορίσκον, καὶ Ἐργίσκην καὶ Μυργίσκην καὶ Γάνος, καὶ Γανίδα χωρία· ὧν οὐδὲ τὰ ὀνόματα ᾔδειμεν πρότερον, καὶ ἐς τοῦτο φέρων περιέστησε τὰ πράγματα, ὥστ' εἰ μὲν μὴ πέμποι Φίλιππος πρέσβεις καταφρονεῖν αὐτὸν ἔφη τῆς πόλεως· εἰ δὲ πέμποι, κατασκόπους πέμπειν, ἀλλ' οὐ πρέσβεις. εἰ δὲ ἐπιτρέπειν ἐθέλοι πόλει τινὶ ἴσῃ, καὶ ὁμοίᾳ περὶ τῶν ἐγκλημάτων, οὐκ εἶναι κριτὴν ἴσον ἡμῖν ἔφη, καὶ Φιλίππῳ. Ἀλόννησον ἐδίδου· ὁ δ' ἀπηγόρευε μὴ λαμβάνειν, εἰ δίδωσιν, ἀλλὰ μὴ ἀποδίδωσι περὶ συλλαβῶν διαφερόμενος, καὶ τὸ τελευταῖον στεφανώσας τοὺς μετὰ Ἀριστοδήμου εἰς Θετταλίαν, καὶ Μαγνησίαν παρὰ τὰς περὶ τῆς εἰρήνης συνθήκας ἐπιστρατεύσαντας, τὴν μὲν εἰρήνην διέλυσε, τὴν δὲ συμφορὰν, καὶ τὸν πόλεμον παρεσκεύασε. ναί. ἀλλὰ χαλκοῖς, καὶ ἀδαμαντίνοις τείχεσιν, ὡς αὐτός φησι, τὴν χώραν ἡμῶν ἐτείχισε· τῇ τῶν Εὐβοέων, καὶ Θηβαίων συμμαχίᾳ. ἀλλ' ὦ Ἀθηναῖοι· περὶ ταῦτα τρία μέγιστα ἠδίκησθε· καὶ μάλιστα ἠγνοήκατε. σπεύδων δ' εἰπεῖν περὶ τῆς μεγίστης συμμαχίας τῆς τῶν Θηβαίων, ἵνα ἐφεξῆς εἴπω, περὶ τῶν Εὐβοέων πρῶτον μνησθήσομαι. ὑμεῖς γὰρ ὦ Ἀθηναῖοι πολλὰ, καὶ μεγάλα ἠδικημένοι ὑπὸ Μνησάρχου τοῦ Χαλκιδέως τοῦ Καλλίου, καὶ Ταυροσθένους πατρὸς, οὓς οὗτος νυνὶ μισθὸν λαβὼν, Ἀθηναίους εἶναι τολμᾷ γράφειν, καὶ πάλιν ὑπὸ Θεμίσωνος τοῦ Ἐρετριέως, ὃς ἡμῶν εἰρήνης οὔσης Ὠρωπὸν ἀφείλετο, τούτων ἑκόντες ἐπιλανθανόμενοι ἐπειδὴ διέβησαν εἰς Εὔβοιαν Θηβαῖοι καταδουλώσασθαι τὰς πόλεις πειρώμενοι, ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς, καὶ ναυσὶ, καὶ πεζῇ δυνάμει· καὶ πρὶν τριάκοντα ἡμέρας διελθεῖν, ὑποσπόνδους Θηβαίους ἀφήκατε κύριοι τῆς Εὐβοίας γενόμενοι· καὶ τὰς πόλεις αὐτὰς, καὶ τὰς πολιτείας ἀπέδοτε ὀρθῶς, καὶ δικαίως αὐτοῖς παρακαταθέμενοι· οὐχ ἡγούμενοι δίκαιον εἶναι τὴν ὀργὴν ἀπομνημονεύειν ἐν τῷ πιστευθῆναι, καὶ τηλικαῦθ' ὑφ' ὑμῶν εὖ πεπονθότες οἱ Χαλκιδεῖς, οὐ τὰς ὁμοίας ὑμῖν ἀπέδοσαν χάριτας, ἀλλ' ἐπειδὴ τάχιστα διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ βοηθήσοντες, τοὺς μὲν πρώτους χρόνους, ἀλλ' οὖν προσεποιοῦνθ' ὑμῖν εἶναι φίλοι· ἐπειδὴ δὲ τάχιστα εἰς Ταμύνας παρήλθομεν, καὶ τὸ Κοτύλαιον ὀνομαζόμενον ὄρος ὑπερεβάλομεν, ἐνταῦθα Καλλίας ὁ Χαλκιδεὺς ὃν Δημοσθένης μισθὸν λαβὼν ἐνεκωμίαζεν, ὁρῶν τὸ στρατόπεδον τὸ τῆς πόλεως εἴς τινας δυσχωρίας κατακεκλεισμένον, ὅθεν μὴ νικήσασι μάχῃ, οὐκ ἦν ἀναχώρησις, οὔτε βοηθείας ἐλπὶς, οὔτ' ἐκ γῆς, οὔτε ἐκ θαλάσσης, συναγείρας ἐξ ἁπάσης τῆς Εὐβοίας στρατόπεδον, καὶ παρὰ Φιλίππου δύναμιν προσμεταπεμψάμενος, ὅ τ' ἀδελφὸς αὐτοῦ Ταυροσθένης ὁ νυνὶ πάντας δεξιούμενος, καὶ προσγελῶν τοὺς Φωκικοὺς ξένους διαβιβάσας, ἦλθον ἐφ' ἡμᾶς ὡς ἀναιρήσοντες. καὶ εἰ μὴ πρῶτον μὲν θεῶν τις ἔσωσε τὸ στρατόπεδον, ἔπειθ' οἱ στρατιῶται, οἱ ὑμέτεροι, καὶ πεζοὶ, καὶ ἱππεῖς ἄνδρες ἀγαθοὶ ἐγένοντο, καὶ παρὰ τὸν ἱππόδρομον τὸν ἐν Ταμύναις ἐκ παρατάξεως μάχῃ κρατήσαντες ἀφεῖσαν ὑποσπόνδους τοὺς πολεμίους, ἐκινδύνευσεν ἂν ἡμῶν ἡ πόλις αἴσχιστα παθεῖν· οὐ γὰρ τὸ δυστυχῆσαι κατὰ πόλεμον μέγιστόν

δεινὸν, ἀλλ' ὅταν τις πρὸς ἀνταγωνιστὰς ἀναξίους ἑαυτοῦ διακινδυνεύων ἀποτύχῃ, διπλασίαν εἰκὸς εἶναι τὴν συμφοράν. ἀλλ' ὅμως ὑμεῖς τοιαῦτα πεπονθότες, πάλιν διελύσασθε πρὸς αὐτούς.

Τυχὼν δὲ παρ' ὑμῶν συγγνώμης Καλλίας ὁ χαλκιδεύς, μικρὸν διαλιπὼν χρόνον πάλιν ἧκε φερόμενος εἰς τὴν ἑαυτοῦ φύσιν, εὐβοϊκὸν μὲν τῷ λόγῳ συνέδριον εἰς χαλκίδα συνάγων, ἰσχυρὰν δὲ τὴν εὔβοιαν ἐφ' ὑμᾶς ἔργῳ παρασκευάζων, ἐξαίρετον δ' αὑτῷ τυραννίδα περιποιούμενος, καὶ ταύτης ἐλπίζων συναγωνιστὴν φίλιππον λήψεσθαι, ἀπῆλθεν εἰς μακεδονίαν, καὶ περιῄει μετὰ φιλίππου, καὶ τῶν ἑταίρων εἷς ὠνομάζετο. ἀδικήσας δὲ φίλιππον, κἀκεῖθεν ἀποδρὰς ὑπέβαλεν ἑαυτὸν φέρων θηβαίοις, ἐγκαταλιπὼν δὲ κἀκείνους, καὶ πλείους τραπόμενος τροπὰς τοῦ εὐρίπου παρ' ὃν ᾤκει, εἰς μέσον πίπτει τῆς θηβαίων ἔχθρας, καὶ τῆς φιλίππου. ἀπορῶν δ' ὅ,τι χρήσαιτο αὑτῷ, καὶ παραγγελλομένης ἐπ' αὐτὸν ἤδη στρατιᾶς, μίαν ἐλπίδα λοιπὴν κατεῖδε σωτηρίας, ἔνορκον λαβεῖν τὸν ἀθηναίων δῆμον σύμμαχον ὀνομασθέντα βοηθήσειν, εἴ τις ἐπ' αὐτὸν ἴοι. ὃ πρόδηλον ἦν ἐσόμενον, εἰ μὴ ὑμεῖς κωλύσετε. ταῦτα δὲ διανοηθεὶς ἀποστέλλει δεῦρο πρέσβεις γλαυκέτην, καὶ ἐμπέδωνα, καὶ διόδωρον τὸν δολιχοδρομήσαντα, φέροντας μὲν τῷ δήμῳ ἐλπίδας κενάς, δημοσθένει δ' ἀργύριον, καὶ τοῖς περὶ αὐτόν.

Τρία δ' ἦν, ἃ ἅμα ἐξωνεῖτο. πρῶτον μὲν διασφαλῆναι τῆς πρὸς ὑμᾶς συμμαχίας, οὐδὲν γὰρ ἦν τὸ μέσον εἰ μνησθεὶς τῶν προτέρων ἀδικημάτων ὁ δῆμος, μὴ προσδέξαιτο τὴν συμμαχίαν, ἀλλ' ὑπῆρχεν αὐτῷ ἢ φεύγειν ἐκ χαλκίδος, ἢ τεθνάναι ἐγκαταληφθέντι, τηλικαῦται δυνάμεις ἐπ' αὐτὸν ἐπεστράτευον, ἥ τε φιλίππου, καὶ θηβαίων.

Δεύτερον δ' ἧκον οἱ μισθοὶ τῷ γράψαντι τὴν συμμαχίαν ὑπὲρ τοῦ μὴ συνεδρεύειν ἀθήνησι χαλκιδέας. τρίτον δὲ, ὥστε μὴ τελεῖν συντάξεις, καὶ τούτων τῶν προαιρέσεων οὐδεμιᾶς ἀπέτυχε καλλίας. ἀλλ' ὁ μισοτύραννος δημοσθένης ὡς αὐτὸς προσποιεῖται, ὅν φησι κτησιφῶν τὰ βέλτιστα λέγειν, ἀπέδοτο μὲν τοὺς καιροὺς τοὺς τῆς πόλεως. ἔγραψε δ' ἐν τῇ συμμαχίᾳ βοηθεῖν ἡμᾶς χαλκιδεῦσι. ῥῆμα μόνον ἀντικαταλλαξάμενος ἀντὶ τούτων εὐφημίας ἕνεκα προσγράψας. χαλκιδέας βοηθεῖν ἐάν τις ἴῃ ἐπ' ἀθηναίους. τὰς δὲ συνεδρίας, καὶ τὰς συντάξεις ἐξ ὧν ἰσχύσειν ὁ πόλεμος ἔμελλεν, ἄρδην ἀπέδοτο καλλίστοις ὀνόμασιν αἰσχίστας πράξεις γράφων, καὶ τῷ λόγῳ προσβιβάζων ὑμᾶς τὰς μὲν βοηθείας ὡς δεῖ τὴν πόλιν πρότερον ποιεῖσθαι τοῖς ἀεὶ δεομένοις τῶν ἑλλήνων. τὰς δὲ συμμαχίας ὑστέρας ποιεῖσθαι μετὰ τὰς εὐεργεσίας. ἵνα δὲ εὖ εἰδῆτε, ὅτι ἀληθῆ λέγω. λάβε μοι τὴν καλλίου γραφὴν, καὶ τὴν συμμαχίαν, καὶ ἀνάγνωθι τὸ ψήφισμα.

ψήφισμα.

Οὔπω τοίνυν τοῦτ' ἐστὶ δεινὸν εἰ οἱ καιροὶ πέπρανται τηλικοῦτοι, καὶ συνεδρίαι, καὶ συντάξεις, ἀλλὰ πολὺ τούτου δεινότερον ὑμῖν φανήσεται, ὃ μέλλω λέγειν. εἰς γὰρ τοῦτο προῆχθη καλλίας μὲν ὁ χαλκιδεὺς ὕβρεως, καὶ πλεονεξίας, δημοσθένης δὲ, ὃν ἐπαινεῖ κτησιφῶν, δωροδοκίας, ὥστε τὰς ἐξ ὠρεοῦ συντάξεις, καὶ τὰς ἐξ ἐρετρίας, τὰ δέκα τάλαντα ὁρώντων, φρονούντων, βλεπόντων, ἔλαθον ὑμῶν ὑφελόμενοι, καὶ τοὺς ἐκ τῶν πόλεων τούτων συνέδρους παρ' ὑμῶν μὲν ἀνέστησαν, πάλιν δὲ εἰς χαλκίδα, καὶ τὸ καλούμενον εὐβοϊκὸν συνέδριον συνήγαγον, ὃν δὲ τρόπον, καὶ δι' οἵων κακουργημάτων.

ὃν δὲ τρόπον, καὶ δι' οἵων κακουργημάτων ταῦτ' ἤδη ἄξιόν ἐστιν ἀκοῦσαι. ἀφικνεῖται γὰρ πρὸς ὑμᾶς οὐκέτι δι' ἀγγέλων, ἀλλ' αὐτὸς ὁ καλλίας, καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν, λόγους διεξῆλθε κατεσκευασμένους ὑπὸ δημοσθένους. εἶπε γὰρ ὡς ἥκει ἐκ πελοποννήσου νεωστὶ σύνταγμα συντάξας εἰς ἑκατὸν ταλάντων πρόσοδον ἐπὶ φίλιππον, καὶ διελογίζετο ὅσον ἑκάστους ἔδει συντελεῖν. ἀχαιοὺς μὲν πάντας, καὶ μεγαρέας ἑξήκοντα τάλαντα. τὰς δ' ἐν εὐβοίᾳ πόλεις ἁπάσας τετταράκοντα. ἐκ δὲ τούτων τῶν χρημάτων ὑπάρξειν, καὶ ναυτικὴν, καὶ πεζικὴν δύναμιν. εἶναι δὲ πολλοὺς ἄλλους τῶν ἑλλήνων, οὓς βούλεσθαι κοινωνεῖν τῆς συντάξεως ὡς οὔτε χρημάτων, οὔτε στρατιωτῶν ἔσεσθαι ἀπορίαν, καὶ ταῦτα μὲν τὰ φανερά.

ἔφη δὲ καὶ πράξεις πράττειν ἑτέρας δι' ἀπορρήτων, καὶ τούτων εἶναί τινας

μάρτυρας

μάρτυρας τῶν ὑμετέρων πολιτῶν, καὶ τελευτῶν ὀνομαστὶ παρήγγελλε δημοσθένην, καὶ συνειπεῖν ἠξίου. ὁ δὲ, σεμνῶς πάνυ παρελθὼν τόν τε καλλίαν ὑπερεπῄνει, καὶ τὸ ἀπόρρητον προσεποιήσατο εἰδέναι. Τὴν δὲ εἰς πελοπόννησον πρεσβείαν, ἣν ἐπρέσβευσε, καὶ τὴν εἰς ἀκαρνανίαν ἔφη βούλεσθαι ὑμῖν ἀπαγγεῖλαι. ἦν δὲ αὐτῷ κεφάλαιον τῶν λόγων, πάντας μὲν πελοποννησίους ὑπάρχειν, πάντας δ' ἀκαρνᾶνας συντεταγμένους ἐπὶ φίλιππον ὑφ' ἑαυτοῦ, εἶναι δὲ τὸ σύνταγμα χρημάτων μὲν εἰς ἑκατὸν νεῶν ταχυναυτουσῶν πληρώματα, καὶ εἰς πεζοὺς στρατιώτας μυρίους, καὶ ἱππεῖς χιλίους, ὑπάρξειν δὲ πρὸς τούτοις τὰς πολιτικὰς δυνάμεις. ἐκ πελοποννήσου μὲν πλείους ἢ δισχιλίους ὁπλίτας, ἐξ ἀκαρνανίας δὲ ἑτέρους τοσούτους. δεδόσθαι δὲ ἀπὸ πάντων τούτων τὴν ἡγεμονίαν ὑμῖν. πραχθήσεσθαι δὲ οὐκ εἰς μακρὰν, ἀλλ' εἰς τὴν ἕκτην ἐπὶ δέκα τοῦ ἀνθεστηριῶνος μηνός. εἰρῆσθαι γὰρ ἐν ταῖς πόλεσιν ὑπ' αὐτοῦ καὶ παρηγγέλθαι πάντας ἥκειν συνεδρεύσοντας ἀθήναζε εἰς τὴν πανσέληνον, καὶ ἓν τοῦτο ἄνθρωπος ἴδιον καὶ οὐ κοινὸν ποιεῖ. Οἱ μὲν γὰρ ἄλλοι ἀλαζόνες, ὅταν τι ψεύδωνται, ἀόριστα, καὶ ἀσαφῆ πειρῶνται λέγειν, φοβούμενοι τὸν ἔλεγχον, δημοσθένης δ' ὅταν ἀλαζονεύηται, πρῶτον μὲν μεθ' ὅρκου ψεύδεται, ἐξώλειαν ἐπαρώμενος αὑτῷ, δεύτερον δὲ, ἃ εὖ οἶδεν, οὐδέ ποτε ἐσόμενα, τολμᾷ λέγειν ἀριθμῶν εἰς ὁπότ' ἔσται, καὶ ὧν τὰ σώματα οὐχ ἑώρακε, τούτων τὰ ὀνόματα λέγει κλέπτων τὴν ἀκρόασιν, καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας, διὸ καὶ μάλιστα ἄξιός ἐστι μισεῖσθαι, ὅτι πονηρὸς ὢν, καὶ τὰ τῶν χρηστῶν σημεῖα διαφθείρει. ταῦτα δ' εἰπὼν δίδωσιν ἀναγνῶναι ψήφισμα τῷ γραμματεῖ, μακρότερον μὲν τῆς ἰλιάδος, κενώτερον δὲ τῶν λόγων, οὓς εἴωθε λέγειν, καὶ τοῦ βίου ὃν βεβίωκε, μεστὸν δ' ἐλπίδων οὐκ ἐσομένων καὶ στρατοπέδων, οὐδέποτε συλλεγησομένων. ἀπαγαγὼν δ' ὑμᾶς ἄποθεν ἀπὸ τοῦ κλέμματος, καὶ ἀνακρεμάσας ἀπὸ τῶν ἐλπίδων, ἐνταῦθα δὴ συστρέψας γράφει κελεύων ἑλέσθαι πρέσβεις εἰς ἐρέτριαν, οἵτινες δεήσονται τῶν ἐρετριέων. πάνυ γὰρ ἔδει δεηθῆναι αὐτῶν, μηκέτι διδόναι τὴν σύνταξιν ὑμῖν τὰ πέντε τάλαντα, ἀλλὰ καλλίᾳ, καὶ πάλιν ἑτέρους αἱρεῖσθαι εἰς ὠρεὸν πρὸς τοὺς ὠρείτας πρέσβεις, οἵτινες δεήσονται αὐτοῖς τὸν αὐτὸν ἀθηναίοις φίλον καὶ ἐχθρὸν νομίζειν εἶναι. ἔπειτα ἀναφαίνεται ἐπὶ ἁπάντων ἐν τῷ ψηφίσματι πρὸς τῷ κλέμματι γράψας καὶ τὰ πέντε τάλαντα τοὺς πρέσβεις ἀξιοῦν τοὺς ὠρείτας, μὴ ὑμῖν, ἀλλὰ καλλίᾳ διδόναι. ὅτι δ' ἀληθῆ λέγω, ἀφελὼν τὸν κόμπον καὶ τὰς τριήρεις καὶ τὴν ἀλαζονείαν ἐκ τοῦ ψηφίσματος ἀνάγνωθι, καὶ τοῦ κλέμματος ἅψαι, ὃ ὑφείλετο ὁ μιαρὸς καὶ ἀνόσιος ἄνθρωπος, ὅν φησι κτησιφῶν ἐν τῷδε τῷ ψηφίσματι διατελεῖν λέγοντα καὶ πράττοντα τὰ ἄριστα τῷ δήμῳ τῶν ἀθηναίων. Ψήφισμα.

Quid intersit inter Demosth. et ceteros ἀλαζόνας.

Οὐκοῦν τὰς μὲν τριήρεις καὶ τὴν πεζὴν στρατείαν καὶ τὴν πανσέληνον καὶ τοὺς συνέδρους λόγῳ ἠκούσατε, τὰς δὲ συντάξεις τῶν συμμάχων τὰ δέκα τάλαντα ἔργῳ ἀπωλέσατε. ὑπόλοιπον δέ μοι ἐστὶν εἰπεῖν, ὅτι λαβὼν τρία τάλαντα μισθὸν, τὴν γνώμην ταύτην ἔγραψε δημοσθένης, τάλαντον μὲν ἐκ χαλκίδος παρὰ καλλίου. τάλαντον δὲ ἐξ ἐρετρίας παρὰ κλειτάρχου τοῦ τυράννου. τάλαντον δὲ ἐξ ὠρεοῦ. διὸ καὶ καταφανὴς ἐγένετο δημοκρατουμένων τῶν ὠρειτῶν καὶ πάντα πραττόντων μετὰ ψηφίσματος. ἐξανηλωμένοι γὰρ ἐν τῷ πρὸς φίλιππον πολέμῳ, καὶ παντελῶς ἀπόρως διακείμενοι, πέμπουσι πρὸς αὐτὸν γνωσίδημον τὸν χαριγένους, υἱὸν τοῦ δυναστεύσαντός ποτε ἐν ὠρεῷ δεησόμενον αὐτοῦ, τὸ μὲν τάλαντον ἀφιέναι τῇ πόλει ἐπαγγελλόμενον δ' αὐτῷ χαλκῆν εἰκόνα σταθήσεσθαι ἐν ὠρεῷ. ὁ δ' ἀπεκρίνατο τῷ γνωσιδήμῳ, ὅτι ἐλαχίστου χαλκοῦ οὐδὲν δέοιτο. τὸ δὲ τάλαντον διὰ τοῦ καλλίου εἰσέπραττεν. ἀναγκαζόμενοι δὲ οἱ ὠρεῖται καὶ οὐκ εὐποροῦντες ὑπέθεσαν αὐτῷ τοῦ ταλάντου τὰς δημοσίας προσόδους, καὶ τόκον ἤνεγκαν δημοσθένει τοῦ δωροδοκήματος δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς ἕως τὸ κεφάλαιον ἀπέδοσαν, καὶ ταῦτ' ἐπράχθη μετὰ ψηφίσματος τοῦ δήμου. ὅτι τἀληθῆ λέγω, λάβε μοι τὸ ψήφισμα τῶν ὠρειτῶν. Ψήφισμα. Τοῦτ' ἐστὶ τὸ ψήφισμα ὦ ἀθηναῖοι αἰσχύνη μὲν τῆς πόλεως, ἔλεγχος δὲ οὐ μικρὸς τῶν δημοσθένους πολιτευμάτων. φα-

ν δρὰ δὲ κατηγορίᾳ κτησιφῶντος. τὸν γὰρ οὕτως αἰσχρῶς δωροδοκοῦντα οὐκ ἔστιν ἄνδρα γεγονέναι ἀγαθόν. ἃ τετόλμηκεν οὗτος γράψαι ἐν τῷ ψηφίσματι. ἐνταῦθα ἤδη τέτακται καὶ ὁ τρίτος τῶν καιρῶν, μᾶλλον δ' ὁ πάντων πικρότατος χρόνος, ἐν ᾧ δημοσθένης ἀπώλεσε τὰς τῶν ἑλλήνων καὶ τῆς πόλεως πράξεις. ἀσεβήσας μὲν εἰς τὸ ἱερὸν τὸ ἐν δελφοῖς, ἄδικον δὲ καὶ οὐδαμῶς ἴσην τὴν πρὸς θηβαίους συμμαχίαν γράψας. ἄρξομαι δὲ ἀπὸ τῶν εἰς τοὺς θεοὺς αὐτοῦ πλημμελημάτων λέγειν. ἔστι γὰρ ὦ ἀθηναῖοι τὸ κιῤῥαῖον ὀνομαζόμενον πεδίον καὶ λιμὴν ὁ νῦν ἐξάγιστος καὶ ἐπάρατος ὠνομασμένος. ταύτην ποτὲ τὴν χώραν κατῴκησαν κιῤῥαῖοι καὶ ἀκραγαλλίδαι γένη παρανομώτατα, οἳ εἰς τὸ ἱερὸν τὸ ἐν δελφοῖς καὶ τὰ ἀναθήματα ἠσέβουν, ἐξημάρτανον δὲ καὶ εἰς τοὺς ἀμφικτύονας. ἀγανακτήσαντες δ' ἐπὶ τοῖς γενομένοις μάλιστα μὲν ὡς λέγονται οἱ πρόγονοι οἱ ὑμέτεροι, ἔπειτα καὶ οἱ ἄλλοι ἀμφικτύονες, μαντείαν ἐμαντεύσαντο παρὰ τῷ θεῷ τίνι χρὴ τιμωρίᾳ τοὺς ἀνθρώπους τούτους μετελθεῖν, καὶ αὐτοῖς ἀναιρεῖ ἡ πυθία πολεμεῖν κιῤῥαίοις καὶ ἀκραγαλλίδαις πάντ' ἤματα καὶ πάσας νύκτας, καὶ τὴν χώραν αὐτῶν ἐκπορθήσαντας καὶ αὐτοὺς ἀνδραποδισαμένους, ἀναθεῖναι τῷ ἀπόλλωνι τῷ πυθίῳ καὶ τῇ ἀρτέμιδι, καὶ λητοῖ, καὶ ἀθηνᾷ προνοίᾳ ἐπὶ πάσῃ ἀεργίᾳ. καὶ ταύτην τὴν χώραν μήτ' αὐτοὺς ἐργάζεσθαι μήτ' ἄλλον ἐᾶν. λαβόντες δὲ τὸν χρησμὸν οἱ ἀμφικτύονες, ἐψηφίσαντο σόλωνος εἰπόντος ἀθηναίου τὴν γνώμην, ἀνδρὸς καὶ νομοθετῆσαι δυνατοῦ καὶ περὶ ποίησιν καὶ φιλοσοφίαν διατετριφότος ἐπιστρατεύειν ἐπὶ τοὺς ἐναγεῖς κατὰ τὴν μαντείαν τοῦ θεοῦ, καὶ συναθροίσαντες δύναμιν ἱκανὴν ἐκ τῶν ἀμφικτυόνων, ἐξηνδραποδίσαντο τοὺς ἀνθρώπους καὶ τὸν λιμένα ἔχωσαν, καὶ τὴν πόλιν αὐτῶν κατέσκαψαν, καὶ τὴν χώραν αὐτῶν καθιέρωσαν κατὰ τὴν μαντείαν. καὶ ἐπὶ τούτοις ὅρκον ὤμοσαν ἰσχυρὸν μήτε αὐτοὶ τὴν ἱερὰν γῆν ἐργάσεσθαι, μήτε ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ βοηθήσειν τῷ θεῷ, καὶ τῇ γῇ τῇ ἱερᾷ, καὶ χειρὶ, καὶ ποδί, καὶ πάσῃ δυνάμει, καὶ οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι, ἀλλὰ καὶ προστροπὴν καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο. γέγραπται γὰρ οὕτως ἐν τῇ ἀρᾷ. εἴ τις τάδε φησὶ παραβαίνοι, ἢ πόλις, ἢ ἰδιώτης ἢ ἔθνος, ἐναγής φησιν ἔστω τοῦ ἀπόλλωνος καὶ τῆς ἀρτέμιδος, καὶ λητοῦς, καὶ ἀθηνᾶς προνοίας. καὶ ἐπεύχεται αὐτοῖς μήτε γῆν καρποὺς φέρειν, μήτε γυναῖκας τέκνα τίκτειν γονεῦσιν ἐοικότα, ἀλλὰ τέρατα. μηδὲ βοσκήματα κατὰ φύσιν γονὰς ποιεῖσθαι. ἧτταν δὲ αὐτοῖς εἶναι πολέμου καὶ δικῶν, καὶ ἀγορῶν, καὶ ἐξώλεις εἶναι καὶ αὐτοὺς καὶ οἰκίας, καὶ γένος τὸ ἐκείνων, καὶ μή ποτέ φησιν ὁσίως θύσαιεν τῷ ἀπόλλωνι, μηδὲ τῇ ἀρτέμιδι, μηδὲ τῇ λητοῖ, μηδ' ἀθηνᾷ προνοίᾳ, μηδὲ δέξαιντο αὐτοῖς τὰ ἱερά. ὅτι δὲ ἀληθῆ λέγω, ἀνάγνωθι τὴν τοῦ θεοῦ μαντείαν, ἀκούσατε τῆς ἀρᾶς. ἀναμνήσθητε τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι μετὰ τῶν ἀμφικτυόνων συνώμοσαν.

Μαντεία. Ὅρκοι. Ἀρά.

» Οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες,
» πρίν γε θεοῦ τεμένει κυανώπιδος ἀμφιτρίτης,
» κῦμα ποτικλύζῃ κελάδον ἱεραῖσιν ἐπ' ἀκταῖς.

Ταύτης τῆς ἀρᾶς καὶ τῶν ὅρκων καὶ τῆς μαντείας γενομένης, ἀναγεγραμμένων ἔτι καὶ νῦν οἱ λοκροί, οἱ ἀμφισσεῖς, μᾶλλον δὲ οἱ προεστηκότες αὐτῶν ἄνδρες παρανομώτατοι ἐπηργάζοντο τὸ πεδίον καὶ τὸν λιμένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν, καὶ συνῴκισαν, καὶ τέλη τοὺς καταπλέοντας ἐξέλεγον, καὶ τῶν ἀφικνουμένων εἰς δελφοὺς πυλαγόρων ἐνίους χρήμασι διέφθειραν, ὧν εἷς ἦν δημοσθένης. χειροτονηθεὶς γὰρ ὑφ' ὑμῶν πυλαγόρας, λαμβάνει χιλίας δραχμὰς παρὰ τῶν ἀμφισσέων, ὑπὲρ τοῦ μηδεμίαν μνείαν περὶ αὐτῶν ἐν τοῖς ἀμφικτύοσι ποιήσασθαι. διωμολογήθη δ' αὐτῷ καὶ εἰς τὸν λοιπὸν χρόνον ἀποστελήσεσθαι ἀθήναζε τοῦ ἐνιαυτοῦ ἑκάστου μνᾶς εἴκοσι τῶν ἐξαγίστων καὶ ἐπαράτων χρημάτων, ἐφ' ᾧτε βοηθήσειν τοῖς ἀμφισσεῦσιν ἀθήνησι κατὰ πάντα τρόπον. ὅθεν μᾶλλον ἢ πρότερον συμβέβηκεν ἐν τῷ ὅτου ἂν προσάψηται ἀνδρὸς ἰδιώτου ἢ δυνά-

σου τῆς πόλεως δημοκρατουμένης, τούτων ἐγγίστους ἀνιάτοις κακοῖς περιβάλλειν. σκέψασθε δὴ τὸν δαίμονα καὶ τὴν τύχην ὃς περιεγένετο τῆς τῶν ἀμφισσέων ἀσεβείας. ἐπὶ γὰρ θεοφράστου ἄρχοντος, ἱερομνήμονος ὄντος διογνήτου ἀναφλυστίου πυλαγόρους ὑμεῖς εἵλεσθε, μειδίαν τε ἐκεῖνον τὸν ἀναγυράσιον, ὃν ἐβουλόμην ἂν πολλῶν ἕνεκα ζῆν καὶ θρασυκλέα τὸν λέσβιον, καὶ τρίτον δὲ μετὰ τούτων ἐμέ. συνέβη δὲ ἡμῖν ἀρτίως μὲν εἰς δελφοὺς ἀφῖχθαι, παραχρῆμα δὲ τὸν ἱερομνήμονα διόγνητον πυρέττειν. τὸ δ' αὐτὸ τοῦτο συνεπεπτώκει καὶ τῷ μειδίᾳ. οἱ δ' ἄλλοι συνεκάθηντο ἀμφικτύονες. ἐξηγγέλλετο δ' ἡμῖν παρὰ τῶν βουλομένων εὔνοιαν ἐνδείκνυσθαι τῇ πόλει, ὅτι οἱ ἀμφισσεῖς ὑποπεπτωκότες τότε καὶ δεινῶς θεραπεύοντες τοὺς θηβαίους, εἰσέφερον δόγμα κατὰ τῆς ὑμετέρας πόλεως πεντήκοντα ταλάντοις ζημιῶσαι τὸν δῆμον τῶν ἀθηναίων, ὅτι τὰς χρυσᾶς ἀσπίδας ἀνέθεμεν, πρὸς τὸν καινὸν νεὼν πρὶν ἐξειργάσθαι, καὶ ἐπεγράψαμεν τὸ προσῆκον ἐπίγραμμα. ἀθηναῖοι ἀπὸ μήδων καὶ θηβαίων ὅτε τἀναντία τοῖς ἕλλησιν ἐμάχοντο. μεταπεμψάμενος δὲ ὁ ἱερομνήμων ἠξίου εἰσελθεῖν εἰς τὸ συνέδριον, καὶ εἰπεῖν τι πρὸς τοὺς ἀμφικτύονας ὑπὲρ τῆς πόλεως, καὶ αὐτὸν οὕτω προῃρημένον. ἀρχομένου δέ μου λέγειν καὶ προθυμότερόν πως εἰσεληλυθότος εἰς τὸ συνέδριον τῶν ἄλλων πυλαγόρων μεθεστηκότων, ἀναβοήσας τις τῶν ἀμφισσέων ἄνθρωπος ἀσελγέστατος καὶ ὡς ἐμοὶ ἐφαίνετο οὐδεμιᾶς παιδείας μετεσχηκώς, ἴσως δὲ καὶ δαιμονίου τινὸς ἐξαμαρτάνειν αὐτὸν προαγομένου, ἀρχὴν δέ γε ἔφη ὦ ἄνδρες ἕλληνες εἰ ἐσωφρονεῖτε, οὐδ' ἂν ὠνομάζετο τοὔνομα τοῦ δήμου τῶν ἀθηναίων ἐν ταῖσδε ταῖς ἡμέραις, ἀλλ' ὡς ἐναγεῖς ἐξείργετε ἐκ τοῦ ἱεροῦ. ἅμα δὲ ἐμέμνητο τῆς τῶν φωκέων συμμαχίας ἣν ὁ κρώβυλος ἐκεῖνος ἔγραψε, καὶ ἄλλα πολλὰ καὶ δυσχερῆ κατὰ τῆς πόλεως διεξῄει λέγων, ἃ ἐγὼ οὔτε τότε καρτερῶς ἤκουον, οὔτε νῦν ἡδέως μέμνημαι αὐτῶν. ἀκούσας δέ, οὕτω παρωξύνθην, ὡς οὐδεπώποτ' ἐν τῷ ἐμαυτοῦ βίῳ, καὶ τοὺς μὲν ἄλλους λόγους ὑπερβήσομαι. ἐπῆλθε δ' οὖν μοι ἐπὶ τὴν γνώμην μνησθῆναι τῆς τῶν ἀμφισσέων ἐπὶ τὴν γῆν τὴν ἱερὰν ἀσεβείας, καὶ αὐτόθεν ἑστηκὼς ἐδείκνυον τοῖς ἀμφικτύοσιν. ὑπόκειται γὰρ τὸ κιρραῖον πεδίον τῷ ἱερῷ καὶ ἔστιν εὐσύνοπτον, ὁρᾶτε ἔφην ἐγὼ ὦ ἄνδρες ἀμφικτύονες ἐξειργασμένον τοῦτο τὸ πεδίον ὑπὸ τῶν ἀμφισσέων, καὶ κεραμεῖα ἐνῳκοδομημένα καὶ ἐπαύλια. ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν ἐξάγιστον καὶ ἐπάρατον λιμένα τετειχισμένον. ἴστε τούτους αὐτοί. καὶ οὐδὲν ἑτέρων δεῖσθε μαρτύρων, τέλη πεπραχότας καὶ χρήματα λαμβάνοντας, ἐκ τοῦ ἱεροῦ λιμένος. ἅμα δὲ ἀναγινώσκειν ἐκέλευον αὐτοῖς τὴν μαντείαν τοῦ θεοῦ, τὸν ὅρκον τῶν προγόνων. τὴν ἀρὰν τὴν γενομένην καὶ διωριζόμην. ὅτι ἐγὼ μὲν ὑπὲρ τοῦ δήμου τῶν ἀθηναίων καὶ τοῦ σώματος καὶ τῶν τέκνων καὶ οἰκίας τῆς ἐμαυτοῦ βοηθῶ κατὰ τὸν ὅρκον καὶ τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ, καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πᾶσιν, οἷς δυναίμην, καὶ τὴν πόλιν τὴν ἡμετέραν τὰ πρὸς τοὺς θεοὺς ἀφοσιῶ. ὑμεῖς δὲ ὑπὲρ ὑμῶν αὐτῶν ἤδη βουλεύσασθε. ἐνῆρκται μὲν τὰ κανᾶ. παρέστηκε δὲ τοῖς βωμοῖς τὰ θύματα. μέλλετε δ' αἰτεῖν τοὺς θεοὺς τἀγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ. σκοπεῖτε δὴ ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι τὰς ἱκεσίας ποιήσεσθε, τούτους παρέντες ἀτιμωρήτους τοὺς ἐναγεῖς καὶ ταῖς ἀραῖς ἐνόχους. οὐ γὰρ δι' αἰνιγμάτων, ἀλλ' ἐναργῶς γέγραπται ἐν τῇ ἀρᾷ κατά τε τῶν ἀσεβησάντων, ἃ χρὴ παθεῖν αὐτούς, καὶ κατὰ τῶν ἐπιτρεψάντων, καὶ τελευταῖον ἐν τῇ ἀρᾷ γέγραπται μηδ' ὁσίως θύσειαν οἱ μὴ τιμωροῦντες φησὶ τῷ ἀπόλλωνι μήτε τῇ ἀρτέμιδι, μήτε τῇ λητοῖ, μηδὲ ἀθηνᾷ προνοίᾳ. μηδὲ δέξαιντο αὐτῶν τὰ ἱερά. τοιαῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ διεξελθόντος ἐμοῦ, ἐπειδή ποτε ἀπηλλάγην καὶ μετέστην ἐκ τοῦ συνεδρίου, κραυγὴ πολλὴ καὶ θόρυβος ἦν τῶν ἀμφικτυόνων, καὶ λόγος ἦν οὐκέτι περὶ τῶν ἀσπίδων ἃς ὑμεῖς ἀνέθεμεν, ἀλλ' ἤδη περὶ τῆς τῶν ἀμφισσέων τιμωρίας. ἤδη δὲ πόρρω τῆς ἡμέρας οὔσης, προσελθὼν ὁ κῆρυξ ἀνεῖπε. Δελφῶν ὅσοι ἐπιδιέτεις ἡβῶσι καὶ δούλους καὶ ἐλευθέρους ἥκειν ἅμα τῇ ἡμέρᾳ ἔχοντας ἄμας καὶ δικέλλας πρὸς τὸ θυτεῖον ἐκεῖ καλούμενον, καὶ πάλιν ὁ αὐτὸς κῆρυξ ἀνηγόρευε τοὺς ἱερομνήμονας καὶ πυλα-

γόρους ἥκειν εἰς τὸν αὐτὸν τόπον βοηθήσοντας τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ. Ἥτις δ' ἂν μὴ παρῇ πόλις, εἴρξεται τοῦ ἱεροῦ, καὶ ἐναγὴς ἔσται καὶ τῇ ἀρᾷ ἔνοχος. τῇ δὲ ὑστεραίᾳ ἥκομεν ἕωθεν εἰς τὸν προειρημένον τόπον, καὶ κατέβημεν εἰς τὸ κιῤῥαῖον πεδίον, καὶ τὸν λιμένα κατασκάψαντες, καὶ τὰς οἰκίας ἐμπρήσαντες ἀνεχωροῦμεν. ταῦτα δὲ ἡμῶν πραττόντων, οἱ λοκροὶ οἱ ἀμφισσεῖς ἑξήκοντα στάδια ἄπωθεν οἰκοῦντες δελφῶν, ἦλθον πρὸς ἡμᾶς μεθ' ὅπλων πανδημεί. καὶ εἰ μὴ δρόμῳ μόλις ἐξεφύγομεν εἰς δελφοὺς, ἐκινδυνεύσαμεν ἂν ἀπολέσθαι. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ κόττυφος ὁ τὰς γνώμας ἐπιψηφίζων, ἐκκλησίαν ἐποίει τῶν ἀμφικτυόνων. ἐκκλησίαν γὰρ ὀνομάζουσιν ὅταν μὴ μόνον τοὺς πυλαγόρους καὶ τοὺς ἱερομνήμονας συγκαλέσωσιν, ἀλλὰ καὶ τοὺς συνθύοντας καὶ χρωμένους τῷ θεῷ. ἐνταῦθ' ἤδη πολλαὶ μὲν τῶν ἀμφισσέων ἐγίνοντο κατηγορίαι. πολὺς δ' ἔπαινος ἦν κατὰ τῆς ὑμετέρας πόλεως. τέλος δὲ παντὸς τοῦ λόγου ψηφίζονται ἥκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης πυλαίας ἐν ῥητῷ χρόνῳ εἰς πύλας. ἔχοντας δόγμα, καθ' ὅτι δίκας δώσουσιν οἱ ἀμφισσεῖς ὑπὲρ ὧν εἰς τὸν θεὸν καὶ τὴν γῆν τὴν ἱερὰν καὶ τοὺς ἀμφικτύονας ἐξήμαρτον. ὅτι δὲ ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ψήφισμα. Ψήφισμα. Τοῦ δόγματος οὖν τούτου ἀποδοθέντος ὑφ' ἡμῶν ἐν τῇ βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ τῷ δήμῳ, καὶ τὰς πράξεις ἡμῶν ἀποδεξαμένου τοῦ δήμου, καὶ τῆς πόλεως πάσης προαιρουμένης εὐσεβεῖν, καὶ δημοσθένους ὑπὲρ τοῦ μισθωμάτος τοῦ ἐξ ἀμφίσσης ἀντιλέγοντος καὶ ἐμοῦ φανερῶς ἐναντίον ὑμῶν ἐξελέγχοντος, ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν πόλιν ἄνθρωπος οὐκ ἠδύνατο σφῆλαι, εἰσελθὼν εἰς τὸ βουλευτήριον καὶ μεταστησάμενος τοὺς ἰδιώτας, ἐκφέρεται προβούλευμα εἰς τὴν ἐκκλησίαν. προσλαβὼν τὴν τοῦ γράψαντος ἀπειρίαν. τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ ἐκκλησίᾳ διεπράξατο ἐπιψηφισθῆναι καὶ γενέσθαι τοῦ δήμου τὸ ψήφισμα, ἤδη ἐπανεστήσης τῆς ἐκκλησίας, ἀπεληλυθότος ἐμοῦ, οὐ γὰρ ἄν ποτε ἐπέτρεψα, καὶ τῶν πολλῶν δὲ ἀφειμένων, οὗ τὸ κεφάλαιόν ἐστι. τὸν δὲ ἱερομνήμονά φησι τῶν ἀθηναίων, καὶ τοὺς πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας πορεύεσθαι εἰς πύλας καὶ εἰς δελφοὺς ἐν τοῖς τεταγμένοις χρόνοις ὑπὸ τῶν προγόνων εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς. κωλύει γὰρ εἰς τὸν σύλλογον τὸν ἐν πύλαις ἀπαντᾶν. ὃς ἐξ ἀνάγκης πρὸ τοῦ καθήκοντος, ἔμελλε χρόνου γίνεσθαι. καὶ πάλιν ἐν τῷ αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ πικρότερον σύγγραμμα γράφει. τὸν ἱερομνήμονά φησι τῶν ἀθηναίων καὶ τοὺς πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας, μὴ μετέχειν τοῖς ἐκεῖ συλλεγομένοις, μὴ λόγων, μήτε ἔργων, μήτε δογμάτων, μήτε πράξεως μηδεμιᾶς. τὸ δὲ μὴ μετέχειν τί ἐστι; πότερα τἀληθὲς εἴπω ἢ τὸ ἥδιστον ἀκοῦσαι; τὸ ἀληθὲς ἐρῶ. τὸ γὰρ ἀεὶ πρὸς ἡδονὴν λεγόμενον, οὑτωσὶ τὴν πόλιν διατέθεικεν. οὐκ ἐᾷ μεμνῆσθαι τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι ὤμοσαν, οὐδὲ τῆς ἀρᾶς, οὐδὲ τῆς τοῦ θεοῦ μαντείας. Ἡμεῖς μὲν οὖν ὦ ἀθηναῖοι κατεμείναμεν διὰ τοῦτο τὸ ψήφισμα, οἱ δ' ἄλλοι ἀμφικτύονες συνελέγησαν εἰς πύλας, πλὴν μιᾶς πόλεως. ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα εἴποιμι, μήθ' αἱ συμφοραὶ παραπλήσιαι γένοιντο αὐτοῖς μηδενὶ τῶν ἑλλήνων, καὶ συνελθόντες, ἐψηφίσαντο ἐπιστρατεύειν ἐπὶ τοὺς ἀμφισσέας.

Καὶ στρατηγὸν εἵλοντο κόττυφον τὸν φαρσάλιον τὸν τότε τὰς γνώμας ἐπιψηφίζοντα, οὐκ ἐπιδημοῦντος ἐν μακεδονίᾳ φιλίππου, ἀλλ' οὐδ' ἐν τῇ ἑλλάδι παρόντος, ἀλλ' ἐν σκύθαις, οὕτω μακρὰν ἀπόντος. ὃν αὐτίκα μάλιστα τολμήσει λέγειν δημοσθένης ὡς ἐγὼ ἐπὶ τοὺς ἕλληνας ἐπήγαγον. καὶ παρελθόντες τῇ πρώτῃ στρατιᾷ καὶ μάλα μετρίως ἐχρήσαντο τοῖς ἀμφισσεῦσιν. ἀντὶ γὰρ τῶν μεγίστων ἀδικημάτων, χρήμασιν αὐτοὺς ἐζημίωσαν. καὶ ταῦτα ἐν ῥητῷ χρόνῳ προεῖπον τῷ θεῷ καταθεῖναι.

Καὶ τοὺς μὲν ἐναγεῖς καὶ τῶν πεπραγμένων αἰτίους μετεστήσαντο. τοὺς δὲ δι' εὐσέβειαν φυγόντας κατήγαγον. Ἐπειδὴ δὲ οὐδὲ τὰ χρήματα ἐξέτινον τῷ θεῷ τούς τ' ἐναγεῖς κατήγαγον, καὶ τοὺς εὐσεβεῖς κατελθόντας διὰ τῶν ἀμφικτυόνων ἐξέβαλλον, οὕτως ἤδη τὴν δευτέραν ἐπὶ τοὺς ἀμφισσεῖς στρατείαν ἐποιήσαντο, πολλῷ χρόνῳ ὕστερον

ἐπανελθόντος

ἐπαγγελθέντος Φιλίππου, ἐκ τῆς ἐπὶ Σκύθας στρατείας, τῶν μὲν θεῶν τὴν ἡγεμονίαν τῆς εὐσεβείας ἡμῖν παραδεδωκότων, τῆς δὲ Δημοσθένους δωροδοκίας ἐμποδὼν γεγενημένης, ἀλλ' οὐ προὔλεγον, οὐ προεσήμαινον, ἡμῖν οἱ θεοὶ φυλάξασθαι. μόνον οὐκ ἀνθρώπων φωνὰς προσκτησάμενοι. οὐδεμίαν τοι πώποτε ἔγωγε μᾶλλον πόλιν ἑώρακα ὑπὸ μὲν τῶν θεῶν σωζομένην ὑπὸ δὲ τῶν ῥητόρων ἐνίων ἀπολλυμένην, οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν σημεῖον φυλάξασθαι ἡ τῶν μυστῶν τελευτή. οὐ περὶ τούτων Ἀμεινιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι, καὶ πέμπειν εἰς Δελφοὺς ἐπερησομένους τὸν θεὸν ὅτι χρὴ πράττειν. Δημοσθένης δὲ ἀντέλεγε φιλιππίζειν τὴν Πυθίαν φάσκων ἀπαίδευτος ὤν, καὶ ἀπολαύων καὶ ἐμπιπλάμενος τῆς διδομένης ὑφ' ὑμῶν αὐτῷ ἐξουσίας. οὐ τὸ τελευταῖον ἀθύτων καὶ ἀκαλλιερήτων τῶν ἱερῶν ἐξέπεμψε τοὺς στρατιώτας ἐπὶ τὸν πρόδηλον κίνδυνον, καίτοιγε πρώην ἀπετόλμησε λέγειν ὅτι παρὰ τοῦτο Φίλιππος, οὐκ ἦλθεν ἡμῶν ἐπὶ τὴν χώραν ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά. τίνος οὖν ζημίας ἄξιος εἶ τυχεῖν ὦ τῆς Ἑλλάδος ἀλιτήριε. εἰ γὰρ ὁ μὲν κρατῶν οὐκ ἦλθεν εἰς τὴν τῶν κρατουμένων χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά, σὺ δ' οὐδὲ προειδὼς τὸ μέλλον ἔσεσθαι πρὶν καλλιερῆσαι τοὺς στρατιώτας ἐξέπεμψας, πότερον στεφανοῦσθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις, ἢ ὑπερορίζεσθαι. τοιγάρτοι τί τῶν ἀνελπίστων καὶ ἀπροσδοκήτων ἐφ' ἡμῶν οὐ γέγονεν, οὐ γὰρ βίον γε ὑμεῖς ἀνθρώπινον βεβιώκαμεν, ἀλλ' εἰς παραδοξολογίαν τοῖς ἐσομένοις μεθ' ἡμᾶς ἔφυμεν, οὐχ ὁ μὲν τῶν Περσῶν βασιλεὺς ὁ τὸν Ἄθω διορύξας, ὁ τὸν Ἑλλήσποντον ζεύξας, ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν, ὁ τολμῶν ἐν ταῖς ἐπιστολαῖς γράφειν ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ' ἡλίου ἀνιόντος μέχρι δυομένου, νῦν οὐ περὶ τοῦ κύριος ἑτέρων εἶναι διαγωνίζεται, ἀλλ' ἤδη περὶ τῆς τοῦ σώματος σωτηρίας. καὶ τοὺς αὐτοὺς ὁρῶμεν τῆς τε δόξης ταύτης καὶ τῆς ἐπὶ τὸν Πέρσην ἡγεμονίας ἠξιωμένους, οἳ καὶ τὸ ἐν Δελφοῖς ἱερὸν ἠλευθέρωσαν. Θῆβαι δὲ πόλις ἀστυγείτων μεθ' ἡμέραν μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, εἰ καὶ δικαίως περὶ τῶν ὅλων οὐκ ὀρθῶς βουλευσάμενοι ἀλλὰ τήν γε θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως ἀλλὰ δαιμονίως κτησάμενοι. Λακεδαιμόνιοι δὲ οἱ ταλαίπωροι προσαψάμενοι μόνον τούτων τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν οἱ τῶν Ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγεμόνες εἶναι, νῦν ὁμηρεύσοντες καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι τοῦτο πεισόμενοι καὶ αὐτοὶ καὶ ἡ πατρὶς ὅτι ἂν ἐκείνῳ δόξῃ καὶ ἐν τῇ τοῦ κρατοῦντος καὶ προηδικημένου μετριότητι κριθήσονται. Η δ' ἡμετέρα πόλις ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων πρὸς ἣν ἀφικνοῦντο πρότερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι κατὰ πόλεις ἕκαστοι παρ' ὑμῶν τὴν σωτηρίαν εὑρησόμενοι, νῦν οὐκέτι περὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται. ἀλλ' ἤδη περὶ τοῦ τῆς πατρίδος ἐδάφους, καὶ ταῦθ' ἡμῖν συμβέβηκεν ἐξ ὅτου Δημοσθένης πρὸς τὴν πολιτείαν εἰσελήλυθεν. εὖ γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς ἀποφαίνεται. λέγει γάρ που παιδεύων τὰ πλήθη καὶ συμβουλεύων ταῖς πόλεσι τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προσδέχεσθαι. λέξω δὲ κἀγὼ τὰ ἔπη. διὰ τοῦτο γάρ οἶμαι ἡμᾶς παῖδας ὄντας, τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν' ἄνδρες ὄντες αὐταῖς χρώμεθα.

» Πολλάκι δὲ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα
» Ος κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάαται.
» Τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
» Λοιμὸν ὁμοῦ καὶ λιμὸν ἀποφθινύθουσι δὲ λαοί,
» Η τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος,
» Η νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν,

Ἐὰν δὲ περιελόντες τοῦ ποιητοῦ τὸ μέτρον, τὰς γνώμας ἐξετάζητε, οἶμαι ὑμῖν δόξειν οὐ ποιήματα Ἡσιόδου εἶναι, ἀλλὰ χρησμὸν εἰς τὴν Δημοσθένους πολιτείαν. καὶ ἡ ναυτικὴ καὶ πεζὴ στρατεία καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρπασμέναι ἐκ τῆς τούτου πολιτείας. Ἀλλ' οἶμαι

ὅτι Φρυνώνδας, ὅτι Εὐρύβατος, ὅτ' ἄλλος οὐδεὶς πώποτε τῶν πάλαι πονηρῶν τοιοῦτος μάγος καὶ γόης ἐγένετο, ὅς, ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες καὶ ἄνθρωποι ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ, τολμᾷ λέγειν βλέπων εἰς τὰ πρόσωπα τὰ ὑμέτερα, ὡς ἄρα Θηβαῖοι τὴν συμμαχίαν ὑμῖν ἐποιήσαντο, οὐ διὰ τὸν καιρόν, οὐ διὰ τὸν φόβον τὸν περιστάντα αὐτούς, οὐ διὰ τὴν ὑμετέραν δόξαν, ἀλλὰ διὰ τὰς Δημοσθένους δημηγορίας, καίτοι πολλὰς μὲν τούτου πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ μάλιστα οἰκείως ἐκείνοις διακείμενοι. πρῶτος μὲν οὗτος στρατηγὸς Θρασύβουλος ὁ Κολλυτεύς, ἀνὴρ ἐν Θήβαις πιστευθεὶς ὡς οὐδεὶς ἕτερος· πάλιν Θράσων ὁ Ἐρχιεὺς πρόξενος ὢν Θηβαίοις, Λεωδάμας ὁ Ἀχαρνεὺς οὐχ ἧττον Δημοσθένους λέγειν δυνάμενος· ἀλλ' ἔμοιγε καὶ ἡδίων ῥήτωρ, καὶ οὗτος Ἀρχίδημος ὁ Πήληξ καὶ δυνατὸς εἰπεῖν, καὶ πολλὰ κεκινδυνευκὼς ἐν τῇ πολιτείᾳ διὰ Θηβαίους· δημαγωγὸς Ἀριστοφῶν ὁ Ἀζηνιεύς· πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείνας αἰτίαν, ῥήτωρ Πύρρανδρος ὁ Ἀναφλύστιος ὃς ἔτι καὶ νῦν ζῇ· ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἐδυνήθη προτρέψασθαι εἰς τὴν ὑμετέραν φιλίαν. τὸ δ' αἴτιον, οἶδα μέν, λέγειν δ' οὐδὲν δέομαι διὰ τὰς ἀτυχίας αὐτῶν. ἀλλ' οἶμαι ἐπειδὴ Φίλιππος αὐτῶν ἀφελόμενος Νίκαιαν Θετταλοῖς παρέδωκε καὶ τὸν πόλεμον ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς τῶν Βοιωτῶν, τοῦτον πάλιν τὸν αὐτὸν πόλεμον ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ' αὐτὰς τὰς Θήβας, καὶ τὸ τελευταῖον Ἐλάτειαν καταλαβὼν ἐχαράκωσε, καὶ φρουρὰν εἰσήγαγεν, ἐνταῦθ' ἤδη ἐπεὶ τὸ δεινὸν ἧπτετο αὐτῶν μετεπέμψαντο Ἀθηναίους, καὶ ὑμεῖς ἐξήλθετε καὶ εἰσῄειτε εἰς τὰς Θήβας, ἐν τοῖς ὅπλοις διεσκευασμένοι, καὶ οἱ ἱππεῖς καὶ οἱ πεζοὶ πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην. ὁ δ' εἰσάγων ἦν ὑμᾶς εἰς τὰς Θήβας καιρὸς καὶ φόβος, καὶ χρεία συμμαχίας, ἀλλ' οὐ Δημοσθένης. ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία τὰ πάντων μέγιστα Δημοσθένης εἰς ὑμᾶς ἐξημάρτηκε· πρῶτον μὲν ὅτι Φιλίππου τῷ μὲν ὀνόματι πολεμοῦντος ὑμῖν, τῷ δ' ἔργῳ πολὺ μᾶλλον μισοῦντος Θηβαίους ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε, καὶ τί δεῖ πλείω λέγειν; ταῦτα μὲν τὰ τηλικαῦτα, τὸ μέγεθος ἀπεκρύψατο. προσποιησάμενος δὲ μέλλειν τὴν συμμαχίαν γενήσεσθαι οὐ διὰ τοὺς καιροὺς ἀλλὰ διὰ τὰς αὑτοῦ πρεσβείας, πρῶτον μὲν συνέπεισε τὸν δῆμον μηκέτι βουλεύεσθαι ἐπὶ τίσι δεῖ ποιεῖσθαι τὴν συμμαχίαν, ἀλλ' ἀγαπᾶν μόνον εἰ γίνεται, τοῦτο δὲ προλαβών, ἔκδοτον μὲν τὴν Βοιωτίαν ἅπασαν ἐποίησε Θηβαίοις, γράψας ἐν τῷ ψηφίσματι ἐάν τις ἀφιστῆται πόλις ἀπὸ Θηβαίων, βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις, τοῖς ὀνόμασι κλέπτων καὶ μεταφέρων τὰ πράγματα ὥσπερ εἴωθεν, ὡς τοὺς Βοιωτοὺς ἔργῳ κακῶς πάσχοντας τὴν τῶν ὀνομάτων σύνθεσιν τῶν Δημοσθένους ἀγαπήσοντας, ἀλλ' οὐ μᾶλλον ἐφ' οἷς κακῶς πεπόνθεσαν ἀγανακτήσοντας.   Δεύτερον δὲ τῶν εἰς τὸν πόλεμον ἀναλωμάτων τὰ μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν ἀπωτέρω οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις, δωροδοκῶν ἐφ' ἑκάστοις τούτων, καὶ τὴν ἡγεμονίαν τὴν μὲν κατὰ θάλατταν ἐποίησε κοινήν, τὸ δ' ἀνάλωμα ἴδιον ὑμέτερον.   Τὴν δὲ κατὰ γῆν, εἰ μὴ δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θηβαίοις· ὥστε παρὰ τὸν γενόμενον πόλεμον μὴ κύριον γενέσθαι Στρατοκλέα τὸν ὑμέτερον στρατηγὸν βουλεύσασθαι περὶ τῆς τῶν στρατιωτῶν σωτηρίας.   Καὶ ταῦτ' οὐκ ἐγὼ μὲν κατηγορῶ, ἕτεροι δὲ παραλείπουσιν, ἀλλὰ κἀγὼ λέγω καὶ πάντες ἐπιτιμῶσι· καὶ ὑμεῖς σύνιστε καὶ οὐκ ὀργίζεσθε. ἐκεῖνο γοῦν πεπόνθατε πρὸς Δημοσθένην· συνείθισθε ἤδη τὰ ἀδικήματα αὐτοῦ ἀκούειν, ὥστε οὐ θαυμάζετε. δεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀγανακτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν.   Δεύτερον δὲ καὶ πολὺ τούτου μεῖζον ἀδίκημα ἠδίκησεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως καὶ τὴν δημοκρατίαν ἄρδην ἔλαθεν ὑφελόμενος, καὶ μετήνεγκεν εἰς Θήβας εἰς τὴν Καδμείαν τὴν κοινωνίαν τῶν πράξεων, τοῖς βοιωτάρχαις συνθέμενος, καὶ τηλικαύτην αὐτὸς αὑτῷ δυναστείαν κατεσκεύασεν, ὥστ' ἤδη παριὼν ἐπὶ τὸ βῆμα πρεσβεύειν μὲν ἔφη ὅποι ἂν αὐτῷ δοκῇ, κἂν μὴ ὑμεῖς ἐκπέμπητε. εἰ δέ τις αὐτῷ τῶν στρατηγῶν ἀντείποι, καταδουλούμενος τοὺς ἄρχοντας

ἄρχοντας καὶ συνεθίζων μηδὲν αὐτῷ ἀντιλέγειν, διαδικασίαν ἔφη γράψειν τῷ βήματι
πρὸς τὸ στρατηγεῖον· πλείω γὰρ ὑμᾶς ἀγαθὰ ὑφ' ἑαυτοῦ ἔφη ἀπὸ τοῦ βήματος πεπονθέ-
ναι, ἢ ὑπὸ τῶν στρατηγῶν ἐκ τοῦ στρατηγείου. μισθοφορῶν δ' ἐν τῷ ξενικῷ κενὰς χώ-
ρας καὶ τὰ στρατιωτικὰ χρήματα κλέπτων, καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας,
ἀμφισσεῦσι πολλὰ διαμαρτυρομένου καὶ σχετλιάζοντος ἐν ταῖς ἐκκλησίαις ἐμοῦ προ-
σέμιξε φέρων ἀναρπασθέντων τῶν ξένων τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει. τί γὰρ
ἂν οἴεσθε φίλιππον ἐν τοῖς τότε καιροῖς εὔξασθαι, οὐ χωρὶς μὲν πρὸς τὴν πολιτικὴν
δύναμιν, χωρὶς δ' ἐν ἀμφίσσῃ πρὸς τοὺς ξένους διαγωνίσασθαι, ἀθύμους δὲ τοὺς ἕλ-
ληνας λαβεῖν τηλικαύτης πληγῆς γεγενημένης. καὶ τηλικούτων κακῶν αἴτιος γεγενη-
μένος δημοσθένης, οὐκ ἀγαπᾷ εἰ μὴ δίκην δέδωκεν, ἀλλ' εἰ καὶ μὴ χρυσῷ στεφάνῳ στεφανωθή-
σεται ἀγανακτεῖ. οὐδ' ἱκανόν ἐστιν αὐτῷ ἐναντίον ὑμῶν κηρύττεσθαι, ἀλλ' εἰ μὴ τῶν ἑλ-
λήνων ἐναντίον ἀναρρηθήσεται, τοῦτ' ἀγανακτεῖ. οὕτως ὡς ἔοικε πονηρὰ φύσις μεγάλης
ἐξουσίας ἐπιλαβομένη, δημοσίας ἀπεργάζεται συμφοράς. τρίτον δὲ καὶ τῶν προει-
ρημένων μέγιστόν ἐστιν ὃ μέλλω λέγειν, φιλίππου γὰρ οὐ καταφρονοῦντος τῶν ἑλλή-
νων οὐδ' ἀγνοοῦντος. οὐ γὰρ ἦν ἀσύνετος ὅτι περὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέ-
ρας σμικρῷ μέρει διαγωνιεῖται καὶ διὰ ταῦτα βουλομένου ποιήσασθαι τὴν εἰρήνην
καὶ πρεσβείας ἀποστέλλειν μέλλοντος καὶ τῶν ἀρχόντων τῶν ἐν θήβαις φοβουμένων
τὸν ἐπιόντα κίνδυνον, εἰκότως. οὐ γὰρ ῥήτωρ ἀστράτευτος καὶ λιπὼν τὴν τάξιν αὐ-
τοὺς ἐνουθέτησεν, ἀλλ' ὁ φωκικὸς πόλεμος δεκέτης γεγονὼς ἀείμνηστον παιδείαν αὐ-
τοὺς ἐπαίδευσε. τούτων δὲ ἐχόντων οὕτως, αἰσθόμενος δημοσθένης καὶ τοὺς βοιωτάρχας
ὑποπτεύσας μέλλειν εἰρήνην ἰδίᾳ ποιεῖσθαι, χρυσίον ἄνευ αὐτοῦ παρὰ φιλίππου λα-
βόντας, ἀβίωτον ἡγησάμενος εἶναι εἴ τινος ἀπολειφθήσεται δωροδοκίας, ἀναπηδή-
σας ἐν τῇ ἐκκλησίᾳ οὐδενὸς ἀνθρώπων λέγοντος, οὔθ' ὡς δεῖ ποιεῖσθαι πρὸς φίλιππον
εἰρήνην, οὔθ' ὡς οὐ δεῖ, ἀλλ' ὡς ᾤετο κήρυγμά τι τοῖς βοιωτάρχαις προκηρύττων,
ἀναφέρειν αὐτῷ τὰ μέρη τῶν λημμάτων, διώμνυτο τὴν ἀθηνᾶν, ἣν ὡς ἔοικε φειδίας
ἐνεργολαβεῖν εἰργάσατο καὶ ἐνεπιορκεῖν δημοσθένει, ἦ μὴν εἴ τις ἐρεῖ ὡς χρὴ πρὸς φί-
λιππον εἰρήνην ποιήσασθαι, ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν,
ἀπομιμούμενος τὴν κλεοφῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς λακεδαιμονίους πολέ-
μου ὡς λέγεται τὴν πόλιν ἀπώλεσεν. ὡς δ' οὐ προσεῖχον αὐτῷ οἱ ἄρχοντες οἱ ἐν ταῖς
θήβαις, ἀλλὰ καὶ τοὺς στρατιώτας τοὺς ὑμετέρους ἀνέστρεψαν ἐξεληλυθότας ἵνα βου-
λεύσησθε περὶ τῆς εἰρήνης, ἐνταῦθα παντάπασιν ἔκφρων ἐγένετο, καὶ παρελθὼν ἐπὶ
τὸ βῆμα προδότας τῶν ἑλλήνων τοὺς βοιωτάρχας ἀπεκάλεσε· καὶ γράψειν ἔφη ψήφι-
σμα ὁ τοῖς πολεμίοις οὐδὲ ποτ' ἀντιβλέψας, πέμπειν ὑμᾶς πρέσβεις εἰς θήβας αἰ-
τήσοντας θηβαίους δίοδον ἐπὶ φίλιππον, ὑπεραισχυνθέντες δὲ οἱ ἐν θήβαις ἄρχοντες
μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι προδόται τῶν ἑλλήνων, ἀπὸ μὲν τῆς εἰρήνης ἀπετράποντο.
ἐπὶ δὲ τὴν παράταξιν ὥρμησαν. ἔνθα δὴ καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἄξιόν ἐστιν ἐπιμνησθῆ-
ναι, οὓς οὗτος ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν, ἐκπέμψας ἐπὶ τὸν πρόδη-
λον κίνδυνον ἐτόλμησε τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν, ἀναβὰς ἐπὶ τὸν
τάφον τῶν τετελευτηκότων ἐγκωμιάζειν τὴν ἐκείνων ἀρετήν. ὦ πρὸς μὲν τὰ μεγά-
λα καὶ σπουδαῖα τῶν πραγμάτων, ἁπάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν
τοῖς λόγοις τόλμαν θαυμασιώτατε, ἐπιχειρήσειν ἐθελήσεις αὐτίκα μάλα βλέπων
εἰς τὰ τούτων πρόσωπα λέγειν, ὡς δεῖ σε ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦ-
σθαι. ἐὰν δ' οὗτος λέγῃ, ὑμεῖς ὑπομενεῖτε, καὶ συναποθανεῖται τοῖς τελευτήσασιν ὡς ἔοι-
κε καὶ ἡ ὑμετέρα μνήμη. γένεσθε δή μοι μικρὸν χρόνον τὴν διάνοιαν μὴ ἐν τῷ δικαστηρίῳ
ἀλλ' ἐν τῷ θεάτρῳ, καὶ νομίσατε ὁρᾶν προϊόντα τὸν κήρυκα καὶ τὴν ἐκ τοῦ ψηφίσματος
τὸν ἀνάρρησιν μέλλουσαν γίνεσθαι καὶ λογίσασθε πότερον οἴεσθε τοὺς οἰκείους τῶν τε-
λευτησάντων πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις καὶ τοῖς ἡρωικοῖς πάθεσι
τοῖς μετὰ ταῦτα ἐπεισιοῦσιν, ἢ ἐπὶ τῇ τῆς πόλεως ἀγνωμοσύνῃ. τίς γὰρ οὐκ ἂν ἀλ-

Bellū Phocense decennale

sic Cicero. Ponite ante o[culos]
vobis Rullū ...
Ponite ante oculos ...
quidem ... C.r. similis ...
... in Sac ipsa charta.

γάσειεν ἄνθρωπος ἕλλην ἢ καὶ παιδευθεὶς ἐλευθέρως, ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ ἡμέρᾳ μελλόντων ὥσπερ νυνὶ τῶν τραγῳδῶν γίνεσθαι, ὅτ᾽ εὐνομεῖτο μᾶλλον ἡ πόλις καὶ βελτίοσι προστάταις ἐχρῆτο, προσελθὼν ὁ κῆρυξ καὶ παραστησάμενος τοὺς ὀρφανοὺς ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανοπλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετήν. Ὅτι τούσδε τοὺς νεανίσκους ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες ἀγαθοὶ γενόμενοι μέχρι μὲν ἥβης ὁ δῆμος ἔτρεφε. νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν καὶ καλεῖ εἰς προεδρίαν. Τότε μὲν ταῦτ᾽ ἐκήρυττεν, ἀλλ᾽ οὐ νῦν, ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον, τί ποτ᾽ ἂν ἐρεῖ, ἢ τί φθέγξεται; καὶ γὰρ ἂν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα, ἀλλ᾽ οὐ τό γ᾽ ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπήσεται; ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγγεσθαι.

Ὅτι τόνδε τὸν ἄνδρα, εἰ δὴ καὶ οὗτος ἀνήρ, στεφανοῖ ὁ δῆμος ὁ τῶν ἀθηναίων, ἀρετῆς ἕνεκα τὸν κάκιστον; ἀνδραγαθίας ἕνεκα τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν; μὴ πρὸς τοῦ διὸς καὶ τῶν ἄλλων θεῶν ἱκετεύω ὑμᾶς ὦ ἀθηναῖοι· μὴ τρόπαιον ἱστᾶτε ἀφ᾽ ὑμῶν αὐτῶν ἐν τῇ τοῦ διονύσου ὀρχήστρᾳ. μηδ᾽ αἱρεῖτε παρανοίας ἐναντίον τῶν ἑλλήνων τὸν δῆμον τῶν ἀθηναίων. μηδ᾽ ὑπομιμνήσκετε τῶν ἀνιάτων καὶ ἀνηκέστων κακῶν τοὺς ταλαιπώρους θηβαίους, οὓς φυγόντας διὰ τοῦτον ὑποδέδεχθε τῇ πόλει. ὧν ἱερὰ καὶ τέκνα καὶ τάφους ἀπώλεσεν ἡ δημοσθένους δωροδοκία, καὶ τὸ βασιλικὸν χρυσίον. Ἀλλ᾽ ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, ταῖς γε διανοίαις ἀποβλέψατ᾽ αὐτῶν εἰς τὰς συμφοράς. καὶ νομίσατε ὁρᾶν ἁλισκομένην τὴν πόλιν τειχῶν κατασκαφάς. ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖκας, ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν. κλαίοντας, ἱκετεύοντας ὑμᾶς, ὀργιζομένους, οὐ τοῖς τιμωρουμένοις, ἀλλὰ τοῖς τούτων αἰτίοις.

Ἐπισκήπτοντας μηδενὶ τρόπῳ τὸν τῆς ἑλλάδος ἀλιτήριον στεφανοῦν. ἀλλὰ καὶ τὸν δαίμονα καὶ τὴν τύχην τὴν συμπαρακολουθοῦσαν τῷ ἀνθρώπῳ φυλάξασθαι, οὔτε πόλις γὰρ οὔτ᾽ ἰδιώτης ἀνὴρ οὐδεὶς πώποτε καλῶς ἀπήλλαξε δημοσθένει συμβούλῳ χρησάμενος. Ὑμεῖς δ᾽ ὦ ἀθηναῖοι οὐκ αἰσχύνεσθε εἰ ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς σαλαμῖνα πορθμεύοντας νόμον ἔθεσθε, ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι. ἵνα μηδεὶς αὐτοσχεδιάζῃ εἰς τὰ τῶν ἑλλήνων σώματα· τὸν δὲ τὴν ἑλλάδα καὶ τὴν πόλιν ἄρδην ἀνατετραφότα, τοῦτον ἐάσετε πάλιν ἀπευθύνειν τὰ κοινά· ἵνα δ᾽ εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ καὶ τῶν νυνὶ καθεστηκότων πραγμάτων ἐκεῖνο ὑμᾶς ὑπομνῆσαι βούλομαι, ὅτι δημοσθένης οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως· τριήρη προσλαβὼν ὑμῶν καὶ τοὺς ἕλληνας ἠργυρολόγησε. καταγαγούσης δὲ αὐτὸν εἰς τὴν πόλιν τῆς ἀπροσδοκήτου σωτηρίας, τοὺς μὲν πρώτους χρόνους ὑπότρομος ἦν ἄνθρωπος, καὶ παριὼν ἡμιθνὴς ἐπὶ τὸ βῆμα, εἰρηνοφύλακα ὑμᾶς ἐκέλευεν αὐτὸν χειροτονεῖν. Ὑμεῖς δὲ κατὰ μὲν τοὺς πρώτους χρόνους, οὐδ᾽ ἐπὶ τὰ ψηφίσματα εἰᾶτε τὸ δημοσθένους ἐπιγράφειν ὄνομα, ἀλλὰ ναυσικλεῖ τοῦτο προσετάττετε· νυνὶ δ᾽ ἤδη καὶ στεφανοῦσθαι ἀξιοῖ. ἐπειδὴ δ᾽ ἐτελεύτησε φίλιππος, ἀλέξανδρος δ᾽ εἰς τὴν ἀρχὴν κατέστη, πάλιν αὖ τερατευόμενος, ἱερὰ μὲν ἱδρύσατο παυσανίου, εἰς αἰτίαν δὲ εὐαγγελίων καὶ θυσίας τὴν βουλὴν κατέστησεν. ἐπωνυμίαν ἀλεξάνδρῳ μαργίτην ἐτίθετο. ἀπετόλμα δὲ λέγειν ὡς οὐ κινηθήσεται ἐκ μακεδονίας, ἀγαπᾶν γὰρ αὐτὸν ἔφη ἐν πέλλῃ περιπατοῦντα, καὶ τὰ σπλάγχνα φυλάττοντα. καὶ ταυτὶ λέγειν ἔφη οὐκ εἰκάζων, ἀλλ᾽ ἀκριβῶς εἰδὼς ὅτι αἵματός ἐστιν ἡ ἀρετὴ ὠνία· αὐτὸς οὐκ ἔχων αἷμα· καὶ θεωρῶν τὸν ἀλέξανδρον οὐκ ἐκ τῆς ἀλεξάνδρου φύσεως, ἀλλ᾽ ἐκ τῆς ἑαυτοῦ ἀνανδρίας. ἤδη δ᾽ ἐψηφισμένων θετταλῶν ἐπιστρατεύειν ἐπὶ τὴν ὑμετέραν πόλιν καὶ τοῦ νεανίσκου τὸ πρῶτον παροξυνθέντος, εἰκότως ἐπειδὴ περὶ θήβας ἦν τὸ στρατόπεδον πρεσβευτὴς ὑφ᾽ ὑμῶν

χειροτονηθεὶς

χειροτονηθεὶς ἀπέδρας ἐκ μέσου τοῦ κιθαιρῶνος ἧκεν ὑποστρέψας, οὔτ' ἐν εἰρήνῃ, οὔτ' ἐν πολέμῳ χρήσιμον ἑαυτὸν παρέχων, καὶ τὸ πάντων δεινότατον, ὑμεῖς μὲν τοῦτον οὐ προὐδότε, οὐδ' εἰάσατε κριθῆναι ἐν τῷ τῶν ἑλλήνων συνεδρίῳ, οὗτος δ' ὑμᾶς νῦν προδέδωκεν, εἴπερ ἀληθῆ ἐστιν ἃ λέγεται, ὡς γάρ φασιν οἱ πάραλοι καὶ οἱ πρεσβεύσαντες πρὸς ἀλέξανδρον καὶ τὸ πρᾶγμα εἰκότως πιστεύεται. ἔστι τις ἀριστίων πλαταϊκὸς ὁ τοῦ ἀριστοβούλου τοῦ φαρμακοπώλου υἱὸς, εἴ τις ἄρα καὶ ὑμῶν γινώσκει, οὗτός ποτε ὁ νεανίσκος ἑτέρων τὴν ὄψιν διαφόρων γενόμενος, ᾤκησε πολὺν χρόνον ἐν τῇ δημοσθένους οἰκίᾳ, ὅ, τι δὲ πράττων ἢ πάσχων, ἀμφίβολος ἡ αἰτία. καὶ τὸ πρᾶγμα οὐδαμῶς εὐσχῆμον ἐμοὶ λέγειν. οὗτος ὡς ἐγὼ ἀκούω ἠγνοημένος ὅς τις καί πως ποτὲ ἐστὶ βεβιωκὼς τὸν ἀλέξανδρον ὑποτρέχει, καὶ πλησιάζειν ἐκείνῳ. διὰ τούτου γράμματα πέμψας δημοσθένης ὡς ἀλέξανδρον, ἄδειάν τινα εὕρηται καὶ διαλλαγάς. καὶ πολλὴν κολακείαν πεποίηται. ἐκεῖθεν δὲ θεωρήσατε ὡς ὅμοιόν ἐστι τὸ πρᾶγμα τῇ αἰτίᾳ. εἰ γάρ τι τούτων ἐφρόνει δημοσθένης καὶ πολεμικῶς εἶχεν ὥσπερ καί φησι πρὸς τὸν ἀλέξανδρον, τρεῖς αὐτῷ καιροὶ κάλλιστοι παραγεγόνασιν, ὧν οὐδενὶ φαίνεται κεχρημένος, εἷς μὲν ὁ πρῶτος ὅτ' εἰς τὴν ἀρχὴν οὐ πάλαι καθεστηκὼς ἀλέξανδρος ἀπαρασκεύων αὐτῷ τῶν ἰδίων ὄντων εἰς τὴν ἀσίαν διέβη, ἤκμαζε δ' ὁ τῶν περσῶν βασιλεὺς καὶ ναυσὶ καὶ χρήμασι καὶ πεζῇ στρατιᾷ, ἄσμενος δ' ἂν ὑμᾶς εἰς τὴν κοινὴν συμμαχίαν προσεδέξατο διὰ τοὺς ἐπιφερομένους αὐτῷ κινδύνους, εἶπάς τινα ἐνταῦθα λόγον δημόσθενες, ἢ ἔγραψάς τι ψήφισμα; βούλει σε θῶ καὶ φοβηθῆναι καὶ χρήσασθαι τῷ ἑαυτοῦ τρόπῳ; καίτοι ῥητορικὴν δειλίαν δημόσιος καιρὸς οὐκ ἀναμένει, ἀλλ' ἐπειδὴ πάσῃ τῇ δυνάμει δαρεῖος καταβεβήκει ὁ δ' ἀλέξανδρος ἦν ἀπειλημμένος ἐν κιλικίᾳ πάντων ἐνδεὴς ὡς ἔφησθα σύ, αὐτίκα μάλα δ' ἤμελλεν ὡς ἦν ὁ παρὰ σοῦ λόγος συμπατηθήσεσθαι ὑπὸ τῆς περσικῆς ἵππου, τὴν δὲ σὴν ἀηδίαν ἡ πόλις οὐκ ἐχώρει, καὶ τὰς ἐπιστολὰς ἃς ἐξηρτημένος ἐκ τῶν δακτύλων περιῄεις ἐπιδεικνύων εἰς τὸ ἐμὸν πρόσωπον. ὡς ἐκπεπληγμένου καὶ ἀθυμοῦντος, καὶ χρυσόκερων ἀποκαλῶν, καὶ κατεστέφθαι φάσκων εἴ τι πταῖσμα συμβήσεται ἀλεξάνδρῳ, οὐδ' ἐνταῦθα ἔπραξας οὐδὲν, ἀλλ' εἴς τινα καιρὸν ἀνεβάλλου καλλίω. Ὑπερβὰς τοίνυν ἅπαντα ταῦτα ὑπὲρ τῶν νυνὶ καθεστηκότων λέξω, λακεδαιμόνιοι μὲν καὶ τὸ ξενικὸν ἐπέτυχον μάχῃ καὶ διέφθειραν τοὺς περὶ κόρραγον στρατιώτας, ἠλεῖοι δ' αὐτοῖς συμμετεβάλοντο καὶ ἀχαιοὶ πάντες, πλὴν πελληναίων, καὶ ἀρκαδία πᾶσα πλὴν μεγάλης πόλεως. αὕτη δὲ ἐπολιορκεῖτο καὶ καθ' ἑκάστην ἡμέραν ἐπίδοξος ἦν ἁλῶναι. ὁ δὲ ἀλέξανδρος ἔξω τῆς ἄρκτου καὶ τῆς οἰκουμένης ὀλίγου δεῖν πάσης μεθειστήκει. ὁ δὲ ἀντίπατρος πολὺν χρόνον συνῆγε στρατόπεδον, τὸ δ' ἐσόμενον ἄδηλον ἦν. Ἐνταῦθ' ἡμῖν ἀπόδειξιν ποίησαι ὦ δημόσθενες, τί ποτ' ἦν ἃ ἔπραξας, καὶ τί ποτ' ἦν ἃ ἔλεγες, καὶ εἰ βούλει παραχωρῶ σοι τοῦ βήματος, ἕως ἂν εἴπῃς. ἐπειδὴ δὲ σιγᾷς, ὅτι μὲν ἀπορεῖς, συγγνώμην ἔχω σοι. ἃ δὲ τότ' ἔλεγες, ἐγὼ νῦν λέξω. Οὐ μέμνησθε αὐτοῦ τὰ μιαρὰ καὶ ἀπίθανα ῥήματα, ἅ πως ποθ' ὑμεῖς ὦ σιδήρεοι ἐκαρτερεῖτε ἀκροώμενοι, ὅτ' ἔφη παρελθὼν ἀμπελουργοῦσί τινες τὴν πόλιν, ἀνατετμήκασί τινες τὰ κλήματα τοῦ δήμου. ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμάτων. φορμορραφούμεθα, ἐπὶ τὰ στενά. τινὲς πρῶτον ὥσπερ τὰς βελόνας διείρουσι. ταῦτα δὲ τίνος ἐστὶν ὦ κίναδος ῥήματα ἢ θαύματα; καὶ πάλιν ὅτε κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος ἔλεγες ὡς ἀντιπράττων ἀλεξάνδρῳ, ὁμολογῶ τὰ λακωνικὰ συστῆσαι. ὁμολογῶ θετταλοὺς καὶ περραιβοὺς ἀφιστάναι. σὺ γὰρ ἂν κώμην ἀποστήσαις; σὺ γὰρ ἂν προσέλθοις μὴ ὅτι πρὸς πόλιν, ἀλλὰ πρὸς οἰκίαν, ὅπου κίνδυνος πρόσεστιν, ἀλλ' εἰ μέν που χρήματα ἀναλίσκεται προσκαθεστήσῃ, πρᾶξιν δὲ ἀνδρὸς οὐ πράξεις. ἐὰν δ' αὐτόματόν τι συμβῇ προσποιήσῃ. καὶ σαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις; ἂν δ' ἔλθῃ φόβος τις ἀποδράσῃ. ἐὰν δὲ θαρρήσωμεν, δωρεὰς αἰτήσεις, καὶ χρυσοῖς στεφάνοις στεφανοῦσθαι, ναί. ἀλλὰ δημοτικός ἐστιν. ἐὰν μὲν τοίνυν πρὸς εὐφημίαν αὐτοῦ τῶν λόγων ἀποβλέψητε ἐξαπατηθήσεσθε. ὥσπερ καὶ πρότερον. ἐὰν δ' εἰς τὴν φύσιν καὶ τὴν ἀλήθειαν,

Aristio

quaero

ὦ κίναδος
vulpecula

portenta verborum.

οὐκ ἐξαπατηθήσεσθε. ἐκεῖνος δὲ ἀπολάβετέ παρ' αὐτοῦ τὸν λόγον. ἐγὼ μὲν μεθ' ὑμῶν λογιοῦμαι ἃ δεῖ ὑπάρξαι ἐν τῇ φύσει τῷ δημοτικῷ ἀνδρὶ καὶ σώφρονι· καὶ πάλιν ἀντιθήσω ποῖόν τινα εἰκός ἐστιν εἶναι τὸν ὀλιγαρχικὸν ἄνθρωπον καὶ φαῦλον, ὑμεῖς δ' ἀντιπαραθέντες ἑκάτερα τούτων, θεωρήσατ' αὐτὸν μὴ ὁποτέρου τοῦ λόγου, ἀλλ' ὁποτέρου τοῦ βίου ἐστίν.

δημοτικοῦ descriptio

Οἶμαι τοίνυν ἅπαντας ἂν ὑμᾶς ὁμολογήσειν τάδε δεῖν ὑπάρξαι τῷ δημοτικῷ· πρῶτον μὲν ἐλεύθερον αὐτὸν εἶναι καὶ πρὸς πατρὸς καὶ μητρός· ἵνα μὴ διὰ τὴν πρὸς τὸ γένος ἀτυχίαν, δυσμενὴς ᾖ τοῖς νόμοις, οἳ σώζουσι τὴν δημοκρατίαν. δεύτερον δ' ἀπὸ τῶν προγόνων εὐεργεσίαν τινὰ αὐτῷ πρὸς τὸν δῆμον ὑπάρχειν, ἢ τό γ' ἀναγκαιότατον μηδεμίαν ἔχθραν, ἵνα μὴ βοηθῶν τοῖς τῶν προγόνων ἀτυχήμασι, κακῶς ἐπιχειρῇ ποιεῖν τὴν πόλιν, τρίτον σώφρονα καὶ μέτριον χρὴ πεφυκέναι αὐτὸν πρὸς τὴν καθ' ἡμέραν δίαιταν· ὅπως μὴ διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης δωροδοκῇ κατὰ τοῦ δήμου, τέταρτον εὐγνώμονα καὶ δυνατὸν εἰπεῖν· καλὸν γὰρ τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα, τὴν δὲ παιδείαν τὴν τοῦ ῥήτορος καὶ τὸν λόγον πείθειν τοὺς ἀκούοντας. εἰ δὲ μή, τὴν εὐγνωμοσύνην ἀεὶ προτακτέον τοῦ λόγου. πέμπτον ἀνδρεῖον εἶναι τὴν ψυχήν, ἵνα μὴ παρὰ τὰ δεινὰ καὶ τοὺς πολέμους ἐγκαταλίπῃ τὸν δῆμον, τὸν δ' ὀλιγαρχικὸν, πάντα τἀναντία τούτων ἔχειν· τί γὰρ δεῖ πάλιν διεξιέναι; σκέψασθε δή, τί τούτων ὑπάρχει Δημοσθένει, ὁ δὲ λογισμὸς ἔστω ἐπὶ πᾶσι δικαίοις. τούτῳ πατὴρ μὲν ἦν Δημοσθένης ὁ Παιανιεύς, ἀνὴρ ἐλεύθερος· οὐ γὰρ δεῖ ψεύδεσθαι. τὰ δ' ἀπὸ τῆς μητρὸς καὶ τοῦ πάππου τοῦ πρὸς μητρός, πῶς ἔχει αὐτῷ, ἐγὼ φράσω. Γύλων ἦν ἐκ Κεραμέων. οὗτος προδοὺς τοῖς πολεμίοις Νύμφαιον τὸ ἐν τῷ Πόντῳ τότε τῆς πόλεως ἐχούσης τὸ χωρίον τοῦτο, φυγὰς ἐκ τῆς πόλεως ἐγένετο θανάτου καταγνωσθέντος αὐτοῦ, τὴν κρίσιν οὐχ ὑπομείνας, καὶ ἀφικνεῖται εἰς Βόσπορον, κἀκεῖ λαμβάνει δωρεὰν παρὰ τῶν τυράννων τοὺς ὠνομασμένους Κήπους, καὶ γαμεῖ γυναῖκα πλουσίαν μὲν νὴ Δία καὶ χρυσίον ἐπιφερομένην πολύ, Σκύθιν δὲ τὸ γένος. ἐξ ἧς γίνονται αὐτῷ θυγατέρες δύο· ἃς ἐκεῖνος δεῦρο μετὰ πολλῶν χρημάτων ἀποστείλας συνῴκισε τὴν μὲν ἑτέραν ὅτῳ δή ποτε, ἵνα μὴ πολλοῖς ἀπεχθάνωμαι, τὴν δὲ ἑτέραν ἔγημε παριδὼν τοὺς τῆς πόλεως νόμους Δημοσθένης ὁ Παιανιεύς. ἐξ ἧς ὑμῖν ὁ περίεργος καὶ συκοφάντης γεγένηται Δημοσθένης. οὐκοῦν ἀπὸ μὲν τοῦ πάππου τοῦ πρὸς μητρός, πολέμιος ἂν εἴη τῷ δήμῳ· θάνατον γὰρ αὐτοῦ τῶν προγόνων κατέγνωτε. τὰ δ' ἀπὸ τῆς μητρός, Σκύθης, βάρβαρος ἑλληνίζων τῇ φωνῇ· ὅθεν καὶ τὴν πονηρίαν οὐκ ἐπιχώριός ἐστι. περὶ δὲ τὴν καθ' ἡμέραν δίαιταν, τίς ἐστιν; ἐκ τριηράρχου λογογράφος ἀνεφάνη, τὰ πατρῷα καταγελάστως προέμενος, ἄπιστος δὲ καὶ περὶ ταῦτα δόξας εἶναι, καὶ τοὺς λόγους ἐκφέρων τοῖς ἀντιδίκοις, ἀνεπήδησεν ἐπὶ τὸ βῆμα, πλεῖστον δ' ἐκ τῆς πόλεως εἰληφὼς ἀργύριον, ἐλάχιστα περιεποιήσατο. νῦν μέντοι τὸ βασιλικὸν χρυσίον ἐπικέκλυκε τὴν δαπάνην αὐτοῦ. ἔστι δ' οὐδὲ τοῦθ' ἱκανόν. οὐδεὶς γὰρ πλοῦτος τρόπου πονηροῦ περιεγένετο, καὶ τὸ κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται, ἀλλ' ἐκ τῶν ὑμετέρων κινδύνων. περὶ δ' εὐγνωμοσύνην καὶ λόγου δύναμιν, πῶς πέφυκε; δεινῶς λέγειν, κακῶς βιῶναι. οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυτοῦ σώματι καὶ παιδοποιΐᾳ, ὥστ' ἐμὲ μὴ βούλεσθαι λέγειν ἃ τούτῳ πέπρακται. ἤδη γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ τῶν πλησίον αἰσχρὰ λίαν σαφῶς λέγοντας. ἔπειτα, τί συμβαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοί, τὰ δ' ἔργα φαῦλα. πρὸς δὲ ἀνδρείαν βραχύς μοι λείπεται λόγος. εἰ μὲν γὰρ ἠρνεῖτο μὴ δειλὸς εἶναι ἢ ὑμεῖς μὴ συνῄδειτε αὐτῷ, διατριβὴν ὁ λόγος ἄν μοι παρέσχεν· ἐπειδὴ δὲ καὶ αὐτὸς ὁμολογεῖ ἐν ταῖς ἐκκλησίαις καὶ ὑμεῖς σύνιστε, λοιπὸν ὑπομνῆσαι τοὺς περὶ τούτου κειμένους νόμους.

Declamationis in Sallust.

Solonis in ignavos.

Ὁ γὰρ Σόλων ὁ παλαιὸς νομοθέτης ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν ἀστράτευτον καὶ τὸν λελοιπότα τὴν τάξιν, καὶ τὸν δειλὸν ὁμοίως. εἰσὶ γὰρ καὶ δειλίας γραφαί. καίτοι θαυμάσειεν ἄν τις ὑμῶν, εἰ εἰσὶ φύσεως γραφαί. εἰσί. τίνος ἕνεκα; ἵν' ἕκαστος ὑμῶν τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος μᾶλλον ἢ τοὺς πολεμίους, ἀμείνων ἀγωνιστὴς ὑπὲρ τῆς πατρί-

δος ὑπάρχῃ. ὁ μὲν τοίνυν νομοθέτης, τὸν ἀστράτευτον καὶ τὸν δειλὸν καὶ τὸν λιπόντα τὴν τάξιν, ἔξω τῶν περιρραντηρίων τῆς ἀγορᾶς ἐξείργει, καὶ οὐκ ἐᾷ στεφανοῦσθαι οὐδ' εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ. σὺ δὲ τὸν στεφάνωτον ἐκ τῶν νόμων κελεύεις ἡμᾶς στεφανοῦν, καὶ τῷ σαυτοῦ ψηφίσματι τὸν οὐ προσήκοντα εἰσκαλεῖς τοῖς τραγῳδοῖς εἰς τὴν ὀρχήστραν, εἰς τὸ ἱερὸν τοῦ διονύσου τὸν τὰ ἱερὰ διὰ δειλίαν προδεδωκότα. ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε, ὅταν φῇ δημοτικὸς εἶναι, θεωρεῖτ' αὐτοῦ μὴ τὸν λόγον, ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε μὴ τίς φησιν εἶναι, ἀλλὰ τίς ἐστιν. ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως ἔστι μέμνημαι προλέγω ὑμῖν, ἄνδρες ἀθηναῖοι. εἰ μὴ καταλύσετε τὰς ἀφθόνους ταύτας δωρεὰς καὶ τοὺς εἰκῆ διδομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται, οὔτε τὰ τῆς πόλεως πράγματα ἐπανορθωθήσεται. τοὺς μὲν γὰρ πονηροὺς οὐ μή ποτε βελτίους ποιήσετε· τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε. ὅτι δ' ἀληθῆ λέγω, μεγάλα νῦν οἶμαι σημεῖα δείξειν ὑμῖν. εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε, πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε ἐπὶ τῶν προγόνων. ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν ἢ νυνί. τότε μὲν διαφέροντες, νυνὶ δὲ πολλῷ καταδεέστεροι. δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα καὶ σιτήσεις ἐν πρυτανείῳ· πότερον τότε ἦσαν πλείους, ἢ νυνί; τότε μὲν ἦν σπάνια τὰ καλὰ παρ' ἡμῖν καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· νῦν δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα καὶ τὸ στεφανοῦν ἐξ ἔθους, ἀλλ' οὐκ ἐκ προνοίας ποιεῖσθε. οὐκ οὖν ἄτοπον οὑτωσὶ διαλογιζομένοις, τὰς μὲν δωρεὰς νῦν πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε μᾶλλον ἢ νῦν ἰσχύειν, καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι, τότε δ' ἀμείνους. ἐγὼ δὲ τοῦθ' ὑμᾶς ἐπιχειρήσω διδάσκειν.

οἴεσθέ ποτε ὦ ἀθηναῖοι ἐθελῆσαί τινα ἐπασκεῖν εἰς τὰ παναθήναια ἢ εἰς ἄλλον τινὰ τῶν στεφανιτῶν ἀγώνων, παγκράτιον ἢ καὶ ἄλλο τι τῶν βαρυτέρων ἄθλων, εἰ ὁ στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ, ἀλλὰ τῷ διαπραξαμένῳ; οὐδέποτ' ἂν ἠθέλησεν ἐπασκεῖν. νῦν δ' οἶμαι διὰ τὸ σπάνιον καὶ τὸ περιμάχητον καὶ τὸ καλὸν καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης ἐθέλουσί τινες τὰ σώματα παρακαταθέμενοι καὶ τὰς μεγίστας ταλαιπωρίας ὑπομείναντες διακινδυνεύειν. ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολιτικῆς ἀρετῆς. κἀκεῖνο ἐκλογίσασθε ὅτι ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς. ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθερεῖτε. ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σαφέστερον ὑμᾶς βούλομαι διδάξαι. πότερον ὑμῖν ἀμείνων ἀνὴρ εἶναι δοκεῖ θεμιστοκλῆς ὁ στρατηγήσας ὅτε τῇ περὶ σαλαμῖνι ναυμαχίᾳ τὸν πέρσην ἐνικᾶτε; ἢ δημοσθένης ὁ τὰς τάξεις λιπών; μιλτιάδης δ' ὁ τὴν ἐν μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας, ἢ οὗτος; ἔτι δ' οἱ ἀπὸ φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες· ἀριστείδης δ' ὁ δίκαιος ἐπικαλούμενος ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν δημοσθένει; ἀλλ' ἔγωγε μὰ τοὺς θεοὺς τοὺς ὀλυμπίους, οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τούτου καὶ ἐκείνων τῶν ἀνδρῶν. ἐπιδειξάτω τοίνυν δημοσθένης ἐν τῷ αὑτοῦ λόγῳ εἴ που γέγραπταί τινα τούτων τῶν ἀνδρῶν στεφανῶσαι. ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὔκ. ἀλλὰ μεγαλόφρων, κἀκεῖνοί γε οἱ μὴ οὕτω τετιμημένοι τῆς πόλεως ἄξιοι. οὐ γὰρ ᾤοντο δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι, ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἣ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθάνατος οὖσα διαμένει. δωρεὰς δὲ τίνας ἐλάμβανον, ἄξιόν ἐστι μνησθῆναι. ἦσάν τινες κατὰ τοὺς τότε καιροὺς οἳ πολὺν ὑπομείναντες χρόνον καὶ μεγάλους κινδύνους ἐπὶ τῷ στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι μήδους, οὗτοι δεῦρο ἀφικόμενοι τὸν δῆμον ᾔτησαν δωρεάν, καὶ ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ τῇ τῶν ἑρμῶν, ἔφη τε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν, ἵνα μὴ τῶν στρατηγῶν, ἀλλὰ τοῦ δήμου δοκεῖ εἶναι τὸ ἐπίγραμμα. ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων εἴσεσθε. ἐπιγέγραπται γὰρ ἐπὶ μὲν τῷ πρώτῳ τῶν ἑρμῶν·

Marginal notes (handwritten): ἀστεφάνωτον · ἔτι · διαφθερεῖτε · Memorabilis historia.

» Ην ἄρα κἀκεῖνοι ταλακάρδιοι οἵ ποτε μήδων,
» παισὶν ἐπ᾽ ἠιόνι στρυμόνος ἀμφὶ ῥοάς
» Λιμόν τ᾽ αἴθωνα κρατερόν τ᾽ ἐπάγοντες ἄρηα
» πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην. ἐπὶ δὲ τῷ δευτέρῳ.
» Ηγεμόσιν δὲ μισθὸν ἀθηναῖοι τάδ᾽ ἔδωκαν
» ἀντ᾽ εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
» μᾶλλόν τις τάδ᾽ ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
» ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.
ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται ἑρμῇ.
» Εκ ποτε τῆσδε πόληος ἅμ᾽ ἀτρείδῃσι μενεσθεὺς
» ἡγεῖτο ζάθεον, τρωικὸν ἂμ πεδίον,
» ὅν ποθ᾽ ὅμηρος ἔφη δαναῶν πύκα χαλκοχιτώνων,
» κοσμήτορα μάχης ἔξοχον ἄνδρα μολεῖν.
» οὕτως οὐδὲν ἀεικὲς ἀθηναίοισι καλεῖσθαι
» κοσμητὰς πολέμου τ᾽ ἀμφὶ καὶ ἠνορέης.

ἔστι που τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ τοῦ δήμου. προσέλθετε δὴ τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην. ἁπάντων γὰρ ὑμῖν τῶν καλῶν ἔργων τὰ ὑπομνήματα ἐν τῇ ἀγορᾷ ἀνάκειται. τί οὖν ἐστιν ὦ ἀθηναῖοι ὃ ἐγὼ λέγω; ἐνταῦθα ἡ ἐν μαραθῶνι μάχη γέγραπται. τίς οὖν ἦν ὁ στρατηγός; οὑτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες ἀποκρίναισθε ἂν ὅτι μιλτιάδης. ἐκεῖ δὲ οὐκ ἐπιγέγραπται. πῶς; οὐκ ᾔτησε τὴν δωρεὰν ταύτην; ᾔτησεν, ἀλλ᾽ ὁ δῆμος οὐκ ἔδωκεν, ἀλλ᾽ ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ πρώτῳ γραφῆναι παρακαλοῦντι τοὺς στρατιώτας. ἐν τοίνυν τῷ μητρῴῳ παρὰ τὸ βουλευτήριον ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ φυλῆς φεύγοντα τὸν δῆμον καταγαγοῦσιν, ἔστιν ἰδεῖν. ἦν μὲν γὰρ ὁ τὸ ψήφισμα γράψας καὶ νικήσας ἀρχῖνος ὁ ἐκ κοίλης εἷς τῶν καταγαγόντων τὸν δῆμον. ἔγραψε δὲ πρῶτον μὲν αὐτοῖς εἰς θυσίας καὶ ἀναθήματα δοῦναι χιλίας δραχμάς, καὶ τοῦτ᾽ ἐστὶν ἔλαττον ἢ δέκα δραχμαὶ κατ᾽ ἄνδρα ἕκαστον, ἔπειτα κελεύει στεφανοῦσθαι θαλλοῦ στεφάνῳ αὐτῶν ἕκαστον, ἀλλ᾽ οὐ χρυσῷ. τότε μὲν γὰρ ἦν ὁ τοῦ θαλλοῦ στέφανος τίμιος, νυνὶ δὲ καὶ ὁ χρυσοῦς καταπεφρόνηται, καὶ οὐδὲ τοῦτο εἰκῇ πρᾶξαι κελεύει, ἀλλ᾽ ἀκριβῶς τὴν βουλὴν σκεψαμένην ὅσοι αὐτῶν ἐπὶ φυλῆς ἐπολιορκήθησαν ὅτε λακεδαιμόνιοι καὶ οἱ τριάκοντα προσέβαλον τοῖς καταλαβοῦσι φυλήν, οὐχ ὅσοι τὴν τάξιν ἔλιπον ἐν χαιρωνείᾳ τῶν πολεμίων ἐπιόντων. ὅτι δ᾽ ἀληθῆ λέγω ἀναγνώσεται ὑμῖν τὸ ψήφισμα. ψήφισμα περὶ δωρεᾶς τοῖς ἀπὸ φυλῆς.

παραναγνῶθι

παραναγνῶθι καὶ ὃ γέγραφε κτησιφῶν δημοσθένει τῷ τῶν μεγίστων κακῶν αἰτίῳ. ψήφισμα. τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται ἡ τῶν καταγαγόντων τὸν δῆμον δωρεά. εἰ τοῦτ᾽ ἔχει καλῶς, ἐκεῖνο αἰσχρῶς. εἰ ἐκεῖνοι κατ᾽ ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται. καί τοι πυνθάνομαί γ᾽ αὐτὸν μέλλειν λέγειν ὡς οὐ δίκαια ποιῶ παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα. οὐδὲ γὰρ φιλάμμωνα φήσει τὸν πύκτην ὀλυμπίασι στεφανωθῆναι, νικήσαντα γλαῦκον τὸν παλαιὸν ἐκεῖνον πύκτην, ἀλλὰ τοὺς καθ᾽ ἑαυτὸν ἀγωνιστάς ὥσπερ ὑμᾶς ἀγνοοῦντας, ὅτι τοῖς μὲν πύκταις ἐστὶν ὁ ἀγὼν πρὸς ἀλλήλους. τοῖς δ᾽ ἀξιοῦσι στεφανοῦσθαι πρὸς αὐτὴν τὴν ἀρετὴν ἧς καὶ ἕνεκα στεφανοῦνται. δεῖ γὰρ τὸν κήρυκα ἀψευδεῖν ὅταν τὴν ἀνάρρησιν ἐν τῷ θεάτρῳ ποιῆται πρὸς τοὺς ἕλληνας. μὴ οὖν ἡμῖν ὡς παταικίωνος ἄμεινον πεπολίτευσαι διέξιθι. ἀλλ᾽ ἐφικόμενος τῆς ἀνδραγαθίας, οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει. ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς (ἀπὸ τῆς ὑποθέσεως ἀναγνώσεται) ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα ὃ ἐπιγέγραπται
» τοῖς ἀπὸ φυλῆς τὸν δῆμον καταγαγοῦσι. ἐπίγραμμα.
» Τούσδ᾽ ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
» δῆμος ἀθηναίων, οἵ ποτε τοὺς ἀδίκοις
» Θεσμοῖς ἄρξαντας πρῶτοι πόλεως κατέπαυσαν

ἤρξαν κινδύνων σώμασιν ἀράμενοι.

Ὅτι τοὺς παρὰ τοὺς νόμους ἄρξαντας κατέλυσαν, διὰ τοῦτ' αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι. ἔναυλον γὰρ ἦν ἔτι τότε πᾶσιν, ὅτι τηνικαῦτα ὁ δῆμος κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. καὶ γάρ τοι ὡς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ἐπυνθανόμην, ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέντε ἐτελεύτησεν, ἁπάντων μετασχὼν τῶν πόνων τῇ πόλει, ὃς πολλάκις πρὸς ἐμὲ διεξῄει ἐπὶ σχολῆς· ἔφη γάρ, ὅτε ἀρτίως κατεληλύθει ὁ δῆμος, εἴ τις εἰσῄει γραφὴν παρανόμων εἰς δικαστήριον, εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον. τί γὰρ ἀνοσιώτερον ἀνδρὸς παράνομα λέγοντος καὶ πράττοντος; καὶ τὴν ἀκρόασιν, ὡς ἐκεῖνος ἀπήγγελλεν, οὐ τὸν αὐτὸν τρόπον ἐποιοῦντο ὥσπερ νῦν γίνεται, ἀλλ' ἦσαν πολὺ χαλεπώτεροι οἱ δικασταὶ τοῖς παράνομα γράφουσιν αὐτοῦ τοῦ κατηγόρου, καὶ πολλάκις ἀνεπόδιζον τὸν γραμματέα καὶ ἐκέλευον πάλιν ἀναγνῶναι τοὺς νόμους καὶ τὸ ψήφισμα, καὶ ἡλίσκοντο οἱ παράνομα γράφοντες οὐκ εἰ πάντας παρεπηδήσειαν τοὺς νόμους, ἀλλ' εἰ μίαν μόνον συλλαβὴν παραλλάξειαν. τὸ δὲ νυνὶ γινόμενον πρᾶγμα ὑπερκαταγέλαστόν ἐστιν. ὁ μὲν γὰρ γραμματεὺς ἀναγινώσκει τὸ παράνομον, οἱ δὲ δικασταὶ ὥσπερ ἐπῳδὴν ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώμενοι πρὸς ἑτέρῳ τινὶ τὴν γνώμην ἔχουσιν. ἤδη δ' ἐκ τῶν τεχνῶν τῶν Δημοσθένους, αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρίοις παραδέχεσθε. μετενήνεκται γὰρ ὑμῶν τὰ τῆς πόλεως δίκαια. ὁ μὲν γὰρ κατήγορος ἀπολογεῖται. ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ. οἱ δὲ δικασταὶ ἐνίοτε ὧν μέν εἰσι κριταί, ἐπιλανθάνονται, ὧν δὲ οὐκ εἰσὶ δικασταί, περὶ τούτων ἀναγκάζονται τὴν ψῆφον φέρειν. λέγει δὲ ὁ φεύγων ἂν ἄρα ποτὲ ἅψηται τοῦ πράγματος οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ καὶ πρότερον ἄλλος τοιαῦτα γράψας, ἀπέφυγεν. ἐφ' ᾧ καὶ νυνὶ μέγα φρονεῖν ἀκούω κτησιφῶντα. ἐτόλμα δ' ἐν ὑμῖν ποτε σεμνύνεσθαι ἀριστοφῶν ἐκεῖνος ὁ ἀζηνιεὺς λέγων ὅτι γραφὰς παρανόμων πέφευγεν ἑβδομήκοντα καὶ πέντε. ἀλλ' οὐχ ὁ κέφαλος ὁ παλαιὸς ἐκεῖνος ὁ δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο λέγων ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα οὐδεμίαν πώποτε γραφὴν πέφευγε παρανόμων, καλῶς οἶμαι σεμνυνόμενος. ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι, ἀλλὰ καὶ οἱ φίλοι τοὺς φίλους εἴ τι ἐξαμαρτάνοιεν εἰς τὴν πόλιν. ἐκεῖθεν δὲ τοῦτο γνώσεσθε. ἀρχῖνος γὰρ ὁ ἐκ κοίλης ἐγράψατο παρανόμων θρασύβουλον τὸν στειριέα γράψαντά τι παρὰ τοὺς νόμους στεφανοῦν ἕνα τῶν συγκατελθόντων αὐτῷ ἀπὸ φυλῆς, καὶ εἷλε νεωστὶ γεγενημένων αὐτῷ τῶν εὐεργεσιῶν, ἃς οὐχ ὑπελογίζοντο οἱ δικασταί. ἡγοῦντο γὰρ ὥσπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ φυλῆς θρασύβουλος κατήγαγεν, οὕτω νῦν μένοντας ἐξελαύνειν παρὰ τοὺς νόμους γράφοντά τι. ἀλλ' οὐ νῦν, ἀλλ' ἅπαν τοὐναντίον γίνεται. οἱ γὰρ ἀγαθοὶ στρατηγοὶ ὑμῶν καὶ τῶν τὰς σιτήσεις τινὲς εὑρημένων ἐν τῷ πρυτανείῳ, ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς ἀχαρίστους εἶναι δικαίως ἂν ὑπολαμβάνοιτε. εἰ γάρ τις ἐν δημοκρατίᾳ τετιμημένος ἐν τοιαύτῃ πόλει, ἣν οἱ θεοὶ καὶ οἱ νόμοι σώζουσι, τολμᾷ βοηθεῖν τοῖς παράνομα γράφουσι, καταλύει τὴν πολιτείαν ὑφ' ἧς τετίμηται. τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι, ἐγὼ λέξω. εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα ὅταν εἰσίῃ γραφὴ παρανόμων εἰς τὸ δικαστήριον. ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ, καὶ τοῖς νόμοις, καὶ τῇ δημοκρατίᾳ, τὸ δὲ δεύτερον ὕδωρ, τῷ τὴν γραφὴν φεύγοντι καὶ τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν. ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ ἐγχεῖται τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας. ὅστις μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ, τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖται. ὅστις δ' ἐν τῷ πρώτῳ λόγῳ τὴν ψῆφον αἰτεῖ, ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατίαν αἰτεῖ, ὧν οὔτε αἰτῆσαι οὐδὲν ὅσιον οὐδενί, οὔτ' αἰτηθέντα ἑτέρῳ δοῦναι. κελεύσατε οὖν αὐτοὺς ἐάσαντας ὑμᾶς τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν, ἀπαντᾶν εἰς τὴν τίμησιν. ὅλως δ' ἔγωγε ὦ ἀθηναῖοι ὀλίγου δέω εἰπεῖν ὡς καὶ νόμον δεῖ τεθῆναι ἐπὶ ταῖς γρα-

φησὶ μόνον τῶν παρανόμων, μὴ ἐξεῖναι μήτε τῷ κατηγόρῳ συνηγόρους παρέχεσθαι, μήτε τῷ τὴν γραφὴν τῶν παρανόμων φεύγοντι, οὐ γὰρ ἀόριστόν ἐστι τὸ δίκαιον, ἀλλ' ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις. ὥσπερ γὰρ ἐν τῇ τεκτονικῇ ὅταν εἰδέναι βουλώμεθα τὸ ὀρθὸν καὶ τὸ μή, τὸν κανόνα προσφέρομεν ᾧ διαγινώσκεται, οὕτω καὶ ἐν ταῖς γραφαῖς τῶν παρανόμων παράκειται κανὼν τοῦ δικαίου, τουτὶ τὸ σανίδιον καὶ τὸ ψήφισμα καὶ οἱ παραγεγραμμένοι νόμοι. ταῦτα συμφωνοῦντα ἀλλήλοις ἐπιδείξας κατάβαινε. καὶ τί δεῖ σε Δημοσθένην παρακαλεῖν; ὅταν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇς κακοῦργον ἄνθρωπον καὶ τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν. τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ φράσω. ἐπειδὰν προσελθὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο δὴ τὸ συντεταγμένον αὐτῷ προοίμιον, ἔπειτ' ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπομνήσατ' αὐτὸν ἀθορύβως τὸ σανίδιον λαβεῖν, καὶ τοὺς νόμους τῷ ψηφίσματι παραναγνῶναι. ἐὰν δὲ μὴ προσποιῆται ὑμῶν ἀκούειν, μηδ' ὑμεῖς ἐκείνου ἐθέλετε ἀκούειν, οὐ γὰρ τῶν φευγόντων τὰς δικαίας ἀπολογίας εἰσεληλύθατε ἀκροασόμενοι, ἀλλὰ τῶν ἐθελόντων δικαίως ἀπολογεῖσθαι. ἐὰν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν Δημοσθένην παρακαλῇ, μάλιστα μὲν μὴ προσδέχεσθε κακοῦργον ἄνθρωπον οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, μηδ' ἐν ἀρετῇ τοῦθ' ὑμῶν μηδεὶς καταλογιζέσθω, ὃς ἂν ἐπανερωτῶντος Κτησιφῶντος εἰ καλέσει Δημοσθένην, πρῶτος ἀναβοήσει, κάλει κάλει. ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. εἰ δ' ἄρα ὑμῖν δόξει ἀκούειν, ἀξιώσατε τὸν Δημοσθένην τὸν αὐτὸν τρόπον ἀπολογεῖσθαι ὅνπερ κἀγὼ ὧδέ πως κατηγόρηκα. ἵνα καὶ ὑπομνήσω ὑμᾶς, οὔτε τὸν ἴδιον βίον τοῦ Δημοσθένους πρότερον διεξῆλθον οὔτε τῶν δημοσίων ἀδικημάτων οὐδενὸς πρότερον ἐμνήσθην, ἄφθονα δή που καὶ πολλὰ ἔχων λέγειν, ἢ πάντων γ' ἂν εἴην ἀπορώτατος, ἀλλὰ πρῶτον μὲν τοὺς νόμους ἀπέδειξα ἀπαγορεύοντας μὴ στεφανοῦν τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορα ἐξήλεγξα γράψαντα Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν, οὐδὲν προβαλόμενον, οὐδὲ προσγράψαντα ἐπειδὰν δῷ τὰς εὐθύνας, ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ τῶν νόμων καταπεφρονηκότα, καὶ τὰς ἐσομένας πρὸς ταῦτας προφάσεις εἶπον, ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν. δεύτερον δ' ὑμῖν διεξῆλθον τοὺς περὶ τῶν κηρυγμάτων νόμους, ἐν οἷς διαρρήδην ἀπείρηται τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας, ὁ δὲ ῥήτωρ ὁ φεύγων τὴν γραφὴν οὐ τοὺς νόμους μόνον παραβέβηκεν, ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναρρήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ἐν τῷ θεάτρῳ τὴν ἀνάρρησιν γίνεσθαι, οὐδ' ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ μελλόντων τραγῳδῶν εἰσιέναι. ταῦτα δ' εἰπὼν μικρὰ μὲν περὶ τῶν ἰδίων εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων λέγω. οὕτω δὴ καὶ τὸν Δημοσθένην ἀξιοῦτε ἀπολογεῖσθαι, πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶτον καὶ τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δὲ τὸ μέγιστον λέγω, ὡς οὐδ' ἄξιός ἐστι τῆς δωρεᾶς. ἐὰν δ' ὑμῶν δέηται συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς ἀπολογίας λύσει τὸ παράνομον, μὴ συγχωρεῖτε, μηδ' ἀγνοεῖθ' ὅτι πάλαισμα τοῦτ' ἐστι δικαστηρίου. οὐ γὰρ εἰσαῦθίς ποτε βούλεται πρὸς τὸ παράνομον ἀπολογεῖσθαι, ἀλλ' οὐδὲν ἔχων δίκαιον εἰπεῖν ἑτέρων παρεμβολῇ πραγμάτων εἰς λήθην ὑμᾶς βούλεται τῆς κατηγορίας ἐμβαλεῖν. ὥσπερ οὖν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὁρᾶτε τοὺς πύκτας περὶ τῆς στάσεως πρὸς ἀλλήλους διαγωνιζομένους, οὕτω καὶ ὑμεῖς ὅλην τὴν ἡμέραν ὑπὲρ τῆς πόλεως, καὶ περὶ τῆς τάξεως αὐτῷ τοῦ λόγου μάχεσθε, καὶ μὴ ἐᾶτε αὐτὸν ἔξω τοῦ παρανόμου λόγους περιίστασθαι, ἀλλ' ἐγκαθήμενοι καὶ ἐνεδρεύοντες ἐν τῇ ἀκροάσει, εἰσελαύνετε αὐτὸν εἰς τοὺς τοῦ πράγματος λόγους, καὶ τὰς ἐκτροπὰς αὐτοῦ τῶν λόγων ἐπιτηρεῖτε. ἀλλ' ἃ δὴ συμβήσεται ὑμῖν ἐὰν τοῦτον τὸν τρόπον τὴν ἀκρόασιν ποιῆσθε, ταῦθ' ὑμῖν ἤδη δίκαιός εἰμι προειπεῖν. ἐπεισάξει γὰρ τὸν γόητα καὶ βαλαντιοτόμον, καὶ διατετμηκότα τὴν πολιτείαν. οὗτος κλάει μὲν ῥᾳδίως

κῦν περὶ ἐκ... 85

Epilogus

ἢ ἄλλοι γελῶσιν. ἐπιορκεῖ δὲ πάντων προχειρότατα ἀνθρώπων. οὐκ ἂν θαυμάσαιμι δὲ, εἰ μεταβαλλόμενος τοῖς ἔξω περιεστηκόσι λοιδορήσεται. φάσκων τοὺς μὲν ὀλιγαρχικοὺς ὑπ' αὐτῆς τῆς ἀληθείας διηριθμημένους ἥκειν πρὸς τὸ τοῦ κατηγόρου βῆμα. τοὺς δὲ δημοτικοὺς πρὸς τὸ τοῦ φεύγοντος, ὅταν δὴ ταῦτα λέγῃ πρὸς μὲν τοὺς στασιαστικοὺς λόγους, ἐκεῖνο αὐτῷ ὑποβάλλετε. ὅτι ὦ δημόσθενες, εἰ σοὶ ἦσαν ὅμοιοι οἱ ἀπὸ φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες, οὐκ ἄν ποτε δημοκρατία κατέστη. νῦν δὲ ἐκεῖνοι μὲν μεγάλων κακῶν συμβάντων, ἔσωσαν τὴν πόλιν, τὸ κάλλιστον ἐκ παιδείας ῥῆμα φθεγξάμενοι, μὴ μνησικακεῖν. σὺ δὲ ἑλκοποιεῖς, καὶ μᾶλλόν σοι μέλει τῶν αὐθημερῶν λόγων ἢ τῆς σωτηρίας τῆς πόλεως, ὅταν δ' ἐπίορκος ὢν, εἰς τὴν διὰ τῶν ὅρκων πίστιν καταφυγγάνῃ, ἐκεῖνο ἀπομνημονεύσατε αὐτῷ, ὅτι τῷ πολλάκις μὲν ἐπιορκοῦντι ἀεὶ δὲ πρὸς τοὺς αὐτοὺς μεθ' ὅρκων ἀξιοῦντι πιστεύεσθαι, δυοῖν θάτερον ὑπάρξαι δεῖ, ὧν οὐδέτερόν ἐστι δημοσθένει ὑπάρχον, ἢ τοὺς θεοὺς καινοὺς, ἢ τοὺς ἀκροατὰς μὴ τοὺς αὐτούς. περὶ δὲ τῶν δακρύων καὶ τοῦ τόνου τῆς φωνῆς, ὅταν ὑμᾶς ἐπερωτᾷ ποῖ καταφύγω ἄνδρες ἀθηναῖοι; περιγράψατέ με ἐκ τῆς πολιτείας, οὐκ ἔστιν ὅποι ἀναπτήσομαι, ἀνθυποβάλλετε αὐτῷ. ὁ δὲ δῆμος ὁ ἀθηναίων ποῖ καταφύγῃ δημόσθενες; ἢ πρὸς ποίας συμμάχων παρασκευάς; πρὸς ποῖα χρήματα; τί προβαλλόμενος ὑπὲρ τοῦ δήμου πεπολίτευσαι; ἃ μὲν γὰρ ὑπὲρ σεαυτοῦ βεβούλευσαι, ἅπαντες ὁρῶμεν, ἐκλιπὼν μὲν τὸ ἄστυ οὐκ οἰκεῖς ὡς δοκεῖς ἐν πειραιεῖ, ἀλλ' ἐξορμεῖς ἐκ τῆς πόλεως. ἐφόδια δὲ πεπόρισαι τῇ σαυτοῦ ἀνανδρίᾳ τὸ βασιλικὸν χρυσίον καὶ τὰ δημόσια δωροδοκήματα. ὅλως δὲ τί τὰ δάκρυα. τίς ἡ κραυγή. τίς ὁ τόνος τῆς φωνῆς. οὐχ ὁ μὲν τὴν γραφὴν φεύγων ἐστὶ κτησιφῶν, ὁ δὲ ἀγὼν οὐκ ἀτίμητος. σὺ δ' οὔτε περὶ τῆς οὐσίας, οὔτε περὶ τοῦ σώματος, οὔτε περὶ τῆς ἐπιτιμίας ἀγωνίζῃ, ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ ἡ σπουδή; περὶ χρυσῶν στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ τοὺς νόμους. ὃν χρῆν εἰ καὶ μανεὶς ὁ δῆμος ἢ τῶν καθεστηκότων ἐπιλελησμένος ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν αὐτὸν παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν. ἄνδρες ἀθηναῖοι; τὸν μὲν στέφανον δέχομαι. τὸν δὲ καιρὸν ἀποδοκιμάζω ἐν ᾧ τὸ κήρυγμα γίνεται. οὐ γὰρ δεῖ ἐφ' οἷς ἡ πόλις ἐπένθησε καὶ ἐκείρατο, ἐπὶ τούτοις ἐμὲ στεφανοῦσθαι. ἀλλ' οἶμαι ταῦτα μὲν ἂν εἴποι ἀνὴρ ὄντως βεβιωκὼς μετ' ἀρετῆς. ἃ δὲ σὺ λέξεις, εἴποι ἂν κάθαρμα ζηλοτυποῦν ἀρετήν. οὐ γὰρ δὴ μὰ τὸν ἡρακλέα τοῦτό γε ὑμῶν οὐδεὶς φοβηθήσεται μὴ ὁ δημοσθένης ἀνὴρ μεγαλόψυχος καὶ τὰ πολεμικὰ διαφέρων ἀποτυχὼν τῶν ἀριστείων, οἴκαδε ἐπανελθὼν ἑαυτὸν διαχρήσεται, ὃς τοσοῦτον καταγελᾷ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ὥστε τὴν μιαρὰν κεφαλὴν ταύτην καὶ ὑπεύθυνον ἣν οὗτος παρὰ πάντας τοὺς νόμους γέγραφε στεφανῶσαι μυριάκις κατατέτμηκε. καὶ τούτου μισθοὺς εἴληφε τραύματος ἐκ προνοίας γραφὰς γραφόμενος, καὶ κατακεκονδύλισται, ὥστε αὐτὸν οἶμαι τὰ τῶν κονδύλων ἴχνη τῶν μειδίου ἔχειν ἔτι φανερά. ὁ γὰρ ἄνθρωπος οὐ κεφαλὴν, ἀλλὰ πρόσοδον κέκτηται. περὶ δὲ κτησιφῶντος τοῦ γράψαντος τὴν γνώμην βραχέα βούλομαι εἰπεῖν. τὰ δὲ πολλὰ ὑπερβήσομαι. ἵνα καὶ πεῖραν ὑμῶν λάβω, εἰ δύνασθε τοὺς σφόδρα πονηροὺς κἂν μή τις προείπῃ διαγινώσκειν, ὃ δ' ἐστὶ κοινὸν καὶ δίκαιον κατ' ἀμφοτέρων αὐτῶν ἀπαγγεῖλαι, πρὸς ὑμᾶς τοῦτ' ἐρῶ.

περιέρχονται τὴν ἀγορὰν ἀληθεῖς κατ' ἀλλήλων ἔχοντες δόξας, καὶ λόγους οὐ ψευδεῖς λέγοντες. ὁ μὲν γὰρ κτησιφῶν οὐ τὸ καθ' ἑαυτόν φησι φοβεῖσθαι. ἐλπίζει γὰρ δόξειν ἰδιώτης εἶναι, ἀλλὰ τὴν τοῦ δημοσθένους ἐν τῇ πολιτείᾳ δωροδοκίαν φησὶ φοβεῖσθαι, καὶ τὴν ἐμπληξίαν καὶ δειλίαν. ὁ δὲ δημοσθένης εἰς αὑτὸν μὲν ἀποβλέπων, θαρρεῖν φησι. τὴν δὲ τοῦ κτησιφῶντος πονηρίαν καὶ πορνοβοσκίαν ἰσχυρῶς δεδιέναι. τοὺς δὴ κατεγνωκότας ἀλλήλων ἀδικεῖν, μηδαμῶς ὑμεῖς οἱ κοινοὶ κριταὶ τῶν ἐγκλημάτων ἀπολύσητε. περὶ δὲ τῶν εἰς ἐμαυτὸν λοιδοριῶν βραχέα βούλομαι προειπεῖν. πυνθάνομαι γὰρ λέξειν δημοσθένην ὡς ἡ πόλις ὑπ' αὐτοῦ μὲν ὠφέληται, πολλὰ δὲ ὑπ' ἐμοῦ καταβέβλαπται, καὶ τὸν φίλιππον καὶ τὸν ἀλέξανδρον καὶ τὰς ἀπὸ τούτων αἰτίας ἀνοίσειν ἐπ' ἐμέ. οὕτω γὰρ ἐστὶν

Μὴ μνησικακεῖν.

ὡς ἔοικε λεπτὸς δημιουργὸς λόγων, ὥστε οὐκ ἀπόχρη αὐτῷ, εἴ τι πεπολίτευμαι παρ᾽ ὑμῖν ἐγὼ, ἢ εἴ τινας δημηγορίας εἴρηκα, τούτων κατηγορεῖν. ἀλλὰ καὶ τὴν ἡσυχίαν αὐτὴν τοῦ βίου διαβάλλει, καὶ τῆς σιωπῆς μου κατηγορεῖ. ἵνα μηδεὶς αὐτῷ τόπος ἀσυκοφάντητος παραλίπηται, καὶ τὰς ἐν τοῖς γυμνασίοις μετὰ τῶν νεωτέρων μου διατριβὰς καταμέμφεται, καὶ κατὰ τῆσδε τῆς κρίσεως εὐθὺς ἀρχόμενος τοῦ λόγου, φέρει τινὰ αἰτίαν λέγων ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ τῆς πόλεως ἐγραψάμην, ἀλλ᾽ ἐνδεικνύμενος Ἀλεξάνδρῳ διὰ τὴν πρὸς αὐτὸν ἔχθραν. καὶ νὴ Δί᾽ ὡς ἐγὼ πυνθάνομαι, μέλλει με ἀνερωτᾶν, διὰ τί τὸ μὲν κεφάλαιον τῆς πολιτείας αὐτοῦ ψέγω, τὰ δὲ καθ᾽ ἕκαστον οὐκ ἐκώλυον, οὐδ᾽ ἐγραφόμην, ἀλλὰ διαλιπὼν καὶ πρὸς τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν ἀπήντηκα τὴν γραφήν. ἐγὼ δὲ οὔτε τὰς Δημοσθένους διατριβὰς ἐζήλωκα, οὔτ᾽ ἐπὶ ταῖς ἐμαυτοῦ αἰσχύνομαι, οὔτε τοὺς εἰρημένους ἐν ὑμῖν λόγους ἐμαυτῷ ἀρρήτους εἶναι βουλοίμην, οὔτε τὰ αὐτὰ τούτῳ δημηγορήσας, ἐδεξάμην ἂν ζῆν. τὴν δὲ ἐμὴν σιωπὴν ὦ Δημόσθενες, ἡ τοῦ βίου μετριότης παρεσκεύασεν. ἀρκεῖ γάρ μοι μικρὰ, καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ. ὥστε καὶ σιγῶ καὶ λέγω βουλευσάμενος, ἀλλ᾽ οὐκ ἀναγκαζόμενος ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης. σὺ δ᾽ οἶμαι λαβὼν μὲν σεσίγηκας, ἀναλώσας δὲ κέκραγας. λέγεις δὲ οὐχ ὁπόταν σοι δοκῇ, οὐδ᾽ ἃ βούλει, ἀλλ᾽ ὁπόταν οἱ μισθοδόται σοι προστάττωσιν. οὐκ αἰσχύνῃ γὰρ ἀλαζονευόμενος, ἃ παραχρῆμα ἐξελέγχῃ ψευδόμενος. ἀπηνέχθη γὰρ ἡ κατὰ τοῦδε τοῦ ψηφίσματος γραφή, ἣν οὐχ ὑπὲρ τῆς πόλεως, ἀλλ᾽ ὑπὲρ τῆς εἰς Ἀλέξανδρον ἐνδείξεώς με φῂς ἀπενεγκεῖν, ἔτι Φιλίππου ζῶντος πρὶν Ἀλέξανδρον εἰς τὴν ἀρχὴν καταστῆναι, οὔπω σοῦ τὸ περὶ Παυσανίαν ἐνύπνιον ἑωρακότος, οὐδὲ πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν νύκτωρ διειλεγμένου. πῶς ἂν οὖν ἐγὼ προενεδεικνύμην Ἀλεξάνδρῳ, εἴ γε μὴ ταυτὸν ἐνύπνιον ἐγὼ καὶ Δημοσθένης εἴδομεν.

Ἐπιτιμᾷς δέ μοι εἰ μὴ συνεχῶς ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον προσέρχομαι. καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν ἡμᾶς, μεταφέρων οὐκ ἐκ δημοκρατίας, ἀλλ᾽ ἐξ ἑτέρας πολιτείας. ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος, ἀλλ᾽ ὁ δυναστεύων δημηγορεῖ. ἐν δὲ ταῖς δημοκρατίαις ὁ βουλόμενος, καὶ ὅταν αὐτῷ δοκῇ. καὶ τὸ μὲν διὰ χρόνου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου. τὸ δὲ μηδεμίαν παραλιπεῖν ἡμέραν, ἐργαζομένου καὶ μισθαρνοῦντος. ὑπὲρ δὲ τοῦ μηδέπω κεκρίσθαι ὑπ᾽ ἐμοῦ μηδὲ τῶν ἀδικημάτων τιμωρίας ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις, ἢ σαυτὸν παραλογίζῃ. τὰ μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας ἠσεβημένα σοι καὶ τὰ περὶ τὴν Εὔβοιαν δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων ἐν οἷς ὑπ᾽ ἐμοῦ φανερῶς ἐξηλέγχου, ἴσως ἐλπίζεις τὸν δῆμον ἀμνημονεῖν. τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς τριηράρχους ἁρπάγματα, τίς ἂν ἀποκρύψαι χρόνος δύναιτ᾽ ἂν, ὅτε νομοθετήσας περὶ τῶν τριακοσίων νεῶν, καὶ σαυτὸν πείσας Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ, ἐξηλέγχθης ὑπ᾽ ἐμοῦ ἑξήκοντα καὶ πέντε νεῶν ταχυναυτουσῶν τριηράρχους ὑφῃρημένος, πλεῖον τῆς πόλεως ἡμῶν ἀφανίζων ναυτικὸν, ἢ ὅτε Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ Πόλλιν ἐνίκησαν. οὕτω δὲ ταῖς αἰτίαις ἐνέφραξας τὰς κατὰ σαυτοῦ τιμωρίας, ὥστε τὸν κίνδυνον εἶναι μὴ σοὶ τῷ ἀδικήσαντι, ἀλλὰ τοῖς ἐπεξιοῦσι. πολλὰ μὲν τὸν Ἀλέξανδρον καὶ Φίλιππον ἐν ταῖς διαβολαῖς φέρων, αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς τῆς πόλεως καιροὺς, ἀεὶ τὸ παρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπαγγελλόμενος. οὐ τὸ τελευταῖον εἰσαγγέλλεσθαι μέλλων ὑπ᾽ ἐμοῦ τὴν Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου κατεσκεύασας, τοῦ τὰ ἀγοράσματα Ὀλυμπιάδι ἀγοράζοντος. καὶ τὸν αὐτὸν ἄνδρα δὶς στρεβλώσας τῇ σαυτοῦ χειρὶ, γράψας αὐτὸν θανάτῳ ζημιῶσαι. καὶ παρὰ τῷ αὐτῷ ἐν Ὠρεῷ κατήγου, καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ἔφαγες καὶ ἔπιες καὶ ἔσπεισας, καὶ τὴν δεξιὰν ἐνέβαλες. ἄνδρα φίλον καὶ ξένον ποιούμενος. καὶ τοῦτον ἀπέκτεινας, καὶ περὶ τούτου ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ᾽ ἐμοῦ, καὶ κληθεὶς ξενοκτόνος, οὐ τὸ ἀσέβημα ἠρνήσω, ἀλλ᾽ ἀπεκρίνω ἐφ᾽ ᾧ ἀνεβόησεν ὁ δῆμος, καὶ ὅσοι ξένοι περιέστα-

σαν τὴν

σαν τὴν ἐκκλησίαν. ἐφοβήθη γὰρ τοὺς τῆς πόλεως ἄλλως ἀλλ' ὡς περὶ πλείονος ποιήσασθαι τῆς ξενικῆς φρατρίας. ἐπιστολὰς δὲ σιωπῶ ψευδεῖς, καὶ κατασκόπων συλλήψεις. καὶ βασάνους ἐπ' αἰτίαις ἀγενήτοις. ὡς ἐμοῦ μετά τινων ἐν τῇ πόλει νεωτερίζειν βουλομένου. ἔπειτα ἐπερωτᾶν με ὡς ἐγὼ πυνθάνομαι μέλλει, τίς ἂν εἴη τοιοῦτος ἰατρὸς, ὅστις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβουλεύοι, τελευτήσαντος δὲ αὐτοῦ ἐλθὼν εἰς τὰ ἔνατα διεξίοι πρὸς τοὺς οἰκείους, ἃ ἐπιτηδεύσας ὑγιὴς ἂν ἐγένετο. σαυτὸν δ' οὐκ ἀνερωτᾷς, τίς ἂν εἴη δημαγωγὸς τοιοῦτος, ὅστις τὸν μὲν δῆμον θωπεῦσαι δύναιτο, τοὺς δὲ καιροὺς ἐν οἷς ἦν σώζεσθαι τὴν πόλιν ἀποδοῖτο. τοὺς δ' εὖ φρονοῦντας κωλύοι διαβάλλων συμβουλεύειν. ἀποδρὰς δ' ἐκ τῶν κινδύνων καὶ τὴν πόλιν ἀνηκέστοις κακοῖς περιβαλὼν, ἀξιοῖ στεφανοῦσθαι ἐπ' ἀρετῇ. ἀγαθὸν μὲν τι πεποιηκὼς μηδέν. πάντων δὲ τῶν κακῶν αἴτιος γεγονώς. ἐπερωτῴη δὲ συκοφαντηθέντας ἐκ τῆς πολιτείας ἐπ' ἐκείνων τῶν καιρῶν ὅτε ἐνῆν σώζεσθαι. διὰ τί αὐτὸν οὐκ ἐκώλυσαν ἐξαμαρτάνειν. ἀποκρίνοιντο δὲ τὸ πάντων τελευταῖον, ὅτι τῆς μάχης ἐπιγενομένης οὐκ ἐσχολάζομεν περὶ τὴν σὴν τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν. ἐπειδὴ δὲ οὐκ ἀπέχρη σοι δίκην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν ποιῶν. ἐνταῦθ' ἐνέστην καὶ τὴν γραφὴν ἀπήνεγκα. καὶ νὴ τοὺς θεοὺς τοὺς ὀλυμπίους ὡς ἐγὼ πυνθάνομαι δημοσθένην λέξειν, ἐφ' ᾧ νυνὶ μέλλω λέγειν ἀγανακτῶ μάλιστα. ἀφομοιοῖ γάρ μου τὴν φύσιν ταῖς σειρῆσιν ὡς ἔοικε. καὶ γὰρ ὑπ' ἐκείνων οὐ κηλεῖσθαί φησι τοὺς ἀκροωμένους, ἀλλ' ἀπόλλυσθαι, διόπερ οὐκ εὐδοκιμεῖν τὴν τῶν εἰρημένων μουσικήν. καὶ δὴ καὶ τὴν τῶν ἐμῶν λόγων ἐμπειρίαν καὶ τὴν φύσιν μου γεγενῆσθαι ἐπὶ βλάβῃ τῶν ἀκουόντων, καίτοι τὸν λόγον τοῦτον ὅλως μὲν ἔγωγε οὐδενὶ πρέπειν ἡγοῦμαι περὶ ἐμοῦ λέγειν. τῆς γὰρ αἰτίας αἰσχρὸν τὸν αἰτιώμενον ἐστι τὸ ἔργον μὴ ἔχειν ἐπιδεῖξαι. εἰ δ' ἦν ἀναγκαῖον ῥηθῆναι, οὐ δημοσθένους ἦν ὁ λόγος. ἀλλ' ἀνδρὸς στρατηγοῦ, μεγάλα μὲν τῇ πόλει κατειργασμένου, λέγειν δὲ ἀδυνάτου καὶ τὴν τῶν ἀντιδίκων διὰ τοῦτο ἐζηλωκότος φύσιν. ὅτι σύνοιδεν ἑαυτῷ μὲν οὐδὲν ὧν διαπέπρακται δυναμένῳ φράσαι. τὸν δὲ κατήγορον ὁρᾷ δυνάμενον καὶ τὰ μὴ πεπραγμένα ὑφ' αὐτοῦ παριστάναι τοῖς ἀκούουσιν ὡς διῴκηκεν. ὅταν δ' ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος καὶ τούτων πικρῶν καὶ περιέργων ἔπειτα ἐπὶ τὴν ἁπλότητα καὶ τὰ ἔργα καταφεύγῃ, τίς ἂν ἀνάσχοιτο, οὗ τὴν γλῶτταν ὥσπερ τῶν αὐλῶν ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστι. θαυμάζω δ' ἔγωγε ὑμῶν ὦ ἀθηναῖοι καὶ ζητῶ πυθέσθαι πρὸς τί ἂν ἀποβλέποντες ἀποψηφίσαισθε τὴν γραφήν. πότερον ὡς τὸ ψήφισμά ἐστιν ἔννομον, ἀλλ' οὐδεμία πώποτε γνώμη παρανομωτέρα γέγονεν. ἀλλ' ὡς ὁ τὸ ψήφισμα γράψας οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι; οὐκ ἄρα εἰσὶ παρ' ὑμῖν εὐθῦναι βίου εἰ τοῦτον ἀφήσετε. ἐκεῖνο δ' οὐ λυπηρὸν εἰ πρότερον μὲν ἐνεπίμπλατο ἡ ὀρχήστρα χρυσῶν στεφάνων οἷς ὁ δῆμος ἐστεφανοῦτο ὑπὸ τῶν ἑλλήνων διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀποδεδόσθαι τὴν ἡμέραν ἐκ δὲ τῶν δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκήρυκτοι γίνεσθε. οὗτος δὲ κηρυχθήσεται; καὶ εἰ μέν τις τῶν τραγικῶν ποιητῶν τῶν μετὰ ταῦτα ἐπεισαγόντων, ποιήσειεν ἐν τραγῳδίᾳ τὸν θερσίτην ὑπὸ τῶν ἑλλήνων στεφανούμενον, οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν ὅτι φησὶν ὅμηρος ἄνανδρον αὐτὸν εἶναι καὶ συκοφάντην. αὐτοὶ δ' ὅταν τὸν τοιοῦτον ἄνθρωπον στεφανῶτε, οὐκ οἴεσθε ἐν ταῖς τῶν ἑλλήνων δόξαις συρίττεσθαι. οἱ μὲν γὰρ πατέρες ὑμῶν τὰ ἔνδοξα καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ. τὰ δὲ ταπεινὰ καὶ καταδεέστερα εἰς τοὺς ῥήτορας τοὺς φαύλους ἔτρεπον. κτησιφῶν δ' ὑμᾶς οἴεται δεῖν ἀφελόντας τὴν ἀδοξίαν ἀπὸ δημοσθένους περιθεῖναι τῷ δήμῳ. καὶ φατὲ μὲν εὐτυχεῖς εἶναι ὡς καὶ ἐστὲ καλῶς ποιοῦντες. ψηφιεῖσθε δὲ ὑπὸ μὲν τῆς τύχης ἐγκαταλελεῖφθαι, ὑπὸ δημοσθένους δὲ εὖ πεπονθέναι, καὶ τὸ πάντων ἀτοπώτατον ἐν τοῖς αὐτοῖς δικαστηρίοις, τοὺς μὲν τὰς τῶν δώρων γραφὰς ἁλισκομένους, ἀτιμοῦτε, ὃν δ' αὐτοὶ μισθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς μὲν κριτὰς τοὺς ἐκ διονυσίων ἐὰν μὴ δικαίως τοὺς κυκλίους χοροὺς κρίνωσι ζημιοῦτε. αὐ-

ταὶ δὲ οὐ κυκλίων χορῶν κεκρατηκότες ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρετῆς, τὰς δωρεὰς οὐ κατὰ τοὺς νόμους οὐδ᾽ ὀλίγοις καὶ τοῖς ἀξίοις, ἀλλὰ τῷ διαπραξαμένῳ δώσετε; ἔπειτ᾽ ἔξεισιν ἐκ τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτὴς ἑαυτὸν μὲν ἀσθενῆ πεποιηκὼς ἰσχυρὸν δὲ τὸν ῥήτορα; ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει· ὅταν δ᾽ ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκεν αὐτὸς τὴν αὑτοῦ δυναστείαν. Ἔπειθ᾽ ὁ μὲν ὅρκος ὃν ὀμωμοκὼς δικάζει συμπαρακολουθῶν αὐτὸν λυπεῖ· δι᾽ αὐτὸν γὰρ οἶμαι γέγονε τὸ ἁμάρτημα. ἡ δὲ χάρις πρὸς ὃν ἐχαρίζετο, ἄδηλος γεγένηται. ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται. δοκοῦμεν δ᾽ ἔμοιγε ὦ Ἀθηναῖοι ἀμφότερα, καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες. Ὅτι μὲν γὰρ ἐπὶ τῶν νῦν καιρῶν οἱ πολλοὶ τοῖς ὀλίγοις προΐεσθε τὰ τῆς δημοκρατίας ἰσχυρά, οὐκ ἐπαινῶ· ὅτι δ᾽ οὐ γεγένηται φορὰ καθ᾽ ἡμᾶς ῥητόρων πονηρῶν ἅμα καὶ τολμηρῶν, εὐτυχοῦμεν. πρότερον μὲν γὰρ τοιαύτας φύσεις ἤνεγκε τὸ δημόσιον, αἳ ῥᾳδίως οὕτω κατέλυσαν τὸν δῆμον, ἔχαιρε γὰρ κολακευόμενος. ἔπειτ᾽ αὐτὸν οὐχ οὓς ἐφοβεῖτο, ἀλλ᾽ οἷς ἑαυτὸν ἐνεχείριζε κατέλυσαν. ἔνιοι δὲ καὶ αὐτοὶ τῶν τριάκοντα ἐγένοντο, καὶ πλείους ἢ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, πρὶν τὰς αἰτίας ἀκοῦσαι ἐφ᾽ αἷς ἔμελλον ἀποθνήσκειν. καὶ οὐδ᾽ ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τελευτησάντων εἴων τοὺς προσήκοντας παραγενέσθαι. οὐχ ὑφ᾽ ὑμῖν αὐτοῖς ἕξετε τοὺς πολιτευομένους; οὐ ταπεινώσαντες ἀποπέμψετε τοὺς νῦν ἐπηρμένους; Οὐ μέμνησθ᾽ ὅτι οὐδεὶς πώποτε πρότερον ἐπέθετο τῇ τοῦ δήμου καταλύσει πρὶν ἂν μείζω τῶν δικαστηρίων ἰσχύσῃ; Ἡδέως δ᾽ ἂν ἔγωγε ὦ Ἀθηναῖοι ἀναλογισαίμην ἐναντίον ὑμῶν πρὸς τὸν γράψαντα τὸ ψήφισμα διὰ ποίας εὐεργεσίας ἀξιοῖ Δημοσθένην στεφανῶσαι. εἰ μὲν γὰρ λέγεις ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω, ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου. Τοῦ γὰρ ταῦτα ἐξεργασθῆναι καλῶς τὸ γεγενῆσθαι τούτων αἴτιον, μείζω κατηγορίαν ἔχει. οὐ γὰρ περιχαρακώσαντα χρὴ τὰ τείχη, οὐδὲ τὰς τάφρους, οὐδὲ τὰς δημοσίας ταφὰς ἀνελόντα τὸν ὀρθῶς πεπολιτευμένον δωρεὰς αἰτεῖν. Ἀλλ᾽ ἀγαθοῦ τινος αἴτιον γεγενημένον τῇ πόλει. εἰ δὲ ἥξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφίσματος ἐν ᾧ τετόλμηκας γράφειν ὡς ἔστιν ἀνὴρ ἀγαθὸς καὶ διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ ψηφίσματος, ἅψαι τῶν ἔργων ἐπίδειξον ἡμῖν ὅ, τι λέγεις. τὰς μὲν γὰρ περὶ τοὺς ἀμφισσέας καὶ τὰς εὐβοέας δωροδοκίας παραλείπω. ὅταν δὲ τῆς πρὸς Θηβαίους συμμαχίας τὰς αἰτίας ἀνατιθῇς Δημοσθένει, τοὺς μὲν ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς δὲ εἰδότας καὶ αἰσθανομένους ὑβρίζεις. Ἀφελὼν γὰρ τὸν καιρὸν καὶ τὴν δόξαν τὴν τούτων δι᾽ ἣν ἐγένετο ἡ συμμαχία, οἴει λανθάνειν ἡμᾶς, τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς. ἡλίκον δ᾽ ἐστὶ τὸ ἀλαζόνευμα τοῦτο, ἐγὼ πειράσομαι μεγάλῳ σημείῳ διδάξαι. ὁ γὰρ τῶν Περσῶν βασιλεύς, οὐ πολλῷ πρότερον χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν κατέπεμψε τῷ δήμῳ καὶ μάλα ὑβριστικὴν καὶ βάρβαρον ἐπιστολήν. ἐν ᾗ τά τε δὴ ἄλλα καὶ μάλ᾽ ἀπαιδεύτως διελέχθη, καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν ἐν τῇ ἐπιστολῇ· ἐγώ φησιν ὑμῖν χρυσίον οὐ δώσω· μή με αἰτεῖτε. οὐ γὰρ λήψεσθε. Οὗτος μέντοι ὁ αὐτὸς ἐγκαταληφθεὶς ὑπὸ τῶν νυνὶ παρόντων αὐτῷ κινδύνων οὐκ αἰτούντων Ἀθηναίων αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια τάλαντα τῷ δήμῳ. ἃ σωφρονῶν οὐκ ἐδέξατο. ὁ δὲ κομίζων ἦν τὸ χρυσίον καιρὸς καὶ φόβος, καὶ χρεία συμμάχων. τὸ δ᾽ αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν ἐξειργάσατο. σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας ἐνοχλεῖς ἀεὶ λέγων. τὰ δ᾽ ἑβδομήκοντα τάλαντα ὑποσιωπᾷς. Ἃ προλαβὼν τοῦ βασιλικοῦ χρυσίου ἀπεστέρησας.

Stola regis Persarũ ad Athenienses.

Οὐ δι᾽ ἔνδειαν μὲν χρημάτων, ἕνεκα πέντε ταλάντων οἱ ξένοι τοῖς Θηβαίοις τὴν ἄκραν οὐ παρέδοσαν; διὰ ἐννέα δὲ τάλαντα ἀργυρίου πάντων Ἀρκάδων ἐξεληλυθότων

ὑπεληλυθότων καὶ τῶν ἡγεμόνων ἑτοίμων ὄντων βοηθεῖν, ἡ πρᾶξις οὐ γεγένηται. σὺ δὲ πλουτεῖς, καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χορηγεῖς, καὶ τὸ κεφάλαιον τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ· οἱ δὲ κίνδυνοι παρ᾽ ὑμῖν. ἄξιον δ᾽ ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν θεωρῆσαι. εἰ γὰρ τολμήσει κτησιφῶν μὲν δημοσθένην παρακαλεῖν λέξοντα εἰς ὑμᾶς, οὗτος δ᾽ ἀναβὰς ἑαυτὸν ἐγκωμιάσει, βαρύτερον τῶν ἔργων ὧν πεπόνθατε τὸ ἀκρόαμα γίνεται. ὅπου γὰρ τοὺς μὲν ὄντως ἄνδρας ἀγαθοὺς οἷς πολλὰ καὶ καλὰ σύνισμεν ἔργα ἂν τοὺς καθ᾽ ἑαυτῶν ἐπαίνους λέγωσιν οὐ φέρομεν. ὅταν δὲ ἄνθρωπος αἰσχύνη τῆς πόλεως γεγονὼς ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν ἀκούων; Ἀπὸ μὲν οὖν τῆς αἰσχρᾶς ταύτης πραγματείας ἐὰν σωφρονῇς ἀποστήσῃ. ποίησαι δὲ ὦ κτησιφῶν διὰ σαυτοῦ τὴν ἀπολογίαν, οὐ γὰρ δή που τοῦτό γε σκήψῃ ὡς οὐ δυνατὸς εἶ λέγειν, καὶ γὰρ ἂν ἄτοπόν σοι συμβαίνοι εἰ πρῴην μέν ποθ᾽ ὑπέμεινας πρεσβευτὴς ὡς κλεοπάτραν τὴν φιλίππου θυγατέρα χειροτονεῖσθαι συναχθεσθησόμενος ἐπὶ τῇ τοῦ μολοττῶν βασιλέως ἀλεξάνδρου τελευτῇ, νυνὶ δὲ οὐ φήσεις δύνασθαι λέγειν, ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δύνασαι παραμυθεῖσθαι, γράψας δὲ μισθοῦ ψήφισμα οὐκ ἀπολογήσῃ; ἢ τοιοῦτός ἐστιν ὃν γέγραφας στεφανοῦσθαι, οἷος μὴ γινώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων ἂν μή τις σοι συνείπῃ. ἐπερώτησον δὴ τοὺς δικαστάς, εἰ ἐγίνωσκον χαβρίαν καὶ ἰφικράτην, καὶ τιμόθεον, καὶ πυθοῦ παρ᾽ αὐτῶν διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδοσαν καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντες γὰρ ἅμα σοι ἀποκρινοῦνται, ὅτι χαβρίᾳ μὲν διὰ τὴν περὶ νάξον ναυμαχίαν, ἰφικράτει δὲ ὅτι μόραν λακεδαιμονίων ἀπέκτεινε. τιμοθέῳ δὲ διὰ τὸν περίπλουν τὸν εἰς κέρκυραν. καὶ ἄλλοις ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ τὸν πόλεμον ἔργα πέπρακται. δημοσθένει δ᾽ ἐάν τις ἐρωτᾷ διὰ τί οὐ δώσετε, ὅτι δωροδόκος; ὅτι δειλός; ὅτι τὴν τάξιν ἔλιπε; καὶ πότερον τοῦτον τιμήσετε, ἢ ὑμᾶς αὐτοὺς ἀτιμώσετε, καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας. οὓς νομίζετε ὁρᾶν σχετλιάζοντας εἰ οὗτος στεφανωθήσεται. καὶ γὰρ ἂν εἴη δεινὸν ὦ ἀθηναῖοι εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον τὰ ἄφωνα καὶ ἀγνώμονα, ἐάν τις ἐμπεσόντα ἀποκτείνῃ ὑπερορίζομεν, καὶ ἐάν τις αὑτὸν διαχρήσηται τὴν χεῖρα τὴν τοῦτο πράξασαν χωρὶς τοῦ σώματος θάπτομεν, δημοσθένην δὲ ὦ ἀθηναῖοι τὸν γράψαντα μὲν τὴν πανυστάτην ἔξοδον, προδόντα δὲ τοὺς στρατιώτας τοῦτον ὑμεῖς τιμήσετε; οὐκοῦν ὑβρίζονται μὲν οἱ τελευτήσαντες. ἀθυμότεροι δὲ οἱ ζῶντες γίνονται· ὁρῶντες τῆς ἀρετῆς ἆθλον τὸν θάνατον κείμενον. τὴν δὲ μνήμην ἐπιλείπουσαν. τὸ δὲ μέγιστον ἐὰν ἐπερωτῶσιν ὑμᾶς οἱ νεώτεροι πρὸς ποῖον παράδειγμα χρὴ αὑτοὺς τὸν βίον ποιεῖσθαι· τί κρινεῖτε. εὖ γὰρ ἴστε ὅτι οὐχ αἱ παλαῖστραι, οὐδὲ τὰ διδασκαλεῖα, οὐδ᾽ ἡ μουσικὴ μόνον παιδεύει τοὺς νεωτέρους, ἀλλὰ πολὺ μᾶλλον τὰ δημόσια κηρύγματα· κηρύττεταί τις ἐν τῷ θεάτρῳ ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας καὶ εὐνοίας, ἄνθρωπος ἀσχήμων ὢν τῷ βίῳ καὶ βδελυρός. ὁ δέ γε νεώτερος ταῦτ᾽ ἰδὼν διεφθάρη. δίκην τις δέδωκε πονηρὸς καὶ πορνοβοσκός, ὥσπερ κτησιφῶν, οἱ δέ γε ἄλλοι πεπαίδευνται. Τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων ἐπανελθὼν οἴκαδε παιδεύει τὸν υἱόν. ὁ δέ γε εἰκότως οὐ πείθεται· ἀλλὰ τὸ νουθετεῖν ἐνταῦθα ἐνοχλεῖν ἤδη δικαίως ὀνομάζεται. ὡς οὖν μὴ μόνον κρίνοντες, ἀλλὰ καὶ θεωρούμενοι, οὕτω τὴν ψῆφον φέρετε εἰς ἀπολογισμόν. τοῖς μὲν νῦν οὐ παροῦσι τῶν πολιτῶν ἐπερησομένοις δὲ ὑμᾶς τί ἐδικάζετε. εὖ γὰρ ἴστε ὦ ἀθηναῖοι ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος. ἔστι δὲ ὄνειδος μὴ τοῖς προγόνοις ὑμᾶς ἀλλὰ τῇ τοῦ δημοσθένους ἀνανδρίᾳ προσεικασθῆναι. Πῶς οὖν ἄν τις τὴν τοιαύτην αἰσχύνην ἐκφύγοι· ἐὰν τοὺς προκαταλαμβάνοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι φυλάξησθε. ἡ γὰρ εὔνοια καὶ τὸ τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ· φθάνουσι δ᾽ ἐπ᾽ αὐτὰ καταφεύγοντες τῷ λόγῳ ὡς ἐπὶ τὸ πολὺ οἱ τοῖς ἔργοις πλεῖστον ἀπέχοντες.

Nota leges Atheniensium

ὅταν οὖν λάβητε ῥήτορα ξενικῶν στεφάνων καὶ κηρυγμάτων ἐν τοῖς Ἕλλησιν ἐπιθυμοῦντα, ἐπανάγειν αὐτὸν κελεύετε, καὶ τὸν λόγον ὥσπερ τὰς βεβαιώσεις τῶν κτημάτων ὁ νόμος κελεύει ποιεῖσθαι εἰς βίον ἀξιόχρεων καὶ τρόπον σώφρονα. ὅτῳ δὲ ταῦτα μὴ μαρτυρεῖται, μὴ βεβαιοῦτε αὐτῷ τοὺς ἐπαίνους, καὶ τῆς δημοκρατίας ἐπιμελήθητε ἤδη διαφευγούσης ὑμᾶς. ἢ οὐ δεινὸν ὑμῖν δοκεῖ εἶναι ὅτι τὸ μὲν βουλευτήριον καὶ ὁ δῆμος παρορᾶται, αἱ δ' ἐπιστολαὶ καὶ αἱ πρεσβεῖαι ἀφικνοῦνται εἰς ἰδιωτικὰς οἰκίας· οὐ παρὰ τῶν τυχόντων ἀνθρώπων, ἀλλὰ παρὰ τῶν πρωτευόντων ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Εὐρώπῃ, καὶ ἐφ' οἷς ἐστιν ἐκ τῶν νόμων ζημία θάνατος. ταῦτά τινες οὐκ ἐξαρνοῦνται πράττειν, ἀλλ' ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς ἐπιστολὰς ἀλλήλοις παραναγιγνώσκουσιν, καὶ παρακελεύονται ὑμῖν οἱ μὲν βλέπειν εἰς τὰ ἑαυτῶν πρόσωπα ὡς φύλακες τῆς δημοκρατίας, ἕτεροι δ' αἰτοῦσι δωρεὰς ὡς σωτῆρες τῆς πόλεως ὄντες· ὁ δὲ δῆμος ἐκ τῆς ἀθυμίας τῶν συμβεβηκότων ὥσπερ παραγεγηρακὼς ἢ παρανοίας ἑαλωκώς, αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας περιποιεῖται. τῶν δ' ἔργων ἑτέροις παρακεχώρηκεν. ἔπειτ' ἀπέρχεσθε ἐκ τῶν ἐκκλησιῶν οὐ βουλευσάμενοι, ἀλλ' ὥσπερ ἐκ τῶν ἐράνων τὰ περιόντα νειμάμενοι. ὅτι δ' οὐ ληρῶ, ἐκεῖθεν τὸν λόγον θεωρήσατε.

Ἐχθές τις (ἄχθομαι δὲ πολλάκις μεμνημένος τὰς ἀτυχίας τῆς πόλεως) ἐνταῦθ' ἀνὴρ ἰδιώτης, ὃς ἐκπλεῖν μόνος εἰς Σάμον ἐγχειρήσας ὡς προδότης τῆς πατρίδος αὐθημερὸν ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη. ἕτερος δ' ἰδιώτης ἐκπλεύσας εἰς Ῥόδον ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην ποτὲ εἰσηγγέλθη, καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο· εἰ δὲ μία μόνον μετέπεσεν, ὑπερώρισ' ἂν ἢ ἀπέθανεν. ἀντιθῶμεν δὴ τὸ νῦν γιγνόμενον. ἀνὴρ ῥήτωρ ὁ πάντων τῶν κακῶν αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πόλεως. οὗτος στεφανοῦσθαι ἀξιοῖ καὶ κηρύττεσθαι οἴεται δεῖν. οὐκ ἀποπέμψετε τὸν ἄνθρωπον ὡς κοινὴν τῶν Ἑλλήνων συμφοράν, ἢ συλλαβόντες ὡς λῃστὴν τῶν πραγμάτων ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας πλέοντα τιμωρήσεσθε, καὶ τὸν καιρὸν μέμνησθε ἐν ᾧ τὴν ψῆφον φέρετε. ἡμερῶν μὲν ὀλίγων μέλλει τὰ Πύθια γίγνεσθαι, καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων συλλέγεσθαι. διαβέβληται δ' ἡμῶν ἡ πόλις ἐκ τῶν Δημοσθένους πολιτευμάτων περὶ τοὺς νῦν καιρούς. δόξετε δὲ ἐὰν μὲν τοῦτον στεφανώσητε, ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην. ἐὰν δὲ τοὐναντίον τούτου πράξητε, ἀπολύσετε τὸν δῆμον τῶν αἰτιῶν. μὴ οὖν ὡς ὑπὲρ ἀλλοτρίας, ἀλλ' ὡς ὑπὲρ οἰκείας τῆς πόλεως βουλεύεσθε. καὶ τὰς φιλοτιμίας μὴ νέμετε, ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ ἀξιολογωτέρους ἄνδρας ἀπόθεσθε.

Καὶ μὴ μόνον τοῖς ὠσὶν, ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύσασθε, τίνες ὑμῶν εἰσὶ βοηθήσοντες Δημοσθένει. πότερον οἱ συγκυνηγέται, ἢ οἱ συγγυμνασταὶ αὐτοῦ ὅτ' ἦν ἐν ἡλικίᾳ. ἀλλὰ μὰ τὸν Δία τὸν Ὀλύμπιον, οὐχ ὗς ἀγρίους κυνηγετῶν, οὐδὲ τῆς τοῦ σώματος εὐεξίας ἐπιμελόμενος διατετέλεκεν, ἀλλ' ἐπασκῶν τέχνας ἐπὶ τοὺς τὰς οὐσίας κεκτημένους διαγεγένηται, ἀλλ' εἰς τὴν ἀλαζονείαν ἀποβλέψαντες ὅταν φῇ Βυζάντιον μὲν ἐκ τῶν χειρῶν πρεσβεύσας ἐξελέσθαι τῶν Φιλίππου, ἀποστῆσαι δὲ Ἀκαρνᾶνας, ἐκπλῆξαι δὲ Θηβαίους δημηγορήσας. οἴεται γὰρ ὑμᾶς εἰς τοσοῦτον εὐηθείας ἤδη προβεβηκέναι, ὥστε καὶ ταῦτα ἀναπεισθήσεσθαι, ὥσπερ Πειθὼ τρέφοντας, ἀλλ' οὐ συκοφάντην ἄνθρωπον ἐν τῇ πόλει.

Ὅταν δ' ἤδη τελευτῆς ἤδη τοῦ λόγου συνηγόρους τοὺς κοινωνοὺς τῶν δωροδοκημάτων αὐτῷ παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν ἐπὶ τοῦ βήματος οὗ νῦν ἑστηκὼς ἐγὼ λέγω, ἀντιπαρατεταγμένους πρὸς τὴν τούτων ἀσέλγειαν, τοὺς τῆς πόλεως εὐεργέτας. Σόλωνα μὲν τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, ἄνδρα φιλόσοφον, καὶ νομοθέτην ἀγαθὸν, σωφρόνως ὥσπερ προσῆκεν αὐτὸν δεόμενον ὑμῶν μηδενὶ τρόπῳ τοὺς Δημοσθένους λόγους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν νόμων. Ἀριστείδην δὲ τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλλησιν, οὗ τελευτήσαντος

τήσαντος τὰς θυγατέρας ἐξέδωκεν ὁ δῆμος σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ. καὶ ἐπερωτῶντα εἰ οὐκ αἰσχύνεσθε εἰ οἱ μὲν πατέρες ὑμῶν ἄρθμιον τὸν ζελείτην κομίσαντα εἰς τὴν ἑλλάδα τὸ ἐκ μήδων χρυσίον ἐπιδημήσαντα εἰς τὴν πόλιν πρόξενον ὄντα τοῦ δήμου τῶν ἀθηναίων, παρ' οὐδὲν μὲν ἦλθον ἀποκτεῖναι. ἐξεκήρυξαν δ' ἐκ τῆς πόλεως, καὶ ἐξ ἁπάσης ἧς ἀθηναῖοι ἄρχουσιν. ὑμεῖς δὲ δημοσθένην οὐ κομίσαντα τὸ ἐκ μήδων χρυσίον, ἀλλὰ δωροδοκήσαντα καὶ ἔτι καὶ νῦν κεκτημένον χρυσῷ στεφάνῳ μέλλετε στεφανοῦν; θεμιστοκλέα δὲ καὶ τοὺς ἐν μαραθῶνι τελευτήσαντας, καὶ τοὺς ἐν πλαταιαῖς καὶ αὐτοὺς τοὺς τάφους τῶν προγόνων οὐκ ἂν οἴεσθε ἀναστενάξαι, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς ἕλλησιν ἀντιπράξαι στεφανωθήσεται; ἐγὼ μὲν οὖν ὦ γῆ, καὶ ἥλιε, καὶ ἀρετὴ, καὶ σύνεσις, καὶ παιδεία, ᾗ διαγινώσκομεν τὰ καλὰ, καὶ τὰ αἰσχρὰ βεβοήθηκα, καὶ εἴρηκα. καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην. εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην. ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων, καὶ ἐκ τῶν παραλειπομένων, αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

ΤΕΛΟΣ ΤΩΝ ΤΟΥ ΑΙΣΧΙΝΟΥ ΛΟΓΩΝ.

ΛΥΣΙΟΥ ΥΠΕΡ ΤΟΥ ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΦΟΝΟΥ ΑΠΟΛΟΓΙΑ.

π

Ερὶ πολλοῦ ἂν ποιησαίμην ὦ ἄνδρες τὸ, τοιούτους ὑμᾶς ἐμοὶ δικαστὰς περὶ τούτου τοῦ πράγματος γενέσθαι, οἷοί περ ἂν ὑμῖν αὐτοῖς, εἴητε τοιαῦτα πεπονθότες. εὖ γὰρ οἶδ' ὅτι εἰ τὴν αὐτὴν γνώμην περὶ τῶν ἄλλων ἔχοιτε, ἥν περ περὶ ὑμῶν αὐτῶν, οὐκ ἂν εἴη ὅστις οὐκ ἐπὶ τοῖς γεγενημένοις ἀγανακτοίη. ἀλλὰ πάντες ἂν περὶ τῶν τὰ τοιαῦτα ἐπιτηδευόντων τὰς ζημίας μακρὰς ἡγεῖσθε. καὶ ταῦτα οὐκ ἂν εἴη μόνον παρ' ὑμῖν οὕτως ἐγνωσμένα, ἀλλ' ἐν ἁπάσῃ τῇ ἑλλάδι. περὶ τούτου γὰρ μόνου τοῦ ἀδικήματος, καὶ ἐν δημοκρατίᾳ, καὶ ὀλιγαρχίᾳ, ἡ αὐτὴ τιμωρία τοῖς ἀσθενεστάτοις πρὸς τοὺς τὰ μέγιστα δυναμένους ἀποδίδοται, ὥστε τὸν χείριστον τῶν αὐτῶν τυγχάνειν τῷ βελτίστῳ. οὕτως ὦ ἄνδρες ταύτην τὴν ὕβριν ἅπαντες ἄνθρωποι δεινοτάτην ἡγοῦνται.

Περὶ μὲν οὖν τοῦ μεγέθους τῆς ζημίας, ἅπαντας ὑμᾶς νομίζω τὴν αὐτὴν διάνοιαν ἔχειν, καὶ οὐδένα οὕτως ὀλιγώρως διακεῖσθαι, ὅστις οἴεται δεῖν συγγνώμης τυγχάνειν, ἢ μικρᾶς ζημίας ἀξίους ἡγεῖται τοὺς τῶν τοιούτων ἔργων αἰτίους. ἡγοῦμαι δὲ ὦ ἄνδρες τοῦτό με δεῖν ἐπιδεῖξαι, ὡς ἐμοίχευεν ἐρατοσθένης τὴν γυναῖκα τὴν ἐμὴν, καὶ ἐκείνην τε διέφθειρε, καὶ τοὺς παῖδας τοὺς ἐμοὺς ᾔσχυνε, καὶ ἐμὲ αὐτὸν ὕβρισεν, εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών. καὶ οὔτε ἔχθρα ἐμοὶ καὶ ἐκείνῳ οὐδεμία ἦν, πλὴν ταύτης οὔτε χρημάτων ἕνεκα ἔπραξα ταῦτα, ἵνα πλούσιος ἐκ πένητος γένωμαι, οὔτε ἄλλου κέρδους οὐδενὸς, πλὴν τῆς κατὰ νόμους τιμωρίας. ἐγὼ τοίνυν ἐξ ἀρχῆς ὑμῖν ἅπαντα ἐπιδείξω τὰ ἐμαυτοῦ πράγματα, οὐδὲν παραλείπων. ἀλλὰ λέγων τἀληθῆ. ταύτην γὰρ ἐμαυτῷ μόνην ἡγοῦμαι σωτηρίαν ἐὰν ὑμῖν εἰπεῖν δυνηθῶ ἅπαντα τὰ πεπραγμένα. ἐγὼ γὰρ ὦ ἄνδρες ἐπειδὴ ἔδοξέ μοι γῆμαι, καὶ γυναῖκα ἠγαγόμην εἰς τὴν οἰκίαν, τὸν μὲν ἄλλον χρόνον οὕτω διεκείμην ὥστε μήτε λυπεῖν, μήτε λίαν ἐπ' ἐκείνῃ εἶναι, ὅ, τι ἂν ἐθέλοι ποιεῖν. ἐφύλαττόν τε ὡς οἷόν τε ἦν, καὶ προσεῖχον τὸν νοῦν ὥσπερ εἰκὸς ἦν. ἐπειδὴ δέ μοι παιδίον γίγνεται, ἐπίστευον ἤδη, καὶ πάντα τὰ ἐμαυτοῦ ἐκείνῃ παρέδωκα. ἡγούμενος ταύτην οἰκειότητα μεγίστην εἶναι. ἐν μὲν οὖν τῷ πρώτῳ χρόνῳ ὦ ἀθηναῖοι πασῶν ἦν βελτίστη. καὶ γὰρ οἰκονόμος δεινὴ, καὶ φειδωλὸς ἀγαθὴ, καὶ ἀκριβῶς πάντα διοικοῦσα. ἐπειδὴ δέ μοι ἡ μήτηρ ἐτελεύτησε, πάντων τῶν κακῶν ἀποθανοῦσα, αἰτία μοι γεγένηται. ἐπ' ἐκφορὰν αὐτῇ ἀκολουθήσασα ἡ ἐμὴ γυνὴ, ὑπὸ τούτου τοῦ ἀνθρώπου ὀφθεῖσα, χρόνῳ διαφθείρεται. ἐπιτηρῶν γὰρ τὴν θεράπαιναν τὴν εἰς τὴν ἀγορὰν βαδίζουσαν, καὶ λόγους προσφέρων ἀπώλεσεν αὐτήν. πρῶτον μὲν οὖν ὦ ἄνδρες δεῖ γὰρ καὶ ταῦθ' ὑμῖν διηγήσασθαι, οἰκίδιον ἔστι μοι διπλοῦν, ἴσα ἔχον τὰ ἄνω τοῖς κάτω. κατὰ τὴν γυναικωνῖτιν καὶ κατὰ τὴν ἀνδρωνῖτιν. ἐπειδὴ δὲ τὸ παιδίον ἐγένετο ἡμῖν, ἡ μήτηρ αὐτὸ ἐθήλαζεν. ἵνα δὲ μὴ ὁπότε λοῦσθαι δέοι, κινδυνεύοι κατὰ τῆς κλίμακος καταβαίνουσα, ἐγὼ μὲν ἄνω διῃτώμην, αἱ δὲ γυναῖκες κάτω, καὶ οὕτως ἤδη συνειθισμένον ἦν ὥστε πολλάκις ἡ γυνὴ ἀπῄει κάτω καθευδήσουσα ὡς τὸ παιδίον ἵνα τὸν τιτθὸν αὐτῷ διδῷ, καὶ μὴ βοᾷ. καὶ ταῦτα πολὺν χρόνον οὕτως ἐγίνετο, καὶ ἐγὼ οὐδέποτε ὑπώπτευσα. ἀλλ' οὕτως ἠλιθίως διεκείμην, ὥστε ᾤμην τὴν ἐμαυτοῦ γυναῖκα πασῶν σωφρονεστάτην εἶναι τῶν ἐν τῇ πόλει. προϊόντος δὲ τοῦ χρόνου ὦ ἄνδρες, ἧκον μὲν ἀπροσδοκήτως ἐξ ἀγροῦ. μετὰ δὲ τὸ δεῖπνον, τὸ παιδίον ἐβόα. καὶ ἐδυσκόλαινεν ὑπὸ τῆς θεραπαίνης ἐπίτηδες λυπούμενον, ἵνα ταῦτα ποιῇ. ὁ γὰρ ἄνθρωπος ἔνδον ἦν. ὕστερον γὰρ ἅπαντα ἐπυθόμην. καὶ ἐγὼ τὴν γυναῖκα ἀπιέναι ἐκέλευον, καὶ δοῦναι τῷ παιδὶ τὸν τιτθὸν, ἵνα παύσηται κλάειον. ἡ κλαίοι δὲ, τὸ μὲν πρῶτον οὐκ ἤθελεν ὡς ἂν ἀσμένη με ἑωρακυῖα ἥκοντα διὰ χρόνου. ἐπειδὴ δὲ ἐγὼ ὠργιζόμην καὶ ἐκέλευον αὐτὴν ἀπιέναι, ἵνα σύ γε ἔφη πειρᾷς ἐνταῦθα τὴν παιδίσκην,

δίσκῳ· καὶ πρότερον δὲ μεθύων εἷλκεν αὐτὴν, καὶ τὸ μὲν ἐγέλων. ἐκείνη δ' ἀναστᾶσα καὶ ἀπιοῦσα προστίθησι τὴν θύραν προσποιουμένη παίζειν, καὶ τὴν κλεῖν ἐφέλκεται. κἀγὼ τούτων οὐδὲν ἐνθυμούμενος, οὐδ' ὑπονοῶν, ἐκάθευδον ἄσμενος ἥκων ἐξ ἀγροῦ. ἐπειδὴ δὲ ἦν πρὸς ἡμέραν, ἧκεν ἐκείνη, καὶ τὴν θύραν ἀνέῳξεν. Ἐρομένου δέ μου, τί αἱ θύραι νύκτωρ ψοφοῖεν, ἔφασκε τὸν λύχνον ἀποσβεσθῆναι τὸν παρὰ τῷ παιδίῳ, εἶτα ἐκ τῶν γειτόνων ἐνάψασθαι. ἐσιώπων ἐγὼ, καὶ ταῦτα οὕτως ἔχειν ἡγούμην. ἔδοξε δέ μοι ὦ ἄνδρες τὸ πρόσωπον ἐψιμμυθιῶσθαι, τοῦ ἀδελφοῦ τεθνεῶτος οὔπω τριάκονθ' ἡμέρας. ὅμως δ' οὐδ' οὕτως οὐδὲν εἰπὼν περὶ τοῦ πράγματος, ἐξελθὼν ᾠχόμην ἔξω σιωπῇ. μετὰ δὲ ταῦτα ὦ ἄνδρες χρόνου μεταξὺ διαγενομένου, καὶ ἐμοῦ πολὺ ἀπολελειμμένου τῶν ἐμαυτοῦ κακῶν, προσέρχεταί μοι τις πρεσβῦτις ἄνθρωπος ὑπὸ γυναικὸς ἐπιπεμφθεῖσα ἣν ἐκεῖνος ἐμοίχευεν ὡς ἐγὼ ὕστερον ἤκουον. αὕτη δὲ ὀργιζομένη καὶ ἀδικεῖσθαι νομίζουσα, ὅτι οὐκέτι ὁμοίως ἐφοίτα παρ' αὐτὴν, ἐφύλαττεν, ἕως ἐξηῦρεν ὅ,τι εἴη τὸ αἴτιον. προσελθοῦσα οὖν μοι ἐγγὺς ἡ ἄνθρωπος τῆς οἰκίας τῆς ἐμῆς ἐπιτηροῦσα, Εὐφίλητε ἔφη μηδεμιᾷ πολυπραγμοσύνῃ προσεληλυθέναι με νόμιζε πρὸς σοῦ. ὁ γὰρ ἀνὴρ ὁ ὑβρίζων εἰς σὲ καὶ τὴν γυναῖκα, ἐχθρὸς ὢν ἡμῖν τυγχάνει. ἐὰν οὖν λάβῃς τὴν θεράπαιναν τὴν εἰς ἀγορὰν βαδίζουσαν καὶ διακονοῦσαν ὑμῖν, καὶ βασανίσῃς, ἅπαντα πεύσῃ. ἔστι δ' ἔφη Ἐρατοσθένης Ὀῆθεν ὁ ταῦτα πράττων, ὃς οὐ μόνον τὴν σὴν γυναῖκα διέφθαρκεν, ἀλλὰ καὶ ἄλλας πολλάς. ταύτην γὰρ τὴν τέχνην ἔχει. ταῦτα εἰποῦσα ὦ ἄνδρες, ἐκείνη μὲν ἀπηλλάγη. ἐγὼ δὲ εὐθέως ἐταραττόμην, καὶ πάντα μου εἰς τὴν γνώμην εἰσῄει· καὶ μεστὸς ἦν ὑποψίας. ἐνθυμούμενος μὲν ὡς ἀπεκλείσθην ἐν τῷ δωματίῳ. ἀναμιμνησκόμενος δ' ὅτι ἐν ἐκείνῃ τῇ νυκτὶ ἐψόφει ἡ μέταυλος θύρα καὶ ἡ αὔλειος, ὃ οὐδέποτε ἐγένετο. ἔδοξέ τέ μοι ἡ γυνὴ ἐψιμμυθιῶσθαι. ταῦτά μοι πάντα εἰς τὴν γνώμην εἰσῄει, καὶ μεστὸς ἦν ὑποψίας. ἐλθὼν δὲ οἴκαδε ἐκέλευον ἀκολουθεῖν μοι τὴν θεράπαιναν εἰς τὴν ἀγοράν. ἀγαγὼν δ' αὐτὴν ὡς τῶν ἐπιτηδείων τινὰ, ἔλεγον ὅτι ἐγὼ πάντα εἴην πεπυσμένος τὰ γιγνόμενα ἐν τῇ οἰκίᾳ. σοὶ οὖν ἔφην ἔξεστι δυοῖν ὁπότερον βούλει ἑλέσθαι, ἢ μαστιγωθεῖσαν εἰς μύλωνα ἐμπεσεῖν καὶ μηδέποτε παύσασθαι κακοῖς τοιούτοις συνεχομένην, ἢ κατειποῦσαν ἅπαντα τἀληθῆ, μηδὲν παθεῖν κακὸν, ἀλλὰ συγγνώμης παρ' ἐμοῦ τυχεῖν τῶν ἡμαρτημένων. ψεύσῃ δὲ μηδὲν, ἀλλὰ πάντα τἀληθῆ λέγε. κἀκείνη τὸ μὲν πρῶτον ἔξαρνος ἦν, καὶ ποιεῖν ἐκέλευεν ὅ,τι βούλομαι. οὐδὲν γὰρ εἰδέναι. ἐπειδὴ δὲ ἐγὼ ἐμνήσθην Ἐρατοσθένους πρὸς αὐτήν, καὶ εἶπον ὅτι οὗτος ὁ φοιτῶν εἴη πρὸς τὴν γυναῖκα, ἐξεπλάγη, ἡγησαμένη με πάντα ἀκριβῶς ἐγνωκέναι. καὶ τότε ἤδη πρὸς τὰ γόνατά μου πεσοῦσα, καὶ πίστιν παρ' ἐμοῦ λαβοῦσα μηδὲν πείσεσθαι κακὸν, κατηγόρει. πρῶτον μὲν ὡς μετὰ τὴν ἐκφορὰν αὐτῇ προσίοι. ἔπειτα ὡς αὐτὴ τελευτῶσα εἰσαγγείλειε, καὶ ὡς ἐκείνη τῷ χρόνῳ πεισθείη. καὶ τὰς εἰσόδους οἷς τρόποις προσίοι, καὶ ὡς Θεσμοφορίοις ἐμοῦ ἐν ἀγρῷ ὄντος ᾤχετο εἰς τὸ ἱερὸν μετὰ τῆς μητρὸς τῆς ἐκείνου, καὶ τἄλλα τὰ γενόμενα πάντα, ἀκριβῶς διηγήσατο. ἐπειδὴ δὲ πάντα εἴρητο αὐτῇ, εἶπον ἐγώ. ὅπως τοίνυν ταῦτα μηδεὶς ἀνθρώπων πεύσεται. εἰ δὲ μὴ, οὐδέν σοι κύριον ἔσται τῶν πρὸς ἔμ' ὡμολογημένων. ἀξιῶ δέ σε ἐπ' αὐτοφώρῳ ταῦτά μοι ἐπιδεῖξαι. ἐγὼ γὰρ οὐδὲν δέομαι λόγων. ἀλλὰ τὸ ἔργον φανερὸν γενέσθαι, εἴπερ οὕτως ἔχει. ὡμολόγει ταῦτα ποιήσειν, καὶ μετὰ ταῦτα διεγένοντο ἡμέραι τέσσαρες ἢ πέντε. ὡς ἐγὼ μεγάλοις ὑμῖν τεκμηρίοις ἐπιδείξω. πρῶτον δὲ διηγήσασθαι βούλομαι τὰ πραχθέντα τῇ τελευταίᾳ ἡμέρᾳ. Σώστρατος ἦν μοι ἐπιτήδειος καὶ φίλος. τούτῳ ἡλίου δεδυκότος ἰόντι ἐξ ἀγροῦ ἀπήντησα. εἰδὼς δ' ἐγὼ ὅτι τηνικαῦτα ἀφιγμένος, οὐδένα ἂν καταλήψοιτο οἴκοι τῶν ἐπιτηδείων, ἐκέλευον συνδειπνεῖν, καὶ ἐλθόντες οἴκαδε ὡς ἐμὲ, ἀναβάντες εἰς τὸ ὑπερῷον ἐδειπνοῦμεν. ἐπειδὴ δὲ καλῶς αὐτῷ εἶχεν, ἐκεῖνος μὲν ἀπιὼν ᾤχετο. ἐγὼ δὲ ἐκάθευδον. ὁ δ' Ἐρατοσθένης ὦ ἄνδρες εἰσέρχεται. καὶ ἡ θεράπαινα ἐπεγείρασά με εὐθὺς, φράζει ὅτι ἔνδον ἐστί. κἀγὼ εἰπὼν ἐκείνῃ ἐπιμελεῖσθαι τῆς θύρας, καταβὰς σιωπῇ ἐξέρχομαι, καὶ ἀφικνοῦμαι εἰς τὸν, καὶ

τὸν, καὶ τοὺς μὲν ἔνδον κατέλαβον, τοὺς δὲ οὐκ ἐπιδημοῦντας εὗρον. παραλαβὼν δ' ὡς οἷόν τε ἦν πλείστους ἐκ τῶν παρόντων, ἐβάδιζον, καὶ δᾷδας λαβόντες ἐκ τοῦ ἐγγύτατα καπηλείου, εἰσερχόμεθα, ἀνεῳγμένης τῆς θύρας καὶ ὑπὸ τῆς ἀνθρώπου παρεσκευασμένης. ὤσαντες δὲ τὴν θύραν τοῦ δωματίου, οἱ μὲν πρῶτον εἰσιόντες ἔτι εἴδομεν αὐτὸν κατακείμενον παρὰ τῇ γυναικί, οἱ δ' ὕστερον ἐν τῇ κλίνῃ γυμνὸν ἑστηκότα. ἐγὼ δ' ὦ ἄνδρες πατάξας καταβάλλω αὐτὸν, καὶ τὼ χεῖρε περιαγαγὼν εἰς τοὔπισθεν, καὶ δήσας ἠρώτων, διὰ τί ὑβρίζει εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών. κἀκεῖνος ἀδικεῖν μὲν ὡμολόγει. ἠντιβόλει δὲ καὶ ἱκέτευε μὴ αὐτὸν κτεῖναι, ἀλλ' ἀργύριον πράξασθαι. ἐγὼ δ' εἶπον ὅτι οὐκ ἐγώ σε ἀποκτενῶ, ἀλλ' ὁ τῆς πόλεως νόμος. ὃν σὺ παραβαίνων, περὶ ἐλάττονος τῶν ἡδονῶν ἐποιήσω, καὶ μᾶλλον εἵλου τοιοῦτον ἁμάρτημα ἐξαμαρτάνειν εἰς τὴν γυναῖκα τὴν ἐμὴν, καὶ εἰς τοὺς παῖδας τοὺς ἐμοὺς, ἢ τοῖς νόμοις πείθεσθαι, καὶ κόσμιος εἶναι. οὕτως ὦ ἄνδρες ἐκεῖνος τούτων ἔτυχεν ὧνπερ οἱ νόμοι κελεύουσι τοὺς τὰ τοιαῦτα πράττοντας, οὐκ εἰσαρπασθεὶς ἐκ τῆς ὁδοῦ, οὐδ' ἐπὶ τὴν ἑστίαν καταφυγὼν ὥσπερ οὗτοι λέγουσι. πῶς γὰρ ἂν ὅστις ἐν τῷ δωματίῳ πληγεὶς κατέπεσεν εὐθὺς, περιέστρεψα δ' αὐτοῦ τὼ χεῖρε. ἔνδον δὲ ἦσαν ἄνθρωποι τοσοῦτοι οὓς διαφυγεῖν οὐκ ἠδύνατο, οὔτε σίδηρον, οὔτε ξύλον, οὔτε ἄλλο οὐδὲν ἔχων. ᾧ τοὺς εἰσελθόντας ἂν ἠμύνατο. ἀλλ' ὦ ἄνδρες οἶμαι καὶ ὑμᾶς εἰδέναι ὅτι οἱ μὴ τὰ δίκαια πράττοντες, οὐχ ὁμολογοῦσι τοὺς ἐχθροὺς λέγειν τἀληθῆ. ἀλλ' αὐτοὶ ψευδόμενοι, καὶ τὰ τοιαῦτα μηχανώμενοι, ὀργὰς τοῖς ἀκούουσι κατὰ τῶν τὰ δίκαια πραττόντων παρασκευάζουσι. πρῶτον μὲν οὖν ἀνάγνωθι τὸν νόμον. Νόμος. Οὐκ ἠμφισβήτει ὦ ἄνδρες ἀλλ' ὡμολόγει ἀδικεῖν, καὶ ὅπως μὲν μὴ ἀποθάνῃ, ἠντιβόλει καὶ ἱκέτευεν. ἀποτίνειν δ' ἕτοιμος ἦν χρήματα. ἐγὼ δὲ τῷ μὲν ἐκείνου τιμήματι, οὐ συνεχώρουν. τὸν δὲ τῆς πόλεως νόμον ἠξίουν εἶναι κυριώτερον. καὶ ταύτην ἔλαβον τὴν δίκην, ἣν ὑμεῖς δικαιοτάτην εἶναι ἡγησάμενοι, τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσιν ἐτάξατε. καί μοι ἀνάβητε τούτων μάρτυρες. Μαρτυρίαι. Ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον ἐκ τῆς στήλης τῆς ἐξ Ἀρείου πάγου. Ἀκούετε ὦ ἄνδρες ὅτι αὐτῷ τῷ δικαστηρίῳ τῷ ἐξ Ἀρείου πάγου ᾧ καὶ πάτριόν ἐστι καὶ ἐφ' ὑμῶν ἀποδέδοται τοῦ φόνου τὰς δίκας δικάζειν, διαρρήδην εἴρηται τούτου μὴ καταγινώσκειν φόνον. ὃς ἂν ἐπὶ δάμαρτι τῇ ἑαυτοῦ μοιχὸν λαβὼν, ταύτην τὴν τιμωρίαν ποιήσηται. καὶ οὕτω σφόδρα ὁ νομοθέτης ἐπὶ ταῖς γαμεταῖς γυναιξὶ δίκαια ταῦτα ἡγήσατο εἶναι, ὥστε καὶ ἐπὶ ταῖς παλλακαῖς ταῖς ἐλάττονος ἀξίαις τὴν αὐτὴν δίκην ἐπέθηκε. καί τοι δῆλον ὅτι εἴ τινα εἶχε ταύτης μείζω τιμωρίαν ἐπὶ ταῖς γαμεταῖς, ἐποίησεν ἄν. νῦν δὲ οὐχ οἷός τε ὢν ταύτης ἰσχυροτέραν ἐπ' ἐκείναις ἐξευρεῖν, τὴν αὐτὴν καὶ ἐπὶ ταῖς παλλακαῖς ἠξίωσε γίνεσθαι. ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον. Νόμος. Ἀκούετε ἄνδρες ὅτι κελεύει, ἐάν τις ἄνθρωπον ἐλεύθερον, ἢ παῖδα αἰσχύνῃ βίᾳ, διπλῆν τὴν βλάβην ὀφείλειν. ἐὰν δὲ γυναῖκα ἐφ' αἷσπερ ἀποκτείνειν ἔξεστιν, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι.

Οὕτως ὦ ἄνδρες τοὺς βιαζομένους ἐλάττονος ζημίας ἀξίους ἡγήσατο εἶναι, ἢ τοὺς πείθοντας. τῶν μὲν γὰρ, θάνατον κατέγνω. τοῖς δὲ, διπλῆν ἐποίησε τὴν βλάβην. ἡγούμενος, τοὺς μὲν διαπραττομένους βίᾳ, ὑπὸ τῶν βιασθέντων μισεῖσθαι. τοὺς δὲ πείσαντας οὕτως αὐτῶν τὰς ψυχὰς διαφθείρειν, ὥστ' οἰκειοτέρας αὐτοῖς ποιεῖν τὰς ἀλλοτρίας γυναῖκας ἢ τοῖς ἀνδράσι καὶ πᾶσαν ἐπ' ἐκείνοις τὴν οἰκίαν γεγονέναι, καὶ τοὺς παῖδας ἀδήλους εἶναι, ὁποτέρων τυγχάνουσιν ὄντες τῶν ἀνδρῶν ἢ τῶν μοιχῶν. ἀνθ' ὧν ὁ τὸν νόμον τιθεὶς θάνατον αὐτοῖς ἐποίησε τὴν ζημίαν. ἐμοῦ τοίνυν ὦ ἄνδρες, οἱ μὲν νόμοι, οὐ μόνον ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν, ἀλλὰ καὶ κεκελευκότες, ταύτην τὴν δίκην λαμβάνειν. ἐν ὑμῖν δ' ἐστὶ πότερον χρὴ τούτους ἰσχυροὺς ἢ μηδενὸς ἀξίους εἶναι. ἐγὼ γὰρ οἶμαι πάσας τὰς πόλεις διὰ τοῦτο τοὺς νόμους τίθεσθαι. ἵνα περὶ ὧν ἂν πραγμάτων ἀπορῶμεν, παρὰ τούτους ἐλθόντες σκεψώμεθα, ὅ, τι ἡμῖν ποιητέον ἐστίν. οὗτοι τοίνυν περὶ τῶν τοιούτων τοῖς ἀδικουμένοις τοιαύτην δίκην λαμβάνειν παρακελεύουσιν, οἷς ὑμᾶς ἀξιῶ τὴν αὐτὴν γνώμην ἔχειν

μην ἔχειν. εἰ δὲ μὴ τοιαύτην ἄδειαν τοῖς μοιχοῖς ποιήσετε, ὡς καὶ τοὺς κλέπτας ἐπαρεῖτε φάσκειν μοιχοὺς εἶναι, εὖ εἰδότας ὅτι ἐὰν ταύτην τὴν αἰτίαν περὶ ἑαυτῶν λέγωσι, καὶ ἐπὶ τούτῳ φάσκωσιν εἰς τὰς ἀλλοτρίας οἰκίας εἰσιέναι, οὐδεὶς αὐτῶν ἅψεται, πάντες γὰρ εἴσονται, ὅτι τοὺς μὲν νόμους τῆς μοιχείας χαίρειν ἐᾶν δεῖ. τὴν δὲ ψῆφον ὑμετέραν δεδιέναι. αὕτη γάρ ἐστι πάντων τῶν ἐν τῇ πόλει κυριωτάτη. σκέψασθε ὦ ἄνδρες. κατηγοροῦσι γάρ μου ὡς ἐγὼ τὴν θεράπαιναν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μετελθεῖν ἐκέλευσα τὸν νεανίσκον. ἐγὼ δὲ ὦ ἄνδρες δίκαιον ἐμὲ ἂν ποιεῖν ἡγούμην, ᾧτινι τρόπῳ τὸν τὴν γυναῖκα τὴν ἐμὴν διαφθείραντα λαμβάνων. εἰ μὲν γὰρ λόγων εἰρημένων, ἔργου δὲ μηδενὸς γεγενημένου, μετελθεῖν ἐκέλευον ἐκεῖνον, ἠδίκουν ἄν. εἰ δὲ ἤδη πάντων διαπεπραγμένων, καὶ πολλάκις εἰσεληλυθότος εἰς τὴν οἰκίαν τὴν ἐμήν, ᾡτινιοῦν τρόπῳ ἐλάμβανον αὐτόν, σωφρονεῖν ἐμαυτὸν ἡγούμην. σκέψασθε δὲ ὅτι καὶ ταῦτα ψεύδονται. ῥᾳδίως δὲ ἐκ τῶνδε γνώσεσθε. Ἐμοὶ γὰρ ὦ ἄνδρες ὅπερ καὶ πρότερον εἶπον φίλος ὢν Σώστρατος καὶ οἰκείως διακείμενος, ἀπαντήσας ἐξ ἀγροῦ περὶ ἡλίου δυσμὰς συνεδείπνει. καὶ ἐπεὶ δὲ καλῶς εἶχεν αὐτῷ, ἀπιὼν ᾤχετο. καίτοι πρῶτον μὲν ὦ ἄνδρες ἐνθυμήθητε. ὅτι εἰ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐγὼ ἐπεβούλευον Ἐρατοσθένει, πότερον ἦν μοι κρεῖττον αὐτῷ ἑτέρωθι δειπνεῖν, ἢ τὸν συνδειπνήσοντα εἰσαγαγεῖν. οὕτω γὰρ ἂν ἧττον ἐτόλμησεν ἐκεῖνος εἰσελθεῖν εἰς τὴν οἰκίαν. εἶτα δοκῶ ἂν ὑμῖν τὸν συνδειπνοῦντα ἀφεὶς, μόνος καταλειφθῆναι, καὶ ἔρημος γενέσθαι, ἢ κελεύειν ἐκεῖνον μένειν, ἵνα μετ' ἐμοῦ τὸν μοιχὸν ἐτιμωρεῖτο. ἔπειτα ὦ ἄνδρες οὐκ ἂν δοκῶ ὑμῖν τοῖς ἐπιτηδείοις μεθ' ἡμέραν παραγγεῖλαι, καὶ κελεῦσαι αὐτοὺς συλλεγῆναι εἰς οἰκίαν τῶν φίλων τὴν ἐγγυτάτω, μᾶλλον ἢ ἐπειδὴ τάχιστα ᾐσθόμην τῆς νυκτὸς περιτρέχειν, οὐκ εἰδὼς ὅν τινα οἴκοι καταλείψομαι, καὶ ὅν τινα ἔξω, καὶ ὡς Ἁρμόδιον μὲν καὶ τὸν δεῖνα ἦλθον οὐκ ἐπιδημοῦντας. οὐ γὰρ ᾔδειν. ἑτέρους δὲ οὐκ ἔνδον ὄντας κατέλαβον. οὓς δ' οἷός τε ἦν λαβὼν, ἐβάδιζον, καίτοιγε εἰ προῄδειν, οὐκ ἂν δοκῶ ὑμῖν, καὶ θεράποντας παρασκευάσασθαι, καὶ τοῖς φίλοις παραγγεῖλαι, ἵν' ὡς ἀσφαλέστατα μὲν αὐτὸς εἰσῄειν (τί γὰρ ᾔδειν, εἴ τι κἀκεῖνος εἶχε σιδήριον.) ὡς μετὰ πλείστων δὲ μαρτύρων τὴν τιμωρίαν ἐποιούμην. νῦν δ' οὐδὲν εἰδὼς τῶν ἐσομένων ἐκείνῃ τῇ νυκτί, οὓς οἷός τε ἦν παρέλαβον, καί μοι ἀνάβητε τούτων μάρτυρες. Μαρτυρίαι. Τῶν μὲν μαρτύρων ἀκηκόατε ὦ ἄνδρες. σκέψασθε δὲ παρ' ὑμῖν αὐτοῖς οὕτως περὶ τούτου τοῦ πράγματος ζητοῦντες. εἴ τις ἐμοὶ καὶ Ἐρατοσθένει ἔχθρα πώποτε γεγένηται πλὴν ταύτης. οὐδεμίαν γὰρ εὑρήσετε. οὔτε γὰρ συκοφαντῶν γραφάς με ἐγράψατο. οὔτε ἐκβάλλειν ἐκ τῆς πόλεως ἐπεχείρησεν. οὔτε ἰδίας δίκας ἐδικάζετο. οὔτε συνῄδει κακὸν οὐδὲν, ὃ ἐγὼ δεδιὼς μή τις πύθηται, ἐπεθύμουν αὐτὸν ἀπολέσαι. οὔτε εἰ ταῦτα διεπραξάμην. ἔλπιζον μὲν χρήματα λήψεσθαι. ἔνιοι γὰρ τοιούτων πραγμάτων ἕνεκα, θάνατον ἀλλήλοις ἐπιβουλεύουσι. τοσούτου τοίνυν δεῖ ἢ λοιδορία, ἢ παροινία, ἢ ἄλλη τις διαφορὰ ἡμῖν γεγονέναι, ὥστε οὔτε ἑωρακὼς ἦν τὸν ἄνθρωπον πώποτε πλὴν ἐν ἐκείνῃ τῇ νυκτί. τί ἂν οὖν βουλόμενος ἐγὼ τοιοῦτον κίνδυνον ἐκινδύνευον. εἰ μὴ τὸ μέγιστον τῶν ἀδικημάτων ἦν ὑπ' αὐτοῦ ἠδικημένος. ἔπειτα παρακαλέσας αὐτὸς μάρτυρας ἠσέβουν. ἐξόν μοι εἴπερ ἀδίκως ἐπεθύμουν αὐτὸν ἀπολέσαι, μηδένα μοι τούτων συνειδέναι. Ἐγὼ μὲν οὖν ὦ ἄνδρες, οὐκ ἰδίαν ὑπὲρ ἐμαυτοῦ νομίζω ταύτης γενέσθαι τὴν τιμωρίαν. ἀλλ' ὑπὲρ τῆς πόλεως ἁπάσης. οἱ γὰρ τοιαῦτα πράττοντες, ὁρῶντες οἷα τὰ ἆθλα πρόκειται τῶν τοιούτων ἁμαρτημάτων, ἧττον εἰς τοὺς ἄλλους ἐξαμαρτήσουσιν. ἐὰν δὲ ὑμᾶς ὁρῶσι τὴν αὐτὴν γνώμην ἔχοντας. εἰ δὲ μὴ πολὺ κάλλιον, τοὺς μὲν κειμένους νόμους ἐξαλεῖψαι, ἑτέρους δὲ θεῖναι. οἵτινες τοὺς μὲν φυλάττοντας τὰς ἑαυτῶν γυναῖκας, ταῖς ζημίαις ζημιώσουσι. τοῖς δὲ βουλομένοις εἰς αὐτὰς ἁμαρτάνειν, πολλὴν ἄδειαν ποιήσουσι. πολὺ γὰρ οὕτω δικαιότερον, ἢ ὑπὸ τῶν νόμων τοὺς πολίτας ἐνεδρεύεσθαι. οἳ κελεύουσι μὲν ἐάν τις μοιχὸν λάβῃ, ὅτι ἂν βούληται χρῆσθαι. οἱ δ' ἀγῶνες δεινότεροι τοῖς ἀδικουμένοις καθεστήκασιν, ἢ τοῖς παρὰ τοὺς νόμους τὰς ἀλλοτρίας καταισχύ-

νοῦσι γυναῖκας. ἐπεὶ γὰρ νῦν καὶ περὶ τοῦ σώματος καὶ περὶ τῶν χρημάτων καὶ περὶ τῶν ἄλλων ἁπάντων κινδυνεύω. ὅτι τοῖς πόλεως νόμοις ἐπιθόμην.

ἐπιτάφιος τοῖς κορινθίων βοηθοῖς.

Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι ὦ παρόντες ἐπὶ τῷδε τῷ τάφῳ, λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετὴν, ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν ἐπ' αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν. ἐπειδὴ δὲ τοῖς πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος οὐχ ἱκανὸς λόγον ἴσον παρασκευάσαι τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι δοκεῖ προνοουμένη τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν πρόσταξιν ποιεῖσθαι, ἡγουμένη οὕτως ἂν μάλιστα συγγνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχάνειν, ὅμως δὲ ὁ μὲν λόγος μοι περὶ τούτων, ὁ δ' ἀγὼν οὐ πρὸς τὰ τούτων ἔργα, ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ' αὐτοῖς εἰρηκότας. τοσαύτην γὰρ ἀφθονίαν παρεσκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμένοις, καὶ τοῖς εἰπεῖν βουληθεῖσιν, ὥστε καλὰ μὲν πολλὰ τοῖς προτέροις, περὶ αὐτῶν εἰρῆσθαι, πολλὰ δὲ καὶ ἐκείνοις παραλελεῖφθαι. ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξεῖναι εἰπεῖν. οὔτε γὰρ γῆς ἄπειροι, οὔτε θαλάττης, οὐδεμιᾶς πανταχοῦ δὲ καὶ παρὰ πᾶσιν ἀνθρώποις, οἱ τὰ αὐτῶν πενθοῦντες κακὰ, τὰς τούτων ἀρετὰς ὑμνοῦσι. Πρῶτον μὲν οὖν τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι, μνήμην παρὰ τῆς φήμης λαβὼν, ἄξιον γὰρ πᾶσιν ἀνθρώποις κἀκείνων μεμνῆσθαι. ὑμνοῦντας μὲν ἐν ταῖς ᾠδαῖς, λέγοντας δ' ἐν ταῖς τῶν ἀγαθῶν γνώμαις, τιμῶντας δ' ἐν τοῖς καιροῖς τοῖς τοιούτοις, παιδεύοντας δ' ἐν τοῖς τεθνεώτων λόγοις τοὺς ζῶντας. ἀμαζόνες μὲν γὰρ ἄρεος μὲν τὸ παλαιὸν ἦσαν θυγατέρες. οἰκοῦσαι δὲ παρὰ τὸν θερμώδοντα ποταμὸν μόναι δὲ ὡπλισμέναι σιδήρῳ τῶν περὶ αὐτάς. πρῶται δὲ τῶν πάντων ἐφ' ἵππους ἀναβᾶσαι, οἷς ἀνελπίστως δι' ἀπειρίαν τῶν ἐναντίων, ᾕρουν μὲν τοὺς φεύγοντας, ἀπέλειπον δὲ τοὺς διώκοντας. ἐνομίζοντο δὲ διὰ τὴν εὐψυχίαν μᾶλλον ἄνδρες, ἢ διὰ τὴν φύσιν γυναῖκες. πλέον γὰρ ἐδόκουν τῶν ἀνδρῶν ταῖς ψυχαῖς διαφέρειν, ἢ ταῖς ἰδέαις ἐλλείπειν. ἄρχουσαι δὲ πολλῶν ἐθνῶν, καὶ ἔργῳ μὲν τοὺς περὶ αὐτὰς καταδεδουλωμέναι, λόγῳ δὲ περὶ τῆσδε τῆς χώρας ἀκούουσαι κλέος μέγα, πολλῆς δόξης καὶ μεγάλης ἐλπίδος χάριν, παραλαβοῦσαι τὰ μαχιμώτατα τῶν ἐθνῶν, ἐστράτευσαν ἐπὶ τήνδε τὴν πόλιν, τυχοῦσαι δ' ἀγαθῶν ἀνδρῶν, ὁμοίας ἐκτήσαντο τὰς ψυχὰς τῇ φύσει, καὶ ἐναντίαν τὴν δόξαν τῆς προτέρας λαβοῦσαι, μᾶλλον ἐκ τῶν κινδύνων, ἢ ἐκ τῶν σωμάτων ἔδοξαν εἶναι γυναῖκες. μόναις δ' αὐταῖς οὐκ ἐξεγένετο ἐκ τῶν ἡμαρτημένων μαθούσαις περὶ τῶν λοιπῶν ἄμεινον βουλεύσασθαι, οὐδ' οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι τήν τε σφετέραν αὐτῶν δυστυχίαν, καὶ τὴν τῶν ἡμετέρων προγόνων ἀρετήν. αὐτοῦ γὰρ ἀποθανοῦσαι, καὶ δοῦσαι δίκην τῆς ἀνοίας, τῆσδε μὲν τῆς πόλεως διὰ τὴν ἀρετὴν, ἀθάνατον μνήμην ἐποίησαν, τὴν δ' ἑαυτῶν πατρίδα, διὰ τὴν ἐνθάδε συμφορὰν, ἀνώνυμον κατέστησαν. ἐκεῖναι μὲν οὖν τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσασαι, τὴν αὐτῶν δικαίως ἀπώλεσαν. ἀδράστου δὲ καὶ πολυνείκους ἐπὶ θήβας στρατευσάντων, καὶ ἡττηθέντων μάχῃ, οὐκ ἐώντων τῶν καδμείων θάπτειν τοὺς νεκροὺς, ἀθηναῖοι ἡγησάμενοι ἐκείνους μὲν εἴ τι ἠδίκουν, ἀποθανόντας δίκην ἔχειν τὴν μεγίστην, τοὺς δὲ κάτω τὰ αὐτῶν οὐ κομίζεσθαι, ἱερῶν δὲ μιαινομένων τοὺς ἄνω θεοὺς ἀσεβεῖσθαι, τὸ μὲν πρῶτον πέμψαντες κήρυκας, ἐδέοντο αὐτῶν δοῦναι τῶν νεκρῶν ἀναίρεσιν, νομίζοντες ἀνδρῶν μὲν ἀγαθῶν εἶναι ζῶντας τοὺς ἐχθροὺς τιμωρήσασθαι, ἀπιστούντων δὲ σφίσιν αὐτοῖς ἐν τοῖς τῶν τεθνεώτων σώμασι τὴν εὐψυχίαν ἐπιδείκνυσθαι. οὐ δυνάμενοι δὲ τούτων τυχεῖν, ἐστράτευσαν ἐπ' αὐτοὺς, οὐδὲ μιᾶς διαφορᾶς πρότερον πρὸς καδμείους ὑπαρχούσης, οὐδὲ τοῖς ζῶσιν ἀργείων χαριζόμενοι, ἀλλὰ τοὺς τεθνεῶτας ἐν τῷ πολέμῳ ἀξιοῦντες τῶν νομιζομένων τυγχάνειν πρὸς τοὺς ἑτέρους, ὑπὲρ ἀμφοτέρων ἐκινδύνευσαν. ὑπὲρ μὲν τῶν, ἵνα μηκέτι εἰς τοὺς τεθνεῶτας ἐξαμαρτάνοντες, πλείω περὶ τοὺς θεοὺς ἐξυβρίσωσιν. ὑπὲρ δὲ τῶν ἑτέρων, ἵνα μὴ πρότερον εἰς τὴν αὐτῶν ἀπέλθωσι, πατρίου τιμῆς ἀτυχήσαντες, καὶ ἑλληνικοῦ νόμου στερηθέντες, καὶ κοινῆς ἐλπί

δὸς ἡμαρτηκότες. ταῦτα διανοηθέντες, καὶ τὰς μὲν τῷ πολέμῳ τύχας, κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες, πολλοὺς μὲν πολεμίους κτώμενοι, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον, ἐνίκων μαχόμενοι. καὶ οὐχ ὑπὸ τῆς τύχης ἐπαρθέντες, μείζονος παρὰ καδμείων τιμωρίας ἐπεθύμησαν, ἀλλ' ἐκείνοις μὲν ἀντὶ τῆς ἀσεβείας, τὴν ἑαυτῶν ἀρετὴν ἐπεδείξαντο, αὐτοὶ δὲ λαβόντες τὰ ἆθλα ὧν ἕνεκα ἀφίκοντο, τοὺς ἀργείων νεκροὺς ἔθαψαν ἐν τῇ αὐτῶν ἐλευσῖνι. περὶ μὲν οὖν τοὺς ἀποθανόντας τῶν ἑπτὰ ἐπὶ θήβας, τοιοῦτοι γεγόνασιν. Ὑστέρῳ δὲ χρόνῳ ἐπειδὴ ἡρακλῆς μὲν ἐξ ἀνθρώπων ἠφανίσθη. οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν εὐρυσθέα. ἐξηλαύνοντο δὲ ὑπὸ πάντων τῶν ἑλλήνων. αἰσχυνομένων μὲν τοῖς ἔργοις. φοβουμένων δὲ τὴν εὐρυσθέως δύναμιν, ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν, ἱκέται ἐπὶ τὸν βωμὸν ἐκαθέζοντο. ἐξαιτουμένου δὲ αὐτοὺς εὐρυσθέως, ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν ἡρακλέους ἀρετὴν μᾶλλον ᾐδοῦντο, ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφοβοῦντο, καὶ ἠξίουν ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ δικαίου διαμάχεσθαι μᾶλλον, ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς ὑπ' ἐκείνων ἀδικουμένους ἐκδοῦναι, ἐπιστρατεύσαντος δ' εὐρυσθέως μετὰ τῶν ἐκείνῳ τῷ χρόνῳ πελοπόννησον ἐχόντων, οὐκ ἐγγὺς τῶν δεινῶν γενόμενοι μετέγνωσαν, ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην, ἥνπερ πρότερον, ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν πεπονθότες ἐκείνους δ' οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσονται γενόμενοι. δίκαιον δὲ νομίζοντες εἶναι. οὐ προτέρας ἔχθρας ὑπαρχούσης πρὸς εὐρυσθέα, οὐδὲ κέρδους προκειμένου πλὴν δόξης ἀγαθῆς, τοσοῦτον κίνδυνον ὑπὲρ αὐτῶν ἤραντο. τοὺς μὲν ἀδικουμένους, ἐλεοῦντες. τοὺς δ' ὑβρίζοντας, μισοῦντες. καὶ τοὺς μὲν κωλύειν ἐπιχειροῦντες, τοῖς δ' ἐπικουρεῖν ἀξιοῦντες. ἡγούμενοι ἐλευθερίας μὲν σημεῖον εἶναι, μηδὲν ποιεῖν ἄκοντας. δικαιοσύνης δὲ τοῖς ἀδικουμένοις βοηθεῖν, εὐψυχίας δ' ὑπὲρ τούτων ἀμφοτέρων εἰ δέοι, μαχομένους ἀποθνήσκειν. τοσοῦτον δ' ἐφρόνουν ἀμφότεροι, ὥσθ' οἱ μὲν μετ' εὐρυσθέως οὐδὲν παρ' ἑκόντων ἐζήτουν εὑρίσκεσθαι, ἀθηναῖοι δὲ οὐκ ἠξίουν εὐρυσθέα αὐτὸν ἱκετεύοντα, τοὺς ἱκέτας αὐτῶν ἐξελεῖν. παραταξάμενοι δ' ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης πελοποννήσου στρατιὰν ἐλθοῦσαν ἐνίκων μαχόμενοι, καὶ τῶν παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν, ἀπαλλάξαντες τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευθέρωσαν. διὰ τὴν τοῦ πατρὸς ἀρετὴν, ἐκείνους δὲ τοῖς αὐτῶν κινδύνοις ἐστεφάνωσαν. τοσοῦτον δὲ εὐτυχέστεροι παῖδες ὄντες ἐγένοντο τοῦ πατρός. ὁ μὲν γὰρ καίπερ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀνθρώποις, ἐπίπονον καὶ φιλόνεικον, καὶ φιλότιμον αὐτῷ καταστήσας τὸν βίον, τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασεν. εὐρυσθέα δὲ καὶ ἐχθρὸν ὄντα, καὶ εἰς αὐτὸν ἐξαμαρτάνοντα, οὐχ οἷός τε ἦν τιμωρήσασθαι. οἱ δὲ παῖδες αὐτοῦ διὰ τήνδε τὴν πόλιν τῇ αὐτῇ εἶδον ἡμέρᾳ τήν θ' ἑαυτῶν σωτηρίαν, καὶ τὴν τῶν ἐχθρῶν τιμωρίαν, πολλὰ μὲν οὖν ὑπῆρχε τοῖς ἡμετέροις προγόνοις μιᾷ γνώμῃ χρωμένοις περὶ τοῦ δικαίου διαμάχεσθαι ἥ τε γὰρ ἀρχὴ τοῦ βίου δικαία. οὐ γὰρ ὥσπερ οἱ πολλοὶ πανταχόθεν συνειλεγμένοι, καὶ ἑτέρους ἐκβάλλοντες, τὴν ἀλλοτρίαν ᾤκησαν ἀλλ' αὐτόχθονες ὄντες, τὴν αὐτὴν ἐκέκτηντο μητέρα καὶ πατρίδα. πρῶτοι δὲ καὶ μόνοι, ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκβάλλοντες τὰς παρὰ σφίσιν αὐτοῖς δυναστείας, δημοκρατίαν κατεστήσαντο. ἡγούμενοι τὴν πάντων ἐλευθερίαν, ὁμόνοιαν εἶναι μεγίστην. κοινὰς δ' ἀλλήλοις τὰς ἐκ τῶν κινδύνων ἐλπίδας ποιήσαντες, ἐλευθέραις ταῖς ψυχαῖς ἐπολιτεύοντο. νόμῳ τοὺς ἀγαθοὺς τιμῶντες καὶ τοὺς κακοὺς κολάζοντες, ἡγησάμενοι θηρίων μὲν ἔργον εἶναι ὑπ' ἀλλήλων βίᾳ κρατεῖσθαι. ἀνθρώποις δὲ προσήκειν, νόμῳ μὲν ὁρίσαι τὸ δίκαιον, λόγῳ δὲ πεῖσαι. ἔργῳ δὲ τούτοις ὑπηρετεῖν ὑπὸ νόμου μὲν βασιλευομένοις, ὑπὸ λόγου δὲ διδασκομένοις. καὶ γάρ τοι καὶ φύντες καλῶς καὶ γνόντες ὅμοια, πολλὰ μὲν καλὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐνθάδε κειμένων εἰργάσαντο. ἀείμνηστα δὲ καὶ μεγάλα, καὶ πανταχοῦ οἱ ἐξ ἐκείνων γεγονότες, τρόπαια διὰ τὴν αὐτῶν ἀρετὴν κατέλιπον. μόνοι γὰρ ὑπὲρ ἁπάντων τῶν τῆς ἑλλάδος πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν. ὁ δὲ τῆς ἀσίας βασιλεὺς, οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν ἀγαθοῖς, ἀλλ' ἐλπίζων καὶ τὴν

εὐρώπην δουλώσασθαι, ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. ἡγησάμενοι δὲ εἰ τήνδε τὴν πόλιν, ἢ ἑκοῦσαν φίλην ποιήσαιντο, ἢ ἄκουσαν καταστρέψαιντο, ῥᾳδίως τῶν πολλῶν ἑλλήνων ἄρξειν, ἀπέβησαν εἰς μαραθῶνα. νομίσαντες οὕτως ἂν ὀρ
θοτέρους εἶναι συμμάχων τοὺς ἕλληνας, εἰ ἔτι στασιαζούσης τῆς ἑλλάδος ὁ ἐ-
πιόντας ἀμύνασθαι τὸν κίνδυνον ποιήσαιντο. ἔτι δ' αὐτοῖς ἐκ τῶν προτέρων ἔργων
περὶ τῆς πόλεως τοιαύτης δόξης ἐπ' ἄλλην πόλιν ἰοῦσιν ἐκείνοις καὶ ἀ-
θηναίοις πολεμήσουσι. τοῖς ἀδικουμένοις ἥξουσι βοηθήσοντες. εἰ δ' ἐνθά-
δε πρῶτον ἀφίξονται, οὐδένας ἄλλους τῶν ἑλλήνων τολμήσειν ἑτέρους σώζοντας φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐτῶν καταθέσθαι. οἱ μὲν, ταῦτα διενοοῦντο, ἀλλ' οἱ ἡμέτεροι πρόγονοι οὐ λογισμῷ εἰδότες τοὺς ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θάνατον, ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον, οὐκ ἐφοβήθησαν τὸ πλῆθος τῶν ἐναντίων. ἀλλὰ τῇ αὐτῶν ἀρετῇ μᾶλλον ἐπίστευσαν. καὶ αἰσχυνόμενοι ὅτι ἦσαν οἱ βάρβαροι αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνέμειναν πυθέσθαι, οὐδὲ βοηθῆσαι τοὺς συμμάχους. οὐδ' ᾠήθησαν δεῖν, ἑτέροις τῆς σωτηρίας χάριν εἰδέναι. ἀλλὰ σφίσιν αὐτοῖς τοὺς ἄλλους ἕλληνας. ταῦτα μιᾷ γνώμῃ πάντες γνόντες, ἀπήντων, ὀλίγοι πρὸς πολλούς. ἐνόμιζον γὰρ

λείπει πολύ.

τὴν στρατιὰν ἐκ τῆς ἀσίας εἰς τὴν εὐρώπην, οὐκ ἠθέλησεν. ἡγούμενος τὴν διατριβὴν αὐτῷ πολλὴν ἔσεσθαι. ἀλλ' ὑπὲρ ἰδὼν καὶ τὰ φύσει πεφυκότα, καὶ τὰ θεῖα πράγματα, καὶ τὰς ἀνθρωπίνας διανοίας, ὁδὸν μὲν διὰ τῆς θαλάσσης ἐποιήσατο. πλοῦν δὲ διὰ τῆς γῆς ἠνάγκασε γενέσθαι. ζεύξας μὲν τὸν ἑλλήσποντον. διορύξας δὲ τὸν ἄθω. ὑφισταμένου οὐδενός. ἀλλὰ τῶν μὲν ἀκόντων ὑπακουόντων. τῶν δὲ ἑκόντων προδιδόντων. οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀμύνασθαι. οἱ δ' ὑπὸ χρημάτων ἐφθαρμένοι. ἀμφότερα δ' ἦν αὐτοὺς τὰ πείθοντα, κέρδος, καὶ δέος. ἀθηναῖοι δ' οὔπω διακειμένης τῆς ἑλλάδος, αὐτοὶ μὲν εἰς τὰς ναῦς ἐσβάντες, ἐπ' ἀρτεμίσιον ἐβοήθησαν. λακεδαιμόνιοι δὲ καὶ τῶν συμμάχων ἔνιοι, εἰς θερμοπύλας ἀπήντησαν. ἡγούμενοι διὰ τὴν στενότητα τῶν χωρίων τὴν πάροδον οἷόν τε ἔσεσθαι διαφυλάξαι. γενομένου δὲ τοῦ κινδύνου κατὰ τὸν αὐτὸν χρόνον, ἀθηναῖοι μὲν ἐνίκων τῇ ναυμαχίᾳ. λακεδαιμόνιοι δὲ οὐ ταῖς ψυχαῖς ἐνδεεῖς γενόμενοι, ἀλλὰ τοῦ πλήθους ψευσθέντες, καὶ οὓς φυλάξειν ᾤοντο, καὶ πρὸς οὓς κινδυνεύσειν ἔμελλον, οὐχ ἡττηθέντες τῶν ἐναντίων, ἀλλ' ἀποθανόντες οὗπερ ἐτάχθησαν μάχεσθαι. τούτῳ δὲ τῷ τρόπῳ τῶν μὲν δυστυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων, οἱ μὲν ἐπορεύοντο ἐπὶ τήνδε τὴν πόλιν. οἱ δ' ἡμέτεροι πρόγονοι πυθόμενοι μὲν τὴν γεγενημένην λακεδαιμονίοις συμφοράν, ἀποροῦντες δὲ τοῖς περιεστηκόσι πράγμασιν, εἰδότες δ' ὅτι εἰ μὲν κατὰ γῆς τοῖς βαρβάροις ἀπαντήσονται ἐπιπλεύσαντες χιλίαις ναυσὶν ἔρημον τὴν πόλιν λήψονται. εἰ δὲ εἰς τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς πεζῆς στρατιᾶς ἁλώσονται, ἀμφότερα δὲ οὐ δυνήσονται, ἀμύνασθαί τε καὶ φυλακὴν ἱκανὴν καταλιπεῖν, δυοῖν δὲ προκειμένοιν πότερον χρὴ τὴν πατρίδα ἐκλιπεῖν, ἢ μετὰ τῶν βαρβάρων γενομένους καταδουλώσασθαι τοὺς ἕλληνας, ἡγησάμενοι κρεῖττον εἶναι μετ' ἀρετῆς, καὶ πενίας, καὶ φυγῆς, ἐλευθερίαν, ἢ μετ' ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος. ἐξέλιπον ὑπὲρ τῆς ἑλλάδος τὴν πόλιν. ἵν' ἐν μέρει πρὸς ἑκατέραν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις κινδυνεύσωσιν, ὑπεκθέμενοι παῖδας, καὶ γυναῖκας, καὶ μητέρας εἰς σαλαμῖνα, συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. οὐ πολλαῖς δ' ὕστερον ἡμέραις, ἦλθε καὶ ἡ πεζὴ στρατιά, καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων, ὃ τίς οὐκ ἂν ἰδὼν, ἐφοβήθη. οἷος μέγας καὶ δεινὸς τῇδε τῇ πόλει κίνδυνος ὑπὲρ τῆς τῶν ἑλλήνων ἐλευθερίας ἠγωνίσθη. ποίαν δὲ γνώμην εἶχον ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις. οὔσης καὶ τῆς αὐτῶν σωτηρίας ἀπίστου. καὶ

τοῦ προσιόντος κινδύνου. ἢ οἱ μέλλοντες ναυμαχήσειν ὑπὲρ τῆς φιλότητος. ὑπὲρ τῶν ἄθλων τῶν ἐν σαλαμινίοις. τοσοῦτον πανταχόθεν περιειστήκει πλῆθος πολεμίων ὥστε ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸν θάνατον τὸν αὐτῶν προειδέναι. μέγιστον δὲ συμφορὰν ὑπὸ τῶν βαρβάρων εὐτυχησάντων, τοὺς ὑπεκτεθέντας ἔλπιζον πείσεσθαι. ἦ που διὰ τὴν ὑπάρχουσαν ἀπορίαν, πολλάκις μὲν ἐδεξιώσαντο ἀλλήλους. εἰκότως δὲ σφᾶς αὐτοὺς ὠλοφύραντο. εἰδότες μὲν τὰς σφετέρας ναῦς ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς τὰς τῶν πολεμίων. ἐπιστάμενοι δὲ τὴν μὲν πόλιν ἠρημωμένην. τὴν δὲ χώραν πορθουμένην, καὶ μεστὴν τῶν βαρβάρων. ἱερῶν δὲ καιομένων. ἁπάντων δ' ἐγγὺς ὄντων τῶν δεινῶν. ἀκούοντες δ' ἐν ταυτῷ συμμεμιγμένου ἑλληνικοῦ καὶ βαρβαρικοῦ παιᾶνος. παρακελευσμοῦ δ' ἀμφοτέρων, καὶ κραυγῆς τῶν διαφθειρομένων, καὶ τῆς θαλάττης μεστῆς τῶν νεκρῶν, καὶ πολλῶν μὲν συμπιπτόντων, καὶ φιλίων καὶ πολεμίων ναυαγίων. ἀντιπάλου δὲ πολὺν χρόνον οὔσης τῆς ναυμαχίας. δοκοῦντες, τοτὲ μὲν νενικηκέναι, καὶ σεσῶσθαι. τοτὲ δ' ἡττᾶσθαι καὶ ἀπολωλέναι. ἦ που διὰ τὸν παρόντα φόβον πολλὰ μὲν ᾠήθησαν ἰδεῖν ὧν οὐκ εἶδον. πολλὰ δ' ἀκοῦσαι ὧν οὐκ ἤκουσαν. ποῖαι δ' οὐχ ἱκετεῖαι θεῶν ἐγένοντο. ἢ θυσιῶν ἀναμνήσεις. ἔλεός τε παίδων καὶ γυναικῶν πόθος. οἶκτός τε πατέρων καὶ μητέρων. λογισμὸς δ' εἰ δυστυχήσειαν τῶν μελλόντων ἔσεσθαι κακῶν. τίς οὐκ ἂν θεῶν ἠλέησεν αὐτοὺς ὑπὲρ τοῦ μεγέθους τοῦ κινδύνου. ἢ τίς ἀνθρώπων οὐκ ἂν ἐδάκρυσεν. ἢ τίς τῆς τόλμης αὐτοὺς οὐκ ἂν ἠγάσθη; ἦ πολὺ πλεῖστον ἐκεῖνοι, κατὰ τὴν ἀρετὴν ἁπάντων ἀνθρώπων διήνεγκαν, καὶ ἐν τοῖς βουλεύμασι καὶ ἐν τοῖς τοῦ πολέμου κινδύνοις. ἐκλιπόντες μὲν τὴν πόλιν. εἰς τὰς ναῦς δ' ἐσβάντες. τὰς δ' αὐτῶν ψυχὰς ὀλίγας οὔσας, ἀντιτάξαντες τῷ πλήθει τῷ τῆς ἀσίας. ἐπέδειξαν δὲ πᾶσιν ἀνθρώποις νικήσαντες τῇ ναυμαχίᾳ. ὅτι κρεῖττον μετ' ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν, ἢ μετὰ πολλῶν βασιλευομένων ὑπὲρ τῆς αὐτῶν δουλείας. πλεῖστα δὲ καὶ κάλλιστα ἐκεῖνοι ὑπὲρ τῆς τῶν ἑλλήνων ἐλευθερίας συνεβάλοντο. στρατηγὸν μὲν θεμιστοκλέα ἱκανώτατον εἰπεῖν, καὶ γνῶναι, καὶ πρᾶξαι. ναῦς δὲ πλείους τῶν ἄλλων συμμάχων. ἄνδρας δ' ἐμπειροτάτους, καίτοι τίνες ἂν τούτοις τῶν ἄλλων ἑλλήνων ἤρισαν γνώμῃ, καὶ πλήθει, καὶ ἀρετῇ, ὥστε δικαίως μὲν ἀναμφισβητήτως ἀριστεῖα τῆς ναυμαχίας ἔλαβον. παρὰ τῆς ἑλλάδος. εἰκότως δὲ τὴν εὐτυχίαν ὁμονοοῦσαν τοῖς κινδύνοις ἐκτήσαντο. γνησίαν δὲ καὶ αὐτόχθονα τοῖς ἐκ τῆς ἀσίας βαρβάροις τὴν αὐτῶν ἀρετὴν ἐπεδείξαντο. ἐν μὲν οὖν τῇ ναυμαχίᾳ τοιούτους αὐτοὺς παρασχόντες, καὶ πολὺ πλεῖστον τῶν κινδύνων μετασχόντες τῇ ἰδίᾳ ἀρετῇ, κοινὴν τὴν ἐλευθερίαν τοῖς ἄλλοις ἐκτήσαντο. ὕστερον δὲ πελοποννησίων τειχιζόντων τὸν ἰσθμόν, καὶ ἀγαπώντων μὲν τῇ σωτηρίᾳ. νομιζόντων δ' ἀπηλλάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ διανοουμένων τοὺς ἄλλους ἕλληνας περιιδεῖν, ὑπὸ τοῖς βαρβάροις γενομένους ὀργισθέντες ἀθηναῖοι, συνεβούλευον αὐτοῖς εἰ ταύτην τὴν γνώμην ἕξουσι περὶ ἅπασαν τὴν πελοπόννησον τεῖχος περιβαλεῖν. εἰ γὰρ αὐτοὶ ὑπὸ ἑλλήνων προδιδόμενοι μετὰ τῶν βαρβάρων ἔσονται, οὔτ' ἐκείνοις δεήσειν χιλίων νεῶν, οὔτε τούτους ὠφελήσειν τὸ ἐν ἰσθμῷ τεῖχος. ἀκινδύνως γὰρ ἔσεσθαι τὴν τῆς θαλάσσης ἀρχὴν τοῦ βασιλέως. διδασκόμενοι δὲ καὶ νομίζοντες αὐτοὶ μὴ ἄδικά τε ποιεῖν καὶ κακῶς βουλεύεσθαι, ἀθηναίους δὲ δίκαιά τε λέγειν, καὶ τὰ βέλτιστα αὐτοῖς παραινεῖν, ἐβοήθησαν εἰς πλαταιάς, ἀποδράντων δὲ ὑπὸ νύκτα τῶν πλείστων συμμάχων ἐκ τῶν τάξεων διὰ τὸ πλῆθος τῶν πολεμίων. λακεδαιμόνιοι μὲν καὶ τεγεᾶται, τοὺς βαρβάρους ἐτρέψαντο, ἀθηναῖοι δὲ καὶ πλαταιεῖς πάντας τοὺς ἕλληνας ἐνίκων μαχόμενοι τοὺς ἀπογνόντας τὴν ἐλευθερίαν, καὶ ὑπομείναντας τὴν δουλείαν. ἐν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ καλλίστην τελευτὴν τοῖς προτέροις κινδύνοις ἐπιθέντες, βέβαιον μὲν τὴν ἐλευθερίαν τῇ εὐρώπῃ κατειργάσαντο. ἐν ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν ἀρετῆς, καὶ μόνοι καὶ μεθ' ἑτέρων, καὶ πεζομαχοῦντες, καὶ ναυμαχοῦντες, καὶ πρὸς βαρβάρους, καὶ πρὸς τοὺς ἕλληνας ὑπὸ πάντων ἠξιώθησαν, καὶ μεθ' ὧν ἐκινδύνευον, καὶ πρὸς οὓς ἐπο-

λέμους ἡγεμόνες γενέσθαι τῆς Ἑλλάδος. ὑστέρῳ δὲ χρόνῳ Ἑλληνικοῦ πολέμου καταστάντος, διὰ ζῆλον τῶν γεγενημένων καὶ φθόνον τῶν πεπραγμένων, μέγα μὲν ἅπαντες φρονοῦντες, μικρῶν δ' ἐγκλημάτων ἕκαστοι δεόμενοι, ναυμαχίας Ἀθηναίοις, πρὸς Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης, ἑβδομήκοντα τριήρεις αὐτῶν ἐλάμβανον. πολιορκούντων δὲ κατὰ τὸν αὐτὸν χρόνον, Αἴγυπτόν τε καὶ Αἴγιναν καὶ τῆς ἡλικίας ἀπούσης, ἔν τε ταῖς ναυσὶ, καὶ ἐν τῷ πεζῷ στρατεύματι Κορίνθιοι καὶ οἱ ἐκείνων σύμμαχοι ἡγούμενοι ἢ εἰς ἔρημον τὴν χώραν ἐμβαλεῖν, ἢ ἐξ Αἰγίνης ἄξειν τὸ στρατόπεδον, ἐξελθόντες πανδημεὶ Γεράνειαν κατέλαβον. Ἀθηναῖοι δὲ τῶν μὲν ἀπόντων, τῶν δ' ἐγγὺς ὄντων, οὐδένα ἐτόλμησαν μεταπέμψασθαι. ταῖς δ' αὑτῶν ψυχαῖς πιστεύσαντες, καὶ τῶν ἐπιόντων καταφρονήσαντες οἱ γεραίτεροι, καὶ οἱ τῆς ἡλικίας ἐντὸς γεγονότες, ἠξίουν αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι. οἱ μὲν ἐμπειρίᾳ τὴν ἀρετὴν, οἱ δὲ φύσει κεκτημένοι, καὶ οἱ μὲν, αὐτοὶ πολλαχοῦ ἀγαθοὶ γεγενημένοι, οἱ δὲ, ἐκείνους μιμούμενοι, τῶν μὲν πρεσβυτέρων ἄρχειν ἐπισταμένων, τῶν δὲ νεωτέρων τὸ ἐπιταττόμενον ποιεῖν δυναμένων. Μυρωνίδου στρατηγοῦντος ἀπαντήσαντες αὐτοὶ εἰς τὴν Μεγαρικὴν, ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκείνων. τοῖς ἤδη ἀπειρηκόσι, καὶ τοῖς οὔπω δυναμένοις τοὺς εἰς τὴν σφετέραν ἐμβαλεῖν ἀξιώσαντας εἰς τὴν ἀλλοτρίαν ἀπαντήσαντες, τρόπαιον δὲ στήσαντες, καλλίστου μὲν αὑτοῖς ἔργου, αἰσχίστου δὲ τοῖς πολεμίοις, οἱ μὲν οὐκέτι τοῖς σώμασιν, οἱ δ' οὔπω δυνάμενοι. ταῖς δὲ ψυχαῖς ἀμφότεροι κρείττους γενόμενοι, μετὰ καλλίστης δόξης εἰς τὴν αὐτῶν ἀπελθόντες, οἱ μὲν πάλιν ἐπαιδεύοντο, οἱ δὲ περὶ τῶν λοιπῶν ἐβουλεύοντο. καθ' ἕκαστον μὲν οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κινδυνευθέντα, ὑφ' ἑνὸς ῥηθῆναι. οὐδὲ τὰ ἐν ἅπαντι τῷ χρόνῳ πραχθέντα, ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. τίς γὰρ ἂν ἢ λόγος, ἢ χρόνος, ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνῦσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; μετὰ πλείστων γὰρ πόνων, καὶ φανερωτάτων ἀγώνων, καὶ καλλίστων κινδύνων, ἐλευθέραν μὲν ἐποίησαν τὴν Ἑλλάδα. μεγίστην δ' ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα. ἑβδομήκοντα μὲν ἔτη τῆς θαλάττης ἄρξαντες. ἀστασιάστους δὲ παρασχόντες τοὺς συμμάχους. οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγκάσαντες. οὐδὲ τοὺς συμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ κἀκείνους ἰσχυροὺς καθιστάντες. καὶ τὴν αὐτῶν δύναμιν τοσαύτην ἐπιδείξαντες, ὥσθ' ὁ μέγας βασιλεὺς, οὐκ ἔτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ, καὶ περὶ τῶν λοιπῶν ἐφοβεῖτο, καὶ οὔτε τριήρεις ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν. οὔτε τύραννος ἐν τοῖς Ἕλλησι κατέστη, οὔτε Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων ἠνδραποδίσθη. τοσαύτην σωφροσύνην καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν. ὧν ἕνεκα δεῖ μόνους, καὶ προστάτας τῶν Ἑλλήνων, καὶ ἡγεμόνας τῶν πόλεων γίγνεσθαι. ἐπέδειξαν δὲ καὶ ἐν ταῖς δυστυχίαις τὴν ἑαυτῶν ἀρετήν. ἀπολλυμένων γὰρ τῶν νεῶν ἐν Ἑλλησπόντῳ εἴτε ἡγεμόνος κακίᾳ, εἴτε θεῶν διανοίᾳ, καὶ συμφορᾶς ἐκείνης μεγίστης γενομένης, καὶ ἡμῖν τοῖς δυστυχήσασι, καὶ τοῖς ἄλλοις Ἕλλησιν ἐδήλωσεν οὐ πολλῷ χρόνῳ ὕστερον ὅτι ἡ τῆς πόλεως δύναμις τῆς Ἑλλάδος ἦν σωτηρία. ἑτέρων γὰρ ἡγεμόνων γενομένων, ἐνίκησαν μὲν ναυμαχοῦντες τοὺς Ἕλληνας, οἱ πρότερον εἰς τὴν θάλασσαν οὐκ ἐμβαίνοντες. ἔπλευσαν δ' εἰς τὴν Εὐρώπην. δουλεύουσι δὲ πόλεις τῶν Ἑλλήνων. τύραννοι δ' ἐγκαθεστᾶσιν. οἱ μὲν μετὰ τὴν ἡμετέραν συμφορὰν, οἱ δὲ, μετὰ τὴν νίκην τῶν βαρβάρων. ὥστ' ἄξιον ἦν ἐνθάδε τῷδε τῷ τάφῳ τότε κείρασθαι τῇ Ἑλλάδι, καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους. ὡς συγκαταθαπτομένης τῆς αὐτῶν ἐλευθερίας τῇ τούτων ἀρετῇ. ὡς δυστυχὴς μὲν ἡ Ἑλλὰς, τοσούτων ἀνδρῶν ὀρφανὴ γενομένη. εὐτυχὴς δ' ὁ τῆς Ἀσίας βασιλεὺς, ἑτέρων ἡγεμόνων λαβόμενος. τῇ μὲν γὰρ, τούτων στερηθείσῃ δουλεία περιέστηκε. τῷ δ' ἄλλων ἀρξάντων, ζῆλος ἐγγίνεται τῆς τῶν προγόνων διανοίας. ἀλλὰ ταῦτα μὲν

ὑπὲρ πάσης ὀλοφύρασθαι τῆς Ἑλλάδος. ἐκείνων δὲ τῶν ἀνδρῶν, ἄξιοι καὶ ἰδίᾳ, καὶ δημοσίᾳ μεμνῆσθαι. οἳ φεύγοντες τὴν δουλείαν, καὶ περὶ τοῦ δικαίου μαχόμενοι, καὶ ὑπὲρ τῆς δημοκρατίας στασιάσαντες, πάντας πολεμίους κεκτημένοι,

εἰς τὸν πειραιᾶ κατῆλθον, οὐχ ὑπὸ νόμου ἀναγκασθέντες, ἀλλ' ὑπὸ τῆς φύσεως πεισθέντες καινοῖς κινδύνοις τὴν παλαιὰν ἀρετὴν τῶν προγόνων μιμούμενοι, ταῖς αὑτῶν ψυχαῖς κοινὴν τὴν πόλιν, καὶ τοῖς ἄλλοις κτησάμενοι θάνατον μετ' ἐλευθερίας αἱρούμενοι, ἢ βίον μετὰ δουλείας· οὐχ ἧττον ταῖς συμφοραῖς αἰσχυνόμενοι, ἢ τοῖς ἐχθροῖς ὀργιζόμενοι μᾶλλον βουληθέντες ἐν τῇ αὑτῶν ἀποθνήσκειν, ἢ ζῆν τὴν ἀλλοτρίαν οἰκοῦντες, συμμάχους μὲν ὅρκους, καὶ συνθήκας ἔχοντες· πολεμίους δὲ τοὺς πρότερον ὑπάρχοντας καὶ τοὺς πολίτας τοὺς ἑαυτῶν. ἀλλ' ὅμως οὐ τὸ πλῆθος τῶν ἐναντίων φοβηθέντες, ἀλλ' ἐν τοῖς σώμασι τοῖς ἑαυτῶν κινδυνεύσαντες, τρόπαιον μὲν τῶν πολεμίων ἔστησαν· μάρτυρας δὲ τῆς αὑτῶν ἀρετῆς ἐγγὺς ὄντας τοῦδε τοῦ μνήματος τοὺς λακεδαιμονίων τάφους παρέχονται. καὶ γάρ τοι μεγάλην μὲν αὐτὴν ἀντὶ μικρᾶς ἀπέδειξαν τὴν πόλιν. ὁμονοοῦσαν δὲ ἀντὶ στασιαζούσης ἀπέφηναν. τείχη δὲ ἀντὶ τῶν καθῃρημένων ἀνέστησαν. οἱ δὲ κατελθόντες αὐτῶν ἀδελφὰ τὰ βουλεύματα τοῖς ἔργοις τῶν ἐνθάδε κειμένων ἐπιδεικνύντες, οὐκ ἐπὶ τιμωρίαν τῶν ἐχθρῶν, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως ἐτράποντο, καὶ οὔτε ἐλαττοῦσθαι δυνάμενοι, οὔτ' αὐτοὶ πλέον ἔχειν δεόμενοι, τῆς μὲν αὑτῶν ἐλευθερίας, καὶ τοῖς βουλομένοις δουλεύειν μετέδωκαν. τῆς δ' ἐκείνων δουλείας αὐτοὶ μετέχειν οὐκ ἠξίωσαν· ἔργοις δὲ μεγίστοις καὶ καλλίστοις ἀπελογήσαντο, ὅτι οὐ κακίᾳ τῇ αὑτῶν, οὐδ' ἀρετῇ τῶν πολεμίων, πρότερον ἐδυστύχησεν ἡ πόλις. εἰ γὰρ στασιάσαντες πρὸς ἀλλήλους βίᾳ παρόντων πελοποννησίων καὶ τῶν ἄλλων ἐχθρῶν εἰς τὴν αὑτῶν οἷοί τε ἐγένοντο κατελθεῖν, δῆλον ὅτι ῥᾳδίως ἂν ὁμονοοῦντες πολεμεῖν αὐτοῖς ἐδύναντο. ἐκεῖνοι μὲν οὖν διὰ τοὺς ἐν πειραιεῖ κινδύνους ὑπὸ πάντων ἀνθρώπων ζηλοῦνται· ἄξιον δὲ καὶ τοὺς ξένους τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι. οἳ τῷ πλήθει βοηθήσαντες καὶ περὶ τῆς ἡμετέρας σωτηρίας μαχόμενοι, πατρίδα τὴν ἀρετὴν ἡγησάμενοι, τοιαύτην τοῦ βίου τελευτὴν ἐποιήσαντο, ἀνθ' ὧν ἡ πόλις αὐτοὺς καὶ ἐπένθησε, καὶ ἔθαψε δημοσίᾳ, καὶ ἔδωκεν ἔχειν αὐτοῖς τὸν ἅπαντα χρόνον τὰς αὐτὰς τιμὰς τοῖς ἀστοῖς. οἱ δὲ νῦν θαπτόμενοι, βοηθήσαντες κορινθίοις ὑπὸ παλαιῶν φίλων ἀδικουμένοις, καινοὶ σύμμαχοι γενόμενοι, οὐ τὴν αὐτὴν γνώμην λακεδαιμονίοις ἔχοντες· οἱ μὲν γὰρ τῶν ἀγαθῶν αὐτοῖς ἐφθόνουν, οἱ δὲ ἀδικουμένους αὐτοὺς ἠλέουν. οὐ τῆς προτέρας ἔχθρας μεμνημένοι, ἀλλὰ τὴν παροῦσαν φιλίαν· περὶ πολλοῦ ποιούμενοι πᾶσιν ἀνθρώποις, φανερὰν τὴν αὑτῶν ἀρετὴν ἐπιδείξαντες. ἐτόλμησαν γὰρ μεγάλην ποιοῦντες τὴν ἑλλάδα, οὐ μόνον περὶ τῆς αὑτῶν σωτηρίας κινδυνεύειν, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν πολεμίων ἐλευθερίας ἀποθνήσκειν· τοῖς γὰρ λακεδαιμονίων συμμάχοις, περὶ τῆς ἐκείνων ἐλευθερίας ἐμάχοντο. νικήσαντες μὲν γὰρ ἐκείνους τῶν αὐτῶν ἠξίουν· δυστυχήσαντες δὲ βέβαιον τὴν δουλείαν τοῖς ἐν τῇ πελοποννήσῳ κατέλιπον. ἐκείνοις μὲν οὖν οὕτω διακειμένοις, ὁ βίος οἰκτρὸς, καὶ ὁ θάνατος εὐκτός. οὗτοι δὲ καὶ ζῶντες καὶ ἀποθανόντες, ζηλωτοί. παιδευθέντες μὲν ἐν τοῖς τῶν προγόνων ἀγαθοῖς· ἄνδρες δὲ γενόμενοι, τήν τε ἐκείνων δόξαν διασώσαντες, καὶ τὴν αὑτῶν ἀρετὴν ἐπιδείξαντες, πολλῶν μὲν γὰρ καὶ καλῶν, αἴτιοι γεγένηνται τῇ ἑαυτῶν πατρίδι. ἐπηνώρθωσαν δὲ, τὰ ὑφ' ἑτέρων δυστυχηθέντα. πόρρω δ' ἀπὸ τῆς αὑτῶν τὸν πόλεμον κατέστησαν. ἐτελεύτησαν δὲ τὸν βίον ὥσπερ χρὴ τοὺς ἀγαθοὺς ἀποθνήσκειν· τῇ μὲν γὰρ πατρίδι τὰ τροφεῖα ἀποδόντες· τοῖς δὲ θρέψασι λύπας καταλιπόντες. ὥστε ἄξιον τοῖς ζῶσι τούτους ποθεῖν, καὶ σφᾶς αὐτοὺς ὀλοφύρεσθαι, καὶ τοὺς προσήκοντας αὐτῶν ἐλεεῖν τοῦ ἐπιλοίπου βίου. τίς γὰρ αὐτοῖς ἔτι ἡδονὴ καταλέλειπται, τοιούτων ἀνδρῶν θαπτομένων· οἳ πάντα περὶ ἐλάττονος τῆς ἀρετῆς ἡγούμενοι, αὑτοὺς μὲν ἀπεστέρησαν βίου· χήρας δὲ γυναῖκας ἐποίησαν· ὀρφανοὺς δὲ τοὺς αὑτῶν παῖδας ἀπέλιπον· ἐρήμους δ' ἀδελφοὺς καὶ πατέρας καὶ μητέρας κατέστησαν. πολλῶν δὲ καὶ δεινῶν ὑπαρχόντων· τοὺς μὲν παῖδας αὐτῶν ζηλῶ ὅτι νεώτεροί εἰσι· ἢ ὥστε εἰδέναι οἵων πατέρων ἐστέρηνται. ἐξ ὧν δ' αὖτοι γεγόνασιν οἰκτείρω, ὅτι πρεσβύτατοι ἢ ὥστε ἐπιλαθέσθαι τῆς δυστυχίας τῆς ἑαυτῶν. τί γὰρ ἂν τούτων ἀνιαρότερον γένοιτο· ἢ τεκεῖν

μὲν καὶ θρέψαι, καὶ θάψαι τοὺς αὑτῶν· ἐν δὲ τῷ γήρᾳ, ἀδυνάτους μὲν εἶναι τῷ σώματι· πασῶν δ' ἀπεστερημένους τῶν ἐλπίδων, ἀφίλους καὶ ἀπόρους γεγονέναι· ὑπὸ δὲ τῶν αὐτῶν πρότερον ζηλοῦσθαι· καὶ νῦν ἐλεεῖσθαι· ποθεινότερον δ' αὐτοῖς εἶναι τὸν θάνατον τοῦ βίου. ὅσῳ γὰρ ἄνδρες ἀμείνους ἦσαν, τοσούτῳ τοῖς καταλειπομένοις τὸ πένθος μεῖζον. πῶς δὲ αὐτοὺς χρὴ λῆξαι τῆς λύπης. πότερον ἐν ταῖς τῆς πόλεως συμφοραῖς, ἀλλὰ τότε αὐτῶν εἰκὸς καὶ τοὺς ἄλλους μεμνῆσθαι, ἀλλ' ἐν ταῖς εὐτυχίαις ταῖς κοιναῖς, ἀλλ' ἱκανὸν λυπῆσαι· τῶν μὲν σφετέρων τέκνων τετελευτηκότων· τῶν δὲ ζώντων ἀπολαυόντων τῆς τούτων ἀρετῆς, ἀλλ' ἐν τοῖς ἰδίοις κινδύνοις ὅταν ὁρῶσι τοὺς μὲν πρότερον ὄντας φίλους, φεύγοντας τῆς αὐτῶν ἀπορίαν. τοὺς δ' ἐχθροὺς μέγα φρονοῦντας ἐπὶ ταῖς δυστυχίαις ταῖς τούτων. μόνοι δ' ἄν μοι δοκοῦμεν ταύτην τοῖς ἐνθάδε κειμένοις ἀποδοῦναι χάριν. εἰ τοὺς μὲν τοκέας αὐτῶν ὁμοίως ὥσπερ ἐκεῖνοι περὶ πολλοῦ ποιούμεθα. τοὺς δὲ παῖδας οὕτως ἀσπαζοίμεθα ὥσπερ αὐτοὶ πατέρες ὄντες ταῖς δὲ γυναιξὶν, εἰ τοιούτους βοηθοὺς ἡμᾶς αὐτοὺς παρέχοιμεν οἷοί περ ἐκεῖνοι ζῶντες ἦσαν· τίνας γὰρ ἂν εἰκότως μᾶλλον τιμῶμεν τῶν ἐνθάδε κειμένων· τίνας δ' ἂν τῶν ζώντων δικαιότερον περὶ πολλοῦ ποιοίμεθα, ἢ τοὺς τούτοις προσήκοντας. οἳ τῆς μὲν τούτων ἀρετῆς, τὸ ἴσον τοῖς ἄλλοις ἀπέλαυσαν, ἀποθανόντων δὲ μόνοι γνησίως τῆς δυστυχίας μετέχουσιν. Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅ τι δεῖ τοιαῦτα ὀλοφύρεσθαι. οὐ γὰρ ἐλανθάνομεν ἡμᾶς αὐτοὺς ὄντες θνητοί. ὥστε τί δεῖ ἃ πάλαι προσεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι, ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύσεως συμφοραῖς. ἐπισταμένους ὅτι ὁ θάνατος κοινὸς, καὶ τοῖς χειρίστοις, καὶ τοῖς βελτίστοις. οὔτε γὰρ τοὺς πονηροὺς ὑπερορᾷ, οὔτε τοὺς ἀγαθοὺς θαυμάζει. ἀλλ' ἴσον ἑαυτὸν παρέχει πᾶσιν. εἰ μὲν οἷόν τε ἦν τοῖς τοὺς ἐν τῷ πολέμῳ κινδύνους διαφυγοῦσιν ἀθανάτους εἶναι τὸν λοιπὸν χρόνον, ἄξιον τοῖς ζῶσι τὸν ἅπαντα χρόνον πενθεῖν τοὺς τεθνεῶτας, νῦν δὲ ἥ τε φύσις καὶ νόσων ἥττων καὶ γήρως, ὅ, τε δαίμων ὁ τὴν ἡμετέραν μοῖραν εἰληχὼς ἀπαραίτητος. ὥστε προσήκει τούτους εὐδαιμονεστάτους ἡγεῖσθαι, οἵτινες ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύσαντες, οὕτως τὸν βίον ἐτελεύτησαν. οὐκ ἐπιτρέψαντες περὶ αὐτῶν τῇ τύχῃ. οὐδὲ ἀναμείναντες τὸν αὐτόματον θάνατον, ἀλλ' ἐκλεξάμενοι τὸν κάλλιστον καὶ τοι γὰρ ἀγήρατοι μὲν, αὐτῶν αἱ μνῆμαι· ζηλωταὶ δὲ ὑπὸ πάντων ἀνθρώπων αἱ τιμαί. οἳ πενθοῦνται μὲν διὰ τὴν φύσιν ὡς θνητοί, ὑμνοῦνται δὲ ὡς ἀθάνατοι διὰ τὴν ἀρετήν, καὶ γὰρ τοι θάπτονται δημοσίᾳ καὶ ἀγῶνες τίθενται ἐπ' αὐτοῖς, ῥώμης καὶ σοφίας καὶ πλούτου, ὡς ἀξίους ὄντας τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. Ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ, καὶ μόνοις τούτοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι. οἵτινες ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὑτῶν κατέλιπον. ὅμως δ' ἀνάγκη τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας τὸν πάτριον νόμον ὀλοφύρεσθαι τοὺς θαπτομένους.

Πρὸς σίμωνα ἀπολογία.

Ολλὰ καὶ δεινὰ συνειδὼς σίμωνι ὦ βουλὴ, οὐκ ἄν ποτ' αὐτὸν εἰς τοσοῦτον
π τόλμης ἡγησάμην ἀφικέσθαι, ὥστε ὑπὲρ ὧν αὐτὸν ἔδει δοῦναι δίκην, ὑπὲρ τούτων ὡς ἀδικούμενον ἔγκλημα ποιήσασθαι, καὶ οὕτω μέγαν καὶ σεμνὸν ὅρκον διομοσάμενον εἰς ὑμᾶς ἐλθεῖν. εἰ μὲν οὖν ἄλλοι τινὲς ἔμελλον περὶ ἐμοῦ διαγνώσεσθαι, σφόδρα ἂν ἐφοβούμην τὸν κίνδυνον· ὁρῶν ὅτι καὶ παρασκευαὶ καὶ τύχαι ἐνίοτε τοιαῦται γίνονται, ὥστε πολλὰ καὶ παρὰ γνώμην ἀποβαίνειν τοῖς κινδυνεύουσιν· εἰς ὑμᾶς δ' εἰσελθὼν, ἐλπίζω τῶν δικαίων τεύξεσθαι.

μάλιστα δ' ἀγανακτῶ ὦ βουλή· ὅτι περὶ τῶν πραγμάτων εἰπεῖν αἰσχυνθήσομαι πρὸς ὑμᾶς· ὑπὲρ ὧν ἐγὼ αἰσχυνόμενος, εἰ μέλλοιεν πολλοί μοι συνείσεσθαι, ἠνεσχόμην ἀδικούμενος.

μενος. ἐπειδὴ δὲ σίμων με εἰς τοιαύτην ἀνάγκην κατέστησεν, οὐδὲν ἀποκρυψάμενος ἅπαντα διηγήσομαι πρὸς ὑμᾶς τὰ πεπραγμένα. Ἀξιῶ δὲ ὦ βουλή, εἰ μὲν ἀδικῶ, μηδεμιᾶς συγγνώμης τυγχάνειν· ἐὰν δὲ περὶ τούτων ἀποδείξω ὡς οὐκ ἔνοχός εἰμι οἷς σίμων διωμόσατο, ἄλλως δὲ ὑμῖν φαίνομαι παρὰ τὴν ἡλικίαν τὴν ἐμαυτοῦ ἀνοητότερον πρὸς τὸ μειράκιον διατεθείς, αἰτοῦμαι ὑμᾶς μηδέν με χείρω νομίζειν· εἰδότας, ὅτι ἐπιθυμῆσαι μὲν ἅπασιν ἀνθρώποις ἔνεστιν· οὗτος δὲ βέλτιστος ἂν εἴη καὶ σωφρονέστατος, ὅστις κοσμιώτατα τὰς συμφορὰς φέρειν δύναται. οἷς ἅπασιν ἐμποδὼν ἐμοὶ γεγένηται σίμων οὗτος, ὡς ἐγὼ ὑμῖν ἐπιδείξω. ἡμεῖς γὰρ ἐπεθυμήσαμεν ὦ βουλὴ θεοδότου, πλαταϊκοῦ μειρακίου. καὶ ἐγὼ μὲν εὖ ποιῶν αὐτὸν ἠξίουν εἶναί μοι φίλον. οὗτος δὲ ὑβρίζων καὶ παρανομῶν, ᾤετο ἀναγκάσειν αὐτὸν ποιεῖν, ὅ, τι βούλοιτο. ὅσα μὲν οὖν ἐκεῖνος κακὰ ὑπ' αὐτοῦ πέπονθε, πολὺ ἂν ἔργον εἴη λέγειν. ὅσα δὲ εἰς ἐμὲ αὐτὸν ἐξημάρτηκεν, ἡγοῦμαι ταῦθ' ὑμῖν προσήκειν ἀκοῦσαι. πυθόμενος γὰρ ὅτι τὸ μειράκιον ἦν παρ' ἐμοί. ἐλθὼν ἐπὶ τὴν οἰκίαν τὴν ἐμὴν νύκτωρ μεθύων· ἐκκόψας τὰς θύρας, εἰσῆλθεν εἰς τὴν γυναικωνῖτιν. ἔνδον οὐσῶν τῆς ἀδελφῆς τῆς ἐμῆς καὶ τῶν ἀδελφιδῶν. αἳ οὕτω κοσμίως βεβιώκασιν, ὥστε καὶ ὑπὸ τῶν οἰκείων ὁρώμεναι αἰσχύνεσθαι. οὗτος τοίνυν εἰς τοῦτο ἦλθεν ὕβρεως, ὥστ' οὐ πρότερον ἠθέλησεν ἀπελθεῖν, πρὶν αὐτὸν ἡγούμενοι δεινὰ ποιεῖν οἱ παραγενόμενοι, καὶ οἱ μετ' αὐτοῦ ἐλθόντες ἐπὶ παῖδας κόρας καὶ ὀρφανὰς εἰσιόντα, ἐξήλασαν βίᾳ, καὶ τοσούτου ἐδέησεν αὐτῷ μεταμελῆσαι τῶν ὑβρισμένων, ὥστε ἐξευρὼν οὗ ἐδειπνοῦμεν, ἀτοπώτατον πρᾶγμα καὶ ἀπιστότατον ἐποίησεν, εἰ μή τις εἰδείη τὴν τούτου μανίαν. ἐκκαλέσας γάρ με ἔνδοθεν, ἐπειδὴ τάχιστα ἐξῆλθον, εὐθύς με τύπτειν ἐπεχείρησεν. ἐπειδὴ δὲ αὐτὸν ἠμυνάμην ἐκστάς, ἔβαλλέ με λίθοις. καὶ ἐμοῦ μὲν ἁμαρτάνει· ἀριστοκρίτου δὲ ὃς παρ' ἐμὲ ἦλθε μετ' αὐτοῦ, βαλὼν λίθῳ, συντρίβει τὸ μέτωπον. ἐγὼ τοίνυν ὦ βουλὴ ἡγούμενος μὲν δεινὰ πάσχειν, αἰσχυνόμενος δὲ ὅπερ ἤδη καὶ πρότερον εἶπον τὴν συμφοράν, ἠνειχόμην, καὶ μᾶλλον ᾑρούμην μὴ λαβεῖν τούτων τῶν ἁμαρτημάτων δίκην, ἢ δόξαι τοῖς πολίταις ἀνόητος εἶναι. εἰδὼς ὅτι τῇ μὲν τούτου πονηρίᾳ πρέποντα ἔσοιτο τὰ πεπραγμένα. ἐμοῦ δὲ πολλοὶ καταγελάσονται τοιαῦτα πάσχοντος τῶν φθονεῖν εἰθισμένων, ἐάν τις ἐν τῇ πόλει προθυμῆται χρηστὸς εἶναι. οὕτω δὲ σφόδρα ἠπορούμην ὅ τι χρησαίμην ὦ βουλὴ τῇ τούτου παρανομίᾳ, ὥστε ἔδοξέ μοι κράτιστον εἶναι ἀποδημῆσαι ἐκ τῆς πόλεως. λαβὼν δὴ τὸ μειράκιον. (ἅπαντα γὰρ δεῖ τἀληθῆ λέγειν) ᾠχόμην ἐκ τῆς πόλεως. ἐπειδὴ δὲ ᾤμην ἱκανὸν εἶναι τὸν χρόνον σίμωνι ἐπιλαθέσθαι μὲν τοῦ νεανίσκου, μεταμελῆσαι δὲ τῶν πρότερον ἡμαρτημένων, ἀφικνοῦμαι πάλιν. κἀγὼ μὲν ᾠχόμην εἰς πειραιᾶ. οὗτος δ' αἰσθόμενος εὐθέως ἥκοντα τὸν θεόδοτον, καὶ διατρίβοντα παρὰ λυσιμάχῳ, ὃς ᾤκει πλησίον τῆς οἰκίας ἣν οὗτος ἐμεμίσθωτο, παρακαλέσας τινὰς τῶν τούτου ἐπιτηδείων. καὶ οὗτοι μὲν ἠρίστων καὶ ἔπινον. φύλακας δὲ κατέστησαν ἐπὶ τοῦ τέγους, ἵν' ὁπότε ἐξέλθοι τὸ μειράκιον, εἰσαρπάσειαν αὐτόν. Ἐν δὲ τούτῳ τῷ καιρῷ, ἀφικνοῦμαι ἐγὼ ἐκ πειραιέως καὶ εἴσειμι παριὼν ὡς τὸν λυσίμαχον. ὀλίγον δὲ χρόνον διατρίψαντες, ἐξερχόμεθα. ἤδη μεθύοντες, οὗτοι δ' ἐκπηδῶσιν ἐφ' ἡμᾶς. καὶ οἱ μέν τινες αὐτῶν τῶν παραγενομένων οὐκ ἠθέλησαν συνεξαμαρτεῖν, σίμων δὲ οὑτοσὶ καὶ θεόφιλος, καὶ πρώταρχος, καὶ αὐτοκλῆς εἷλκον τὸ μειράκιον. ὁ δὲ ῥίψας τὸ ἱμάτιον, ᾤχετο φεύγων. ἐγὼ δὲ ἡγούμενος ἐκεῖνον μὲν ἐκφεύξεσθαι. τούτους δ' ἐπειδὴ τάχιστα ἐντύχοιεν ἀνθρώποις, αἰσχυνομένους ἀποστρέψεσθαι, ταῦτα διανοηθείς, ἑτέραν ὁδὸν ᾠχόμην ἀπιών. οὕτω σφόδρ' αὐτοὺς ἐφυλαττόμην καὶ πάντα ταῦτα ὑπὸ τούτων γιγνόμενα, μεγάλην ἐμαυτῷ συμφορὰν ἐνόμιζον. καὶ ταῦτα μὲν ἵνα φησὶ σίμων τὴν μάχην γενέσθαι, οὔτε τούτων, οὔτε ἡμῶν οὐδεὶς οὔτε κατεάγη τὴν κεφαλήν, οὔτε ἄλλο κακὸν οὐδὲν ἔπαθεν ὡς ἐγὼ τοὺς παραγενομένους ὑμῖν μάρτυρας παρέξομαι. μαρτυρίαι. Ὅτι μὲν τοίνυν οὗτός ἐστιν ὁ ἀδικήσας ὦ βουλὴ καὶ ἐπιβουλεύσας

ᾠχόμην.
ᾠχόμην.

ἡμῖν. καὶ οὐκ ἐγὼ τούτῳ, ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται ὑμῖν. μετὰ δὲ ταῦτα τὸ μὲν μειράκιον, εἰς γναφεῖον κατέφυγεν, οὗτοι δὲ συνεισπεσόντες, ἦγον αὐτὸν βίᾳ βοῶντα, καὶ κεκραγότα, καὶ μαρτυρόμενον. συνδραμόντων δὲ ἀνθρώπων πολλῶν, καὶ ἀγανακτούντων τῷ πράγματι, καὶ δεινὰ φασκόντων εἶναι τὰ γινόμενα, τῶν μὲν λεγομένων, οὐδὲν ἐφρόντιζον.

Μόλωνα δὲ τὸν γναφέα, καὶ ἄλλους τινὰς ἐπαμύνειν ἐπιχειροῦντας, συνέκοψαν. ἤδη δὲ αὐτοῖς οὖσι παρὰ τὴν Λάμπωνος οἰκίαν, ἐγὼ μόνος βαδίζων ἐντυγχάνω. δεινὸν δὲ ἡγησάμενος εἶναι καὶ αἰσχρὸν περιϊδεῖν οὕτως ἀνόμως καὶ βιαίως ὑβρισθέντα τὸν νεανίσκον, ἐπιλαμβάνομαι αὐτοῦ. οὗτοι δὲ διότι μὲν ταῦτα παρενόμουν εἰς ἐκεῖνον, οὐκ ἠθέλησαν εἰπεῖν ἐρωτηθέντες. ἀφέμενοι δὲ τοῦ νεανίσκου, ἔτυπτον ἐμέ.

μάχης δὲ γενομένης ὦ βουλή, καὶ τοῦ μειρακίου βάλλοντος αὐτοὺς, καὶ περὶ τοῦ σώματος ἀμυνομένου, καὶ τούτων ἡμᾶς βαλλόντων, ἔτι δὲ τυπτόντων αὐτὸν ὑπὸ τῆς μέθης, καὶ ἐμοῦ ἀμυνομένου, καὶ τῶν παραγενομένων ὡς ἀδικουμένοις ἡμῖν ἁπάντων ἐπικουρούντων, ἐν τούτῳ τῷ θορύβῳ συντριβόμεθα τὰς κεφαλὰς ἅπαντες. καὶ οἱ μὲν ἄλλοι οἱ μετὰ τούτου παροινήσαντες, ἐπειδὴ τάχιστά με εἶδον, μετὰ ταῦτα ἐδέοντό μου συγγνώμην ἔχειν, οὐχ ὡς ἀδικούμενοι, ἀλλ' ὡς δεινὰ πεποιηκότες. καὶ ἐξ ἐκείνου τοῦ χρόνου τεττάρων ἐτῶν παρεληλυθότων, οὐδέ μοι πώποτε ἐνεκάλεσεν οὐδείς. Σίμων δ' οὑτοσὶ ὁ πάντων κακῶν αἴτιος γενόμενος, τὸν μὲν ἄλλον χρόνον ἡσυχίαν ἦγε, δεδιὼς περὶ αὑτοῦ. ἐπειδὴ δὲ δίκας ἰδίας ᾔσθετο κακῶς ἀγωνισάμενον ἐξ ἀντιδόσεως, καταφρονήσας μου οὕτωσὶ τολμηρῶς, εἰς τοιοῦτον ἀγῶνά με καθέστηκεν. ὡς οὖν καὶ ταῦτ' ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς παραγενομένους μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

Τὰ μὲν οὖν γεγενημένα, καὶ ἐμοῦ καὶ τῶν μαρτύρων ἀκηκόατε, ἐβουλόμην δ' ἂν ὦ βουλὴ Σίμωνα τὴν αὐτὴν γνώμην ἐμοὶ ἔχειν, ἵν' ἀμφοτέρων ἡμῶν ἀκούσαντες τἀληθῆ, ῥᾳδίως ἔγνωτε τὰ δίκαια. ἐπειδὴ δὲ αὐτῷ οὐδὲν μέλει τῶν ὅρκων ὧν διωμόσατο, πειράσομαι καὶ περὶ ὧν οὗτος ἔψευσται διδάσκειν ὑμᾶς. ἐτόλμησε γὰρ εἰπεῖν, ὡς αὐτὸς μὲν τριακοσίας δραχμὰς ἔδωκε Θεοδότῳ συνθήκας πρὸς αὐτὸν ποιησάμενος. ἐγὼ δ' ἐπιβουλεύσας, ἀπέστησα αὐτοῦ τὸ μειράκιον. καίτοι ἐχρῆν αὐτὸν εἴπερ ἦν ταῦτ' ἀληθῆ παρακαλέσαντα μάρτυρας ὡς πλείστους, κατὰ τοὺς νόμους διαπράττεσθαι περὶ αὐτῶν, οὗτος δὲ τοιοῦτον οὐδὲν πώποτε φαίνεται ποιήσας. ὑβρίζων δὲ καὶ τύπτων ἅμ' ἀμφοτέρους ἡμᾶς, καὶ κωμάζων, καὶ τὰς θύρας ἐκβάλλων, καὶ νύκτωρ εἰσιὼν ὡς ἐπὶ γυναῖκας ἐλευθέρας. ἃ χρὴ μάλιστα ὦ βουλὴ τεκμήρια νομίζειν ὅτι ψεύδεται πρὸς ὑμᾶς. σκέψασθε δὲ ὡς ἄπιστα εἴρηκε. τὴν γὰρ οὐσίαν τὴν ἑαυτοῦ ἅπασαν, πεντήκοντα καὶ διακοσίων δραχμῶν ἐτιμήσατο. καίτοι θαυμαστὸν, εἰ τὸν ἑταιρήσοντα πλειόνων ἐμισθώσατο, ὧν αὐτὸς τυγχάνει κεκτημένος. εἰς τοῦτο δ' ἥκει τόλμης, ὥστε οὐκ ἐξαρκεῖ περὶ τούτου μόνον αὐτῷ ψεύσασθαι, περὶ τοῦ δεδωκέναι τὸ ἀργύριον, ἀλλὰ καὶ κεκομίσθαι φησί. καίτοι πῶς εἰκός ἐστι τότε μὲν ἡμᾶς τοιαῦτα ἐξαμαρτάνειν, ὧν κατηγόρηκεν οὗτος, ἀποστερῆσαι βουλομένους τὰς τριακοσίας δραχμάς. ἐπειδὴ δὲ ἀπημαχεσάμεθα, τηνικαῦτα ἀποδοῦναι τὸ ἀργύριον αὐτῷ, μήτε ἀφειμένους τῶν ἐγκλημάτων, μήτε ἀνάγκης ἡμῖν μηδεμιᾶς γενομένης. ἀλλὰ γὰρ ὦ βουλὴ πάντα αὐτῷ ταῦτα σύγκειται, καὶ μεμηχάνηται, καὶ δοῦναι μέν φησιν, ἵνα μὴ δοκῇ δεινὰ ποιεῖν, μηδενὸς αὐτῷ συμβολαίου γεγενημένου, ταῦτα ἐτόλμα ὑβρίζειν τὸ μειράκιον. ἀπειληφέναι δὲ προσποιεῖται, διότι φανερός ἐστιν ἐγκαλέσας οὐδεπώποτ' ἀργύριον, οὐδὲ μνείαν περὶ τούτου οὐδεμίαν ποιησάμενος. φησὶ δ' ἐπὶ ταῖς αὐτοῦ θύραις ὑπ' ἐμοῦ δεινῶς διατεθῆναι τυπτόμενος. φαίνεται δὲ πλεῖον ἢ τέτταρα στάδια ἀπὸ τῆς οἰκίας διώξας τὸ μειράκιον, οὐδὲν κακὸν ἔχων, καὶ ταῦτα πλέον ἢ διακοσίων ἰδόντων ἀνθρώπων, ἔξαρνός ἐστι. λέγει δ' ὡς ἡμεῖς ἤλθομεν ἐπὶ τὴν οἰκίαν τὴν τούτου ὄστρακον ἔχοντες, καὶ ὡς ἠπείλησεν αὐτῷ ἐγὼ ἀποκτενεῖν, καὶ ὡς τοῦτό ἐστιν ἡ πρόνοια. ἐγὼ ἡγοῦμαι ὦ βουλὴ ῥᾴδιον εἶναι γνῶναι ὅτι ψεύδεται.

ψεύδεται. οὐ μόνον ὑμῖν τοῖς εἰωθόσι σκοπεῖσθαι περὶ τῶν τοιούτων, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι. τῷ γὰρ ἂν δόξειε πιστόν, ὡς ἐγὼ προνοηθεὶς καὶ ἐπιβουλεύων ἦλθον ἐπὶ τὴν σίμωνος οἰκίαν μεθ' ἡμέραν, μετὰ τοῦ μειρακίου, τοσούτων ἀνθρώπων παρ' αὐτῷ συνειλεγμένων, εἰ μὴ εἰς τοῦτο μανίας ἀφικόμην, ὥστε ἐπιθυμεῖν εἷς ὢν, πολλοῖς μάχεσθαι. ἄλλως τε καὶ εἰδὼς ὅτι ἀσμένως ἄν με εἶδεν ἐπὶ ταῖς θύραις ταῖς αὐτοῦ· ὃς καὶ ἐπὶ τὴν ἐμὴν οἰκίαν φοιτῶν εἰσῄει βίᾳ, καὶ οὔτε τῆς ἀδελφῆς, οὔτε τῶν ἀδελφιδῶν φροντίσας, ζητεῖν με ἐτόλμα, καὶ ἐξευρὼν οὗ δειπνῶν ἐτύγχανον, ἐκκαλέσας ἔτυπτέ με. καὶ τότε μὲν αὐτὰ ἵνα μὴ περιβόητος εἴην, ἡσυχίαν ἦγον. συμφορὰν ἐμαυτοῦ νομίζων τὴν τούτου πονηρίαν· ἐπειδὴ δὲ χρόνος διεγένετο, πάλιν ὡς οὗτός φησιν ἐπεθύμησα περιβόητος γενέσθαι. καὶ εἰ μὲν ἦν παρὰ τούτῳ τὸ μειράκιον, εἶχεν ἄν τινα λόγον τὸ ψεῦδος αὐτῷ, ὡς ἄρ' ἐγὼ διὰ τὴν ἐπιθυμίαν ἠναγκαζόμην ἀνοητότερόν τι ποιεῖν τῶν εἰκότων. νῦν δὲ τούτῳ μὲν οὐδὲ διελέγετο· ἀλλ' ἐμίσει πάντων ἀνθρώπων μάλιστα. παρ' ἐμοὶ δ' ἐτύγχανε διαιτώμενον, ὥστε τῷ ὑμῶν πιστὸν ὡς ἐγὼ πρότερον μὲν ἐξέπλευσα ἐκ τῆς πόλεως ἔχων τὸ μειράκιον, ἵνα μὴ τούτῳ μαχοίμην. ἐπειδὴ δὲ ἀφικόμην πάλιν ἦγον αὐτὸν ἐπὶ τὴν οἰκίαν τὴν σίμωνος. οὗ πλεῖστα ἔμελλον πράγματα ἕξειν, ἢ μετεβούλευον μὲν αὐτῷ· οὕτω δὲ ἦλθον ἀπαράσκευος, ὥστε μήτε φίλους, μήτε οἰκέτας, μήτε ἄλλον ἄνθρωπον παρακαλέσαι μηδένα, εἰ μὴ τουτό γε τὸ παιδίον, ὃ ἐπικουρῆσαι μέν μοι οὐκ ἂν ἠδύνατο. μηνῦσαι δὲ ἱκανὸν ἦν βασανιζόμενον, εἴ τι ἐγὼ ἐξημάρτανον, ἀλλ' εἰς τοσοῦτον ἀμαθίας ἀφικόμην, ὥστε ἐπιβουλεύων σίμωνι, οὐκ ἐτήρησα αὐτὸν, οὗ μόνον οἷόν τε ἦν λαβεῖν, ἢ νύκτωρ, ἢ μεθ' ἡμέραν, ἀλλ' ἐνταῦθα ἦλθον, οὗ αὐτὸς ἔμελλον ὑπὸ πλείστων ὀφθήσεσθαί τε καὶ σκοπήσεσθαι. ὥσπερ κατ' ἐμαυτοῦ τὴν πρόνοιαν ἐξευρίσκων.

ἵν' ὡς μάλιστα ὑπὸ τῶν ἐχθρῶν ὑβρισθείην. ἔτι τοίνυν ὦ βουλὴ καὶ ἐκ τῆς μάχης τῆς γενομένης, ῥᾴδιον γνῶναι ὅτι ψεύδεται. τὸ γὰρ μειράκιον ὡς ἔγνω, ῥίψαν θοἰμάτιον, φεῦγον ᾤχετο. οὗτοι δὲ αὐτὸ ἐπεδίωκον. ἐγὼ δὲ ἑτέραν ἀπελθὼν ὁδὸν, ᾠχόμην. καίτοι ποτέρους χρὴ αἰτίους τῶν γεγενημένων εἶναι νομίζειν, τοὺς φεύγοντας, ἢ τοὺς ζητοῦντας καταλαβεῖν. ἐγὼ μὲν γὰρ ἡγοῦμαι πᾶσιν εἶναι δῆλον, ὅτι φεύγουσι μὲν, οἱ περὶ αὐτῶν δεδιότες. διώκουσι δὲ, οἱ βουλόμενοί τι ποιῆσαι κακόν. οὐ τοίνυν ταῦτα εἰκότα· ἄλλως δὲ παρ' αὐτῶν πέπρακται. ἀλλὰ καταλαβόντες τὸ μειράκιον ἐκ τῆς ὁδοῦ, ἦγον βίᾳ. ἐντυχὼν δ' ἐγὼ, τούτων μὲν οὐχ ἡπτόμην. τοῦ μειρακίου δ' ἐπιλαμβανόμην. οὗτοι δὲ ἐκεῖνόν τε ἦγον βίᾳ, καὶ ἐμὲ ἔτυπτον, καὶ ταῦθ' ὑμῖν ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται. ὥστε δεινὸν εἰ περὶ τούτων ἐγὼ δόξω προνοηθῆναι, περὶ ὧν οὗτοι τυγχάνουσιν οὕτω δεινὰ καὶ παράνομα πεποιηκότες. τί δ' ἂν ποτε ἔπαθον εἰ τἀναντία τῶν νῦν γεγενημένων ἦν, εἰ πολλοὺς ἔχων τῶν ἐπιτηδείων ἐγὼ, ἀπαντήσας σίμωνι ἐμαχόμην αὐτῷ, καὶ ἔτυπτον αὐτὸν, καὶ ἐδίωκον, καὶ καταλαβὼν, ἄγειν βίᾳ ἐζήτουν. ὅπου νῦν τούτου ταῦτα πεποιηκότος, ἐγὼ εἰς τοιοῦτον ἀγῶνα καθέστηκα. ἐν ᾧ καὶ περὶ τῆς πατρίδος, καὶ τῆς οὐσίας τῆς ἐμαυτοῦ ἁπάσης κινδυνεύω. τὸ δὲ μέγιστον καὶ περιφανέστατον πάντων. ὁ γὰρ ἀδικηθεὶς καὶ ἐπιβουλευθεὶς ὑπ' ἐμοῦ ὡς φησιν, οὐκ ἐτόλμησε τεττάρων ἐτῶν ἐπισκήψασθαι εἰς ὑμᾶς. καὶ οἱ μὲν ἄλλοι ὅταν ἐρῶσι καὶ ἀποστερῶνται ὧν ἐπιθυμοῦσι, καὶ συγκοπῶσιν, ὀργιζόμενοι παραχρῆμα τιμωρεῖσθαι ζητοῦσιν. οὗτος δὲ χρόνοις ὕστερον. ὅτι μὲν οὖν ὦ βουλὴ οὐδενὸς αἴτιός εἰμι τῶν γεγενημένων, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω.

Οὕτω δὲ διάκειμαι πρὸς τὰς τῶν τοιούτων πραγμάτων διαφοράς, ὥστε καὶ ἄλλα πολλὰ, ὑβρισμένος ὑπὸ σίμωνος καὶ καταγεὶς τὴν κεφαλὴν ὑπ' αὐτοῦ, οὐκ ἐτόλμησα αὐτῷ ἐπισκήψασθαι. ἡγούμενος δεινὸν εἶναι εἰ ἄρα περὶ παίδων φιλονεικήσαιμεν ἡμεῖς πρὸς ἀλλήλους, τούτου οὕνεκεν ἐξελάσθαι τινὰς ζητῆσαι ἐκ τῆς πατρίδος. ἔπειτα δὲ καὶ οὐδεμίαν ἡγούμην πρόνοιαν εἶναι τραύματος· ὅστις μὴ ἀποκτεῖναι βουλόμενος ἔτρωσε. τίς γὰρ οὕτως ἐστὶν εὐήθης, ὅστις ἐκ πολλοῦ προνοεῖται, ὅπως ἕλκος τις αὐτοῦ τῶν ἐχθρῶν λήψεται. ἀλλὰ δῆλον ὅτι καὶ οἱ τοὺς

νόμους ἐνθάδε θέντες, οὐκ εἴ τινες μαχεσάμενοι ἔτυχον ἀλλήλων καὶ κατάξαντες τὰς κεφαλάς, ὧδε τούτοις ἠξίωσαν τῆς πατρίδος φυγὴν ποιήσασθαι, ἢ πολλοὺς γ' ἂν ἐξελήλακασιν. ἀλλ' ὅσοι ἐπιβουλεύσαντες ἀποκτεῖναί τινας ἔτρωσαν, ἀποκτεῖναι δὲ οὐκ ἠδυνήθησαν, περὶ τῶν τοιούτων τὰς τιμωρίας οὕτω μεγάλας κατέστησαν· ἡγούμενοι ὑπὲρ ὧν ἐβουλεύσαντο καὶ προὐνοήθησαν, ὑπὲρ τούτων προσήκειν αὐτοῖς δίκην δοῦναι. εἰ δὲ μὴ κατέτυχον οὐδὲν ἧττον τό γε ἐπ' ἐκείνων, πεποιῆσθαι. καὶ ταῦτα ἤδη καὶ πρότερον πολλάκις ὑμεῖς οὕτω διέγνωκατε περὶ τῆς προνοίας. καὶ γὰρ δεινὸν εἴη, εἰ ὅσοι ἐκ μέθης καὶ φιλονεικίας, ἢ ἐκ παιδικῶν, ἢ ἐκ λοιδορίας, ἢ περὶ ἑταίρας μαχόμενοι ἕλκος ἔλαβον, ἢ ὑπὲρ τούτων ὧν ἐπειδὰν βέλτιον φρονήσωσιν ἅπασι μεταμέλει, οὕτω καὶ ὑμεῖς μεγάλας καὶ δεινὰς τὰς τιμωρίας ποιήσεσθε, ὥστε ἐξελαύνειν τινὰς τῶν πολιτῶν ἐκ τῆς πατρίδος. θαυμάζω δὲ μάλιστα τούτου τῆς διανοίας. οὐ γὰρ τοῦ αὐτοῦ μοι δοκεῖ εἶναι, ἐρᾶν τε καὶ συκοφαντεῖν. ἀλλὰ τὸ μὲν, τῶν εὐηθεστέρων· τὸ δὲ, τῶν πανουργοτάτων. ἐβουλόμην δ' ἂν ἐξεῖναί μοι παρ' ὑμῖν καὶ ἐκ τῶν ἄλλων ἐπιδεῖξαι τὴν τούτου πονηρίαν· ἵνα ἐπίστησθε ὅτι πολὺ καὶ δικαιότερον αὐτὸς περὶ θανάτου ἠγωνίζετο, ἢ ἑτέρους ὑπὲρ τῆς πατρίδος εἰς κίνδυνον καθίστη. τὰ μὲν οὖν ἄλλα ἐάσω. ὃ δ' ἡγοῦμαι ὑμῖν προσήκειν ἀκοῦσαι, καὶ τεκμήριον ἔσεσθαι τῆς τούτου θρασύτητος καὶ τόλμης, περὶ τούτου μνησθήσομαι. ἐν Κορίνθῳ γοῦν ἐπειδὴ ὕστερον ἦλθε τῆς πρὸς τοὺς πολεμίους μάχης, καὶ τῆς εἰς Κορώνειαν στρατιᾶς, ἐμάχετο τῷ ταξιάρχῳ Λάχητι· καὶ ἔτυπτεν αὐτόν, καὶ πανστρατιᾷ τῶν πολιτῶν ἐξελθόντων, δόξας κοσμιώτατος εἶναι, πονηρότατος μόνος Ἀθηναίων ὑπὸ τῶν στρατηγῶν ἐξεκηρύχθη. ἔχοιμι δ' ἂν καὶ ἄλλα πολλὰ εἰπεῖν περὶ τούτου· ἀλλ' ἐπειδὴ παρ' ὑμῖν οὐ νόμιμόν ἐστιν ἔξω τοῦ πράγματος λέγειν, ἐκεῖνο ἐνθυμεῖσθε, οὗτοί εἰσιν οἱ βίᾳ εἰς τὴν ἡμετέραν οἰκίαν εἰσιόντες. οὗτοι οἱ διώκοντες· οὗτοι οἱ βίᾳ ἐκ τῆς ὁδοῦ συναρπάζοντες ἡμᾶς. ὧν ὑμεῖς μεμνημένοι τὰ δίκαια ψηφίζεσθε, καὶ μὴ περιίδητε ἐκ τῆς πατρίδος ἀδίκως ἐκπεσόντα. ὑπὲρ ἧς ἐγὼ πολλοὺς κινδύνους κεκινδύνευκα, καὶ πολλὰς λειτουργίας λελειτούργηκα, καὶ κακοῦ μὲν αὐτῇ οὐδενός, αἴτιος γεγένημαι, οὐδὲ τῶν ἐμῶν προγόνων οὐδείς· ἀγαθῶν δὲ πολλῶν. ὥστε δικαίως ἂν ὑφ' ὑμῶν καὶ ὑπὸ τῶν ἄλλων ἐλεηθείην· οὐ μόνον εἴ τι πείσομαι ὧν Σίμων βούλεται, ἀλλὰ καὶ ὅτι ἠναγκάσθην, ἐκ τοιούτων πραγμάτων, εἰς τοιούτους ἀγῶνας καταστῆναι.

Περὶ τραύματος ἐκ προνοίας· περὶ οὗ, καὶ πρὸς ὅν.

αυμαστόν γε ὦ βουλὴ τὸ διαμάχεσθαι περὶ τούτου, ὡς οὐκ ἐγένοντο ἡμῖν διαλλακταί, καὶ τὸ μὲν ζεῦγος, καὶ τὰ ἀνδράποδα, καὶ ὅσα ἐξ ἀγροῦ κατὰ τὴν ἀντίδοσιν ἔλαβον, μὴ ἂν δύνασθαι ἀρνηθῆναι, ὡς οὐκ ἀπέδωκε. φανερῶς δὲ περὶ τούτων διαλελυμένον, ἀρνεῖσθαι τὰ περὶ τῆς ἀνθρώπου, μὴ κοινῇ ὑμᾶς χρῆσθαι συγχωρῆσαι, καὶ τὴν μὲν ἀντίδοσιν δι' ἐκείνην φανερῶς ἐστι πεποιημένος. τὴν δ' αἰτίαν δι' ἣν ἀπέδωκεν, ἃ ἔλαβεν, οὐκ ἂν ἄλλην ἔχοι εἰπεῖν βουλόμενος τἀληθῆ λέγειν, ἢ ὅτι οἱ φίλοι περὶ πάντων ἡμᾶς τούτων συνήλλαξαν. ἐβουλόμην δ' ἂν μὴ ἀπολαχεῖν αὐτὸν κριτὴν Διονυσίοις· ἵν' ὑμῖν φανερὸς ἐγένετο ἐμοὶ διηλλαγμένος, κρίνας τὴν ἐμὴν φυλὴν νικᾶν. νῦν δὲ ἔγραψε μὲν ταῦτα εἰς τὸ γραμματεῖον, ἀπέλαχε δέ. καὶ ὅτι ἀληθῆ ταῦτα λέγω, Φιλῖνος καὶ Διοκλῆς ἴσασιν. ἀλλ' οὐκ ἔστ' αὐτοῖς μαρτυρῆσαι, μὴ διομοσαμένοις περὶ τῆς αἰτίας, ἣν ἐγὼ φεύγω. ἐπεὶ σαφῶς ἔγνωτ' ἄν, ὅτι ἡμεῖς αὐτὸν οἱ κριτὴν ἐμβαλόντες, καὶ ἡμῶν ἕνεκα ἐκαθέζετο. ἀλλ' ἦν ἂν βούληται ἐχθρὸς δίδωμι γοῦν αὐτῷ τοῦτο· οὐδὲν γοῦν διαφέρει. οὐκ οὖν ἦλθον αὐτὸς αὐτὸν ἀποκτενῶν, ὡς οὗτός φησι, καὶ βίᾳ εἰς τὴν οἰκίαν εἰσῆλθον, διὰ τί οὖν οὐκ ἀπέκτεινα ὑποχείριον λαβὼν τὸ σῶμα, καὶ τοσοῦτον κρατήσας, ὥστε καὶ τὴν ἄνθρωπον λαβεῖν, φρασάτω πρὸς ὑμᾶς. ἀλλ' οὐκ ἔχει εἰπεῖν. καὶ μὴν οὐδείς γε ὑμῶν ἀγνοεῖ· ὅτι

θᾶττον

θᾶττον ἂν ἐγχειριδίῳ πληγεὶς ἀπέθανεν, ἢ πὺξ παιόμενος. φαίνεται τοίνυν οὐδ' αὐτὸς αἰτιώμενος τοιοῦτόν τι ἔχοντας ἡμᾶς ἐλθεῖν· ἀλλ' ὀστράκῳ φησὶ πληγῆναι, καίτοι φανερὸν ἤδη ἐξ ὧν εἴρηκεν, ὅτι οὐ προνοίᾳ γεγένηται. οὐ γὰρ οὕτως ἤλθομεν, ἀδήλου ὄντος εἰ παρὰ τούτῳ εὑρήσομεν ὄστρακον, ἢ οὕτως αὐτὸν ἀποκτενοῦμεν. ἀλλ' οἴκοθεν ἂν ἔχοντες ἂν ἐβαδίζομεν, νῦν δὲ ὁμολογοῦμεθα πρὸς παῖδας καὶ αὐλητρίδας, καὶ μετ' οἴνου ἐλθόντες. ὥστε πῶς ταῦτ' ἐστὶ πρόνοια; Ἐγὼ μὲν γὰρ οἶμαι οὐδαμῶς, ἀλλ' οὗτος ἐναντίως τοῖς ἄλλοις δυσερώς ἐστιν, καὶ ἀμφότερα βούλεται, τό, τε ἀργύριον μὴ ἀποδοῦναι, καὶ τὴν ἄνθρωπον ἔχειν· ἔπειτα ὑπὸ τῆς ἀνθρώπου παρωξυμμένος, ὀξύχειρ λίαν καὶ πάροινός ἐστιν· ἀνάγκη δὲ ἀμύνασθαι. ἡ δέ, τοτὲ μὲν ἐμὲ περὶ πολλοῦ, τοτὲ δέ, τοῦτόν φησι ποιεῖσθαι· βουλομένη ὑπ' ἀμφοτέρων ἐρᾶσθαι, καὶ ἐγὼ μὲν καὶ ἐξ ἀρχῆς εὐκόλως εἶχον, καὶ νῦν ἔτι ἔχω. ὁ δ' εἰς τοῦτο βαρυδαιμονίας ἥκει, ὥστε οὐκ αἰσχύνεται τραῦμά γε ὀνομάζων τὰ ὑπώπια, καὶ ἐν κλίνῃ περιφερόμενος, καὶ δεινῶς προσποιούμενος διακεῖσθαι· πόρνης ἕνεκ' ἀνθρώπου, ἣν ἔξεστιν αὐτῷ ἀναμφισβητήτως ἔχειν· ἐμοὶ δ' ἀποδόντι τὸ ἀργύριον. καὶ φησὶ μὲν δεινῶς ἐπιβουλευθῆναι, καὶ πρὸς ἅπαντας ἡμῖν ἀμφισβητεῖ. Ἐξὸν δὲ ἐκ τῆς ἀνθρώπου βασανισθείσης τὸν ἔλεγχον ποιήσασθαι, οὐκ ἠθέλησεν. ἣ πρῶτον μὲν τοῦτ' ἂν κατεῖπε πότερα κοινὴ ἡμῖν ἦν, ἢ ἰδία τούτου· καὶ πότερα τὸ ἥμισυ τοῦ ἀργυρίου ἐγὼ συνεβαλόμην, ἢ οὗτος ἅπαν ἔδωκε· καὶ εἰ διηλλαγμένοι, ἢ ἔτι ἐχθροὶ ἦμεν· ἔτι δὲ εἰ μεταπεμφθέντες ἤλθομεν, ἢ οὐδενὸς καλέσαντος. καὶ εἰ οὗτος ἦρχε χειρῶν ἀδίκων, ἢ ἐγὼ πρότερος τοῦτον μετέταξα. τούτων καθ' ἓν ἕκαστον καὶ τῶν ἄλλων οὐδὲν ἦν, ὅτι οὐ ῥᾴδιον τοῖς τε ἄλλοις ἐμφανές, καὶ τούτοις ποιῆσαι. ὅτι μὲν οὖν οὔτε προνοίᾳ ἐγένετο, οὔτε ἀδικῶ τοῦτον ὡς βούλει, ἐκ τοσούτων τεκμηρίων καὶ μαρτυριῶν ὑμῖν ἐπιδέδεικται. ἀξιῶ δ' ὅσον ἂν ἐγένετο σημεῖον τούτῳ πρὸς τὸ δοκεῖν ἀληθῆ λέγειν· φυγόντος ἐμοῦ τὴν βάσανον, τοσοῦτον ἐμοὶ τεκμήριον γενέσθαι, ὅτι οὐ ψεύδομαι. διότι οὗτος οὐκ ἠθέλησεν ἐκ τῆς ἀνθρώπου ποιήσασθαι τὸν ἔλεγχον, καὶ μὴ τοσοῦτον ἰσχύσαι τοὺς τούτου λόγους. ὅτι φησὶν αὐτὴν ἐλευθέραν εἶναι. ὁμοίως γὰρ προσήκει κἀμοὶ τῆς ἐλευθερίας, τὸ ἴσον καταθέντι ἀργύριον. ἀλλὰ ψεύδεται καὶ οὐκ ἀληθῆ λέγει. ἢ δεινόν γε εἰ εἰς μὲν λύσιν τοῦ σώματος ἔδωκα τὸ ἀργύριον ἐκ τῶν πολεμίων, ἐξῆν ἄν μοι χρῆσθαι αὐτῇ ὅ τι ἐβουλόμην· κινδυνεύοντι δέ μοι περὶ τῆς πατρίδος, οὐδὲ πυθέσθαι παρ' αὐτῆς τἀληθῆ ἐκγενήσεται περὶ ὧν εἰς τὴν κρίσιν καθέστηκα. καὶ μὲν δὴ πολὺ ἂν δικαιότερον αὐτὴν ταύτῃ τῇ αἰτίᾳ βασανισθείη, ἢ αὐτὴν τῇ ἐκ τῶν πολεμίων λύσει προθείη. ὅσῳ παρὰ μὲν ἐκείνων βουλομένων ἀπολῦσαι, ἔστι καὶ ἄλλοθεν εὐπορήσαντι κομισθῆναι. αὐτὴν δὲ τοῖς ἐχθροῖς γενόμενον, οὐ δυνατόν. οὐ γὰρ ἀργύριον λαβεῖν προθυμοῦνται, ἀλλ' ἐκ τῆς πατρίδος ἐκβαλεῖν αὐτὸν ποιοῦνται. ὥσθ' ὑμῖν προσήκει μὴ ἀποδέχεσθαι αὐτοῦ. διὰ τοῦτο οὐκ ἀξιοῦντος βασανισθῆναι τὴν ἄνθρωπον, ὅτι αὐτὴν ἐλευθέραν ἐσκήπτετο εἶναι. ἀλλὰ πολὺ μᾶλλον συκοφαντίαν καταγινώσκειν ὅτι παραλιπὼν ἔλεγχον οὕτως ἀκριβῆ, ἐξαπατήσειν ὑμᾶς ῥᾳδίως ᾠήθη. οὐ γὰρ δή που τήν γε τούτων πρόκλησιν πιστοτέραν ὑμᾶς νομίζειν δεῖ τῆς ἡμετέρας. ἐφ' οἷς τοὺς αὐτοῦ οἰκέτας ἠξίου βασανίζεσθαι. ἃ μὲν γὰρ ἐκεῖνοι ᾔδεσαν, ἐλθόντας ἡμᾶς ὡς τοῦτον, καὶ ἡμεῖς ὁμολογοῦμεν· εἰ δὲ μεταπεμφθέντες ἢ μή, καὶ πότερον πρότερος ἐπλήγην, ἢ ἐπάταξα, ἐκείνη μᾶλλον ἂν ᾔδει. ἔτι δὲ τοὺς μὲν τούτου οἰκέτας, ἰδίους ὄντας τούτου εἰ ἐβασανίζομεν, ἀνοήτως ἄν τι τούτῳ χαριζόμενοι, καὶ παρὰ τὴν ἀλήθειαν ἐμοῦ κατεψεύσαντο. αὕτη δὲ ὑπῆρχε κοινή. ὁμοίως ἀμφοτέρων ἀργύριον κατατεθεικότων, καὶ μάλιστα ἤδη διὰ ταύτην ἅπαντα τὰ πραχθέντα ἡμῖν γεγένηται, καὶ οὐ λήσει οὐδὲν ἐν ταύτῃ. ἔγωγ' ἂν ἴσον εἶχον βασανισθείσης. ἀλλ' ἐπικινδυνότερον τοῦτο· πολὺ γὰρ περὶ πλείονος τοῦτον ἢ ἐμὲ φαίνεται ποιησαμένη, καὶ μετὰ μὲν τούτου, ἐμὲ ἠδικηκυῖα· μετ' ἐμοῦ δ' οὐδὲ πώποτε εἰς τοῦτον ἐξαμαρτοῦσα. ἀλλ' ὅμως ἐγὼ μὲν εἰς ταύτην κατέφυγον. οὗτος δὲ οὐκ ἐπίστευσεν αὐτῇ. Οὔκουν δεῖ ὑμᾶς ὦ βουλή, τηλικούτου ὄντος τοῦ κινδύνου, ῥᾳδίως ἀποδέχεσθαι τοὺς τούτου λόγους· ἀλλ' ἐνθυμη

μόνους ὅτι περὶ τῆς πατρίδος μοι καὶ τοῦ βίου ὁ ἀγών. ἔστι μὲν ὑπὸ λίθῳ ταύτας τὰς προκλήσεις ποιεῖσθαι, καὶ μὴ ζητεῖτε τούτων ἔτι μείζους πίστεις. οὐ γὰρ ἂν ἔχοιμι εἰπεῖν, ἀλλ' ἢ ταύτας ὡς οὐδὲν εἰς τοῦτον προνοηθῆναι. ἀγανακτῶ δ' ὦ βουλή, εἰ διὰ πόρνην καὶ δούλην ἄνθρωπον, περὶ τῶν μεγίστων εἰς κίνδυνον καθέστηκα. τί γὰρ ἂν πώποτε τὴν πόλιν, ἢ αὐτὸν τοῦτον εἰργασμένος, ἢ εἰς τίνα τῶν πολιτῶν ὁτιοῦν ἐξαμαρτών. οὐδὲν γὰρ ἔμοι γέ ἐστι τοιοῦτον πεπραγμένον, ἀλλὰ λόγῳ τὸ πάντων κινδυνεύω πολὺ μείζω συμφορὰν ἐμαυτῷ διὰ τούτους ἐπαγαγέσθαι. πρὸς οὖν παίδων καὶ γυναικῶν, καὶ θεῶν τῶν τόδε τὸ χωρίον ἐχόντων, ἱκετεύω ὑμᾶς καὶ ἀντιβολῶ ἐλεήσατέ με, καὶ μὴ περιίδητε ἐπὶ τούτῳ γενόμενον, μηδὲ ἀνηκέστῳ συμφορᾷ περιβάλητε. οὐ γὰρ ἄξιος οὔτ' ἐγὼ φεύγειν τὴν ἐμαυτοῦ, οὔτε οὗτος τοσαύτην δίκην παρ' ἐμοῦ λαβεῖν, ὑπὲρ ὧν φησιν ἠδικεῖσθαι, οὐκ ἠδικημένος.

Ὑπὲρ Καλλίου ἱεροσυλίας, ἀπολογία.

Ι μὲν περὶ ἄλλου τινὸς ἢ τοῦ σώματος ὦ ἄνδρες δικασταί, καλλίας ἠγωνίζετο, ἐξήρκει ἄν μοι καὶ τὰ παρὰ τῶν ἄλλων εἰρημένα. νῦν δέ μοι δοκεῖ αἰσχρὸν εἶναι κελεύοντος καὶ δεομένου, καὶ φίλου ὄντος καὶ ἐμοὶ καὶ ἕως ἔζη τῷ πατρί, καὶ πολλῶν συμβολαίων ἡμῖν πρὸς ἀλλήλους γεγενημένων, μὴ βοηθῆσαι καλλίᾳ τὰ δίκαια ὅπως ἂν δύνωμαι. ἐνόμιζον μὲν οὖν οὕτω μετοικεῖν αὐτὸν ἐν ταύτῃ τῇ πόλει, ὥστε πολὺ πρότερον ἀγαθοῦ τινος τεύξεσθαι παρ' ὑμῶν ἢ διὰ τοιαύτας αἰτίας εἰς τοσοῦτον κίνδυνον καταστήσεσθαι. νῦν δὲ οἱ ἐπιβουλεύοντες οὐχ ἧττον δεινὸν κίνδυνον ποιοῦσι τὸν βίον τοῖς μηδὲν ἀδικοῦσιν, ἢ τοῖς πολλῶν κακῶν αἰτίοις οὖσιν. ὑμᾶς δ' ἄξιον μὴ τοὺς μὲν τῶν θεραπόντων λόγους, πιστοὺς νομίζειν, τοὺς δὲ τούτων, ἀπίστους. ἐνθυμουμένους ὅτι καλλίᾳ μὲν οὐδεὶς πώποτε, οὔτ' ἰδιώτης ἐνεκάλεσεν, οὔτε ἄρχων. οἰκῶν δ' ἐν ταύτῃ τῇ πόλει, πολλὰ μὲν ἀγαθὰ ὑμᾶς ἐποίησεν. οὐδεμίαν δὲ αἰσχρὰν αἰτίαν, εἰς τοῦτο τῆς ἡλικίας ἀφῖκται. οὗτοι δὲ ἐν ἅπαντι τῷ βίῳ μεγάλα ἡμαρτηκότες, καὶ πολλῶν κακῶν πεπειραμένοι, ὥσπερ ἀγαθοῦ τινος αἴτιοι γεγενημένοι, περὶ ἐλευθερίας νυνὶ ποιοῦνται τοὺς λόγους, καὶ οὐ θαυμάζω. ἴσασι γὰρ ὅτι ἂν ψευδόμενοι ἐλεγχθῶσιν, οὐδὲν μεῖζον τῶν ὑπαρχόντων πείσονται. ἐὰν δὲ ὑμᾶς ἐξαπατήσωσι, τῶν παρόντων κακῶν ἔσονται ἀπηλλαγμένοι. καίτοι τοὺς τοιούτους οὔτε κατηγόρους, οὔτε μάρτυρας πιστοὺς χρὴ νομίζειν εἶναι, οἵτινες αὐτοὶ μεγάλα κερδαίνοντες, περὶ ἑτέρων ποιοῦνται τοὺς λόγους. ἀλλὰ πολὺ μᾶλλον ὅσοι τῷ δημοσίῳ βοηθοῦντες, εἰς κινδύνους σφᾶς αὐτοὺς καθιστᾶσιν. Ἄξιον δέ μοι δοκεῖ εἶναι, οὐ τοῦτον ἴδιον ἡγεῖσθαι τὸν ἀγῶνα, ἀλλὰ κοινὸν ἁπάντων τῶν ἐν τῇ πόλει. οὐ γὰρ τούτοις μόνοις εἰσὶ θεράποντες, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, οἳ πρὸς τὴν τούτου τύχην ἀποβλέποντες, οὐκέτι σκέψονται, ὅτι ἀγαθὸν ἐργασάμενοι τοὺς δεσπότας, ἐλεύθεροι γένοιντο, ἀλλ' ὅτι ψεῦδος περὶ αὐτῶν μηνύσαντες

λείπει

ἐκ τοῦ ἑτέρου τοῦ ἱεροῦ ὡς ἀποδιδούς. τῇ δὲ ἐπιούσῃ νυκτὶ ὑφείλετο. οὗτος οὖν ὁ ταῦτα ποιήσας, θανάτῳ τῷ ἀλγίστῳ ἀπώλετο λιμῷ. πολλῶν γὰρ καὶ ἀγαθῶν αὐτῷ ἐνθάδε τὴν τράπεζαν παρατιθεμένων, ὄζειν ἐδόκει τοῦ ἄρτου καὶ τῆς μάζης κάκιστον, καὶ οὐκ ἠδύνατο ἐσθίειν. καὶ ταῦτα πολλοὶ ὑμῶν ἤκουον τοῦ ἱεροφάντου λέγοντος. ὅτι ἀνδοκίδης μηνύων τοὺς αὐτοῦ συγγενεῖς καὶ φίλους ἀπολύων, φάσκων αὐτοὺς συνεργοὺς εἶναι. δίκαιον οὖν μοι δοκεῖ εἶναι νῦν ἐνθάδε τούτῳ τὰ τότε λεχθέντα ἀναμνῆσαι, καὶ μὴ μόνον τοὺς τούτου φίλους ὑπὸ τούτου καὶ τῶν τούτου λόγων ἀπόλλυσθαι, ἀλλὰ καὶ αὐτὸν τοῦτον ὑφ' ἑτέρου. ἀδύνατον δὲ καὶ ὑμῖν ἐστι περὶ τοιούτου πράγματος φέρουσι τὴν ψῆφον, ἢ κατελεῆσαι, ἢ καταχειρίσασθαι ἀνδοκίδην. ἐπισταμένοις ὅτι ἐναργῶς τῷ θεῷ τούτῳ τιμωρεῖται

μωρεῖται τοὺς ἀδικοῦντας, ἐλπίσαι οὖν χρὴ πάντα ἄνθρωπον ὄντα καὶ ἑαυτῷ καὶ ἑτέρῳ ἔσεσθαι. φέρε γὰρ ἂν νυνὶ ἀνδοκίδης ἀθῷος ἀπαλλαγῇ ὑμῶν ἐκ τοῦδε τοῦ ἀγῶνος, καὶ ἔλθῃ κληρωσόμενος τῶν ἐννέα ἀρχόντων καὶ λάχῃ βασιλεύς, ἄλλο τι ἢ ὑπὲρ ὑμῶν καὶ θυσιάσει, καὶ εὐχὰς εὔξεται κατὰ τὰ πάτρια τὰ μὲν ἐν τῷ ἐνθάδε ἐλευσινίῳ, τὰ δὲ, ἐν τῷ ἐλευσινίῳ ἱερῷ καὶ τῆς ἑορτῆς ἐπιμελήσεται μυστηρίοις ὅπως ἂν μηδεὶς ἀδικῇ, μὲ δὲ ἀσεβῇ τὰ ἱερά, καὶ τίνα γνώμην οἴεσθε ἕξειν τοὺς μύστας τοὺς ἀφικνουμένους ἐπειδὰν ἴδωσι τὸν βασιλέα ὅστις ἐστί, καὶ ἀναμνησθῶσι πάντα τὰ ἠσεβημένα αὐτῷ, ἢ τοὺς ἄλλους ἕλληνας, οἳ ἕνεκα ταύτης τῆς ἑορτῆς, ἢ θύειν εἰς ταύτην τὴν πανήγυριν βουλόμενοι ἢ θεωρεῖν. οὐδὲ γὰρ ἀγνὼς ὁ ἀνδοκίδης, οὔτε τοῖς ἔξω, οὔτε τοῖς ἐνθάδε διὰ τὰ ἠσεβημένα. ἀναγκαῖον γὰρ ἔχει ὑπὸ τῶν πολὺ διαφερόντων, ἢ κακῶν, ἢ ἀγαθῶν ἔργων τοὺς ποιήσαντας γιγνώσκεσθαι. ἔπειτα δὲ καὶ διώχληκε πόλεις πολλὰς ἐν τῇ ἀποδημίᾳ. σικελίαν. ἰταλίαν. πελοπόννησον. θετταλίαν. ἑλλήσποντον. ἰωνίαν. κύπρον. βασιλέας πολλοὺς κεκολάκευκεν, ᾧ ἂν συγγένηται, πλὴν τοῦ συρακουσίου διονυσίου. οὗτος δὲ ἢ πάντων εὐτυχέστατός ἐστιν, ἢ πλεῖστον γνώμῃ διαφέρει τῶν ἄλλων. ὃς μόνος τῶν συγγενομένων ἀνδοκίδῃ οὐκ ἐξηπατήθη ὑπ' ἀνδρὸς τοιούτου ὃς τέχνην ταύτην ἔχει· τοὺς μὲν ἐχθρούς, μηδὲν ποιεῖν κακόν, τοὺς δὲ φίλους ὅτι ἂν δύνηται κακόν ὥστε μὰ τὸν δία οὐ ῥᾴδιόν ἐστιν ὑμῖν αὐτῷ οὐδὲν χαριζομένοις παρὰ τὸ δίκαιον λαθεῖν τοὺς ἕλληνας. νῦν οὖν ὑμῖν ἐν ἀνάγκῃ ἐστὶ βουλεύσασθαι περὶ αὐτοῦ.

Εὖ γὰρ ἐπίστασθε ὦ ἄνδρες ἀθηναῖοι, ὅτι οὐχ οἷόν τε ὑμῖν ἐστιν ἅμα τοῖς τε νόμοις τοῖς πατρίοις καὶ ἀνδοκίδῃ χρῆσθαι. ἀλλὰ δυοῖν θάτερον, ἢ τοὺς νόμους ἐξαλειπτέον ἐστίν, ἢ ἀπαλλακτέον τοῦ ἀνδρός. εἰς τοσοῦτο δὲ τόλμης ἀφῖκται, ὥστε καὶ λέγει περὶ τοῦ νόμου ὡς καθῄρηται ὁ περὶ αὐτοῦ κείμενος, καὶ ἔξεστιν αὐτῷ ἤδη εἰσιέναι εἰς τὴν ἀγοράν, καὶ εἰς τὰ ἱερὰ ἂν ἔτι καὶ νῦν ἀθηναίων ἐν τῷ βουλευτηρίῳ, καί τοι περικλέα ποτέ φασι παραινέσαι ὑμῖν περὶ τῶν ἀσεβούντων μὴ μόνον χρῆσθαι τοῖς γεγραμμένοις νόμοις περὶ αὐτῶν, ἀλλὰ καὶ τοῖς ἀγράφοις. καθ' οὓς εὐμολπίδαι ἐξηγοῦνται, οὓς οὐδείς πω κύριος ἐγένετο καθελεῖν, οὐδὲ ἐτόλμησεν ἀντειπεῖν, οὐδὲ αὐτὸν τὸν θέντα ἴσασιν. ἡγεῖσθαι γὰρ ἂν αὐτοὺς οὕτως οὐ μόνον τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τοῖς θεοῖς διδόναι δίκην. ἀνδοκίδης δὲ τοσοῦτον καταπεφρόνηκε τῶν θεῶν, καὶ ὧν ἕνεκα δεῖ τιμωρεῖν, ὥστε πρὶν μᾶλλον ἢ ἧττον ἢ ἐπιδεδημηκέναι δέκα ἡμέρας ἐν τῇ πόλει, προσεκαλέσατο δίκην ἀσεβείας πρὸς τὸν βασιλέα, καὶ ἔλαχεν ἀνδοκίδης, καὶ πεποιηκὼς ἃ οὗτος πεποίηκε περὶ τοὺς θεούς.

Καὶ ἵνα μᾶλλον προσέχητε τὸν νοῦν, φάσκων τὸν ἀρχίππον ἀσεβεῖν περὶ τὸν ἑρμῆν τὸν αὐτοῦ πατρῷον. ὁ δὲ ἄρχιππος ἀντιδίκει, ἢ μὴν τὸν ἑρμῆν ὑγιᾶ τε καὶ ὅλον εἶναι, καὶ μηδὲν παθεῖν ὧνπερ οἱ ἄλλοι ἑρμαῖ. ὅμως μέντοι ἵνα μὴ ὑπὸ τούτου τοιούτου ὄντος πράγματα ἔχῃ, δοὺς ἀργύριον ἀπηλλάγη, καίτοι ὁπότε οὗτος παρ' ἑτέρων ἠξίωσε δίκην ἀσεβείας λαβεῖν, ἤπου ἑτέρους παρὰ τούτου λαβεῖν, δίκαιον καὶ εὐσεβές ἐστιν.

Ἀλλὰ λέξει δεινὸν εἶναι εἰ ὁ μὲν μηνυτὴς τὰ ἔσχατα πείσεται. οἱ δὲ μηνυθέντες τῶν αὐτῶν ὑμῖν ἐπίτιμοι ὄντες μεθέξουσι. καίτοι οὐχ ὑπὲρ αὐτοῦ ἀπολογήσεται, ἀλλὰ καὶ τῶν ἄλλων κατηγορήσει. τοὺς μὲν οὖν ἄλλους οἱ ἐπιτάξαντες καταδέξασθαι ἀδικοῦσι καὶ τοῦ αὐτοῦ ἀσεβήματος αἴτιοί εἰσιν. εἰ δ' ὑμεῖς αὐτοκράτορές ἐστε, καὶ ἔστι οἱ ἀφελόντες τὰς τιμωρίας τῶν θεῶν, ἀλλ' οὗτοι αἴτιοι ἔσονται. ὑμεῖς οὖν μὴ βούλεσθε εἰς ὑμᾶς τὴν αἰτίαν ταύτην περιστῆσαι. ἐξὸν τὸν ἀδικοῦντα κολάσασιν ἀπηλλάχθαι. ἔπειτα δὲ ἐκεῖνοι μὲν, ἀρνοῦνται τὰ μεμηνυμένα. οὗτος δὲ ὁμολογεῖ ποιῆσαι, καίτοι καὶ ἐν ἀρείῳ πάγῳ, ἐν τῷ σεμνοτάτῳ καὶ δικαιοτάτῳ δικαστηρίῳ, ὁμολογῶν μὲν ἀδικεῖν, ἀποθνήσκει. ἐὰν δὲ ἀμφισβητῇ, ἐλέγχεται, καὶ πολλοὺς οὐδὲ δόξαι ἀδικεῖν.

Οὐκ οὖν ὁμοίαν χρὴ γνώμην ἔχειν περί τε τῶν ἀρνουμένων, καὶ περὶ τῶν ὁμολογουμένων. δεινὸν δέ μοι δοκεῖ εἶναι. εἰ μέν τις ἀνδρὸς σῶμα τρώσῃ, κεφαλὴν ἢ πρόσωπον ἢ χεῖρας ἢ πόδας, αὐτὸς μὲν κατὰ τοὺς νόμους τοὺς ἐξ ἀρείου φεύξεται τὴν τοῦ ἀδικηθέντος πόλιν.

ἢ φαρμάκοις ἐκ προνοίας, καὶ ἐὰν μὲν κατά τι ἐνδειχθεὶς, θανάτῳ ζημιωθήσεται. ἐὰν δέ τις τὰ αὐτὰ ταῦτα ἀδικήσῃ τὰ ἀγάλματα τῶν θεῶν, οὐδ᾽ αὐτὸν κωλύσετε τῶν ἱερῶν ἐπιβαίνειν, ἢ εἰσιόντα οὐ τιμωρήσεσθε; καὶ μὴν δὴ τούτων καὶ δίκαιον καὶ ἀγαθόν ἐστιν ἐπιμελεῖσθαι, ὑφ᾽ ὧν καὶ εὖ καὶ κακῶς δυνήσεσθε πάσχειν. φασὶ δὲ καὶ τῶν Ἑλλήνων πολλοὺς διὰ τὰ ἐνθάδε ἀσεβήματα, ἐκ τῶν παρ᾽ αὐτοῖς ἱερῶν εἴργεσθαι. ὑμεῖς δὲ αὐτοὶ οἱ ἀδικηθέντες περὶ ἐλάττονος ποιεῖσθε τὰ παρ᾽ ὑμῖν νόμιμα, ἢ ἕτεροι τὰ ὑμέτερα. τοσούτῳ δ᾽ οὗτος Διαγόρου τοῦ Μηλίου ἀσεβέστερος γεγένηται· ἐκεῖνος μὲν γὰρ λόγῳ, περὶ τὰ ἀλλότρια ἱερὰ, καὶ ἑορτὰς ἠσέβει· οὗτος δὲ ἔργῳ, περὶ τὰ ἐν τῇ αὑτοῦ πόλει. ὀργίζεσθαι οὖν χρὴ ὦ ἄνδρες Ἀθηναῖοι τοῖς αὐτοῖς ἀδικοῦσι μᾶλλον, ἢ τοῖς ξένοις περὶ ταῦτα τὰ ἱερά. τὸ μὲν γὰρ, ὥσπερ ἀλλότριόν ἐστιν ἁμάρτημα, τὸ δ᾽ οἰκεῖον. καὶ μὴ οὓς μὲν ἔχετε ἀδικοῦντας, ἀφίετε· τοὺς δὲ φεύγοντας, ζητεῖτε συλλαμβάνειν, ἐπικηρύττοντες τάλαντον ἀργυρίου δώσειν τῷ ἀγαγόντι, ἢ ἀποκτείναντι. εἰ δὲ μὴ, δόξετε τοῖς Ἕλλησι κομπάζειν μᾶλλον, ἢ τιμωρεῖσθαι βούλεσθαι. ἐπεδείξατο δὲ καὶ τοῖς Ἕλλησιν, ὅτι θεοὺς οὐ νομίζει· οὐ γὰρ ὡς δεδιὼς τὰ πεπραγμένα· ἀλλ᾽ ὡς θαρρῶν, ναυκληρίᾳ ἐπιθέμενος, τὴν θάλατταν ἔπλει. ὁ δὲ θεὸς ὑπῆγεν αὐτόν. ἵνα ἀφικόμενος, εἰς τὰ ἁμαρτήματα ἐνθάδε τῇ ἐμῇ προφάσει, δῴη δίκην. ἐλπίζω μὲν οὖν αὐτὸν καὶ δώσειν δίκην. θαυμάσιον δὲ, οὐδὲν ἄν μοι γένοιτο· οὔτε γὰρ ὁ θεὸς παραχρῆμα κολάζει. ἀλλ᾽ αὕτη μέν ἐστιν ἀνθρωπίνη δίκη· πολλαχόθεν δὲ ἔχω τεκμαιρόμενος εἰκάζειν ἐρῶ, καὶ ἑτέρους ἠσεβηκότας, χρόνῳ δεδωκότας δίκην, καὶ τοὺς ἐξ ἐκείνων διὰ τὰ τῶν προγόνων ἁμαρτήματα. ἐν δὲ τούτῳ τῷ χρόνῳ δέη πολλὰ καὶ κινδύνους ὁ θεὸς ἐπιπέμπει τοῖς ἀδικοῦσιν. ὥστε πολλοὺς ἤδη ἐπιθυμῆσαι, τελευτήσαντας, τῶν κακῶν ἀπαλλάχθαι. ὁ δὲ θεὸς τέλος τούτῳ λυμηνάμενος τῷ βίῳ, θάνατον ἐπέθηκε. σκέψασθε δὲ καὶ αὐτοῦ Ἀνδοκίδου τὸν βίον ἀφ᾽ οὗ ἠσέβηκε, καὶ εἴ τις τοιοῦτος ἕτερός ἐστιν. Ἀνδοκίδης γὰρ ἐπειδὴ ἥμαρτεν ὑπὸ τῆς βουλῆς εἰσαχθεὶς εἰς τὸ δικαστήριον, ἐδίκασεν αὐτὸν τιμησάμενος δεσμοῦ, εἰ μὴ παραδοίη τὸν ἀκόλουθον. ὁ δ᾽ ἤδη οὐ δυνησόμενος παραδοῦναι· ὃς διὰ τοῦτον, καὶ τὰ τούτου ἁμαρτήματα ἀπέθανεν, ἵνα μηνυτὴς γένοιτο, καίτοι πῶς οὐ θεὸν τις τὴν τούτου γνώμην διέφθειρεν· ὃς ἔλαττον ἡγήσατο δεσμοῦ τιμήσασθαι, μαρτύριον ἐπ᾽ ἐλπίδι τῇ αὐτῇ. ἐκ δ᾽ οὖν τούτου τοῦ τιμήματος, ἐδέδετο ἐγγὺς ἐνιαυτὸν, καὶ ἐμήνυσε δεδεμένος κατὰ τῶν αὑτοῦ συγγενῶν καὶ φίλων. ἀδείας δοθείσης αὐτῷ, εἰ δόξειε, τἀληθῆ μηνῦσαι. καὶ τίνα αὐτὸν δοκεῖτε ψυχὴν ἔχειν, ὁπότε τὰ μὲν ἔσχατα καὶ τὰ αἴσχιστα ἐποίει μηνύων κατὰ τῶν ἑαυτοῦ φίλων. ἡ δὲ σωτηρία ἀφανὴς αὐτῷ· μετὰ δὲ ταῦτα ἐπειδὴ ἀπεκτονὼς ἦν οὓς αὐτὸς ἔφη περὶ πλείστου ποιεῖσθαι, ἔδοξε τἀληθῆ μηνῦσαι, καὶ ἐλύθη. καὶ προσεψηφίσασθε ὑμεῖς αὐτὸν εἴργεσθαι τῆς ἀγορᾶς, καὶ τῶν ἱερῶν. ὥστε μὴ ἀδικουμένῳ ὑπὸ τῶν ἐχθρῶν δύνασθαι δίκην λαβεῖν. οὐδεὶς γάρ που ἐξ ὅσου Ἀθηναῖοι ἀείμνηστοί εἰσιν, ἐπὶ τοιαύτῃ αἰτίᾳ ἠτιμώθη δικαίως. οὐδὲ γὰρ ἔργα τοιαῦτα οὐδείς που εἰργάσατο. καὶ τούτων πότερα τοὺς θεοὺς χρὴ, ἢ τὸ αὐτόματον αἰτιᾶσθαι.

Μετὰ δὲ ταῦτα, ἔπλευσεν ὡς τὸν Κιτιέων βασιλέα, καὶ προδιδοὺς ληφθεὶς, ὑπ᾽ αὐτοῦ ἐδέθη, καὶ οὐ μόνον τὸν θάνατον ἐφοβεῖτο, ἀλλὰ καὶ τὰ καθ᾽ ἡμέραν αἰκίσματα, οἰόμενος τὰ ἀκρωτήρια ζῶντος ἀποτμηθήσεσθαι. ἀποδρὰς δὲ ἐκ τούτου τοῦ κινδύνου, κατέπλευσεν εἰς τὴν ἑαυτοῦ πόλιν· ἐπὶ τῶν τετρακοσίων θεὸς λήθην ἔδωκεν· ὥστε εἰς τοὺς ἠδικημένους αὐτοὺς ἐπιθυμῆσαι ἀφικέσθαι. ἀφικόμενος δὲ, ἐδέθη καὶ ᾐκίσθη. ἀπώλετο δὲ οὐχὶ, ἀλλ᾽ ἐλύθη. ἔνθα δὲ ἔπλευσεν ὡς Εὐαγόραν τὸν Κύπρου βασιλεύοντα. καὶ ἀδικήσας εἴρχθη, ἀποδράσας τοῦτον, ἔφυγε μὲν τοὺς ἐνθάδε θεοὺς, ἔφυγε δὲ τὴν ἑαυτοῦ πόλιν.

Ἔφυγε δὲ εἰς οὓς τὸ πρῶτον ἀφίκοιτο τόπους. καίτοι τίς χάρις τῷ βίῳ κακοπαθεῖν μὲν πολλάκις, ἀναπαύσασθαι δὲ μηδέποτε. καταπλεύσας δὲ ἐκεῖθεν δεῦρο εἰς δημοκρατίαν εἰς τὴν αὑτοῦ πόλιν, τοῖς μὲν πρυτανεύουσιν ἔδωκε χρήματα, ἵνα αὐτὸν προσαγάγοιεν ἐνθένδε. ὑμεῖς δ᾽ αὐτὸν ἐξηλάσατε ἐκ τῆς πόλεως, τοῖς θεοῖς βεβαιοῦντες τοὺς νόμους οὓς ἐψηφίσασθε, καὶ τὸν ἄνδρα,

δρα, οὐ δῆμος, οὐκ ὀλιγαρχία, οὐ τύραννος, οὐ πόλις ἐθέλει δέξασθαι διὰ τέλους. ἀλ-
λὰ πάντα τὸν χρόνον ἐξ ὅσου ἠσέβησεν, ἀλώμενος διάγει. πιστεύων ἀεὶ μᾶλλον τοῖς ἀγ-
νῶσι τῶν γνωρίμων, διὰ τὸ ἠδικηκέναι οὓς γινώσκει. τὸ δὲ τελευταῖον νῦν ἀφικόμενος εἰς
τὴν πόλιν, δὶς ἐν τῷ αὐτῷ ἐνδέδεκται. καὶ τὸ μὲν σῶμα, ἀεὶ δεσμοῖς ἔχει. ἡ δὲ οὐσία
αὐτοῦ ἐλάττων ἐκ τῶν κινδύνων γίνεται, καὶ ὅταν τις τὸν αὐτοῦ βίον ἐχθροῖς καὶ τοῖς
συκοφάνταις διανέμῃ, τοῦτ' ἐστὶ τὸ τὸν βίον ἀβίωτον. ἃ τούτῳ ὁ θεὸς οὐκ ἐπὶ
σωτηρίᾳ ἐπινοεῖν δίδωσιν. ἀλλὰ τιμωρούμενος τῶν γεγενημένων ἀσεβημάτων. τὸ δὲ
τελευταῖον νυνὶ παραδέδωκεν αὐτὸν ὑμῖν χρῆσθαι, ὅτι ἂν βούλησθε. οὕτω
μὴ ἀδικεῖν πιστεύων, ἀλλ' ὑπὸ δαιμονίου τινὸς ἀγόμενος ἀνάγκης. οὐκοῦν χρὴ
μὰ τὸν Δία, οὔτε πρεσβύτερον ὄντα, οὔτε νεώτερον, ὁρῶντας ἀνδοκίδην ἐκ τῶν
κινδύνων σωζόμενον συνειδότας αὐτῷ ἔργα ἀνόσια εἰργασμένῳ ἀθυμοτέρους γίνεσθαι
ἐνθυμουμένους ὅτι ἥμισυς ὁ βίος βιῶναι κρείττων ἀλύπως, ἢ διπλασίου λυπουμένῳ,
ὥσπερ οὗτος. εἰς τοσοῦτον δὲ ἀναισχυντίας ἀφῖκται, ὥστε καὶ παρασκευάζεται τῇ
πόλει καὶ πράττει καὶ ἤδη δημηγορεῖ. καὶ ἐπιτιμᾷ, καὶ ἀποδοκιμάζει τῶν ἀρχόντων
τινάς. καὶ συμβουλεύει. εἰς τὴν βουλὴν εἰσιὼν, περὶ θυσιῶν, καὶ προσόδων, καὶ εὐχῶν, καὶ
μαντειῶν, καίτοι τούτῳ πειθόμενοι, ποίοις θεοῖς ἡγήσεσθε κεχαρισμένα ποιεῖν. μὴ γὰρ
οἴεσθε ὦ ἄνδρες δικασταὶ, εἰ ὑμεῖς βούλεσθε τὰ τούτῳ πεποιημένα ἐπιλαθέσθαι, καὶ τοὺς
θεοὺς ἐπιλήσεσθαι. ἀξιοῖ δὲ οὐχ ὡς ἠδικηκὼς ἡσυχίαν ἔχων πολιτεύεσθαι, ἀλλ' ὥσπερ
αὐτὸς ἐξευρὼν τοὺς τὴν πόλιν ἀδικήσαντας, οὕτω διανοεῖται καὶ παρασκευάζεται, ὅ-
πως ἕτερον μεῖζον δυνήσεται, ὥσπερ οὐ διὰ πρᾳότητα καὶ ἀμέλειαν τὴν ὑμετέραν
οὐ δεδωκὼς ὑμῖν δίκην ὧς οὐ νῦν ἁμαρτάνων οὐ λανθάνει, ἀλλ' ἅμα ἐξελεγχθήσεταί τε
καὶ δώσει δίκην. ἰσχυριεῖται δὲ καὶ τούτῳ τῷ λόγῳ. ἀναγκαίως γάρ ἔχω ὑμᾶς διδά-
σκειν ἃ οὗτος ἀπολογήσεται. ἵν' ἀκούσαντες παρ' ἀμφοτέρων, ἄμεινον διαγνῶτε. φησὶ γὰρ
ἀγαθὰ μεγάλα ποιῆσαι τὴν πόλιν. μηνύσας καὶ ἀπαλλάξας δέους καὶ ταραχῆς τῆς
τότε. τίς δὲ τῶν μεγάλων κακῶν αἴτιος ἐγένετο. οὐκ αὐτὸς οὗτος ποιήσας ἃ ἐποίησεν,
εἶτα τῶν μὲν ἀγαθῶν δεῖ τούτῳ χάριν εἰδέναι. ὅτι ἐμήνυσε μισθὸν ὑμῶν αὐτῷ διδόντων
τὴν ἄδειαν. τῆς δ' ἀρχῆς καὶ τῶν κακῶν, ὑμεῖς αἴτιοί ἐστε. ὅτι ἐζητεῖτε τοὺς ἠσεβηκό-
τας, οὐδέπου δεῖν, ἀλλ' αὐτὸ τοὐναντίον. ἐτάραξε μὲν οὗτος τὴν πόλιν. κατεστήσα-
τε δ' ὑμεῖς. πυνθάνομαι δ' αὐτὸν μέλλειν ἀπολογήσεσθαι ὡς αἱ συνθῆκαι καὶ αὐτῷ εἰσι,
καθάπερ καὶ τοῖς ἄλλοις ἀθηναίοις, καὶ τοῦτο πρόσχημα ποιούμενος, οἴεται πολλοὺς ὑμῶν
δεδιότας μὴ λύσητε τὰς συνθήκας, αὐτοῦ ἀποψηφιεῖσθαι. ὡς οὖν οὐδὲν προσήκει ἀν-
δοκίδῃ τῶν συνθηκῶν, περὶ τούτου λέξω. οὔτε μὰ τὸν Δία τῶν πρὸς λακεδαιμονίους,
ἃς ὑμεῖς συνέθεσθε, οὔτε τῶν πρὸς τοὺς ἐν τῷ ἄστει οἱ ἐκ πειραιῶς, οὐδενὶ γὰρ ὑμῶν το-
σούτων ὄντων τὰ αὐτὰ ἁμαρτήματα, οὐδ' ὅμοια ἦν τοῖς ἀνδοκίδου. ὥστε καὶ τοῦτο
ὑμῶν ἀπολαῦσθαι, ἀλλ' οὐ μὲν δὴ ἕνεκά γε τούτου διαφερόμενοι, ἐπειδὴ καὶ τούτῳ με-
τέδωκε τῶν συνθηκῶν, τότε διηλλάγημεν. οὐ γὰρ ἕνεκεν ἑνὸς ἀνδρὸς, ἀλλ' ἕνεκεν ἡμῶν
τῶν ἐξ ἄστεως καὶ ἐκ πειραιέως αἱ συνθῆκαι ἐγένοντο, καὶ οἱ ὅρκοι. ἐπεί τοι δεινὸν ἂν εἴη
εἰ τῶν ἀνδοκίδου ἀποδημοῦντες, αὐτοὶ ἐνδεεῖς ὄντες ἐπεμελήθημεν. ὅπως ἐξαλειφθείη
αὐτῷ τὰ ἁμαρτήματα, ἀλλὰ λακεδαιμόνιοι γὰρ ἐν ταῖς πρὸς αὐτοὺς συνθήκαις,
ἐπεμελήθησαν ἀνδοκίδου, ὅτι ἔπαθον ἀγαθόν τι ὑπ' αὐτοῦ. ἀλλ' ἡμεῖς ἐπεμελήθημέν γε
αὐτοῦ. ἀντὶ ποίας εὐεργεσίας. ὅτι πολλάκις δι' ὑμᾶς ὑπὲρ τῆς πόλεως ἐκινδύνευ-
σεν; οὐκ ἔστιν ὦ ἄνδρες ἀθηναῖοι τούτῳ ἀληθὴς αὕτη ἡ ἀπολογία. μὴ δ' ὑμεῖς ἐξαπατᾶσ-
θε. οὐ γὰρ τοῦτο λύειν ἐστὶ τὰ συγκείμενα. εἰ ἀνδοκίδης ἕνεκα τῶν ἰδίων ἁμαρτημάτων
δίδωσι δίκην, ἀλλ' ἐάν τις ἕνεκα τῶν δημοσίων συμφορῶν ἰδίᾳ τινὶ τιμωρῆται. ἴσως
οὖν καὶ κηφισίου ἀντικατηγορήσει. καὶ ἕξει ὅτι λέγῃ. τὰ γὰρ ἀληθῆ χρὴ λέγειν. ἀλ-
λ' ὑμεῖς οὐδ' ἂν δύναισθε τῇ αὐτῇ ψήφῳ, τόν τε ἀπολογούμενον, καὶ τὸν κατηγοροῦν-
τα κολάσαι. ἀλλὰ νῦν μὲν περὶ τούτου καιρός ἐστι γνῶναι τὰ δίκαια. ἕτερος δὲ ἔξει
κηφισίῳ καὶ ὑμῶν ἑκάστῳ. ὧν οὗτος νῦν μηνύσεται. μὴ οὖν καὶ δι' ἑτέραν ὀργὴν τοῦτον

ἀδικοῦντος νῦν ἀποψηφίσησθε, ἀλλὰ λέξει ὅτι μηνυτὴς ἐγένετο. καὶ ἕτερος οὐδεὶς ὑμῖν ἐθελήσει μηνύειν, ἐὰν κομίζηται. ἀνδοκίδης δὲ ἔχει τὰ μήνυτρα παρ' ὑμῶν· σώσας τὴν αὐτοῦ ψυχήν, ἑτέρων δὲ ταῦτα ἀποθανόντων, τῆς μὲν οὖν σωτηρίας ὑμεῖς τούτῳ αἴτιοι ἐστέ, τῶν δὲ κακῶν τῶνδε καὶ τῶν κινδύνων, αὐτὸς ἑαυτῷ παραβὰς τὰ δόγματα, καὶ τὴν ἄδειαν ἐφ' ᾗ μηνυτὴς ἐγένετο· οὔκουν ἐξουσίαν χρὴ ποιεῖν τοῖς μηνυταῖς ἀδικεῖν, ἀρκεῖ γὰρ τὰ πεποιημένα, ἀλλὰ παραβαίνοντας κολάζειν, καὶ οἱ μὲν ἄλλοι μηνυταί, ὁπόσοι μετ' αἰσχρᾶς αἰτίας ἐξεληλεγμένοι, σφᾶς αὐτοὺς ἐμήνυσαν, ἐν γὰρ ἐπίστανται μὴ ἐνοχλεῖν τοῖς ἠδικημένοις ἡγούμενοι, ἀποδημοῦντες μὲν ἀθῷοι καὶ ἐπίτιμοι δόξειν εἶναι· ἐπιδημοῦντες δὲ παρὰ τοῖς πολίταις τοῖς ἠδικημένοις, πονηροὶ δόξειν καὶ ἀσεβεῖς εἶναι. ὁ γὰρ πάντων πονηρότατος βάτραχος πρὶν τούτου γενόμενος ἐπὶ τῶν λ' μηνυτής, καὶ οὔσης αὐτῷ συνθηκῶν καὶ ὅρκων καθάπερ τοῖς ἐλευσῖνόθεν, δείσας ὑμῶν οὓς ἠδίκησεν, ἐν ἑτέρᾳ πόλει ᾤκει· ἀνδοκίδης δὲ καὶ αὐτοὺς τοὺς θεοὺς ἀδικήσας, πολὺ ἐλάττονος αὐτοὺς ἔθετο εἰσιὼν εἰς τὰ ἱερά, ἢ βάτραχος τοὺς ἀνθρώπους. ὅστις οὖν καὶ πονηρότερος, καὶ ἀμαθέστερος βατράχου ἐστί, πάνυ δὴ ἀγαπητὸς ὑφ' ὑμῶν αὐτὸν σωθέντα. φέρε δὴ ἔτι σκεψαμένους χρὴ ὑμᾶς ἀνδοκίδην ἀποψηφίσασθαι· πότερον ὡς στρατιώτης ἀγαθός, ἀλλ' οὐδεπώποτ' ἐκ τῆς πόλεως ἐστρατεύσατο. οὔτε ἱππεὺς οὔτε ὁπλίτης οὔτε τριήραρχος. οὔτ' ἐπιβάτης, οὔτε πρὸ τῆς συμφορᾶς· οὔτε μετὰ τὴν συμφοράν, πλέον ἢ τετταράκοντα ἔτη γεγονώς, καὶ ἕτεροι φεύγοντες ἐν ἑλλησπόντῳ συνετριηράρχουν ὑμῖν· ἀναμνήσθητε δὲ καὶ αὐτοὶ ἐξ ὅσων κακῶν καὶ πολέμων, ὑμᾶς αὐτοὺς εὐδαίμονας ἐποιήσατε, καὶ τὴν πόλιν πολλὰ μὲν τοῖς σώμασι πονήσαντες, πολλὰ δὲ καὶ ἀναλώσαντες χρήματα, καὶ ἰδίᾳ καὶ δημοσίᾳ. πολλοὺς δὲ καὶ ἀγαθοὺς τῶν πολιτῶν καταθάψαντες ἐν τῷ γενομένῳ πολέμῳ. ἀνδοκίδης δὲ ἀπαθὴς τούτων τῶν κακῶν γενόμενος εἰς τὴν σωτηρίαν πατρίδα, ἀξιοῖ νῦν μετέχειν τῆς πόλεως ἀσεβῶν ἐν αὐτῇ. ἀλλὰ πλουτῶν γὰρ καὶ δυνάμενος τοῖς χρήμασι καὶ βασιλεῦσιν ἐξενωμένος καὶ τυράννοις. ἃ νῦν ἐγκομπάσει ἐπιστάμενος τοὺς ὑμετέρους τρόπους, ποίας εἰσφορὰς τούτῳ ἀγαθὸν γένοιτο, καὶ ἐπιστάμενος ἐν πολλῷ σάλῳ καὶ κινδύνῳ τὴν πόλιν γενομένην ναυκληρῶν οὐκ ἐτόλμησεν ἐπαρθεὶς σῖτον εἰσάγων ὠφελῆσαι τὴν πατρίδα, ἀλλὰ μέτοικοι μὲν καὶ ξένοι, ἕνεκα τῆς μετοικίας, ὠφέλουν τὴν πόλιν εἰσάγοντες. σὺ δὲ τί καὶ ἀγαθὸν ποιήσας ὦ ἀνδοκίδη, ποῖα ἁμαρτήματα ἀνακαλεσάμενος· ποῖα τροφεῖα ἀποδούς. ἀθηναῖοι μνήσθητε τὰ πεποιημένα ἀνδοκίδῃ· ἐνθυμήθητε δὲ καὶ τῆς ἑορτῆς, δι' ἣν ὑπὸ τῶν πολλῶν προυτιμήθητε. ἀλλ' ἔστι γὰρ ὑπὸ τῶν τούτου ἁμαρτημάτων ἤδη κατάπληγες, διὰ τὸ πολλάκις ἰδεῖν καὶ ἀκοῦσαι. ὥστε οὐδὲ τὰ δεινὰ ἔτι δεινὰ δοκεῖ ὑμῖν εἶναι, ἀλλὰ προσέχετε τὸν νοῦν. δοκείτω δ' ὑμῖν ἡ γνώμη ὁρᾶν, ἃ οὗτος ποιεῖ, καὶ δὴ γνώσεσθε ἄμεινον. οὗτος γὰρ ἐνδὺς στολὴν μιμούμενος τὰ ἱερά, ἐπεδείκνυε τοῖς ἀμυήτοις, καὶ εἶπε τῇ φωνῇ τὰ ἀπόρρητα. τῶν δὲ θεῶν, οὓς ἡμεῖς θεοὺς νομίζομεν, καὶ θεραπεύοντες καὶ ἁγνεύοντες θύομεν καὶ προσευχόμεθα, τούτους περιέκοψε, καὶ ἐπὶ τούτοις ἱέρειαι καὶ ἱερεῖς στάντες, κατηράσαντο πρὸς ἑσπέραν, καὶ φοινικίδας ἀνέσεισαν, καὶ τὸν νόμιμον τὸν παλαιὸν καὶ ἀρχαῖον· ὡμολόγησε δὲ οὗτος ποιῆσαι. ἔτι δὲ παρελθὼν τὸν νόμον ὃν ὑμεῖς ἔθεσθε, εἴργεσθαι τῶν ἱερῶν αὐτὸν ὡς ἀλιτήριον ὄντα, ταῦτα πάντα βιασάμενος, εἰσελήλυθεν ὑμῶν εἰς τὴν πόλιν, καὶ ἔθυσεν ἐπὶ τὸν βωμόν, ὃν οὐκ ἐξῆν αὐτῷ, καὶ ἀπήντα τοῖς ἱεροῖς περὶ ἃ ἠσέβησεν· εἰσῆλθεν εἰς τὸ ἐλευσίνιον, ἐχέρνιψατο ἐκ τῆς ἱερᾶς χέρνιβος· τίνα χρὴ ταῦτα ἀνέχεσθαι· ποῖον φίλον· ποῖον συγγενῆ· ποῖον δημότην χρὴ τούτῳ χαρισάμενον κρύβδην, φανερῶς τοῖς θεοῖς ἀπεχθέσθαι· νῦν οὖν χρὴ νομίζειν τιμωρουμένους, καὶ ἀπαλλαττομένους ἀνδοκίδου τὴν πόλιν καθαίρειν, καὶ ἀποδιοπομπεῖσθαι, καὶ φάρμακον ἀποπέμπειν, καὶ ἀλιτηρίου ἀπαλλάττεσθαι, ὡς ἐν τούτων οὗτός ἐστι· βούλομαι τοίνυν εἰπεῖν, ἃ διοκλῆς ὁ ζακόρου τοῦ ἱεροφάντου, πάππος δὲ ἡμέτερος συνεβούλευσε· βουλευομένοις ὑμῖν ὅτι δεῖ χρῆσθαι μεγαρεῖ ἀνδρὶ ἠσεβηκότι· κελευόντων γὰρ ἑτέρων ἄκριτον πα-

ρα χρήματα ἀποκτεῖναι, παρήνεσε κεῖναι τῶν ἀνθρώπων ἐκεῖνον. ἵνα ἀκούσαντες καὶ ἰδόντες, σωφρονέστεροι οἱ ἄλλοι ὦσι. τῶν δὲ θεῶν ἐκεῖνοι εἴ κοθεν ἕκαστοι ἃ δεῖ τὸν ἀσεβοῦντα παθεῖν αὐτὸν παρ' ἑαυτῷ κεκρικότα εἰς τὸ δυστυχέστερον εἰσιέναι, καὶ ὑμεῖς ὦ ἄνδρες Ἀθηναῖοι, ἐπίστασθε γὰρ ἃ δεῖ ποιῆσαι. μὴ ἀναπεισθῆτε ὑπὸ τούτου. φανερῶς ἔχετε αὐτὸν ἀσεβοῦντα. εἴδετε, ἠκούσατε, τὰ τούτου ἁμαρτήματα. αὐτὸ ἐπιβολεύσει καὶ ἱκετεύσει ὑμᾶς, μὴ ἐλεεῖτε. οὐ γὰρ οἱ δικαίως ἀποθνήσκοντες, ἀλλ' οἱ ἀδίκως ἄξιοί εἰσιν ἐλεεῖσθαι.

Λυσίου ἀρεοπαγιτικὸς, ὑπὲρ τοῦ σηκοῦ ἀπολογία.

Ρότερον μὲν ὦ βουλὴ ἐνόμιζον ἐξεῖναι τῷ βουλομένῳ ἡσυχίαν ἄγοντι, μήτε
ϖ δίκας ἔχειν, μήτε πράγματα. νυνὶ δὲ οὕτως ἀπροσδοκήτως αἰτίαις καὶ πονηροῖς συκοφάνταις περιπέπτωκα, ὥστ' εἴ πως οἷόν τε, δοκεῖ μοι δεῖν, καὶ τοὺς μὴ γεγονότας ἤδη δεδιέναι περὶ τῶν μελλόντων ἔσεσθαι. διὰ γὰρ τοὺς τοιούτους οἱ κίνδυνοι οἱ κοινοὶ γίγνονται, καὶ τοῖς μηδὲν ἀδικοῦσι, καὶ τοῖς πολλὰ ἡμαρτηκόσιν. οὕτω δ' ἄπορος ὁ ἀγών μοι καθέστηκεν, ὥστε ἀπογράφειν τὸ μὲν πρῶτον, ἐλαίαν ἐκ τῆς γῆς ἀφανίζειν, καὶ πρὸς τοὺς ἐωνημένους τοὺς καρποὺς τῶν μοριῶν πυνθανόμενοι προσήεσαν. ἐπειδὴ δ' ἐκ τούτου τοῦ τρόπου ἀδικοῦντά με οὐδὲν εὑρεῖν ἐδυνήθησαν. νυνί με σηκὸν ἀφανίζειν ἡγούμενοι, ἐμοὶ μὲν ταύτην τὴν αἰτίαν ἀπορωτάτην εἶναι ἀποδεῖξαι. αὐτοῖς δὲ ἐξεῖναι μᾶλλον αἰτίαν βούλονται λέγειν, καὶ δεῖ με περὶ ὧν οὗτος ἐπιβεβουλευκὼς ἥκει, ἀλλ' ὑμῖν τοῖς διαγνωσομένοις περὶ τοῦ πράγματος ἀκούσαντες καὶ περὶ τῆς πατρίδος, καὶ περὶ οὐσίας ἀγωνίζεσθαι. ὅμως δὲ πειράσομαι ἐξ ἀρχῆς ὑμᾶς διδάξαι. ἦν μὲν γὰρ τοῦτο πεισάνδρου τὸ χωρίον. δημευθέντων τῶν ὄντων ἐκείνου, ἀπολλόδωρος ὁ μεγαρεὺς δωρεὰν παρὰ τοῦ δήμου λαβὼν, τὸν μὲν ἄλλον χρόνον ἐγεώργει. ὀλίγω δὲ πρὸ τῶν τριάκοντα, ἀντικλῆς παρ' αὐτοῦ πριάμενος, ἐξεμίσθωσεν. ἐγὼ δὲ παρ' ἀντικλέους εἰρήνης οὔσης ὠνούμην. ἡγοῦμαι τοίνυν ὦ βουλὴ ἐμὸν ἔργον ἀποδεῖξαι, ὡς ἐπειδὴ τὸ χωρίον ἐκτησάμην. οὔτ' ἐλαία, οὔτε σηκὸς ἦν ἐν αὐτῷ. νομίζω γὰρ τοῦ μὲν προτέρου χρόνου, οὐδ' εἰ πάλαι ἦσαν μορίαι, οὐκ ἂν δικαίως ζημιοῦσθαι. εἰ γὰρ μὴ δι' ἡμᾶς εἰσιν ἠφανισμέναι, οὐδὲν προσήκει περὶ τῶν ἀλλοτρίων ἁμαρτημάτων, ὡς ἀδικοῦντας κινδυνεύειν. πάντες γὰρ ἐπίστασθε, ὅτι ὁ πόλεμος καὶ ἄλλων πολλῶν αἴτιος κακῶν γεγένηται. καὶ τὰ μὲν πόρρω, ὑπὸ λακεδαιμονίων ἐτέμνετο. τὰ δ' ἐγγὺς, ὑπὸ τῶν φίλων διηρπάζετο. ὥστε πῶς ἂν δικαίως ὑπὲρ τῶν τῇ πόλει γεγενημένων συμφορῶν, ἐγὼ νυνὶ δίκην δέδωκα. ἄλλως τε καὶ τούτου τοῦ χωρίου ἐν τῷ πολέμῳ δημευθέν, ἄπρατον ἦν πλείονα ἢ τρία ἔτη, οὐ θαυμαστὸν εἰ τότε τὰς μορίας ἐξέκοπτον. ἐν ᾧ οὐδὲ τὰ ἡμέτερα αὐτῶν φυλάττειν ἠδυνάμεθα. ἐπίστασθε δὲ ὦ βουλὴ, ὅσοι μάλιστα τῶν τοιούτων ἐπιμελεῖσθε, πολλὰ ἐν ἐκείνῳ τῷ χρόνῳ δασέα ὄντα, ἰδίαις καὶ μορίαις ἐλαίαις. ὧν νῦν τὰ πολλὰ ἐκκέκοπται, καὶ ἡ γῆ ψιλὴ γεγένηται, καὶ τῶν αὐτῶν, καὶ ἐν τῇ εἰρήνῃ, καὶ ἐν τῷ πολέμῳ κεκτημένων οὐκ ἀξιοῦται παρ' αὐτῶν ἑτέρων ἐκκοψάντων δίκην λαμβάνειν. καίτοι εἰ τοὺς διὰ παντὸς τοῦ χρόνου γεωργοῦντας τῆς αἰτίας ἀφίετε, ἦ που χρὴ τούς γ' ἐν τῇ εἰρήνῃ πριαμένους ἀφ' ὑμῶν, ἀζημίους γενέσθαι. Ἀλλὰ γὰρ ὦ βουλὴ, περὶ μὲν τῶν πρότερον γεγενημένων πολλὰ ἔχων εἰπεῖν, ἱκανὰ νομίζω τὰ εἰρημένα. ἐπειδὴ δ' ἐγὼ παρέλαβον τὸ χωρίον, πρὶν ἡμέρας πέντε γενέσθαι, ἀπεμίσθωσα καλλιστράτῳ ἐπὶ πυθοδώρου ἄρχοντος. δύο δ' ἔτη ἐγεώργησεν. οὔτε ἰδίας ἐλαίας, οὔτε μορίαν, οὔτε σηκὸν παραλαβών. τρίτῳ δὲ ἔτει δημήτελος οὑτοσὶ εἰργάσατο ἐνιαυτόν. τῷ δὲ τετάρτῳ, ἀλκίᾳ ἀντισθένους ἀπελευθέρῳ ἐμίσθωσα. ὃς τέθνηκε ταῦτα τρία ἔτη. ὁμοίως καὶ πρωτέας ἐμισθώσατο, καί μοι δεῦρο ἴτε μάρτυρες.

Ἐπειδὴ τοίνυν ὁ χρόνος οὗτος ἐξήκει αὐτὸς γεωργῶ. φησὶ δὲ ὁ κατήγορος ἐπὶ σουνιάδου ἄρχοντος, σηκὸν ὑπ' ἐμοῦ ἐκκεκόφθαι. ὑμῖν δὲ μεμαρτυρήκασιν οἱ πρότερον ἐργαζόμενοι, καὶ πολλὰ ἔτη παρ' ἐμοῦ μεμισθωμένοι μὴ εἶναι σηκὸν ἐν τῷ χωρίῳ. καίτοι πῶς

ἄν τις φανερῶς ἐξελέγξειε ψευδόμενον τὸν κατήγορον. οὐ γὰρ οἷόν τε ἃ πρότερον μὴ ἦν, ταῦτα τὸν ὕστερον ἐργαζόμενον ἀφανίζειν. ἐγὼ τοίνυν ὦ βουλὴ, ἐν μὲν τῷ τέως χρόνῳ ὅσοι με φάσκοιεν δεινὸν εἶναι καὶ ἀκριβῆ καὶ οὐδὲν ἂν εἰκῇ καὶ ἀλογίστως ποιῆσαι, ἠγανάκτουν ἂν, ἡγούμενος μᾶλλον λέγεσθαι ὥς μοι προσῆκε. νῦν δὲ πάντας ἂν ὑμᾶς βουλοίμην περὶ ἐμοῦ ταύτην τὴν γνώμην ἔχειν. ἵνα ἡγῆσθέ με σκοπεῖν, εἴπερ τοιούτοις ἔργοις ἐπεχείρουν, καὶ, ὅ, τι κέρδος ἐγένετο τῷ ἀφανίζοντι, καὶ ἥτις ζημία τῷ ποιήσαντι, καί τι ἂν λαθὼν διεπραξάμην, καί τι ἂν φανερὸς γενόμενος, ὑφ' ὑμῶν ἔπασχον, πάντες γὰρ ἄνθρωποι τὰ τοιαῦτα οὐχ ὕβρεως, ἀλλὰ κέρδους ἕνεκα ποιοῦσι. καὶ ὑμᾶς εἰκὸς οὕτω σκοπεῖν καὶ τοὺς ἀντιδίκους ἐκ τούτων τὰς κατηγορίας ποιεῖσθαι ἀποφαίνοντας, ἥτις ὠφέλεια τοῖς ἀδικήσασιν ἐγίγνετο. οὗτος μέντοι οὐκ ἂν ἔχοι ἀποδεῖξαι. οὔθ' ὡς ὑπὸ πενίας ἠναγκάσθην τοιούτοις ἔργοις ἐπιχειρεῖν, οὔθ' ὡς τὸ χωρίον μοι διαφθείρεται τοῦ σηκοῦ ὄντος, οὔθ' ὡς ἀμπέλοις ἐμποδὼν ἦν, οὔθ' ὡς οἰκίας ἐγγὺς, οὔθ' ὡς ἐγὼ ἄπειρος τῶν παρ' ὑμῖν κινδύνων εἴ τι τούτων ἔπραττον πολλὰς ἂν καὶ μεγάλας ἐμαυτῷ ζημίας γενομένας ἀποφῆναι μοι. ὃς πρῶτον μὲν μεθ' ἡμέραν, ἐξέκοπτον τὸν σηκὸν, ὥσπερ οὐ πάντας λαθεῖν δέον, ἀλλὰ πάντας Ἀθηναίους εἰδέναι. καὶ εἰ μὲν αἰσχρὸν ἦν μόνον τὸ πρᾶγμα, ἴσως ἄν τις τῶν παριόντων ἠμέλησε. νῦν δ' οὐ περὶ αἰσχύνης, ἀλλὰ τῆς μεγίστης ζημίας ἐκινδύνευον, πῶς οὖν οὐκ ἂν ἦν ἀθλιώτατος ἀνθρώπων ἁπάντων, εἰ τοὺς ἐμαυτοῦ θεράποντας, μηκέτι δούλους ἔμελλον ἕξειν, ἀλλὰ δεσπότας τὸν λοιπὸν βίον τοιοῦτον ἔργον συνειδότας. ὥστε εἰ καὶ τὰ μέγιστα εἰς ἐμὲ ἐξημάρτανον, οὐκ ἂν οἷόν τε ἦν δίκην με παρ' αὐτῶν λαμβάνειν. εὖ γὰρ ἂν εἰδείην ὅτι ἐπ' ἐκείνοις ἦν καὶ ἐμὲ τιμωρήσασθαι, καὶ αὐτοῖς μηνύσασιν, ἐλευθέροις γενέσθαι. ἔτι τοίνυν τῶν οἰκετῶν παρεστήκοι μοι μηδὲν φροντίζειν, πῶς ἂν ἐτόλμησα τοσούτων μεμισθωμένων, καὶ ἁπάντων συνειδότων ἀφανίσαι τὸν σηκὸν, βραχέος μὲν κέρδους ἕνεκα. προθεσμίας δὲ οὐδεμιᾶς οὔσης τῷ κινδύνῳ, τοῖς εἰργασμένοις ἅπασι τὸ χωρίον. ὁμοίως προσῆκον εἶναι σῶον τὸν σηκὸν, ἵν' εἴ τις αὐτοὺς ᾐτιᾶτο, εἶχον ἂν ἀνεγκεῖν ὅτῳ παρέδοσαν. νῦν δὲ καὶ ἐμὲ ἀπολύσαντες φαίνονται, καὶ σφᾶς αὐτοὺς εἴπερ ψεύδονται μετόχους τῆς αἰτίας καθιστάντες. εἰ τοίνυν καὶ ταῦτα παρεσκευασάμην, πῶς ἂν οἷός τ' ἦν, πάντας πεῖσαι τοὺς παριόντας, ἢ τοὺς γείτονας. οἳ οὐ μόνον ἀλλήλων ταῦτ' ἴσασιν ἃ πᾶσιν ὁρᾶν ἔξεστιν, ἀλλὰ καὶ περὶ ὧν ἀποκρυπτόμεθα μηδένα εἰδέναι, καὶ περὶ ἐκείνων πυνθάνονται. ἐμοὶ τοίνυν τούτων οἱ μὲν, φίλοι. οἱ δὲ, διάφοροι περὶ τῶν ἐμῶν τυγχάνουσιν ὄντες. οὓς ἐχρῆν τοῦτον παρέχεσθαι μάρτυρας. καὶ μὴ μόνον οὕτω τολμηρὰς κατηγορίας ποιεῖσθαι. ὅς φησιν ὡς ἐγὼ μὲν, παρειστήκειν. οἱ δ' οἰκέται, ἐξέτεμνον τὰ πρέμνα. ἀναθέμενος δὲ ὁ βοηλάτης ᾤχετο, ἀπάγων τὰ ξύλα. καίτοι ὦ Νικόμαχε χρῆν σε τότε καὶ παρακαλεῖν τοὺς παριόντας μάρτυρας, καὶ φανερὸν ποιεῖν τὸ πρᾶγμα, καὶ ἐμοὶ μὲν οὐδεμίαν ἂν ἀπολογίαν ἀπέλιπες. αὐτὸς δὲ εἰ μέν σοι ἐχθρὸς ἦν ἐν τούτῳ τῷ τρόπῳ, ἦσθα ἄν με τετιμωρημένος. εἰ δὲ τῆς πόλεως ἕνεκα ἔπραττες, οὕτως ἐξελέγξας, οὐκ ἂν ἐδόκεις εἶναι συκοφάντης. εἰ δὲ κερδαίνειν ἐβούλου, τότ' ἂν πλεῖστον ἔλαβες. φανεροῦ γὰρ ὄντος τοῦ πράγματος, οὐδεμίαν ἄλλην ἡγούμην ἂν εἶναί μοι σωτηρίαν, ἢ σὲ πεῖσαι. τούτων τοίνυν οὐδὲν ποιήσας, διὰ τοὺς σοὺς λόγους ἀξιοῖς με ἀπολέσθαι, καὶ κατηγορεῖς ὡς ὑπὸ τῆς ἐμῆς δυνάμεως, καὶ τῶν ἐμῶν χρημάτων οὐδεὶς ἐθέλει σοι μαρτυρεῖν. καίτοι εἰ φὴς μὲν ἰδεῖν τὴν μορίαν ἀφανίζοντα, τοὺς ἐννέα ἄρχοντας ἀπήγαγες, ἢ ἄλλους τινὰς τῶν ἐξ Ἀρείου πάγου, οὐκ ἂν ἑτέρων ἔδει σοι μαρτύρων. οὕτω γὰρ ἄν σοι συνῄδεσαν ἀληθῆ λέγοντι. οἵπερ καὶ διαγιγνώσκειν ἔμελλον περὶ τοῦ πράγματος. δεινότατα οὖν πάσχω. ὃς εἰ μὲν παρείχετο μάρτυρας, τούτοις ἂν ἠξίου πιστεύειν. ἐπειδὴ δὲ οὐκ εἰσὶν αὐτῷ, ἐμοὶ δὲ ταύτην τὴν ζημίαν οἴεται χρῆναι γενέσθαι, καὶ τοῦτο μὲν οὐ θαυμάζω. οὐ γὰρ δή που συκοφαντῶν, ἀλλὰ τοιούτων γε λόγων ἀπορήσει, καὶ μαρτύρων. ὑμᾶς ἀξιῶ τὴν αὐτὴν τούτῳ γνώμην ἔχειν. ἐπίστασθε γὰρ ἐν τῷ πεδίῳ πολλὰς μορίας οὔσας. καὶ πυρκαϊὰς ἐν τοῖς ἄλλοις τοῖς ἐμοῖς χωρίοις. ἃς εἴπερ ἐπεθύμουν τὸ

λὺ ἦν ἀσφαλέστερον καὶ ἀφανίσαι καὶ ἐκκόψαι, καὶ ἐπεργάσασθαι ἔσω τὸ ἧττον τὸ ἀδίκημα πολλῶν οὐσῶν, ἔμελλε δῆλον ἔσεσθαι. νῦν δ' οὕτως αὐτὰς περὶ πολλοῦ ποιοῦμαι, ὥσπερ καὶ τὴν ἄλλην οὐσίαν· ἡγούμενος περὶ ἀμφοτέρων τούτων εἶναί μοι τὸν κίνδυνον. αὐτοὺς τοίνυν ὑμᾶς, τούτων μάρτυρας παρέξομαι· ἐπιμελομένους μὲν ἑκάστου μηνός. γνώμονας δὲ πέμποντας καθ' ἕκαστον ἐνιαυτόν, ὧν οὐδεὶς πώποτε ἐζημίωσεν ὡς ἐργαζομένους τὰ περὶ τὰς μορίας χωρία, καίτοι οὐδήπου τὰς μὲν μικρὰς ζημίας, οὕτω περὶ πολλοῦ ποιοῦμαι. τοὺς δὲ περὶ τοῦ σώματος κινδύνους, οὕτω περὶ οὐδενὸς ἡγοῦμαι. καὶ τὰς μὲν πολλὰς ἐλαίας εἰς ἃς ἐξῆν μᾶλλον ἐξαμαρτάνειν, οὕτω θεραπεύων φαίνομαι· τὴν δὲ μορίαν ἣν οὐχ οἷόν τ' ἦν λαθεῖν ἐξορύξαντα, ὡς ἀφανίζων, νυνὶ κρίνομαι. πότερον δέ μοι κρεῖττον ἦν ὦ βουλή· δημοκρατίας οὔσης παρανομεῖν, ἢ ἐπὶ τῶν τριάκοντα, καὶ οὐ λέγω ὡς τότε δυνάμενος, ἢ ὡς νῦν διαβεβλημένος, ἀλλ' ὡς τῷ βουλομένῳ τότε μᾶλλον ἐξῆν ἀδικεῖν, ἢ νυνί. ἐγὼ τοίνυν οὐδ' ἐν ἐκείνῳ τῷ χρόνῳ, οὔτε τοιοῦτο, οὔτε ἄλλο οὐδὲν κακὸν ποιήσας φανήσομαι· πῶς δ' ἄν, εἰ μὴ πάντων ἀνθρώπων ἐμαυτῷ κακονούστατος ἦν, ὑμῶν οὕτως ἐπιμελουμένων, ἐκ τούτου τὴν μορίαν ἀφανίζειν ἐπεχείρησα τοῦ χωρίου, ἐν ᾧ δένδρον μὲν οὐδὲ ἓν ἔνι. μιᾶς δὲ ἐλαίας σηκὸς ὡς οὗτός φησιν εἶναι. κυκλόθεν δὲ ὁδὸς περιέχει. ἀμφοτέρωθεν δὲ γείτονες περιοικοῦσιν. ἄερκτον δὲ καὶ πανταχόθεν κάτοπτόν ἐστιν. ὥστε τίς ἂν ἀπετόλμησε τούτων οὕτως ἐχόντων, ἐπιχειρῆσαι τοιούτῳ πράγματι. δεινὸν δέ μοι δοκεῖ εἶναι ὑμᾶς μὲν οἷς ὑπὸ τῆς πόλεως τὸν ἅπαντα χρόνον προστέτακται τῶν μοριῶν ἐλαιῶν ἐπιμελεῖσθαι, μήθ' ὡς ἐπεργαζόμενον πώποτε ζημιῶσαι, μήθ' ὡς ἀφανίζοντα εἰς κίνδυνον καταστῆσαι. τοῦτον δ' ὃς οὔτε γεωργῶν ἐγγὺς τυγχάνει, οὔτ' ἐπιμελητὴς ᾑρημένος, οὔθ' ἡλικίαν ἔχων εἰδέναι περὶ τῶν τοιούτων, ἀπογράψαι με ἐγγὺς μορίαν ἀφανίζειν; ἐγὼ τοίνυν δέομαι ὑμῶν μὴ τοὺς τοιούτους λόγους πιστοτέρους ἡγήσασθαι τῶν ἔργων, μηδὲ περὶ ὧν αὐτοὶ σύνιστε, ταῦτ' ἀνασχέσθαι τῶν ἐμῶν ἐχθρῶν λεγόντων· ἐνθυμουμένους καὶ ἐκ τῶν εἰρημένων, καὶ ἐκ τῆς ἄλλης πολιτείας· ἐγὼ γὰρ τὰ ἐμοὶ προστεταγμένα ἅπαντα προθυμότερον πεποίηκα ὡς ὑπὸ τῆς πόλεως ἠναγκαζόμην καὶ τριηραρχῶν· καὶ εἰς φορὰς εἰσφέρων, καὶ χορηγῶν, καὶ τἆλλα λειτουργῶν, οὐδενὸς ἧττον πάντη λῷστ τῶν πολιτῶν. καίτοι ταῦτα μὲν μετρίως ποιῶν, ἀλλὰ μὴ προθύμως, οὔτ' ἂν περὶ φυγῆς· οὔτ' ἂν περὶ τῆς ἄλλης οὐσίας ἠγωνιζόμην· πλείω δ' ἂν ἐκεκτήμην οὐδὲν ἀδικῶν· οὐδ' ἀπεκινδύνευον ἐμαυτῷ κατασκευάσας τὸν βίον ταῦτα δὲ πράξας ἃ οὗτός μου κατηγορεῖ, ἐκέρδαινον μὲν οὐδέν, ἐμαυτὸν δ' εἰς κίνδυνον καθίστην. καίτοι πάντες ἂν ὁμολογήσαιτε δικαιότερον εἶναι τοῖς μεγάλοις χρῆσθαι τεκμηρίοις περὶ τῶν μεγάλων, καὶ πιστότερα ἡγεῖσθαι περὶ ὧν ἅπασα ἡ πόλις μαρτυρεῖ μᾶλλον, ἢ περὶ ὧν μόνος οὗτος κατηγορεῖ· ἔτι τοίνυν ὦ βουλὴ ἐκ τῶν ἄλλων σκέψασθε μάρτυρας παρέχων αὐτῷ προσῆλθον λέγων ὅτι μοι πάντες εἰσὶν οἱ θεράποντες οὓς ἐκεκτήμην· ἐπειδὴ παρέλαβον τὸ χωρίον, καὶ ἕτοιμος ἦν εἴ τινα βούλοιτο παραδοῦναι βασανίζειν, ἡγούμενος, οὕτως ἂν τὸν ἔλεγχον ἰσχυρότερον γενέσθαι τῶν τούτου λόγων, καὶ τῶν ἔργων τῶν ἐμῶν. οὗτος οὐκ ἤθελεν· οὐδὲν φάσκων πιστὸν εἶναι τοῖς θεράπουσιν ἐμοὶ δὲ δοκεῖ εἶναι. εἰ περὶ αὑτῶν μὲν οἱ βασανιζόμενοι κατηγοροῦσιν, εὖ εἰδότες ὅτι ἀποθανοῦνται. περὶ δὲ τῶν δεσποτῶν οἷς πεφύκασι κακονούστατοι, μᾶλλον ἂν ἕλοιντο ἀνέχεσθαι βασανιζόμενοι, ἢ κατειπόντες ἀπηλλάχθαι τῶν παρόντων κακῶν. καὶ μὲν δὴ ὦ βουλὴ φανερὸν οἶμαι εἰπεῖν, ὅτι εἰ νικομάχου ἐξαιτοῦντος τοὺς ἀνθρώπους, μὴ παρεδίδουν ἐδόκουν ἂν ἐμαυτῷ ξυνειδέναι. ἐπειδὴ τοίνυν ἐμοῦ παραδιδόντος, οὗτος παραλαβεῖν οὐκ ἤθελε, δίκαιον καὶ περὶ τούτου τὴν αὐτὴν γνώμην χρῆναι· ἄλλως τε καὶ τοῦ κινδύνου οὐκ ἴσου ἀμφοτέροις ὄντος περὶ ἐμοῦ μὲν γὰρ εἰ ἔλεγον, οὐδὲν ἀπολογήσασθαί μοι ἐξεγένετο. τούτῳ δ' εἰ μὴ ὡμολόγουν ἃ οὗτος ἐβούλετο. οὐδεμιᾷ ζημίᾳ ἔνοχος ἦν. ὥστε πολὺ μᾶλλον τοῦτον παραλαμβάνειν ἐχρῆν, ἢ ἐμὲ παραδοῦναι προσῆκε. ἐγὼ τοίνυν εἰς τοῦτο προθυμίας ἀφικόμην, ἡγούμενος μετ' ἐμοῦ εἶναι καὶ ἐκ βασάνων καὶ ἐκ μαρτύρων, καὶ ἐκ τεκμηρίων, ὑμᾶς περὶ τοῦ πράγματος τἀληθῆ

πυθέσθαι. ἐνθυμεῖσθαι δὲ χρή, ὦ βουλή, ποτέροις χρὴ πιστεύειν μᾶλλον· οἷς πολλοὶ μεμαρτυρήκασιν, ἢ ᾧ μηδεὶς τετόλμηκε. καὶ πότερον εἰκὸς μᾶλλον τοῦτον ἀκινδύνως ψεύδεσθαι, ἢ μετὰ τοσούτου κινδύνου τοιοῦτον ἐμὲ ἔργον ἐργάσασθαι. καὶ πότερον οἴεσθε αὐτὸν ὑπὲρ τῆς πόλεως βοηθεῖν, ἢ συκοφαντοῦντα αἰτιάσασθαι. ἐγὼ μὲν ὑμᾶς ἡγοῦμαι ὅτι νικόμαχος ὑπὸ τῶν ἐχθρῶν πεισθεὶς τῶν ἐμῶν, τόνδε τὸν ἀγῶνα ἀγωνίζεται. οὐχ ὡς ἀδικοῦντα ἐλπίζων ἀποδείξειν, ἀλλ' ὡς ἀργύριον παρ' ἐμοῦ λήψεσθαι προσδοκῶν. ὅσῳ γὰρ τοιοῦτοί εἰσιν ἐπαιτιώτατοι καὶ ἀπορώτατοι τῶν κινδύνων, τοσούτῳ πάντες αὐτοὺς φεύγουσι μάλιστα. ἐγὼ δέ, ὦ βουλή, οὐκ ἠξίουν, ἀλλ' ἐπειδή περ με ᾐτιάσατο, παρέσχον ἐμαυτὸν ὅ τι βούλεσθε χρῆσθαι, καὶ τούτου οὕνεκα τοῦ κινδύνου, οὐδενὶ ἐγὼ τῶν ἐχθρῶν διηλλάγην· οἳ ἐμὲ ἥδιον κακῶς λέγουσιν, ἢ σφᾶς αὐτοὺς ἐπαινοῦσι. καὶ φανερῶς μὲν οὐδεὶς πώποτε ἐμὲ αὐτὸν ἐπιχείρησε ποιῆσαι κακὸν οὐδέν. τοιούτους δὲ ἐπιπέμπουσί μοι, οἷς ὑμεῖς οὐκ ἂν δικαίως πιστεύοιτε. πάντων γὰρ ἀθλιώτατος ἂν γενοίμην, εἰ φυγὰς ἀδίκως καταστήσομαι. ἄπαις μὲν ὢν καὶ μόνος. ἐρήμου δὲ τοῦ οἴκου γενομένου. μητρὸς δὲ πάντων ἐνδεοῦς. πατρίδος δὲ τοιαύτης ἐπ' αἰσχίσταις στερηθεὶς αἰτίαις. πολλὰς μὲν ναυμαχίας ὑπὲρ αὐτῆς νεναυμαχηκώς, πολλὰς δὲ μάχας μεμαχημένος. κόσμιον δ' ἐμαυτὸν καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ παρασχών. ἀλλὰ γάρ, ὦ βουλή, ταῦτα μὲν ἐνθάδε οὐκ οἶδ' ὅτι δεῖ λέγειν. ἀπέδειξα δ' ὑμῖν ὡς οὐκ ἐνῆν σηκὸς ἐν τῷ χωρίῳ. καὶ μάρτυρας παρεσχόμην καὶ τεκμήρια, ἃ χρὴ μεμνημένους διαγιγνώσκειν περὶ τοῦ πράγματος, καὶ ἀξιοῦν ἢ ἄρα τοῦτον πυθέσθαι ὅτου ἕνεκα ἐξὸν ἐπ' αὐτοφώρῳ ἐλέγξαι, τοσούτῳ χρόνῳ ὕστερον εἰς τοσοῦτόν με κατέστησεν ἀγῶνα, καὶ μάρτυρα οὐδένα παρασχόμενος ἐκ τῶν λόγων, ζητεῖ πιστὸς γενέσθαι. ἐξὸν αὐτοῖς τοῖς ἔργοις ἀδικοῦντα ἀποδεῖξαι, καὶ ἐμοῦ ἅπαντας διδόντος τοὺς θεράποντας οὕς φησι παραγενέσθαι, παραλαβεῖν οὐκ ἤθελεν.

Λυσίου κατηγορία πρὸς τοὺς συνουσιαστάς, κακολογιῶν.

ε πιτήδειόν μοι δοκῶ καιρὸν εἰληφέναι περὶ ὧν εἰπεῖν ἐβουλόμην πάλαι. πάρεισι μὲν γὰρ οἷς ἐπικαλῶ. πάρεισι δὲ ὧν ἐναντίον ἐπιθυμῶ μέμψασθαι τοῖς ἀδικοῦσιν ἐμέ. καίτοι πολλῷ πλείων ἐστὶ σπουδὴ πρὸς τοὺς παρόντας· οὓς μὲν γὰρ οὐδὲν οἶμαι τιμήσειν, εἰ τοῖς ἀνεπιτηδείοις ἀνεπιτήδειοι δόξουσιν εἶναι. ἐγὼ γὰρ ἀρχὴν οὐδ' ἂν ἐπιχειροίην ἐξαμαρτάνοντας ἐμέ, τοῖς δέ, βουλοίμην ἂν δόξαι μηδὲν ἀδικῶν τούτους, ὑπὸ τούτων ἀδικεῖσθαι πρότερον. αἰσχρὸν μὲν οὖν ἀναγκάζεσθαι λέγειν περὶ τούτων, ἀδύνατον δὲ μὴ λέγειν, ὅταν ἐναντίον τῆς ἐλπίδος κακῶς πάσχω, καὶ τοὺς δοκοῦντας εἶναι φίλους, ἀδικοῦντας εὑρίσκω. πρῶτον μὲν οὖν ἵνα μή τις ὑμῶν τάχα δὴ βοηθῶν οἷς ἐξημάρτηκε, πρόφασιν ποιήσηται τῆς ἁμαρτίας, εἰπάτω οὖν τις ὑμῶν ὑπ' ἐμοῦ κακῶς ἀκήκοεν, ἢ πέπονθεν. ἢ τις ἐμοῦ δεηθεὶς οὐκ ἔτυχεν, ὧν ἐγώ τε δυνατὸς ἂν καὶ κεῖνος ἀπήγγελλεν. τί δῆτά με κακῶς τὰ μέν, λέγειν, τὰ δέ, ποιεῖν ἐπιχειρεῖτε. καὶ ταῦτα πρὸς τούτους ἡμᾶς διαβάλλειν, οὓς πρὸς ὑμᾶς αὐτοὺς διαβάλλετε. καίτοι οὕτως ἐνοχλεῖ, ὥστε περὶ πλείονος ἐποιήσασθε δοκεῖν ἐμοῦ κήδεσθαι, ἢ μᾶλλον ἐμοῦ κατειπεῖν, ᾧ δ' ἔλεγε. πάντα μὲν οὐκ ἂν εἴποιμι. καὶ γὰρ ἀκούων ἠχθόμην. οὐδ' ἂν ὑμῖν ἐπικαλῶν ὅτι ἐλέγετε κατ' ἐμοῦ ταῦτα δόξαιμι, καὶ ἔτι ἂν ἀπολύοιμι τῆς αἰτίας ὑμᾶς εἰ ὑπὲρ ὑμῶν ταῦτα λέγοι με περὶ ἐμαυτοῦ. ἃ δὲ ὑβρίζειν οἰόμενοι ἐμέ, καταγελάστους ὑμᾶς αὐτοὺς ἐποιεῖτε, ταῦτα λέξω. βίᾳ γὰρ ὑμῖν ἐφάσκετέ με ξυνεῖναι, καὶ διαλέγεσθαι, καὶ πάντα ποιοῦντες, οὐκ ἐκεῖνο πῶς ἀπαλλαγῆτέ μου, καὶ τὸ τελευταῖον ἀκόντων ὑμῶν ἐλθὼν ἔδει συνθεωρεῖν, καὶ ταῦτα λέγοντες οἴεσθε μὲν ἐμὲ κακολογεῖν. ἀποφαίνετε δὲ σκαιοτάτους ἑαυτούς, εἴ τινες μὲν ὑπὸ τὸν αὐτὸν χρόνον, τὸν αὐτὸν λάθρα ἄνδρα μὲν ἐλοιδορεῖτε· φανερῶς δὲ φίλον ἐνομίζετε. χρῆν γὰρ ὑμᾶς ἢ μὴ κακῶς λέγειν, ἢ μὴ ξυνεῖναι, καὶ ταῦτα φανερῶς ἀπει-

τοιαύτην ὁμιλίαν. εἰ δὲ αἰσχρὸν ἡγεῖσθε εἶναι, πῶς αἰσχρὸν ἦν ὑμῖν ξυνεῖναι. πρὸς ὃν οὐδὲ
ἀπειπεῖν καλὸν ἡγεῖσθε. καὶ μὴν οὐδὲν οὕτως εὑρεῖν ὅθεν ἂν εἰκότως ὑπείδετε τὴν ἐ-
μὴν ὁμιλίαν. οὔτε γὰρ ὑμᾶς σοφωτάτους θεωρῶν ὄντας, ἐμαυτὸν δ' ἀμαθέστατον, οὐ
μὴν οὐδὲ πολυφίλους ὑμᾶς, ἐμαυτὸν δ' ἔρημον φίλων. οὐδ' αὖ πλουτοῦντας, ἐμὲ δὲ
πενόμενον. οὐδ' αὖ ὑμᾶς μὲν ὑπερευδοκιμοῦντας, ἐμαυτὸν δὲ διαβεβλημένον. οὐδὲ τὰ μὲν
ἐμὰ πράγματα κινδυνεύοντα, τὰ δὲ ὑμέτερα ἀσφαλῶς ἔχοντα. ὅθεν ἂν οὖν εἰκό-
τως ὑπωπτεύετε ἄχθεσθαί μοι συνόντι, καὶ ταῦτα δ' ὅτι πρὸς τοὺς τελευταίους ἔλεγεν
οὓς ᾤεσθε ἀπαγγέλλειν ὑμῖν. καὶ ταῦθα σόφισμα καλὸν εἶναι ἐπελάθετε πάντες ὑ-
μῶν αὐτῶν κατηγοροῦντες, ὅτι πονηροῖς ἑκόντες ὁμιλεῖτε. περὶ μὲν οὖν τοῦ λέγον-
τος, οὐδὲν αὖ περαίνετε πυνθανόμενοι. πρῶτον μὲν γὰρ εἰπόντες ὁρᾶσθε τὸν εἰπόντα
μοι. πῶς γὰρ οὐκ ἴστε πρὸς ὃν ἐλέγετε τὸν λόγον. ἔπειτα καλῶς ἂν εἶχεν, εἰ ταῦτα ἐρωτή-
σαιμι αὐτόν, ἃ περὶ ἐκεῖνος ὑμᾶς. οὐ γὰρ εὐθὺ τοῖς αὐτοῖς ἐκεῖνος ἡμῖν ἀπήγγελεν, ἐφ'
οἷς περὶ ὑμεῖς ἐλέγετε πρὸς ἐκεῖνον. ἐκεῖνος μὲν γὰρ ἐμοὶ χαριζόμενος, ἀπήγγελε τοῖς
ἐμοῖς ἀναγκαίοις. ὑμεῖς δὲ βλάπτειν ἐμὲ βουλόμενοι πρὸς ἐκεῖνον ἐλέγετε. καὶ ταῦτα
εἰ μὲν ἠπίστασθε, ἐλέγχειν ἂν ἐζητοῦτε. νῦν δὲ ξυμβαίνει γὰρ καὶ ταῦτα τοῖς προτοῦ ὑπ'
ἐμοῦ, σημεῖα ταῦτα μὲν ἐκείνων ὄντων, ἐκεῖνα δὲ τούτων ἱκανά. πρῶτον μὲν ἅπαντα δι'
ὑμῶν, πρᾶξαί τέ με περὶ τῆς θέσεως τοῦ ἵππου. προσῆγε μαχόμενον κάμνοντα τὸν
ἵππον ἀνάγειν με βουλόμενον, διόδωρος οὗτος ἀποτρέπειν ἐπειρᾶτο. φάσκων οὐδὲν ἂν
πλέξειν περὶ τῶν δώδεκα μνῶν περικλέα. ἀλλ' ἀπολέσειν τότε λέγων ταῦτά με τὰ
τὸν θάνατον τοῦ ἵππου, καὶ τέσση τελευτῶν ἀντίδικος. μετὰ τούτων λέγων, ὡς οὐ δίκαιόν
με εἴη κομίσασθαι τὸ ἀργύριον, καίτοι γε ἐφ' ὧν γε αὐτὸν κατηγόρουν. εἰ γὰρ ἃ μετὰ τού-
του ἀδικουμένῳ μοι μηδὲν ἦν δίκαιον εἰπεῖν, ἢ που καλῶς συνέπραττον, καὶ ἐγὼ μὲν
ᾤμην φιλοσοφοῦντας αὐτοὺς περὶ τοῦ πράγματος, ἀντιλέγειν τὸν ἐναντίον λόγον.
οἱ δ' ἄρα οὐκ ἀντέλεγον, ἀλλ' ἀντέπραττον, καὶ διὰ τοῦτο ἀντέπραττον. ἵνα τὸν ἐμὸν λό-
γον εἰδέναι πολυκλῆς. ἐδηλώθη γὰρ ταῦτα παρόντων τῶν διαιτητῶν ὀριζόμενοι, ὃ
πολυκλῆς εἶπεν. ὅτι καὶ τοῖς ἐμοῖς ἐπιτηδείοις ἀδικεῖν δοκοίη. ὡς πρὸς ἐκεῖνον λέγοιεν
ἄρα γε ταῦτα ξυμβαίνει τοῖς ἀπαγγελλομένοις. ὃ γὰρ αὐτὸς ἀπήγγειλεν, ὡς τοὺς ὑπὲρ
ἐμοῦ μέλλοντας λέγειν ἀποτρέπειν φάσκοιτε. τοὺς δέ τινας ἤδη κωλύσετε, καὶ ταῦτα
τί με δεῖ φανερώτερον ἐξελέγχειν, ὅτι φθάσε γὰρ ἤδη ποτὲ ἐκεῖνος. ὅτι κλεινόδικον
δεηθεὶς ἐκ λέγειν, οὐκ ἔτυχεν. οὐ γὰρ δὴ παρῆν τούτοις, ἐπεὶ κέρδος ἦν αὐτῷ διαβάλ-
λειν ἐμὲ πρὸς ὑμᾶς οὕτω προθύμως. ὥστε σπουδάσαι πρὸς τοὺς ἐμοὺς ἀναγκαίους πλά-
σασθαι ταυτόν. γινώσκω δὲ νῦν ἤδη καὶ πάλαι ζητοῦντας πρόφασιν. ἣν ἵνα θρασύμα-
χον ὑμᾶς ἐφάσκετε λέγειν κακῶς δι' ἐμέ, καὶ ἐγὼ μὲν ἠρώτων αὐτὸν εἰ δι' ἐμὲ κακῶς
λέγει διόδωρον. ὁ δὲ τοσοῦτον ὑπερεῖδε τὸ δι' ἐμέ. πολλοῦ γὰρ δεῖν ἔφη, δι' ὅντινοῦν εἰρη-
κέναι διόδωρον κακῶς, καὶ ταῦτα προσάγοντος ἐμοῦ, πρόθυμος ὁ θρασύμαχος ἦν ἐξε-
λέγχεσθαι, περὶ ὧν οὗτος ἔλεγεν. οὗτος δὲ πάντων μᾶλλον διεπράττετο. μετὰ τοῦτο καὶ
αὐτοκράτης ἐμοῦ παρόντος θρασυμάχῳ, ἔλεγεν εὐρυπτόλεμον αὐτῷ μέμφεσθαι. φά-
σκοντα κακῶς ἀκούειν ὑπ' αὐτοῦ. τὸν ἀπαγγέλλοντα δὲ εἶναι μηνόφιλον. εὐθὺς δ' ἐκεῖ-
νος εὐθὺ τὸν μηνόφιλον ἐβάδιζε μετ' ἐμοῦ. κἀκεῖνος οὔτε ἀκοῦσαι πώποτε ἔφασκεν, οὔ-
τε ἀπαγγεῖλαι πρὸς εὐρυπτόλεμον. καὶ οὐ ταῦτα μόνον. ἀλλ' οὐδὲ διειλέχθαι πολλοῦ
χρόνου. τοιαύταις προφάσεσι προφασιζόμενοι, τότε μὲν ἐκ τῆς ἐμῆς καὶ θρασυμάχου συ-
νουσίας ἐστὲ φανεροί, νῦν δὲ ἐπειδὴ ἐκλελοίπασιν ὑμᾶς αἱ προφάσεις, ἐλευθεριώτε-
ρόν με κακώσας, κλέπτη δ' οὐδέν. χρῆν μὲν οὖν τότε με γινώσκειν ὀφειλόμενόν με ταῦ-
τα παθεῖν, ὅταν καὶ πρὸς ἐμὲ περὶ ὑμῶν αὐτῶν ἔλεγε κακῶς. ἔπειτα καὶ τὸ πολυ-
κλέους, ᾧ νυνὶ βοηθεῖτε πάντες εἰρηκότα πρὸς ὑμᾶς κατὰ τί δή τι ταῦτα ἐφυλαττό-
μην εὐήθης τι ἔπαθον. ᾤμην γὰρ ἀπόθετος ὑμῖν εἶναι φίλος τοῦ μηδὲν ἀκοῦσαι κακὸν
δι' αὐτὸ τοῦτο, διότι πρὸς ἐμὲ τοὺς ἄλλους ἐλέγετε, καὶ παρακαταθήκην ἔχων ὑμῶν
παρ' ἑκάστου λόγους πονηροὺς περὶ ἀλλήλων. ἐγὼ τοίνυν ἑκὼν ὑμῖν ἐξίσταμαι τῆς φιλίας.

ἐπί τοι μὰ τοὺς θεοὺς, οὐκ οἶδ' ὅτι ζημιωθήσομαι μὴ ξυνὼν ὑμῖν. οὐδὲ γὰρ ὠφελούμην ξυνών. πότερον γὰρ ὅταν ᾖ τί μοι πρᾶγμα, τότε ποθήσομαι τὸν βοηθοῦντα, καὶ τοὺς μαρτυρήσοντας, καὶ νῦν αὐτίκα μὲν τοῦ λέγειν ὑπὲρ ἐμοῦ τὸν λέγοντα, πειρᾶσθε κωλύειν. ἀντὶ δὲ τοῦ βοηθεῖν ἐμοὶ καὶ μαρτυρεῖν τὰ δίκαια, ξυνόντες τοῖς ἐμοῖς ἀντιδίκοις ἐμαρτυρεῖτε ὡς εὔνους ὄντες ἐμοὶ, τὰ βέλτιστα δρᾶτε περὶ ἐμοῦ. ἀλλὰ καὶ νῦν ὑμεῖς με μόνον κακῶς ἐλέγετε. τὸ μὲν οὖν ἐμὸν, οὐκ ἐμποδὼν ὑμῖν ἔσται. τοιοῦτον γὰρ πρὸς ὑμᾶς αὐτοὺς πείσεσθε. ἐπειδὴ παρ' ὑμῖν ἔθος ἐστὶν, ἐκ τῶν ξυνόντων ἀεὶ κακῶς λέγειν καὶ ποιεῖν. ἐπειδ' ἂν ἐγὼ μηνύσω πρὸς ὑμᾶς αὐτοὺς τρέπεσθε. κἄπειτα καθ' ἕνα ἕκαστον ὑμῖν αὐτοῖς ἀπαχρήσεσθε. τὸ δὲ τελευταῖον, εἷς ὁ λειπόμενος αὐτὸς αὐτὸν κακῶς δρᾷ. κερδανῶ δὲ τοσοῦτον, ὅτι πρῶτον μὲν ὑμῶν ἀπαλλαγεὶς, ἐλάχιστα κακῶς ὑφ' ὑμῶν πείσομαι. τοὺς μὲν γὰρ χρωμένους ὑμῖν, κακῶς καὶ λέγετε καὶ ποιεῖτε. τῶν δὲ μὴ χρωμένων, οὐδένα πώποτε.

Λυσίου, ὑπὲρ τοῦ στρατιώτου.

τ

Ι ποτε διανοηθέντες οἱ ἀντίδικοι, τοῦ μὲν πράγματος, παρημελήκασι. τὸν δὲ τρόπον μου ἐπιχείρησαν διαβάλλειν. πότερον ἀγνοοῦντες ὅτι περὶ τοῦ πράγματος προσήκει λέγειν, ἢ τοῦτο μὲν ἐπίστανται. ἡγούμενοι δὲ λήσειν, περὶ παντὸς πλείω λόγον, ἢ τοῦ προσήκοντος ποιοῦνται. ὅτι μὲν οὖν οὐκ ἐμοῦ καταφρονήσαντες, ἀλλὰ τοῦ πράγματος, τοὺς λόγους ποιοῦνται, σαφῶς ἐπίσταμαι. εἰ μέντοι ὑμᾶς οἴονται δι' ἄγνοιαν ὑπὸ τῶν διαβολῶν πεισθέντας καταψηφιεῖσθαί μου, οὐκ ἂν θαυμάσαιμι. ᾤμην μὲν οὖν ὦ ἄνδρες δικασταὶ περὶ τοῦ ἐγκλήματος, οὐ περὶ τοῦ τρόπου τὸν ἀγῶνά μοι προκεῖσθαι. διαβαλλόντων δέ με τῶν ἀντιδίκων, ἀναγκαῖόν ἐστι περὶ πάντων ἀπολογίαν ποιήσασθαι. πρῶτον μὲν οὖν περὶ τῆς ἀπογραφῆς ὑμᾶς διδάξω. ἀφικόμενος πρότερον εἰς τὴν πόλιν, οὔπω δύο μῆνας ἐπιδεδημηκὼς, κατελέγην στρατιώτης. αἰσθόμενος δὲ τὸ πραχθὲν, ὑπετοπούμην εὐθέως οὐδενὶ ὑγιεῖ κατειλέχθαι. προσελθὼν οὖν τῷ στρατηγῷ, ἐδήλωσα ὅτι ἐστρατευμένος εἴην. ἔτυχον δὲ οὐδενὸς τῶν μετρίων. προπηλακιζόμενος δὲ, ἠγανάκτουν μὲν, ἡσυχίαν δ' εἶχον. ἀπορούμενος δὲ καὶ συμβουλευόμενός τινι τῶν πολιτῶν, τί χρήσομαι τῷ πράγματι, ἐπυθόμην ὡς καὶ δήσειν με ἀπειλοῖεν. λέγοντες ὅτι οὐδὲν ἔλαττον χρόνον Καλλικράτους Πολύαινος ἐπιδημοίη. καίτοι τὰ μὲν προειρημένα διήλεκτο εὐθὺ τῇ φιλίου τραπέζῃ. οἱ δὲ μετὰ Κτησικλέους τοῦ ἄρχοντος ἀπαγγείλαντός τινος ὡς ἐγὼ λοιδοροίμην, τοῦ νόμου ἀπαγορεύοντος, ἐάν τις ἀρχὴν ἐν συνεδρίῳ λοιδορῇ παρὰ τὸν νόμον, ζημιοῦσαι ἠξίωσαν. ἐπιβαλλόντες δὲ τὸ ἀργύριον, πράξασθαι μὲν οὐκ ἐπεχείρησαν. ἐξιούσης δὲ τῆς ἀρχῆς, γράψαντες εἰς λεύκωμα τοῖς ταμίαις παρέδοσαν. οὗτοι μὲν ταῦτα διεπράξαντο. οἱ δὲ ταμίαι, οὐδὲν ὅμοιον τούτοις διανοηθέντες, ἀνακαλεσάμενοι δὲ τοὺς παραδόντας, καὶ τὴν γραφὴν, ἐσκόπουν τῆς αἰτίας τὴν πρόφασιν. ἀκούσαντες δὲ τὸ γεγενημένον, ἐννοοῦντες οἷα πεπονθὼς ἦν, τὸ μὲν πρῶτον ἔπειθον αὐτοὺς ἀφεῖναι, διδάσκοντες ὡς οὐκ ἐπιεικὲς εἴη, τῶν πολιτῶν τινας διὰ τὰς ἔχθρας ἀναγράφεσθαι. ἀπορῶντες δὲ μεταπεῖσαι αὐτοὺς, τὸν παρ' ὑμῶν κίνδυνον ὑποστάντες, ἄκυρον τὴν ζημίαν ἔκριναν. ὅτι μὲν οὖν ἀφείθην ὑπὸ τῶν ταμιῶν, ἐπίστασθε. προσήκειν δὲ ἡγούμενος καὶ διὰ ταύτην τὴν ἀπόδειξιν ἀπηλλάχθαι τοῦ ἐγκλήματος, ἔτι πλείονας καὶ νόμους, καὶ ἄλλας δικαιώσεις παρασχήσομαι, καί μοι λάβε τὸν νόμον. Νόμος.

Τοῦ μὲν νόμου διαρρήδην ἀγορεύοντος τοὺς ἐν τῷ συνεδρίῳ λοιδοροῦντας, ζημιοῦν, ἀκηκόατε. ἐγὼ δὲ ὅτι μὲν οὐκ εἰσῆλθον εἰς τὸ ἀρχεῖον, μάρτυρας παρεσχόμην. ἀδίκως δὲ ζημιωθεὶς, οὔτ' ὀφείλω, οὔτ' ἐκτίσαι δίκαιός εἰμι. εἰ γὰρ φανερός εἰμι μὴ ἐλθὼν εἰς τὸ συνέδριον, ὁ δὲ νόμος τοὺς ἐν τούτῳ πλημμελοῦντας ἀγορεύει τὴν ζημίαν ὀφείλειν, ἀδικήσας μὲν οὐδὲν φαίνομαι. ἔχθρᾳ δὲ ἄνευ τοῦ πράγματος ζημιωθεὶς, συνέγνωσαν,

δὲ καὶ

δὲ καὶ αὐτοῖς φασιν ὡς ἠδικηκότες. οὔτε γὰρ εὐθύνας ὑπέχον, ὅτι εἰς δικαστήριον εἰσελθόντες, τὰ πραχθέντα ψήφῳ κύρια κατέστησαν. εἰ δ' οὖν ἐζημίωσαν μὲν, οὐδὲ προσηκόντως, ἐκύρωσαν δ' οὖν ὑμῶν τὴν ἐπιβουλὴν τῶν ταμιῶν ἀφέντων, εἰκότως ἂν τοῦ ἐγκλήματος ἀπηλλαγμένοι εἶεν. εἰ μὲν γὰρ κύριοι ἦσαν πρᾶξαι ἢ ἀφεῖναι, εἰκότως ἂν ζημιωθεῖεν, ἀλόγως ἂν ὤφειλον. εἰ δ' ἔξεστι μὲν αὐτοῖς ἀφεῖναι, διδόασι δὲ αὖθις ὑπὲρ ὧν ἂν διαχειρίζωσιν, εἴ τι ἠδικήκασι, τῆς προσηκούσης ῥᾳδίως δίκης τεύξονται. ᾧ μὲν οὖν τρόπῳ παρεδόθην, καὶ ἐζημιώθην, ἐπίστασθε. δεῖ δ' ὑμᾶς, μὴ μόνον τοῦ ἐγκλήματος τὴν αἰτίαν, ἀλλὰ καὶ τῆς ἔχθρας τὴν πρόφασιν εἰδῆσαι. σωστράτῳ γὰρ φίλος ἐγενόμην. πρότερον μὲν τῆς τούτων ἔχθρας. εἰδὼς δὲ περὶ τὴν πόλιν ἄξιον λόγου γεγενημένον. γνώριμος δὲ γενόμενος διὰ τῆς ἐκείνου δυναστείας, οὔτ' ἐχθρὸν ἐτιμωρησάμην, οὔτε φίλον εὐηργέτησα. ζῶντος μὲν γὰρ διὰ τὴν ἀνάγκην καὶ διὰ τὴν ἡλικίαν ἐσχόλαζον. ἐκλιπόντος δὲ τὸν βίον, οὔτε λόγῳ, οὔτε ἔργῳ ἔβλαψα οὐδένα τῶν κατηγορούντων. ἔχω δὲ καὶ τοιαῦτα εἰπεῖν, ἐξ ὧν ὠφελοίμην ἂν πολὺ δικαιότερον ὑπὸ τῶν ἀντιδίκων, ἢ κακῶς πάσχοιμι. τὴν μὲν οὖν ὀργὴν διὰ τὰ προειρημένα συνεστήσαντο. προφάσεως οὐδεμιᾶς πρὸς ἔχθραν ὑπαρχούσης. ὀμόσαντες μὲν οὖν τοὺς ἀστρατεύτους καταλέξειν παρέβησαν τοὺς ὅρκους. προὔθεσαν δὲ τὸ πλῆθος βουλεῦσαι περὶ τοῦ σώματος. ζημιώσαντες μὲν ὡς τὴν ἀρχὴν λοιδοροῦντα. καταλιπωρήσαντες δὲ τοῦ δικαίου, βιαζόμενοι βλάπτειν ἐξ ἅπαντος τοῦ λόγου πᾶν ἔπραξαν μέλλοντες μεγάλα μὲν ἐμὲ βλάψειν. πολλὰ δ' ἴσως τοὺς ὠφελήσειν. οἵτινες οὐδετέρου τούτων ὑπάρχοντος, πάντα περὶ ἐλάττονος ποιοῦνται τοῦ δικαίου. ἀλλὰ γὰρ οἱ καταφρόνησαν τοῦ ἡμετέρου πλήθους, οὐδὲ φοβεῖσθαι τοὺς θεοὺς ἠξίωσαν. ἀλλ' οὕτως ὀλιγώρως καὶ παρανόμως προσηνέχθησαν, ὥστε ἀπολογήσασθαι μὲν περὶ τῶν πεπραγμένων, οὐδ' ἐπεχείρησαν. τὸ δὲ τελευταῖον, νομίζοντες οὐχ ἱκανῶς μετατετιμωρῆσθαι, τὸ πέρας ἐκ τῆς πόλεως ἐξήλασαν. διατεθέντες δὲ οὕτω παρανόμως καὶ βιαίως, ἐπικρύψασθαι τὴν ἀδικίαν περὶ οὐδενὸς ἐποιήσαντο. παραγαγόντες δὲ πάλιν περὶ τῶν αὐτῶν ἠδικηκότα με, οὐδὲν ἐπιδεικνύουσι, καὶ λοιδοροῦσι. τοῖς μὲν ἐμοῖς ἐπιτηδεύμασιν, οὐ προσηκούσας διαβολὰς ἐπιφέροντες. τοῖς δ' αὑτῶν τρόποις τὰς οἰκείας καὶ συνήθεις. οἵδε μὲν οὖν ἐκ παντός του τρόπου προθυμοῦνται με τῇ δίκῃ ἁλῶναι. ὑμεῖς δὲ μήτε ταῖς τούτων διαβολαῖς ἐπαρθέντες, ἐμοῦ καταψηφίσησθε, μήτε τοὺς βέλτιον καὶ δικαίως βουλευσαμένους, ἀκύρους καταστήσητε. οἶδε μὲν γὰρ ἅπαντα, καὶ κατὰ τοὺς νόμους, καὶ κατὰ τὸ εἰκὸς ἔπραξαν. ἠδικηκότες μὲν γὰρ οὐδὲν φαίνονται. λόγον δὲ πλεῖστον τοῦ δικαίου ποιησάμενοι. τούτων μὲν οὖν ἀδικούντων μάλιστ' ἂν ἠγανάκτουν. ἡγούμενος πεπάχθαι τοὺς μὲν ἐχθροὺς, κακῶς ποιεῖν, τοὺς δὲ φίλους εὖ. παρ' ὑμῶν δὲ τοῦ δικαίου στερηθεὶς, πολὺ ἂν μᾶλλον λυπηθείην. διὰ τὴν ἔχθραν μὲν γὰρ οὐδὲ ξένους κακῶς πεπονθέναι. διὰ κακίαν δὲ τῆς πόλεως. λόγῳ μὲν οὖν περὶ τῆς αἰτίας ἀγωνίζομαι. ἔργῳ δὲ, περὶ πολιτείας. τυχὼν μὲν γὰρ τῶν δικαίων, πιστεύων δὲ τῇ ὑμετέρᾳ γνώμῃ, μεῖναι μὲν ἂν τῇ πόλει. πραχθεὶς δὲ ὑπὸ τῶνδε, εἰ ἀδίκως ἁλοίην, ἀποδραίην ἄν. τίνι γὰρ ἐπαρθέντα ἐλπίδι δεῖ με συμπολιτεύεσθαι, ἢ τί με χρὴ διανοηθέντα. εἰδότα μὲν τῶν ἀντιδίκων τὴν προθυμίαν. ἀποροῦντα δ' ὅθεν χρὴ τῶν δικαίων τινὸς τυχεῖν.

περὶ πλείστου οὖν ποιησάμενοι, τὸ δίκαιον καὶ ἐνθυμηθέντες, ὅτι καὶ περὶ τῶν περιφανῶν ἀδικημάτων, συγγνώμην ποιεῖσθε τοὺς μηδὲν ἀδικήσαντας, διὰ τὰς ἔχθρας, μὴ περιίδητε ἀδίκως τοῖς μεγίστοις ἀδικήμασι περιπεσόντας.

Λυσίου, κατὰ Θεομνήστου πρῶτος.

μ

Αρτύρων μὲν, οὐκ ἀπορίαν μοι ἔσεσθαι δοκῶ ὦ ἄνδρες δικασταί. πολλοὺς γὰρ ὑμῶν ὁρῶ δικάζοντας τῶν τότε παρόντων, ὅτε Λυσίθεος Θεόμνηστον εἰσήγγελλε τὰ ὅπλα ἀποβεβληκότα. οὐκ ἐξὸν αὐτῷ δημηγορεῖν. ἐν ἐκείνῳ γὰρ τῷ ἀγῶνι, τὸν πατέρα μ' ἔφασκεν ἀπεκτονέναι τὸν ἐμαυτοῦ. ἐγὼ δ' εἰ μὲν τὸν ἑαυτοῦ ἀπεκτονέναι ᾐτιᾶτο, συγγνώμην ἂν εἶχον αὐτῷ τῶν εἰρημένων. φαῦλον

τε αὐτῶν καὶ οὐδενὸς ἄξιον ἡγούμην. οὐδ' εἰ τῶν ἄλλων τῶν ἀπορρήτων ἤκουσα, οὐκ ἂν ἐπεξῆλθον αὐτῷ. ἀνελεύθερον γὰρ καὶ λίαν φιλόδικον εἶναι νομίζω κακηγορίας δικάζεσθαι. νυνὶ δὲ αἰσχρόν μοι εἶναι δοκεῖ περὶ τοῦ πατρὸς οὕτω πολλοῦ ἀξίου γεγενημένου καὶ ὑμῖν καὶ τῇ πόλει, μὴ τιμωρήσασθαι τὸν ταῦτ' εἰρηκότα, καὶ παρ' ὑμῶν εἰδέναι βούλομαι πότερον δώσει δίκην, ἢ τούτῳ μόνῳ Ἀθηναίων ἐξαίρετόν ἐστι, καὶ ποιεῖν καὶ λέγειν παρὰ τοὺς νόμους ὅ τι ἂν βούληται. ἐμοὶ γὰρ ὦ ἄνδρες δικασταί, ἔτη ἐστὶ τριάκοντα, ἐξ ὅτου ὑμεῖς κατεληλύθατε, εἰκοστὸν τουτί. φαίνομαι οὖν τρισκαιδεκέτης ὤν, ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπέθνησκε. ταύτην δὲ ἔχων τὴν ἡλικίαν, οὔτ' εἰ ἐστὶν ὀλιγαρχία ἠπιστάμην, οὔτε ἂν ἐκείνῳ ἀδικουμένῳ ἠδυνάμην βοηθῆσαι. καὶ μὴν δὴ οὐκ ὀρθῶς τῶν χρημάτων ἕνεκα ἐπιβουλεῦσαι αὐτῷ. ὁ γὰρ πρεσβύτερος ἀδελφὸς Πανταλέων, ἅπαντα παρέλαβε, καὶ ἐπιτροπεύσας, ὑμᾶς τῶν πατρῴων ἀπεστέρησεν. ὥστε πολλῶν ἕνεκα ὦ ἄνδρες δικασταὶ προσῆκέ μοι αὐτὸν βούλεσθαι ζῆν. ἀνάγκη μὲν οὖν περὶ αὐτῶν μνησθῆναι. οὐδὲν δὲ δεῖ πολλῶν λόγων. σχεδὸν γὰρ ἐπίστασθε ἅπαντες ὅτι ἀληθῆ λέγω. ὅμως δὲ μάρτυρας αὐτῶν παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Ἴσως τοίνυν ὦ ἄνδρες δικασταί, περὶ τούτων μὲν, οὐδὲν ἀπολογήσεται. ἐρεῖ δὲ πρὸς ὑμᾶς ἅπερ ἐτόλμα λέγειν, καὶ πρὸς τὸν διαιτητήν. ὡς οὐκ ἔστι τῶν ἀπορρήτων, ἐάν τις εἴπῃ τὸν πατέρα ἀπεκτονέναι. τὸν γὰρ νόμον οὐ ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾶν λέγειν. ἐγὼ δὲ οἶμαι ὑμᾶς ὦ ἄνδρες δικασταί, οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ τῆς τούτων διανοίας. καὶ πάντας εἰδέναι ὅτι ὅσοι ἀνδροφόνοι εἰσί, καὶ ἀπεκτόνασί τινας. πολὺ γὰρ ἔργον ἦν τῷ νομοθέτῃ ἅπαντα τὰ ὀνόματα γράφειν, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει. ἀλλὰ περὶ ἑνὸς εἰπὼν, περὶ πάντων ἐδήλου. οὐ γὰρ δή που ὦ Θεόμνηστε, εἰ μέν τις εἴποι σε πατραλοίαν, ἢ μητραλοίαν, ἠξίους ἂν αὐτὸν ὀφλεῖν σοι δίκην. εἰ δέ τις εἴποι ὡς τὴν τεκοῦσαν, ἢ τὸν φύσαντα ἔτυπτες, οὐκ ἂν αὐτὸν ἀζήμιον δεῖν εἶναι, ὡς οὐδὲν τῶν ἀπορρήτων εἰρηκότα. ἡδέως γὰρ ἄν σου πυθοίμην, περὶ τούτου γὰρ δεινὸς εἶ καὶ μεμελέτηκας καὶ ποιεῖν καὶ λέγειν, εἴ τις σε εἴποι ῥῖψαι τὴν ἀσπίδα ἐν δὲ τῷ νόμῳ εἴρητο. ἐάν τις φάσκῃ ἀποβεβληκέναι, ὑπόδικον εἶναι, οὐκ ἂν ἐδικάζου αὐτῷ. ἀλλ' ἐξήρκει ἄν σοι ἐρριφέναι τὴν ἀσπίδα, λέγοντι οὐδέν σοι μέλλει. οὐ δὲ γὰρ τὸ αὐτό ἐστι ῥῖψαι καὶ ἀποβεβληκέναι. ἀλλ' οὐδ' ἂν τῶν ἕνδεκα γενόμενος ἀποδέξαιο εἴ τις ἀπάγοι τινὰ φάσκων θοιμάτιον ἀποδεδύσθαι, ἢ τὸν χιτωνίσκον ἐκδεδύσθαι. ἀλλ' ἀφείης ἂν τὸν αὐτὸν τρόπον, ὅτι οὐ λωποδύτης ὀνομάζεται. οὐδ' εἰ τὸν παῖδα ἐξάγων ληφθείη, οὐκ ἂν φάσκοις αὐτὸν ἀνδραποδιστὴν εἶναι. εἴπερ μάχῃ τοῖς ὀνόμασιν, ἀλλὰ μὴ τοῖς ἔργοις τὸν νοῦν προσέχεις, ὧν ἕνεκα τὰ ὀνόματα, πάντες τίθενται. Ἔτι τοίνυν σκέψασθε ὦ ἄνδρες δικασταί. οὑτοσὶ γάρ μοι δοκεῖ ὑπὸ ῥᾳθυμίας καὶ μαλακίας, οὐδ' εἰς Ἄρειον πάγον ἀναβεβηκέναι. πάντες γὰρ ἐπίστασθε ὅτι ἐν ἐκείνῳ τῷ χωρίῳ ὅταν τὰς τοῦ φόνου δίκας δικάζωνται, οὐ διὰ τούτου τοῦ ὀνόματος τὰς διωμοσίας ποιοῦνται, ἀλλὰ δι' οὗπερ ἐγὼ καλῶς ἀκήκοα. ὁ μὲν γὰρ διώκων ὡς ἔκτεινε, διόμνυται. ὁ δὲ φεύγων, ὡς οὐκ ἔκτεινεν. οὐκοῦν ἄτοπον ἂν εἴη τὸν δράσαντα κτεῖναι, φάσκοντα ἀνδροφόνον εἶναι. ὅτι ὁ διώκων ὡς ἔκτεινε τὸν φεύγοντα διωμόσατο. τί γὰρ ταῦτα ὧν οὗτος ἐρεῖ διαφέρει, καὶ αὐτὸς μὲν θέων κατηγορίας ἐδικάσω εἶπέ τις σε ἐρριφέναι τὴν ἀσπίδα. καίτοι περὶ μὲν τοῦ ῥῖψαι, οὐδὲν ἐν τῷ νόμῳ εἴρηται. ἐὰν δέ τις εἴπῃ ἀποβεβληκέναι τὴν ἀσπίδα, πεντακοσίας δραχμὰς ὀφείλειν κελεύει. οὐκοῦν δεινὸν, εἰ ὅταν μὲν δέῃ σε κακῶς ἀκούσαντα τοὺς ἐχθροὺς τιμωρεῖσθαι, οὕτω τοὺς νόμους ὥσπερ ἐγὼ νῦν λαμβάνειν. ὅταν δ' ἕτερον παρὰ τοὺς νόμους εἴπῃς κακῶς, οὐκ ἀξιοῖς δοῦναι δίκην, πότερον οὕτω σὺ δεινὸς εἶ, ὥστε ὅπως ἂν βούλῃ οἷός τ' εἶ χρῆσθαι τοῖς νόμοις, ἢ τοσοῦτον δύνασαι, ὥστε οὐδέ ποτε οἴει τοὺς ἀδικουμένους ὑπὸ σοῦ τιμωρίας τεύξεσθαι. εἶτ' οὐκ αἰσχύνῃ οὕτως ἀνοήτως διακείμενος, ὥστε οὐκ ἐξ ὧν εὖ πεποίηκας τὴν πόλιν, ἀλλ' ἐξ ὧν ἀδικῶν οὐ δέδωκας δίκην, οἴει δεῖν πλεονεκτεῖν; καίτοι ἀνάγνωθι τὸν νόμον. ΝΟΜΟΣ. Ἐγὼ τοίνυν ὦ ἄνδρες δικασταὶ ὑμᾶς μὲν πάντας εἰδέναι ἡγοῦμαι, ὅτι ἐγὼ μὲν ὀρθῶς λέγω. τοῦτον δὲ οὕτω σκαιὸν εἶναι, ὥστε οὐ δύνασθαι μαθεῖν τὰ λεγόμενα. βούλομαι οὖν αὐτὸν καὶ ἐξ ἑτέρων νόμων περὶ τούτων διδάξαι. ἄν πως

ἀλλὰ

ἀλλὰ νῦν ἤδη τοῦ βήματος καταβῆ. καὶ τὸ λοιπὸν ἢ μὲν μὴ παρέχῃ πράγματα, καί μοι ἀνάγνωθι τούτους τοὺς νόμους τοῦ Σόλωνος τοὺς παλαιούς.

Νόμος.

Δεδέσθαι δ' ἐν τῇ ποδοκάκκῃ ἡμέρας πέντε τὸν πόδα, ἐὰν μὴ προστιμήσῃ ἡ ἡλιαία. ἡ ποδοκάκκη αὕτη ἐστὶν ὦ Θεόμνηστε, ὃ νῦν καλεῖται ἐν τῷ ξύλῳ δεδέσθαι. εἰ οὖν ὁ δεθεὶς ἐξελθὼν ἐν ταῖς εὐθύναις τοῖς ἕνδεκα κατηγοροίη ὅτι οὐκ ἐν τῇ ποδοκάκκῃ ἐδέδετο, ἀλλ' ἐν τῷ ξύλῳ, οὐκ ἂν ἠλίθιον αὐτὸν νομίζοιεν; λέγε ἕτερον νόμον.

Νόμος.

Ἐπιορκήσαντα τὸν Ἀπόλλω. δεδιότα δὲ δίκης ἕνεκα δρασκάζειν, τούτων τὸ μὲν ἐπιορκήσαντα, ὀμόσαντά ἐστι. τὸ δὲ δρασκάζειν, ὃ νῦν ἀποδιδράσκειν ὀνομάζομεν. Ὅστις δὲ ἀπίλλει τῇ θύρᾳ, ἔνδον τοῦ κλέπτου ὄντος, τὸ ἀπίλλειν τὸ ἀποκλείειν νομίζεται. καὶ μηδὲν διὰ τοῦτο διαφερέτω. Τὸ ἀργύριον στάσιμον εἶναι ἐφ' ὁπόσῳ ἂν βούληται ὁ δανείζων. τὸ στάσιμον τοῦτό ἐστιν ὦ βέλτιστε οὐ ζυγῷ ἱστάναι, ἀλλὰ τόκον πράττεσθαι ὁπόσον ἂν βούληται. ἐπανάγνωθι τουτὶ τοῦ νόμου τὸ τελευταῖον. ὅσοι δὲ πεφασμένως πωλοῦνται καὶ οἰκῆος καὶ βλάβης τὴν δούλην εἶναι ὀφείλειν. Προσέχετε τὸν νοῦν. τὸ μὲν πεφασμένως, ἐστὶ φανερῶς. πωλεῖσθαι δὲ, βαδίζειν. τὸ δὲ οἰκῆος, θεράποντος. πολλὰ δὲ τοιαῦτα καὶ ἄλλα ἐστὶν ὦ ἄνδρες δικασταί. ἀλλ' εἰ μὴ σιδήρου ἐστὶν, οἴομαι αὐτὸν συνειδέναι γεγονέναι, ὅτι τὰ μὲν πράγματα ταῦτά ἐστι νῦν τε καὶ πάλαι. τοῖς δὲ ὀνόμασιν ἐνίοις, οὐ τοῖς αὐτοῖς χρώμεθα νῦν καὶ πρότερον. δηλώσει δέ. οἰχήσεται γὰρ ἀπιὼν ἀπὸ τοῦ βήματος σιωπῇ. εἰ δὲ μὴ, δέομαι ὑμῶν ὦ ἄνδρες δικασταί, τὰ δίκαια ψηφίσασθαι, ἐνθυμουμένους ὅτι πολὺ μεῖζον κακόν ἐστιν ἀκούσαντα τὸν πατέρα ἀποβεβληκέναι. ἐγὼ γοῦν δεξαίμην ἂν πάσας τὰς ἀσπίδας ἐρριφέναι, ἢ τοιαύτην γνώμην ἔχειν περὶ τὸν πατέρα. οὗτος οὖν αἴτιος μὲν ὢν τῇ αἰτίᾳ, ἐλάττονος δὲ οὔσης αὐτῷ τῆς συμφορᾶς, οὐ μόνον ὑφ' ὑμῶν ἠλεήθη, ἀλλὰ καὶ τὸν μαρτυρήσαντα ἠτίμωσεν. ἐγὼ δὲ ἑωρακὼς μὲν ἐκεῖνο τοῦτον ποιήσαντα, ὃ καὶ ὑμεῖς ἴστε, αὐτὸς δὲ σώσας τὴν ἀσπίδα, ἀκηκοὼς δὲ οὕτως ἀνόσιον καὶ δεινὸν πρᾶγμα, μεγίστης δὲ οὔσης μοι τῆς συμφορᾶς εἰ ἀποφεύξεται, τούτῳ δ' οὐδενὸς ἄξιος εἰ κακηγορίας ἁλώσεται. οὐκ ἄρα δίκην παρ' αὐτοῦ λήψομαι; τίνος ὄντος ἐμοὶ πρὸς ὑμᾶς ἐγκλήματος. πότερον ὅτι δικαίως ἀκήκοα; ἀλλ' οὐδ' ἂν αὐτὸς φήσειε. ἀλλ' ὅτι βέλτιον καὶ ἐκ βελτιόνων ὁ φεύγων ἐμοῦ, ἀλλ' οὐδ' ἂν αὐτὸς ἀξιώσειεν. ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα δικάζομαι κακηγορίας τῷ σώσαντι; ἀλλ' οὐχ οὗτος ὁ λόγος ἐν τῇ πόλει κατεσκεύασται. ἀναμνήσθητε δὲ ὅτι μεγάλην καὶ καλὴν ἐκείνην δωρεὰν αὐτῷ δεδώκατε. ἐν ᾗ τίς οὐκ ἂν ἐλεήσειε Διονύσιον. τοιαύτῃ μὲν συμφορᾷ περιπεπτωκότα. ἄνδρα δὲ ἄριστον ἐν τοῖς κινδύνοις γεγενημένον. ἀπιόντα δὲ ἀπὸ τοῦ δικαστηρίου καὶ λέγοντα. ὅτι δυστυχεστάτην ἐκείνην εἴημεν στρατείαν ἐστρατευμένοι. ἐν ᾗ πολλοὶ μὲν ἡμῶν ἀπέθανον. οἱ δὲ σώσαντες τὰ ὅπλα, ὑπὸ τῶν ἀποβαλόντων ψευδομαρτυριῶν ἑαλώκασι. κρεῖττον δὲ ἦν αὐτῷ τότε ἀποθανεῖν, ἢ οἴκαδ' ἐλθόντι τοιαύτῃ τύχῃ χρῆσθαι. μὴ τοίνυν ἀκούσαντα Θεόμνηστον κακῶς, τὰ προσήκοντα ἐλεεῖτε, καὶ ὑβρίζοντι καὶ λέγοντι παρὰ τοὺς νόμους, συγγνώμην ἔχετε. τίς γὰρ ἂν ἐμοὶ μείζων ταύτης γένοιτο συμφορά, περὶ τοιούτου πατρὸς, οὕτως αἰσχρὰς αἰτίας ἀκηκοότος. πολλάκις μὲν ἐστρατήγησε. πολλοὺς δὲ καὶ ἄλλους κινδύνους μεθ' ὑμῶν ἐκινδύνευσε, καὶ οὔτε τοῖς πολεμίοις τὸ ἐκείνου σῶμα ὑποχείριον ἐγένετο, οὔτε τοῖς πολίταις, οὐδὲ μίαν πώποτε ὦφλεν εὐθύνην. ἔτη δὲ γεγονὼς ἑπτὰ καὶ ἑξήκοντα ἐν ὀλιγαρχίᾳ, διὰ τὴν εὔνοιαν τοῦ ὑμετέρου πλήθους ἀπέθανεν. ἆρ' ἄξιον ὀργισθῆναι τῷ εἰρηκότι, καὶ βοηθῆσαι τῷ πατρὶ ὡς καὶ ἐκείνου κακῶς ἀκηκοότος. τί γὰρ ἂν τούτου ἀνιαρότερον γένοιτο αὐτῷ, ἢ τεθνάναι μὲν ὑπὸ τῶν ἐχθρῶν. αἰτίας δ' ἔχειν ὑπὸ τῶν παίδων. οὗ ἔτι καὶ νῦν ὦ ἄνδρες δικασταὶ τῆς ἀρετῆς τὰ μνημεῖα, πρὸς τοῖς ὑμετέροις ἀνάκειται. τὰ δὲ τούτου καὶ τὰ τούτου πατρὸς τῆς κακίας, πρὸς τοῖς τῶν πολεμίων, οὕτω σύμφυτος αὐτοῖς ἡ δειλία. καὶ μὲν δὴ ὦ ἄνδρες δικασταί, ὅσῳ μείζους εἰσὶ καὶ νεανίαι τὰς ὄψεις, τοσούτῳ μᾶλλον ὀργῆς ἄξιοί εἰσι. δῆλον γὰρ ὅτι τοῖς μὲν σώμασι δύνανται. τὰς δὲ ψυχὰς οὐκ ἔχουσιν. Ἀκούω δ' αὐτὸν ὦ ἄνδρες δικασταὶ, ἤδη τοῦτον τὸν λόγον τρέπεσθαι,

ὡς ὀργισθεὶς εἴρηκε. ταῦτα ἐμοῦ μαρτυρήσαντος τὴν αὐτὴν μαρτυρίαν διονυσίῳ. ὑμεῖς δ' ἐνθυμεῖσθε ὦ ἄνδρες δικασταὶ, ὅτι ὁ νομοθέτης, οὐδὲ μιᾷ ὀργῇ συγγνώμην δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποφαίνῃ ὡς ἔστιν ἀληθῆ τὰ εἰρημένα. ἐγὼ δὲ δὶς ἤδη περὶ τούτου μεμαρτύρηκα. οὐ γάρ πω ᾔδειν ὅτι ὑμεῖς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε. τοῖς δὲ ἀποβάλλουσι, συγγνώμην ἔχετε. περὶ μὲν οὖν τούτων, οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν. ἐγὼ δὲ ὑμῶν δέομαι καταψηφίσασθαι θεομνήστου. ἐνθυμουμένους ὅτι οὐκ ἂν γένοιτο τούτου μείζων ἀγών μοι. νῦν γὰρ διώκω κακηγορίας. τῇ δ' αὐτῇ ψήφῳ, φόνου φεύγω τοῦ πατρός. ὃς μόνος ἐπειδὴ τάχιστα ἐδοκιμάσθην, ἐπεξῆλθον τοῖς τριάκοντα ἐν ἀρείῳ πάγῳ. ὧν μεμνημένοι, καὶ ἐμοὶ καὶ τῷ πατρὶ βοηθήσατε. καὶ τοῖς νόμοις τοῖς κειμένοις, καὶ τοῖς ὅρκοις οὓς ὀμωμόκατε.

Λυσίου, κατὰ θεομνήστου. β'.

ὅ

τι μὲν τὸν πατέρα μ' ἔφασκον ἀπεκτονέναι, πολλοὶ συνοίδασιν ὑμῶν, καὶ μαρτυροῦσι δέ μοι. ὅτι δὲ οὐ πεποίηκα, ἔτη γάρ ἐστί μοι δύο καὶ τριάκοντα. ἀφ' οὗ δ' ὑμεῖς κατήλθετε, εἰκοστὸν τουτί. φαίνομαι οὖν δωδεκέτης ὤν, ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπέθνησκεν. ὥστ' οὐδ' ὅτι ὀλιγαρχία ἦν ᾔδειν, οὐδὲ τῷ πατρὶ βοηθεῖν, ἀεργός τις ἦν. ἀλλὰ μὴν οὐδὲ τῶν χρημάτων ἕνεκα ἐπιβουλεῦσαι αὐτῷ. ὁ γὰρ πρεσβύτερος ἀδελφὸς πάντα λαβὼν, ἀπεστέρησεν ἡμᾶς. ἴσως δ' ἐρεῖ ὡς οὐκ ἔστι τῶν ἀπορρήτων, ἐάν τις λέγῃ τὸν πατέρα ἀπεκτονέναι. τὸν γὰρ νόμον, οὐ ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾶν λέγειν. ἐγὼ δ' οἶμαι δεῖν οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ περὶ τῆς τούτων διανοίας. καὶ πάντας εἰδέναι, ὅτι ὁπόσοι ἀπεκτείνασί τινας, καὶ ἀνδροφόνοι τῶν αὐτῶν εἰσι. καὶ ὅσοι ἀνδροφόνοι τινος, καὶ ἀπεκτείνασι τουτονί. πολὺ γὰρ ἂν ἔργον εἴη τῷ νομοθέτῃ πάντα γράφειν τὰ ὀνόματα, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει. ἀλλὰ περὶ ἑνὸς εἰπὼν, περὶ πάντων ἐδήλωσεν. οὐ γὰρ δή που ἐὰν μέν τις πατραλοίαν ἢ μητραλοίαν καλέσῃ, ὑβριστικός ἐστιν. ἐὰν δέ τις τὴν τεκοῦσαν ἢ τὸν φυτεύσαντα τύπτοι, ἀζήμιος ἔσται. καὶ εἴ τις εἴπῃ ῥίψασπιν, ἀθῷος ἔσται. τὸν γὰρ νόμον ἐάν τις εἴπῃ τὴν ἀσπίδα ἀποβεβληκέναι, ζημίαν τάττειν. ἀλλ' οὐκ ἄν τις ῥῖψαι φῇ αὐτήν. ὁμοίως δ' ἂν καὶ τῶν ἕνδεκα γενόμενος, οὐκ ἂν ἀποδέχοιτο τὸν ἀπαγόμενον. ὅτι θοἰμάτιον ἔξω θέμενος ἢ τὸν χιτωνίσκον, εἰ μὴ λωποδύτην ὠνόμαζεν. εἰ μή τις παῖδ' ἐξῆγεν ὡς ἀνδραποδιστήν. καὶ αὐτὸς μὲν ἐδικάσω κακηγορίας τῷ εἰπόντι σε ῥῖψαι τὴν ἀσπίδα. καίτοι ἐν τῷ νόμῳ ἃ γέγραπται. ἀλλ' ἐάν τις φῇ ἀποβεβληκέναι. πῶς οὖν οὐ δεινόν. ἐὰν μή τις γε εἴπῃ τοὺς νόμους ἐκλαμβάνειν, οὕτως ὡς περὶ ἐγὼ νῦν, καὶ τιμωρεῖν τοὺς ἐχθρούς. ἐὰν δ' αὐτὸς εἴπῃς οὐκ ἄξιον δοῦναι δίκην. βοηθήσατε οὖν μοι ἐνθυμούμενοι, ὅτι μεῖζόν ἐστι κακὸν τὸν πατέρα ἀπεκτονέναι, ἢ τὴν ἀσπίδα ῥῖψαι. ἐγὼ οὖν δεξαίμην πάσας ἀποβεβληκέναι, ἢ τοιαύτην γνώμην περὶ τὸν πατέρα ἔχειν. καίγε τοῦτον μὲν ἑώρακα ποιοῦντα, ὡς καὶ ὑμεῖς ἴστε. αὐτὸς δ' ἔσωσα τὴν ἀσπίδα. ὥστε διὰ τί οὐκ ἂν λάβοιμι δίκην παρ' αὐτοῦ. τίνος ἐγκλήματός μοι ὄντος. πότερον, ὡς δικαίως ἤκουσα; ἀλλ' οὐδ' ἂν αὐτοὶ φήσαιτε. ἀλλ' ὡς βελτίονος ὄντος; ἀλλ' οὐδ' ἂν αὐτὸς ἀξιώσειεν. ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα σώσαντι, δικάζομαι; ἀλλ' οὐχ οὗτος ὁ λόγος διέσπαρται κατὰ τὴν πόλιν. μὴ δὴ κακῶς ἀκούοντα τὰ προσήκοντα ἐλεεῖτε. μηδ' ὑβρίζοντί τε καὶ λέγοντι παρὰ τοὺς νόμους, συγγνώμην ἔχετε. καὶ ταῦτα εἰς ἄνδρα, ὃς πολλὰς μὲν στρατηγίας ἐστρατήγηκε, πολλὰς δὲ μεθ' ὑμῶν κεκινδύνευκε. καὶ οὔτε τοῖς πολεμίοις ὑποχείριος γέγονεν, οὔθ' ὑμῖν εὐθύνας ὦφλεν. ἑβδομήκοντα δ' ἐτῶν ὤν, ὑπ' ὀλιγαρχίας ἐτελεύτησε διὰ τὴν ὑμετέραν εὔνοιαν. ἄξιον δὲ ὀργισθῆναι ὑπὲρ αὐτοῦ. τί γὰρ ἂν τούτου ἀνιαρότερον ἀκούσειεν, εἰ τεθνηκὼς ὑπὸ τῶν ἐχθρῶν, αἰτίαν ἔχοι ὑπὸ τῶν τέκνων ἀνῃρῆσθαι. οὗ τῆς ἀρετῆς τὰ μνημεῖα, πρὸς τοῖς ὑμετέροις ἱεροῖς ἀνάκειται. τῆς δὲ τούτων κακίας, πρὸς

τοῖς τῶν

τοῖς τῶν πολεμίων. ἐρεῖ δὲ, ὡς ὀργισθεὶς εἴρηκεν. ὑμεῖς δ' ἐνθυμεῖσθε ὅτι ὁ νομοθέτης οὐδεμίαν συγγνώμην ὀργῇ δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ. ἐγὼ δὲ δὶς περὶ τούτου μεμαρτύρηκα. οὐ γὰρ ᾔδειν ὅτι ὑμεῖς τοὺς μὲν ἰδιώτας τιμωρεῖσθε, τοῖς δὲ ἀποβάλλουσι συγγνώμην ἔχετε. δέομαι οὖν καταψηφίσασθαι αὐτοῦ. νυνὶ γὰρ διώκω μὲν κατηγορίας. τῇ δ' αὐτῇ ψήφῳ, φόνου φεύγω τοῦ πατρός. οὐ μείζων ἀγὼν, οὐκ ἂν γένοιτό μοι. ὃς μόνος δοκιμασθεὶς τοῖς τριάκοντ' ἐπεξῆλθον ἐν ἀρείῳ πάγῳ. βοηθήσατ' οὖν, κἀκείνῳ κἀμοί.

Λυσίου κατὰ ἐρατοσθένους, τοῦ γενομένου τῶν τριάκοντα, ὃν αὐτὸς εἶπε λυσίας.

Οὐκ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι ὦ ἄνδρες δικασταὶ τῆς κατηγορίας, ἀλλὰ παύσασθαι λέγοντι. τοιαῦτα αὐτοῖς τὸ μέγεθος καὶ τοσαῦτα τὸ πλῆθος εἴργασται, ὥστε μήτ' ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρχόντων κατηγορῆσαι, μήτ' ἀληθῆ βουλόμενον εἰπεῖν ἅπαντα δύνασθαι. ἀλλ' ἀνάγκη ἢ τὸν κατήγορον ἀπειπεῖν, ἢ τὸν χρόνον ἐπιλιπεῖν. τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι, ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ. πρότερον μὲν γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ἥτις εἴη πρὸς τοὺς φεύγοντας. νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι, ἥτις ἦν αὐτοῖς πρὸς τὴν πόλιν ἔχθρα, ἀνθ' ὅτου τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. οὐ μέντοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφορὰς τοὺς λόγους ποιοῦμαι, ἀλλ' ὡς ἅπασι πολλῆς ἀφθονίας οὔσης ὑπὲρ τῶν ἰδίων, ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι. ἐγὼ μὲν οὖν ὦ ἄνδρες δικασταὶ, οὔτ' ἐμαυτοῦ πώποτε οὔτε ἀλλότρια πράγματα πράξας, νῦν ἠνάγκασμαι ὑπὸ τῶν γεγενημένων τούτου κατηγορεῖν. ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν κατέστην, μὴ διὰ τὴν ἀπειρίαν, ἀναξίως καὶ ἀδυνάτως ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ τὴν κατηγορίαν ποιήσωμαι. ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι δι' ἐλαχίστων διδάξαι. οὑμὸς πατὴρ κέφαλος, ἐπείσθη μὲν ὑπὸ περικλέους, εἰς ταύτην τὴν γῆν ἀφικέσθαι. ἔτη δὲ τριάκοντα ᾤκησε. καὶ οὐδενὶ πώποτε οὔτε ἡμεῖς οὔτε ἐκεῖνος δίκην οὔτε ἐδικασάμεθα, οὔτε ἐφύγομεν. ἀλλ' οὕτως ᾠκοῦμεν δημοκρατούμενοι, ὥστε μήτε εἰς τοὺς ἄλλους ἐξαμαρτάνειν, μήτε ὑπὸ τῶν ἄλλων ἀδικεῖσθαι. ἐπειδὴ δ' οἱ τριάκοντα πονηροὶ μὲν ἂν συκοφάνται ὄντες εἰς τὴν ἀρχὴν κατέστησαν, φάσκοντες χρῆναι τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν καὶ τοὺς λοιποὺς πολίτας, ἐπ' ἀρετὴν καὶ δικαιοσύνην τραπέσθαι. καὶ τοιαῦτα λέγοντες, οὐ τοιαῦτα ποιεῖν ἐτόλμων. ὡς ἐγὼ περὶ τῶν ἐμαυτοῦ πρῶτον εἰπὼν, καὶ περὶ τῶν ὑμετέρων ἀναμνῆσαι πειράσομαι. θέογνις γὰρ καὶ πείσων ἔλεγον ἐν τοῖς τριάκοντα περὶ τῶν μετοίκων ὡς εἰσί τινες, τῇ πολιτείᾳ ἀχθόμενοι. καλλίστην οὖν εἶναι πρόφασιν τιμωρεῖσθαι μὲν δοκεῖν, τῷ δ' ἔργῳ χρηματίζεσθαι. πάντως δὲ τὴν μὲν πόλιν πένεσθαι, τὴν ἀρχὴν δεῖσθαι χρημάτων. καὶ τοὺς ἀκούοντας, οὐ χαλεπῶς ἔπειθον. ἀποκτιννύναι μὲν γὰρ ἀνθρώπους, περὶ οὐδενὸς ἡγοῦντο. λαμβάνειν δὲ χρήματα, περὶ πολλοῦ ἐποιοῦντο. ἔδοξεν οὖν αὐτοῖς δέκα συλλαβεῖν. τούτων δὲ δύο πένητας, ἵνα αὐτοῖς ᾖ πρὸς τοὺς ἄλλους ἀπολογία. ὡς οὐ χρημάτων ἕνεκα ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα τῇ πολιτείᾳ γεγένηται. ὥσπερ τι τῶν ἄλλων εὐλόγως πεποιηκότες. διαλαβόντες δὲ τὰς οἰκίας, ἐβάδιζον. καὶ ἐμὲ μὲν ξένους ἑστιῶντα κατέλαβον οὓς ἐξελάσαντες, πείσωνί με παραδιδόασιν. οἱ δὲ ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες, τὰ ἀνδράποδα ἀπεγράφοντο. ἐγὼ δὲ πείσωνα μὲν ἠρώτων, εἰ βούλοιτό με σῶσαι χρήματα λαβών. ὁ δ' ἔφασκεν εἰ πολλὰ εἴη. εἶπον οὖν ὅτι τάλαντον ἀργυρίου, ἕτοιμος εἴην δοῦναι. ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. ἠπιστάμην μὲν οὖν, ὅτι οὔτε θεοὺς οὔτε ἀνθρώπους νομίζει. ὅμως δ' ἐκ τῶν παρόντων ἐδόκει μοι ἀναγκαιότατον εἶναι πίστιν παρ' αὐτοῦ λαβεῖν. ἐπειδὴ δὲ ὤμοσεν, ἐξώλειαν ἑαυτῷ καὶ τοῖς παισὶν ἐπαρώμενος, λαβὼν τὸ τάλαντόν με σώσειν, εἰσελθὼν εἰς τὸ δωμάτιον, τὴν κιβωτὸν ἀνοίγνυμι. πείσων δ' αἰσθόμενος εἰσέρχεται, καὶ ἰδὼν τὰ ἐνόντα καλεῖ τῶν

μετῆν ἐν αὐτῇ καὶ ἐμοί, τούτου τἀγαθοῦ οὐκ ἐλάχιστον μέρος. νῦν δὲ οὔτε πρὸς τὴν πόλιν αὐτοῖς τοιαῦτα ὑπάρχει, οὔτε πρὸς ἐμέ. τὸν ἀδελφὸν γάρ μου ὥσπερ καὶ πρότερον εἶπον, Ἐρατοσθένης ἀπέκτεινεν οὔτε αὐτὸς ἰδίᾳ ἀδικούμενος, οὔτε εἰς τὴν πόλιν ὁρῶν ἐξαμαρτάνοντα. ἀλλὰ τῇ ἑαυτοῦ παρανομίᾳ προθύμως ἐξυπηρετῶν. ἀναβιβασάμενος δ᾽ αὐτὸν βούλομαι ἐρέσθαι ὦ ἄνδρες δικασταί. τοιαύτην γὰρ γνώμην ἔχω. ἐπὶ μὲν τῇ τούτου ὠφελείᾳ καὶ πρὸς ἕτερον περὶ τούτου διαλέγεσθαι ἀσεβὲς εἶναι νομίζω. ἐπὶ δὲ τῇ τούτου βλάβῃ καὶ πρὸς αὐτὸν τοῦτον, ὅσιον καὶ εὐσεβές. ἀνάβηθι οὖν μοι καὶ ἀπόκριναι ὅτι ἄν σε ἐρωτῶ. ἀπήγαγες Πολέμαρχον ἢ οὔ; Τὰ ὑπὸ τῶν ἀρχόντων προσταχθέντα δεδιὼς ἐποίουν. Ἦσθα δ᾽ ἐν τῷ βουλευτηρίῳ ὅτε οἱ λόγοι ἐγένοντο περὶ ἡμῶν; Ἦν. Πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖναι, ἢ ἀντέλεγες; Ἀντέλεγον. Ἵνα ἀποθάνωμεν; Ἵνα μὴ ἀποθάνητε. Ἡγούμενος ἡμᾶς ἄδικα πάσχειν ἢ δίκαια; Ἄδικα. Εἶτ᾽ ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μὲν ἵνα σώσειας, συνελάμβανες δέ, ἵνα ἀποκτείνῃς; καὶ ὅτε μὲν τὸ πλῆθος ἦν ὑμῶν κύριον τῆς σωτηρίας τῆς ἡμετέρας, ἀντιλέγειν φῂς τοῖς βουλομένοις ἡμᾶς ἀπολέσαι, ἐπειδὴ δὲ ἐπὶ σοὶ μόνῳ ἐγένετο, καὶ σῶσαι Πολέμαρχον καὶ μή, εἰς τὸ δεσμωτήριον ἀπήγαγες; εἶθ᾽ ὅτι μὲν ὡς φῂς ἀντειπὼν, οὐδὲν ὠφέλησας, ἀξιοῖς χρηστὸς νομίζεσθαι. ὅτι δὲ συλλαβὼν ἀπέκτεινας, οὐκ οἴει ἐμοὶ καὶ τουτοισὶ δοῦναι δίκην; καὶ μὴν οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν, εἴπερ ἀληθῆ λέγει, φάσκων ἀντειπεῖν ὡς αὐτῷ ἐτάχθη. οὐ γὰρ δή που ἐν τοῖς μετοίκοις πίστιν παρ᾽ αὐτοῦ ἐλάμβανον. ἔπειτα τῷ πίστιν εἰκὸς ἦν προσταχθῆναι, ἢ ὅστις ἀντειπών γε ἐτύγχανε, καὶ γνώμην ἀποδεδειγμένος. τίνα γὰρ εἰκὸς ἦν ἧττον ταῦτα ὑπηρετῆσαι, ἢ τὸν ἀντειπόντα οἷς ἐκεῖνοι ἐβούλοντο πραχθῆναι; ἔτι δὲ τοῖς μὲν ἄλλοις Ἀθηναίοις, ἱκανή μοι δοκεῖ πρόφασις εἶναι τῶν γεγενημένων εἰς τοὺς τριάκοντα ἀναφέρειν τὴν αἰτίαν. αὐτοὺς δὲ τοὺς τριάκοντα ἂν εἰς σφᾶς αὐτοὺς ἀναφέρωσι, πῶς ὑμᾶς εἰκὸς ἀποδέχεσθαι; εἰ μὲν γάρ τις ἐν τῇ πόλει ἀρχὴ ἰσχυροτέρα αὐτῆς, ὑφ᾽ ἧς αὐτῷ προσετάττετο παρὰ τὸ δίκαιον ἀνθρώπους ἀπολλύναι, ἴσως ἂν εἰκότως αὐτῷ συγγνώμην εἴχετε. νῦν δὲ παρὰ τοῦ ποτε καὶ λήψεσθε δίκην, εἴπερ ἐξέσται τοῖς τριάκοντα λέγειν ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποίουν, καὶ μὴν οὐκ ἐν τῇ οἰκίᾳ, ἀλλ᾽ ἐν τῇ ὁδῷ σώζοντα αὐτόν καὶ τὰ τούτοις ἐψηφισμένα, ἐν συλλαβὼν ἀπήγαγεν. ὑμεῖς δὲ πάντες ὀργίζεσθε ὅσοι εἰς τὰς οἰκίας ἦλθον τὰς ὑμετέρας, ζήτησιν ποιούμενοι, ἢ ὑμῶν, ἢ τῶν ὑμετέρων τινός. καίτοι εἰ χρὴ τοῖς διὰ τὴν ἑαυτῶν σωτηρίαν, ἑτέρους ἀπολέσασι συγγνώμην ἔχειν, ἐκείνοις ἂν δικαιότερον ἔχοιτε. κίνδυνος γὰρ ἦν πεμφθεῖσι μὴ ἐλθεῖν, καὶ καταλαβοῦσιν ἐξάρνοις γενέσθαι. τῷ δὲ Ἐρατοσθένει ἐξῆν εἰπεῖν ὅτι οὐκ ἀπήντησεν· ἔπειτα ὅτι οὐκ εἶδεν. ταῦτα γὰρ οὔτε ἔλεγχον, οὔτε βάσανον εἶχεν. ὥστε μὴ δ᾽ ὑπὸ τῶν ἐχθρῶν βουλομένων, οἷόν τε εἶναι ἐξελεγχθῆναι. χρῆν δέ σε ὦ Ἐρατόσθενες εἴπερ ἦσθα χρηστός, πολὺ μᾶλλον τοῖς μέλλουσιν ἀδίκως ἀποθανεῖσθαι μηνυτὴν γενέσθαι ἢ τοὺς ἀδίκως ἀπολουμένους συλλαμβάνειν. νῦν δέ σου τὰ ἔργα φανερὰ γεγένηται οὐχ ὡς ἀνιωμένου, ἀλλ᾽ ὡς ἡδομένου τοῖς γιγνομένοις. ὥστε τούσδε ἐκ τῶν ἔργων χρὴ μᾶλλον, ἢ ἐκ τῶν λόγων τὴν ψῆφον φέρειν. ἃ ἴσασι γεγενημένα, τῶν τότε λεγομένων τεκμήρια λαμβάνοντας, ἐπειδὴ μάρτυρας περὶ αὐτῶν οὐχ οἷόν τε παρασχέσθαι. οὐ γὰρ μόνον ἡμῖν παρεῖναι οὐκ ἐξῆν, ἀλλ᾽ οὐδὲ παρ᾽ αὑτοῖς εἶναι. ὥστε ἐπὶ τούτοις ἐστὶ πάντα τὰ κακὰ εἰργασμένοις τὴν πόλιν, πάντα τἀγαθὰ περὶ αὐτῶν λέγειν. τοῦτο μέντοι οὐ φεύγω, ἀλλ᾽ ὁμολογῶ σοι εἰ βούλει ἀντειπεῖν φάσκων, ἀπέκτεινας Πολέμαρχον; φέρε δὴ τί ἂν εἰ καὶ ἀδελφοὶ ὄντες ἐτύχετε αὐτοῦ, ἢ καὶ υἱεῖς ἀπεψηφίσασθε; δεῖ γὰρ ὦ ἄνδρες δικασταὶ Ἐρατοσθένην δυοῖν θάτερον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν αὐτόν. ἢ ὡς δικαίως τοῦτ᾽ ἔπραξεν. οὗτος δὲ ὡμολόγηκεν ἀδίκως συλλαβεῖν, ὥστε ῥᾳδίαν ὑμῖν τὴν διαψήφισιν περὶ αὐτοῦ πεποίηκε. Καὶ μὲν δὴ πολλοὶ καὶ τῶν ἀστῶν, καὶ τῶν ξένων ἥκουσιν εἰσόμενοι τίνα γνώμην περὶ τούτων ἕξετε. ὧν οἱ μὲν,

ὑμέτεροι ὄντες πολῖται, μαθόντες ἀπίασιν, ὅτι ἣν δίκην δώσουσιν, ὧν ἂν ἐξαμάρτωσιν, ἢ πράξαντες μὲν ὧν ἐφίενται, τύραννοι τῆς πόλεως ἔσονται. δυστυχήσαντες δὲ, τὸ ἴσον ὑμῖν ἕξουσιν. ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν, εἴσονται πότερον ἀδίκως τοὺς τριάκοντα ἐκκηρύττουσιν ἐκ τῶν πόλεων ἢ δικαίως. εἰ γὰρ δὴ αὐτοὶ οἱ κακῶς πεπονθότες λαβόντες ἀφήσουσιν, ἦ που σφᾶς αὐτοὺς ἡγήσονται περιέργους ὑπὲρ ὑμῶν τηρουμένους. οὐκ οὖν δεινὸν εἰ τοὺς μὲν στρατηγοὺς οἳ ἐνίκων ναυμαχοῦντες, ὅτε διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε. ἡγούμενοι χρῆναι τῇ τῶν τεθνεώτων ἀρετῇ, παρ' ἐκείνων δίκην λαβεῖν. τούτους δὲ οἱ ἰδιῶται μὲν ὄντες καθόσον ἐδύναντο, ἐποίησαν ἡττηθῆναι ναυμαχοῦντας. ἐπειδὴ δὲ εἰς τὴν ἀρχὴν κατέστησαν, ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτιννύναι. οὐκ ἄρα χρὴ αὐτοὺς καὶ τοὺς παῖδας ἀφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζεσθαι.

Ἐγὼ τοίνυν ὦ ἄνδρες δικασταὶ ἠξίουν ἱκανὰ εἶναι τὰ κατηγορημένα. μέχρι γὰρ τούτου νομίζω χρῆναι κατηγορεῖν, ἕως ἂν θανάτου δόξῃ τῷ φεύγοντι ἄξια εἰργάσθαι. ταύτην γὰρ ἐσχάτην δίκην δυνάμεθα παρ' αὐτῶν λαβεῖν, ὥστ' οὐκ οἶδ' ὅτι δεῖ πολλὰ κατηγορεῖν τοιούτων ἀνδρῶν, οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων, δὶς ἀποθανόντες δίκην δοῦναι δύναιντ' ἄν. Οὐ γὰρ δὴ οὐδὲ τοῦτο αὐτοῖς προσήκει ποιῆσαι, ὅπερ ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστί. πρὸς μὲν τὰ κατηγορούμενα μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ σφῶν αὐτῶν ἕτερα λέγοντες, ἐνίοτ' ἐξαπατῶσιν, ὑμῖν ἀποδεικνῦντες ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς τῶν πολεμίων ναῦς ἔλαβον τριηραρχήσαντες, πόλεις πολεμίας οὔσας, φιλίας ἐποίησαν. ἐπεὶ κελεύετε αὐτὸν ἀποδεῖξαι ὅπου τοσούτους τῶν πολεμίων ἀπέκτειναν, ὅσους τῶν πολιτῶν, ἢ ναῦς ὅπου τοσαύτας ἔλαβον, ὅσας αὐτοὶ παρέδωκαν, ἢ πόλιν ἥν τινα τοιαύτην προσεκτήσαντο, οἵαν τὴν ὑμετέραν κατεδουλώσαντο. ἀλλὰ γὰρ ὅπλα τῶν πολεμίων ἐσκύλευσαν ὅσα περ ὑμῶν ἀφείλοντο; ἀλλὰ τείχη τοιαῦτα εἷλον, οἷα τῆς ἑαυτῶν πατρίδος κατέσκαψαν. οἵτινες καὶ τὰ περὶ τὴν Ἀττικὴν φρούρια καθεῖλον καὶ ὑμῖν ἐδήλωσαν, ὅτι οὐδὲ τὸν Πειραιᾶ Λακεδαιμονίων προσταττόντων περιεῖλον, ἀλλ' ὅτι ἑαυτοῖς τὴν ἀρχήν, οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι. πολλάκις οὖν ἐθαύμασα τῆς τόλμης τῶν λεγόντων ὑπὲρ αὐτῶν. πλὴν ὅταν ἐνθυμηθῶ, ὅτι τῶν αὐτῶν ἐστιν, αὐτούς τε πάντα τὰ κακὰ ἐργάζεσθαι, καὶ τοὺς τοιούτους ἐπαινεῖν. οὐ γὰρ νῦν πρῶτον τῷ ὑμετέρῳ πλήθει τὰ ἐναντία ἔπραξεν, ἀλλὰ καὶ ἐπὶ τῶν τετρακοσίων ἐν τῷ στρατοπέδῳ ὀλιγαρχίαν καθιστάς, ἔφευγεν ἐξ Ἑλλησπόντου τριήραρχος καταλιπὼν τὴν ναῦν μετὰ Ἰατροκλέους καὶ ἑτέρων, ὧν τὰ ὀνόματα οὐδὲν δέομαι λέγειν. ἀφικόμενος δὲ δεῦρο, τἀναντία τοῖς βουλομένοις δημοκρατίαν εἶναι ἔπραττε, καὶ τούτων μάρτυρας ὑμῖν παρέξομαι.

Μάρτυρες. Τὸν μὲν τοίνυν μεταξὺ βίον αὐτοῦ παρήσω. ἐπειδὴ δὲ ἡ ναυμαχία καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο δημοκρατίας ἔτι οὔσης, ὅθεν τῆς στάσεως ἦρξαν, πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων. συναγωγεῖς μὲν τῶν πολιτῶν. ἄρχοντες δὲ τῶν συνωμοτῶν ἐναντία τῷ ὑμετέρῳ πλήθει πράττοντες, ὧν Ἐρατοσθένης καὶ Κριτίας ἦσαν. οὗτοι δὲ φυλάρχους τε ἐπὶ τὰς φυλὰς κατέστησαν καὶ ὅτι δέοι χειροτονεῖσθαι. καὶ οὕς τινας χρὴ ἄρχειν παρήγγελλον, καὶ εἴ τι ἄλλο πράττειν βούλοιντο, κύριοι ἦσαν, οὕτως οὐχ ὑπὸ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὑπὸ τούτων πολιτῶν ὄντων ἐπεβουλεύεσθε ὅπως μήτ' ἀγαθὸν μηδὲν ψηφίσεσθε, πολλῶν τε ἐνδεεῖς ἔσεσθε. τοῦτο γὰρ καλῶς ἠπίσταντο, ὅτι ἄλλως μὲν οὐχ οἷοί τε ἔσονται περιγενέσθαι, κακῶς δὲ πραττόντων, δυνήσονται. Καὶ ὑμᾶς ἡγοῦντο τῶν παρόντων κακῶν ἐπιθυμοῦντας ἀπαλλαγῆναι, περὶ τῶν μελλόντων οὐκ ἐνθυμήσεσθαι. ὡς τοίνυν τῶν ἐφόρων ἐγένετο, μάρτυρας ὑμῖν παρέξομαι, οὐ τοὺς τότε συμπράττοντας (οὐ γὰρ ἂν δυναίμην) ἀλλὰ τοὺς αὐτοῦ Ἐρατοσθένους ἀκούσαντας. καίτοι εἰ ἐσωφρόνουν, κατεμαρτύρουν ἂν αὐτῶν. καὶ τοὺς διδασκάλους τῶν σφετέρων ἁμαρτημάτων, σφόδρ' ἂν ἐκόλαζον, καὶ τοὺς ὅρκους εἰ ἐσωφρόνουν, οὐκ ἂν ἐπὶ μὲν τοῖς τῶν πολιτῶν κακοῖς πι-

τοὺς ἐνόμιζον. ἐπὶ δὲ τοῖς τῆς πόλεως ἀγαθοῖς, ῥᾳδίως παρέβαινον. πρὸς μὲν οὖν τούτους, τοσαῦτα λέγω. τοὺς δὲ μάρτυράς μοι κάλει, καὶ ὑμεῖς ἀνάβητε.

ΜΑΡΤΥΡΕΣ. Τῶν μὲν μαρτύρων ἀκηκόατε. τὸ δὲ τελευταῖον εἰς τὴν ἀρχὴν καταστὰς, ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, ἄλλων δὲ πολλῶν. καίτοι εἴπερ ἦν ἀνὴρ ἀγαθὸς, ἐχρῆν αὐτὸν πρῶτον μὲν μὴ παρανόμως ἄρχειν, ἔπειτα τῇ βουλῇ μηνυτὴν γίνεσθαι περὶ τῶν εἰσαγγελιῶν ἁπασῶν, ὅτι ψευδεῖς εἶεν, καὶ Βάτραχος, καὶ Αἰσχυλίδης οὐ τἀληθῆ μηνύουσιν, ἀλλὰ τὰ ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰσαγγέλλουσι συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλάβῃ. Καὶ μὲν δὴ ὦ ἄνδρες δικασταὶ ὅσοι κακόνοι ἦσαν τῷ ὑμετέρῳ πλήθει, οὐδὲν ἔλαττον εἶχον σιωπῶντες. ἕτεροι γὰρ ἦσαν οἱ λέγοντες καὶ πράττοντες, ὧν οὐχ οἷόν τ' ἦν μείζω κακὰ γενέσθαι τῇ πόλει. ὁπόσοι δ' εὖνοί φασιν εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα λέγοντες, καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες. Ἴσως δ' ἂν ἔχοι εἰπεῖν ὅ,τι ἐδεδίει (καὶ ὑμῶν τοῦτο ἐνίοις ἱκανὸν ἔσται) ὅπως τί μὴ φανήσεται ἐν τῷ λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος, εἰ δὲ μὴ, ἐνταῦθα δῆλος ἔσται. ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε καὶ τοσοῦτον ἐδύνατο, ὥστε ἐναντιούμενος μηδὲν κακὸν παθεῖν ὑπ' αὐτῶν. χρῆν δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ταύτην τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ Θηραμένους, ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτεν. ἀλλ' οὗτος τὴν μὲν πόλιν ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέρους ἐχθροὺς, φίλους, ὡς ἀμφότερα ταῦτα ἐγὼ πολλοῖς τεκμηρίοις παραστήσω, καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς οὐχ ὑπὲρ ὑμῶν, ἀλλ' ὑπὲρ ἑαυτῶν γινομένας. ὁπότεροί μοι ταῦτα πράξουσι, καὶ τῆς πόλεως ἄρξουσι. καὶ γὰρ ὑπὲρ τῶν ἀδικουμένων, ἐστασίαζον. ποῦ κάλλιον ἂν ἦν ἀνδρὶ ἄρχοντι, ἢ Θρασυβούλου Φυλὴν κατειληφότος, τότε ἐπιδείξασθαι τὴν αὑτοῦ εὔνοιαν. ὁ δ' ἀντὶ τοῦ ἐπαγγείλασθαί τι, ἢ πρᾶξαι ἀγαθὸν πρὸς τοὺς ἐπὶ Φυλῇ, ἐλθὼν μετὰ τῶν συναρχόντων εἰς Σαλαμῖνα καὶ Ἐλευσῖνάδε, τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμωτήριον, καὶ μιᾷ ψήφῳ αὐτῶν ἁπάντων, θάνατον κατεψηφίσατο. ἐπειδὴ δὲ εἰς τὸν Πειραιᾶ ἤλθομεν, καὶ αἱ ταραχαὶ γεγενημέναι ἦσαν καὶ περὶ τῶν διαλλαγῶν οἱ λόγοι ἐγίνοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους ἔσεσθαι ὡς ἀμφότεροι ἔδοξαν. οἱ μὲν γὰρ ἐκ Πειραιέως κρείττους ὄντες, εἴασαν αὐτοὺς ἀπελθεῖν, οἱ δὲ εἰς τὸ ἄστυ ἐλθόντες, τοὺς μὲν τριάκοντα ἐξέβαλον. πλὴν Φείδωνος καὶ Ἐρατοσθένους. ἄρχοντας δὲ τοὺς ἐκείνοις ἐχθίστους εἵλοντο. ἡγούμενοι δικαίως ἂν ὑπὸ τῶν αὐτῶν τούς τε τριάκοντα μισεῖσθαι καὶ τοὺς ἐν Πειραιεῖ φιλεῖσθαι. τούτων τοίνυν Φείδων ὁ τῶν τριάκοντα γενόμενος καὶ Ἱπποκλῆς, καὶ Ἐπιχάρης ὁ Λαμπτρεὺς καὶ ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώτατοι Χαρικλεῖ καὶ Κριτίᾳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ, ἐπειδὴ αὐτοὺς εἰς τὴν ἀρχὴν κατέστησαν, πολὺ μείζω στάσιν καὶ πόλεμον ἐπὶ τοὺς ἐν Πειραιεῖ ἢ τοῖς ἐξ ἄστεος ἐποίησαν. οἱ δὲ φανερῶς ἐπεδείξαντο, ὅτι οὐχ ὑπὲρ τῶν ἐν Πειραιεῖ, οὐδ' ὑπὲρ τῶν ἀδίκως ἀπολλυμένων ἐστασίαζον. οὐδ' οἱ τεθνεῶτες αὐτοὺς ἐλύπουν. οὐδ' οἱ μέλλοντες ἀποθανεῖσθαι, ἀλλ' οἱ μεῖζον δυνάμενοι, καὶ θᾶσσον πλουτοῦντες. λαβόντες γὰρ τὰς ἀρχὰς καὶ τὴν πόλιν, ἀμφοτέροις ἐπολέμουν. τοῖς τε τριάκοντα πάντα κακὰ εἰργασμένοις, καὶ ὑμῖν πάντα κακὰ πεπονθόσι, καίτοι τοῦτο πᾶσι δῆλον ἦν. ὅτι εἰ μὲν ἐκεῖνοι δικαίως ἔφευγον, ὑμεῖς ἀδίκως. εἰ δ' ὑμεῖς ἀδίκως, οἱ τριάκοντα δικαίως. οὐ γὰρ δὴ ἑτέρων ἔργων αἰτίαν λαβόντες ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων. ὥστε σφόδρα χρὴ ὀργίζεσθαι ὅτι Φείδων αἱρεθεὶς ὑμᾶς διαλλάξαι καὶ καταγαγεῖν. τῶν αὐτῶν ἔργων Ἐρατοσθένει μετεῖχε, καὶ τῇ αὐτῇ γνώμῃ, τοὺς μὲν κρείττους αὐτῶν δι' ὑμᾶς κακῶς ποιεῖν, ἕτοιμος ἦν. ὑμῖν δὲ ἀδίκως φεύγουσιν, οὐκ ἠθέλησεν ἀποδοῦναι τὴν πόλιν. ἀλλ' ἐλθὼν εἰς Λακεδαίμονα, ἔπειθεν αὐτοὺς στρατεύεσθαι. διαβάλλων ὅτι Βοιωτῶν ἡ πόλις ἔσται, καὶ ἄλλα λέγων, οἷς ᾤετο πείσειν μάλιστα. οὐ δυνάμενος δὲ τούτων τυχεῖν, εἴτε καὶ τῶν ἱερῶν ἐμποδὼν ὄντων, εἴτε καὶ αὐτῶν οὐ βουλομένων, ἑκατὸν τάλαντα ἐδανείσατο. ἵνα ἔχῃ ἐπικούρους μισθοῦσθαι, καὶ Λύσανδρον ἄρχοντα ᾐτήσατο. εὐνούστατον μὲν ὄντα τῇ ὀλιγαρχίᾳ. κακονούστατον δὲ τῇ πόλει.

λογησόμενος πρὸς αὐτοὺς τοὺς μάρτυρας τῆς τούτου πονηρίας. τοσοῦτον δ᾽ ὑμῶν καταπεφρόνηκεν, ἢ ἑτέροις πεπίστευκεν, ὧν ἀμφοτέρων ἄξιον ἐπιμεληθῆναι. ἐνθυμουμένοις, ὅτι οὐκ ἂν ἐκεῖνα δύναιντο ποιεῖν, μὴ ἑτέρων συμπραττόντων· οὔτ᾽ ἂν νῦν ἐπεχείρησαν ἐλθεῖν, μὴ ὑπὸ τῶν αὐτῶν οἰόμενοι σωθήσεσθαι. οἳ οὐ τούτοις ἥκουσι βοηθήσοντες, ἀλλὰ ἡγούμενοι πολλὴν ἄδειαν σφίσιν ἔσεσθαι τῶν πεπραγμένων, καὶ τοῦ λοιποῦ ποιεῖν ὅ τι ἂν βούλωνται. εἰ τοὺς μεγίστων κακῶν αἰτίους λαβόντες, ἀφήσετε. ἀλλὰ καὶ τῶν συνερούντων αὐτοῖς ἄξιον θαυμάζειν. πότερον, ὡς καλοὶ κἀγαθοὶ, αἰτήσονται τὴν αὐτῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς πονηρίας; ἐβουλόμην μέντ᾽ ἂν αὐτοὺς οὕτω προθύμους εἶναι σώζειν τὴν πόλιν, ὥσπερ οὗτοι ἀπολέσαι. ἢ ὡς δεινοὶ λέγειν ἀπολογήσονται. καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια ἀποφανοῦσιν; ἀλλ᾽ οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν οὔτε τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν. ἀλλὰ τοὺς μάρτυρας ἄξιον ἰδεῖν, οἳ τούτοις μαρτυροῦντες, αὑτῶν κατηγοροῦσι. σφόδρα ἐπιλήσμονας καὶ εὐήθεις νομίζοντες ὑμᾶς εἶναι, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλήθους ἀδεῶς ἡγοῦνται τοὺς τριάκοντα σώσειν. διὰ δὲ ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ, δεινὸν ἦν καὶ τῶν τεθνεώτων ἐπ᾽ ἐκφορὰν ἐλθεῖν. καὶ τοιοῦτοι μὲν σωθέντες, πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι. ἐκεῖνοι δὲ οὓς οὗτοι ἀπώλεσαν τελευτήσαντες τὸν βίον, πέρας ἔχουσι τῆς παρὰ τῶν ἐχθρῶν τιμωρίας. οὐκ οὖν δεινὸν, εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι συναπώλλυντο, αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπολέσασιν, ἦ που ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε βοηθεῖν τοσοῦτοι παρασκευάζονται. καὶ μὲν δὴ πολλῷ ῥᾴδιον ἡγοῦμαι εἶναι. ὑπὲρ ὧν ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ περὶ ὧν οὗτοι πεποιήκασιν ἀπολογήσασθαι. καίτοι λέγουσιν ὡς ἐρατοσθένει ἐλάχιστα τῶν τριάκοντα κακὰ εἴργασται, καὶ διὰ τοῦτο αὐτὸν ἀξιοῦσι σωθῆναι. ὅτι δὲ τῶν ἄλλων ἑλλήνων πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, οὐκ οἴονται χρῆναι αὐτὸν ἀπολέσθαι. ὑμεῖς δὲ δείξατε ἥν τινα γνώμην ἔχετε περὶ τῶν πραγμάτων. εἰ μὲν γὰρ τούτου καταψηφιεῖσθε, δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις. εἰ δ᾽ ἀποψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄντες, καὶ οὐχ ἕξετε λέγειν, ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποιεῖτε. νῦν μὲν γὰρ οὐδεὶς ὑμᾶς ἀναγκάζει παρὰ τὴν ὑμετέραν γνώμην ἀποψηφίζεσθαι. ὥστε συμβουλεύω μὴ τούτων ἀποψηφισαμένους, ὑμῶν αὐτῶν καταψηφίσασθαι. μὴ δ᾽ οἴεσθε κρύβδην τὴν ψῆφον, φανερὰν γὰρ τῇ πόλει τὴν ὑμετέραν γνώμην ποιήσετε. βούλομαι δὲ ὀλίγα ἑκατέρους ἀναμνήσας, καταβαίνειν τούς τε ἐξ ἄστεως, καὶ τοὺς ἐκ πειραιέως, ἵνα τὰς ὑμῖν διὰ τούτων γεγενημένας συμφορὰς παραδείγματα ἔχοντες, τὴν ψῆφον φέρητε. καὶ πρῶτον μὲν ὅσοι ἐξ ἄστεώς ἐστε, σκέψασθε ὅτι ὑπὸ τούτων οὕτω σφόδρα ἤρχεσθε, ὥστε ἀδελφοῖς καὶ υἱέσι, καὶ πολίταις ἠναγκάζεσθε πολεμεῖν τοιοῦτον πόλεμον, ἐν ᾧ ἡττηθέντες μὲν, τοῖς νικήσασι τὸ ἴσον εἴχετε. νικήσαντες δ᾽ ἂν, τούτοις ἐδουλεύετε. καὶ τοὺς ἰδίους οἴκους οὗτοι μὲν ἂν ἐκ τῶν πραγμάτων, μεγάλους ἐκτήσαντο. ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀλλήλους πόλεμον, ἐλάττους εἴχετε. συνωφελεῖσθαι μὲν γὰρ ὑμᾶς οὐκ ἠξίουν. συνδιαβάλλεσθαι δ᾽ ἠνάγκαζον. εἰς τοσοῦτον ὑπεροψίας ἐλθόντες, ὥστε οὐ τῶν ἀγαθῶν κοινούμενοι, πιστοὺς ὑμᾶς ἐκτῶντο. ἀλλὰ τῶν ὀνειδῶν μεταδιδόντες, εὔνους ᾤοντο εἶναι. ἀνθ᾽ ὧν ὑμεῖς νῦν ἐν τῷ θαρραλέῳ ὄντες, καθ᾽ ὅσον δύνασθε, καὶ ὑπὲρ ὑμῶν αὐτῶν, καὶ ὑπὲρ τῶν ἐκ πειραιέως τιμωρήσασθε. ἐνθυμηθέντες μὲν, ὅτι ὑπὸ τούτων πονηροτέρων ὄντων, ἤρχεσθε. ἐνθυμηθέντες δὲ, ὅτι μετ᾽ ἀνδρῶν νῦν ἀρίστων πολιτεύεσθε, καὶ τοῖς πολεμίοις μάχεσθε, καὶ περὶ τῆς πόλεως βουλεύεσθε. ἀναμνησθέντες δὲ τῶν ἐπικούρων, οὓς οὗτοι φύλακας τῆς ὑμετέρας ἀρχῆς, καὶ τῆς ὑμετέρας δουλείας, εἰς τὴν ἀκρόπολιν κατέστησαν. καὶ πρὸς ὑμᾶς μὲν, ἔτι πολλῶν ὄντων εἰπεῖν, τοσαῦτα λέγω. ὅσοι δ᾽ ἐκ πειραιέως ἐστὲ, πρῶτον μὲν τῶν ὅπλων ἀναμνήσθητε, ὅτι πολλὰς μάχας ἐν τῇ ἀλλοτρίᾳ μαχεσάμενοι, οὐχ ὑπὸ τῶν πολεμίων, ἀλλ᾽ ὑπὸ τούτων εἰρήνης οὔσης ἀφῃρέθητε τὰ ὅπλα. ἔπειθ᾽ ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως, ἣν ὑμῖν οἱ πατέρες παρέδοσαν. φεύγοντας δὲ ὑμᾶς ἐκ τῶν πόλεων, ἐξῃτοῦντο. ἀνθ᾽ ὧν ὀργίσθητε μὲν ὥσπερ

ὅτ' ἐφεύγετε. ἀναμνήσθητε δὲ καὶ τῶν ἄλλων κακῶν, ἃ πεπόνθατε ὑπ' αὐτῶν. οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς, τοὺς δ' ἐκ τῶν ἱερῶν συναρπάζοντες, βιαίως ἀπέκτανον. τοὺς δὲ, ἀπὸ τέκνων καὶ γονέων καὶ γυναικῶν ἀφελόντες, φονέας αὐτῶν ἠνάγκασαν γενέσθαι. καὶ οὐδὲ ταφῆς τῆς νομιζομένης εἴασαν τυχεῖν. ἡγούμενοι τὴν αὐτῶν ἀρχὴν βεβαιοτέραν εἶναι, τῆς παρὰ τῶν θεῶν τιμωρίας. ὅσοι δὲ τὸν θάνατον διέφυγον, πολλαχοῦ κινδυνεύσαντες, καὶ εἰς πολλὰς πόλεις πλανηθέντες, καὶ πανταχόθεν ἐκκηρυττόμενοι ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, οἱ μὲν, ἐν πολεμίᾳ τῇ πατρίδι τοὺς παῖδας καταλιπόντες, οἱ δ' ἐν ξένῃ γῇ, πολλῶν ἐναντιουμένων, ἤλθετε εἰς τὸν πειραιᾶ. πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρξάντων, ἄνδρες ἀγαθοὶ γενόμενοι, τοὺς μὲν, ἠλευθερώσατε. τοὺς δ' εἰς τὴν πατρίδα κατηγάγετε. εἰ δὲ ἐδυστυχήσατε καὶ τούτων ἡμάρτετε, αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε μὴ πάθητε τοιαῦτα, οἷα καὶ πρότερον. καὶ οὔτε ἂν ἱερὰ, οὔτε βωμοὶ ὑμᾶς ἀδικουμένους, διὰ τοὺς τούτων τρόπους ὠφέλησαν, ἃ καὶ τοῖς ἀδικοῦσι σωτήρια γίνεται. οἱ δὲ παῖδες ὑμῶν ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο. οἱ δ' ἐπὶ ξένης μικρῶν ἂν ἕνεκα συμβολαίων ἐδούλευον ἐρημίᾳ τῶν ἐπικουρησόντων. ἀλλὰ γὰρ οὐ τὰ μέλλοντα ἔσεσθαι βούλομαι λέγειν, τὰ πραχθέντα ὑπὸ τούτων οὐ δυνάμενος εἰπεῖν. οὐδὲ γὰρ ἑνὸς κατηγόρου, οὐδὲ δυοῖν, ἔργον ἐστὶν, ἀλλὰ πολλῶν. ὅμως δὲ τῆς ἐμῆς προθυμίας, ἐλλέλειπται ὑπὲρ τῶν ἱερῶν, ἃ οὗτοι τὰ μὲν, ἀπέδοντο. τὰ δ' εἰσιόντες ἐμίαινον, ὑπέρ τε τῆς πόλεως ἣν μικρὰν ἐποίουν, ὑπέρ τε τῶν νεωρίων ἃ καθεῖλον, καὶ ὑπὲρ τῶν τεθνεώτων, οἷς ὑμεῖς ἐπειδὴ ζῶσιν ἐπαμῦναι οὐκ ἠδύνασθε, ἀποθανοῦσι βοηθήσατε; οἶμαι δ' αὐτοὺς ὑμῶν τε ἀκροᾶσθαι, καὶ ὑμᾶς εἴσεσθαι τὴν ψῆφον φέροντας. ἡγουμένους ὅσοι μὲν ἂν τούτων ἀποψηφίσησθε, αὐτῶν θάνατον καταψηφιεῖσθαι. ὅσοι δ' ἂν παρὰ τούτων δίκην λάβωσιν, ὑπὲρ αὐτῶν τιμωρίας πεποιημένους, παύσομαι κατηγορῶν. ἀκηκόατε. ἑωράκατε. πεπόνθατε. ἔχετε. δικάζετε.

Λυσίου κατὰ ἀγοράτου ἐνδείξεως.

π

ροσήκει μὲν ὦ ἄνδρες δικασταὶ πᾶσιν ὑμῖν τιμωρεῖν ὑπὲρ τῶν ἀνδρῶν οἳ ἀπέθανον, εὖνοι ὄντες τῷ πλήθει τῷ ὑμετέρῳ. προσήκει δὲ καὶ ἐμοὶ οὐχ ἥκιστα. κηδεστὴς γάρ μοι ἦν διονυσόδωρος καὶ ἀνεψιός. τυγχάνει οὖν μοι ἡ αὐτὴ ἔχθρα πρὸς ἀγόρατον τουτονὶ, καὶ τῷ πλήθει τῷ ὑμετέρῳ ὑπάρχουσα. ἔπραξε γὰρ οὗτος τοιαῦτα, δι' ἃ ὑπ' ἐμοῦ νυνὶ εἰκότως μισεῖται. ὑπό τε ὑμῶν, ἂν θεὸς θέλῃ, δικαίως τιμωρηθήσεται. διονυσόδωρον γὰρ τὸν κηδεστὴν τὸν ἐμὸν, καὶ ἑτέρους πολλοὺς, ὧν δὴ τὰ ὀνόματα ἀκούσεσθε ἄνδρας ὄντας ἀγαθοὺς περὶ τὸ πλῆθος τὸ ὑμέτερον, ἐπὶ τῶν τριάκοντα ἀπέκτεινε, μηνυτὴς κατ' ἐκείνων γενόμενος. ποιήσας δὲ ταῦτα, ἐμὲ μὲν ἰδίᾳ καὶ ἕκαστον τῶν προσηκόντων, μεγάλα ἐζημίωσε. τὴν δὲ πόλιν κοινῇ πᾶσαν τοιούτων ἀνδρῶν ἀποστερήσας, οὐ μικρὰ ὡς ἐγὼ νομίζω ἔβλαψεν. Ἐγὼ οὖν ἄνδρες δικασταὶ δίκαιον καὶ ὅσιον ἡγοῦμαι, εἶναι καὶ ἐμοὶ καὶ ὑμῖν ἅπασι, τιμωρεῖσθαι καθ' ὅσον ἕκαστος δύναται καὶ ποιοῦσι ταῦτα, νομίζω ἡμῖν καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων ἄμεινον ἂν γίγνεσθαι. δεῖ δ' ὑμᾶς ὦ ἄνδρες ἀθηναῖοι ἐξ ἀρχῆς τῶν πραγμάτων ἁπάντων ἀκοῦσαι, ἵν' εἰδῆτε πρῶτον μὲν ᾧ τρόπῳ ὑμῖν ἡ δημοκρατία κατελύθη, καὶ ὑφ' ὅτου. ἔπειτα ᾧ τρόπῳ οἱ ἄνδρες ὑπ' ἀγοράτου ἀπέθανον. καὶ διότι ἀποθνήσκειν μέλλοντες ἐπέσκηψαν. ἅπαντα γὰρ ταῦτα ἀκριβῶς ἂν μαθόντες, ἥδιον καὶ ὁσιώτερον ἀγοράτου τουτουῒ καταψηφίζοισθε. ὅθεν οὖν ἡμεῖς τε ῥᾷστα διδάξομεν, καὶ ὑμεῖς μαθήσεσθε, ἐντεῦθεν ὑμῖν ἄρξομαι διηγεῖσθαι. Ἐπειδὴ γὰρ αἱ νῆες αἱ ὑμέτεραι διεφθάρησαν, καὶ τὰ πράγματα ἐν τῇ πόλει ἀσθενέστερα ἐγεγένητο, οὐ πολλῷ χρόνῳ ὕστερον αἵ τε νῆες αἱ λακεδαιμονίων ἐπὶ τὸν πειραιᾶ ἀφικνοῦνται, καὶ ἅμα λόγοι πρὸς λακεδαιμονίους περὶ τῆς εἰρήνης ἐγίνοντο. ἐν δὲ τῷ χρόνῳ τούτῳ οἱ βουλόμενοι νεώτερα πράγματα ἐν τῇ πόλει γίγνεσθαι, ἐπεβούλευον. νομίζοντες κάλλιστον καιρὸν

πυθέσθαι. ἐνθυμεῖσθαι δὲ χρὴ ὦ βουλὴ ποτέροις χρὴ πιστεύειν μᾶλλον· οἷς πολλοὶ μεμαρτυρήκασιν, ἢ ᾧ μηδεὶς τετόλμηκε· καὶ πότερον εἰκὸς μᾶλλον τούτῳ ἀκινδύνως ψεύδεσθαι, ἢ μετὰ τοσούτου κινδύνου τοιοῦτον ἐμὲ ἔργον ἐργάσασθαι· καὶ πότερον οἴεσθε αὐτὸν ὑπὲρ τῆς πόλεως βοηθεῖν, ἢ συκοφαντοῦντα αἰτιάσασθαι. ἐγὼ μὲν ὑμᾶς ἡγοῦμαι ὅτι νικόμαχος ὑπὸ τῶν ἐχθρῶν πεισθεὶς τῶν ἐμῶν, τοῦτον τὸν ἀγῶνα ἀγωνίζεται. οὐχ ὡς ἀδικοῦντα ἐλπίζων ἀποδείξειν, ἀλλ' ὡς ἀργύριον παρ' ἐμοῦ λήψεσθαι προσδοκῶν. ὅσῳ γὰρ τοιοῦτοι εἰσὶν ἐπαιτιώτατοι καὶ ἀπορώτατοι τῶν κινδύνων, τοσούτῳ πάντες αὐτοὺς φεύγουσι μάλιστα. ἐγὼ δὲ ὦ βουλὴ οὐκ ἠξίουν, ἀλλ' ἐπειδή περ με ᾐτιάσατο, παρέσχον ἐμαυτὸν ὅτι βούλεσθε χρῆσθαι, καὶ τούτου οὕνεκα τοῦ κινδύνου, οὐδενὶ ἐγὼ τῶν ἐχθρῶν διηλλάγην. οἳ ἐμὲ ἤδη κακῶς λέγουσιν, ἢ σφᾶς αὐτοὺς ἐπαινοῦσι· καὶ φανερῶς μὲν οὐδεὶς πώποτε ἐμὲ αὐτὸν ἐπιχείρησε ποιῆσαι κακὸν οὐδέν. τοιούτους δὲ ἐπιπέμπουσί μοι, οἷς ὑμεῖς οὐκ ἂν δικαίως πιστεύοιτε. πάντων γὰρ ἀθλιώτατος ἂν γενοίμην, εἰ φυγὰς ἀδίκως καταστήσομαι. ἄπαις μὲν ὢν καὶ μόνος. ἐρήμου δὲ τοῦ οἴκου γενομένου. μητρὸς δὲ πάντων ἐνδεοῦς. πατρίδος δὲ τοιαύτης ἐπ' αἰσχίσταις στερηθεὶς αἰτίαις. πολλὰς μὲν ναυμαχίας ὑπὲρ αὐτῆς νεναυμαχηκώς, πολλὰς δὲ μάχας μεμαχημένος· κόσμιον δ' ἐμαυτὸν καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ παρασχών. ἀλλὰ γὰρ ὦ βουλὴ ταῦτα μὲν ἐνθάδε οὐκ οἶδ' ὅτι δεῖ λέγειν. ἀπέδειξα δ' ὑμῖν ὡς οὐκ ἐνῆν σηκὸς ἐν τῷ χωρίῳ. καὶ μάρτυρας παρεσχόμην καὶ τεκμήρια, ἃ χρὴ μεμνημένους διαγιγνώσκειν περὶ τοῦ πράγματος, καὶ ἀξιοῦν ἂν παρὰ τούτου πυθέσθαι ὅτου ἕνεκα ἐξὸν ἐπ' αὐτοφώρῳ ἐλέγξαι, τοσούτῳ χρόνῳ ὕστερον εἰς τοσοῦτόν με κατέστησεν ἀγῶνα, καὶ μάρτυρα οὐδένα παρασχόμενος ἐκ τῶν λόγων, ζητεῖ πιστὸς γενέσθαι. ἐξὸν αὐτοῖς τοῖς ἔργοις ἀδικοῦντα ἀποδεῖξαι, καὶ ἐμοῦ ἅπαντας διδόντος τοὺς θεράποντας οὓς φησι παραγενέσθαι, παραλαβεῖν οὐκ ἤθελεν.

Λυσίου κατηγορία πρὸς τοὺς συνουσιαστὰς, κακολογιῶν.

πιτήδειόν μοι δοκῶ καιρὸν εἰληφέναι περὶ ὧν εἰπεῖν ἐβουλόμην πάλαι.
ε πάρεισι μὲν γὰρ οἷς ἐγκαλῶ. πάρεισι δὲ ὧν ἐναντίον ἐπιθυμῶ μέμψασθαι τοῖς ἀδικοῦσιν ἐμέ. καίτοι πολλῷ πλείων ἐστὶ σπουδὴ πρὸς τοὺς παρόντας οὓς μὲν γὰρ οὐδὲν οἶμαι τιμήσειν, εἰ τοῖς ἀνεπιτηδείοις ἀνεπιτήδειοι δόξουσιν εἶναι. τὴν γὰρ ἀρχὴν οὐδ' ἂν ἐπιχειρῆσαι ἐξαμαρτάνειν εἰς ἐμέ, τοῖς δὲ, βουλοίμην ἂν δόξαι μηδὲν ἀδικῶν τούτους, ὑπὸ τούτων ἀδικεῖσθαι πρότερον. αἰσχρὸν μὲν οὖν ἀναγκάζεσθαι λέγειν περὶ τούτων, ἀδύνατον δὲ μὴ λέγειν, ὅταν ἐναντίον τῆς ἐλπίδος κακῶς πάσχω, καὶ τοὺς δοκοῦντας εἶναι φίλους, ἀδικοῦντας εὑρίσκω. πρῶτον μὲν οὖν ἵνα μή τις ὑμῶν τάχα δὲ βοηθῶν οἷς ἐξημάρτηκε, πρόφασιν ποιήσηται τῆς ἁμαρτίας, εἰπάτω οὖν τις ὑμῶν ὑπ' ἐμοῦ κακῶς ἀκήκοεν, ἢ πέπονθεν. ἤ τις ἐμοῦ δεηθεὶς οὐκ ἔτυχεν, ὧν ἐγώ τε δυνατὸς ἂν καὶ ἐκεῖνος ἀπήγγελεν. τί δὴ τά με κακῶς τὰ μὲν, λέγειν, τὰ δὲ, ποιεῖν ἐπιχειρεῖτε. καὶ ταῦτα πρὸς τούτους ἡμᾶς διαβάλλειν, οὓς πρὸς ὑμᾶς αὐτοὺς διαβάλλετε. καίτοι οὕτως ἐνοχλεῖ, ὥστε περὶ πλείονος ἐποιήσασθε δοκεῖν ἐμοῦ κήδεσθαι, ἢ μᾶλλον ἐμοῦ κατειπεῖν, ᾧ δ' ἔλεγε. πάντα μὲν οὐκ ἂν εἴποιμι. καὶ γὰρ ἀκούων ἠχθόμην. οὐδ' ἂν ὑμῖν ἐπικαλῶν ὅτι ἐλέγετε κατ' ἐμοῦ ταῦτα δόξαιμι, καὶ εἰ ἂν ἀπολύοιμι τῆς αἰτίας ὑμᾶς εἰ περὶ ὑμῶν ταῦτα λέγοι με περὶ ἐμαυτοῦ. ἃ δὲ ὑβρίζειν οἰόμενοι ἐμὲ, καταγελάστους ὑμᾶς αὐτοὺς ἐποιεῖτε, ταῦτα λέξω. βίᾳ γὰρ ὑμῖν ἐφάσκετέ με ξυνεῖναι, καὶ διαλέγεσθαι, καὶ πάντα ποιοῦντες, οὐκ ἐκεῖνο πῶς ἀπαλλαγῆτέ με, καὶ τὸ τελευταῖον ἀκόντων ὑμῶν ἐλευσινάδε συνθεωρεῖν, καὶ ταῦτα λέγοντες οἴεσθε μὲν ἐμὲ κακολογεῖν. ἀποφαίνετε δὲ σκαιοτέρους ἑαυτούς, εἴ τινες μὲν ὑπὸ τὸν αὐτὸν χρόνον, τὸν αὐτὸν λάθρᾳ σφόδρα μὲν ἐλοιδορεῖτε· φανερῶς δὲ φίλον ἐνομίζετε. χρῆν γὰρ ὑμᾶς ἢ μὴ κακῶς λέγειν, ἢ μὴ ξυνεῖναι, καὶ ταῦτα φανερῶς ἀπει-

ζόντα ὁμιλίας. εἰ δὲ αἰσχρὸν ἡγεῖσθε τοῦτο, πῶς αἰσχρὸν ἦν ὑμῖν ἐξεῖναι. πρὸς ὃν οὐδὲ ἀπειπεῖν καλὸν ἡγεῖσθε. καὶ μὴν οὐδὲν οὕτως ἐξεῦρεν ὅθεν ἂν εἰκότως ὑπὲρ εἴη τὴν ἐμὴν ὁμιλίαν. οὔτε γὰρ ὑμᾶς σοφωτάτους θεωρῶν ὄντας, ἐμαυτὸν δ' ἀμαθέστατον, οὐ μὴν οὐδὲ πολυφίλους ὑμᾶς, ἐμαυτὸν δ' ἔρημον φίλων. οὐδ' αὖ πλουτοῦντας, ἐμὲ δὲ πενόμενον. οὐδ' αὖ ὑμᾶς μὲν ὑπερευδοκιμοῦντας, ἐμαυτὸν δὲ διαβεβλημένον. οὐδὲ τὰ μὲν ἐμὰ πράγματα κινδυνεύοντα, τὰ δὲ ὑμέτερα ἀσφαλῶς ἔχοντα. ὅθεν ἂν οὖν εἰκότως ὑπὲρ πλεῖον ἄχθεσθαί μοι σιωπῶντι, καὶ ταῦτα δ' ὅτι πρὸς τοὺς τελευταίους ἔλεγεν οὓς φατὲ ἀπαγγέλλειν ὑμῖν. κἀνταῦθα σόφισμα καλὸν εἶναι ἐπειδὴ ἤλθετε πάντες ὑμῶν αὐτῶν κατηγοροῦντες, ὅτι πονηροῖς ἑκόντες ὁμιλεῖτε. περὶ μὲν οὖν τοῦ λέγοντος, οὐδὲν ἂν περάνοιτε πυνθανόμενοι. πρῶτον μὲν γὰρ εἰπόντες εὑρήσεσθε τὸν εἰπόντα μοι. πῶς γὰρ οὐκ ἴστε πρὸς ὃν ἐλέγετε τὸν λόγον. ἔπειτα καλῶς ἂν εἴη, εἰ ταῦτα ἐρωτήσαιμι αὐτὸν, ἅπερ ἐκεῖνος ὑμᾶς. οὐ γὰρ εὐθὺ τοῖς αὐτοῖς ἐκεῖνος ὑμῖν ἀπήγγελλεν, ἐφ' οἷσπερ ὑμεῖς ἐλέγετε πρὸς ἐκεῖνον. ἐκεῖνος μὲν γὰρ ἐμοὶ χαριζόμενος, ἀπήγγελλε τοῖς ἐμοῖς ἀναγκαίοις. ὑμεῖς δὲ βλάπτειν ἐμὲ βουλόμενοι πρὸς ἐκεῖνον ἐλέγετε. καὶ ταῦτα εἰ μὲν ὑπίσουν, ἐλέγχειν ἂν ἐζήτουν. νῦν δὲ ξυμβαίνει γοῦν καὶ ταῦτα τοῖς πρὸ τοῦ καὶ ἐμοί, σημεῖα ταῦτα μὲν ἐκείνων ἐστὶν, ἐκεῖνα δὲ τούτων ἱκανά. πρῶτον μὲν ἅπαντα δι' ὑμῶν, πράξαντά με περὶ τῆς θέσεως τοῦ ἵππου. προσῆγε μαχόμενον κάμνοντα τὸν ἵππον ἀνάγειν με βουλόμενον, Διόδωρος οὗτος ἀποτρέπειν ἐπειρᾶτο. φάσκων οὐδὲν ἂν τι λέξειν περὶ τῶν δώδεκα μνῶν περικλέα. ἀλλ' ἀπολέσειν τότε λέγων ταῦτά με τὰ τὸν θάνατον τοῦ ἵππου, κατέστη τελευτῶν ἀντίδικος. μετὰ τοῦτον λέγων, ὡς οὐ δίκαιόν με εἴη κομίσασθαι τὸ ἀργύριον, καίτοι γε ἐφ' ὧν γε αὐτὸν κατηγόρουν. εἰ γὰρ ἃ μετὰ τοῦτον ἀδικουμένῳ μοι μηδὲν ἦν δίκαιον εἰπεῖν, ἦπου καλῶς συνέπραττον, καὶ ἐγὼ μὲν ᾤμην φιλοσοφοῦντας αὐτοὺς περὶ τοῦ πράγματος, ἀντιλέγειν τὸν ἐναντίον λόγον. οἱ δ' ἄρα οὐκ ἀντέλεγον, ἀλλ' ἀντέπραττον, καὶ διὰ τοῦτο ἀντέπραττον. ἵνα τὸν ἐμὸν λόγον ἐλέγχη Πολυκλῆς. ἐδηλώθη γὰρ ταῦτα παρόντων τῶν διαιτητῶν ὁριζόμενοι, ὁ Πολυκλῆς εἶπεν. ὅτι καὶ τοῖς ἐμοῖς ἐπιτηδείοις ἀδικεῖν δοκοίη. ὡς πρὸς ἐκεῖνον λέγοιεν ἄρα γε ταῦτα ξυμβαίνει τοῖς ἀπαγγελλομένοις. ὁ γὰρ αὐτὸς ἀπήγγειλεν, ὡς τοὺς ὑπὲρ ἐμοῦ μέλλοντας λέγειν ἀποτρέπειν φάσκοιτε. τοὺς δέ τινας ἤδη κωλύσετε, καὶ ταῦτα τί με δεῖ φανερώτερον ἐξελέγχειν, ὅτι φθάνει γὰρ ἤδη ποτὲ ἐκεῖνος. ὅτι Κλειτοδίκου δεηθεὶς ἐκ λέγειν, οὐκ ἔτυχεν. οὐ γὰρ δὴ παρῆν τούτοις, ἐπεὶ κέρδος ἦν αὐτῷ διαβάλλειν ἐμὲ πρὸς ὑμᾶς οὕτω προθύμως. ὥστε σπουδάσαι πρὸς τοὺς ἐμοὺς ἀναγκαίους πλάσασθαι ταυτόν. γινώσκω δὲ νῦν ἤδη καὶ πάλαι ζητοῦντας πρόφασιν. ἣν ἡνίκα Θρασύμαχον ὑμᾶς ἐφάσκετε λέγειν κακῶς δι' ἐμέ, καὶ ἐγὼ μὲν ἠρώτων αὐτὸν εἰ δι' ἐμὲ κακῶς λέγει Διόδωρον. ὁ δὲ τοσοῦτον ὑπερεῖδε τὸ δι' ἐμὲ πολλοῦ γὰρ δεῖν ἔφη, δι' ὅντινοῦν ἀγορεῦσαι Διόδωρον κακῶς, καὶ ταῦτα προσάγοντος ἐμοῦ, πρόθυμος ὁ Θρασύμαχος ἦν ἐξελέγχεσθαι, περὶ ὧν οὗτος ἔλεγεν. οὗτος δὲ πάντων μᾶλλον διεπράττετο. μετὰ τοῦτο Αὐτοκράτης ἐμοῦ παρόντος Θρασυμάχῳ, ἔλεγεν Εὐρυπτόλεμον αὐτῷ μέμφεσθαι. φάσκοντα κακῶς ἀκούειν ὑπ' αὐτοῦ. τὸν ἀπαγγέλλοντα δὲ εἶναι Μηνόφιλον. εὐθὺς δ' ἐκεῖνος εὐθὺ τὸν Μηνόφιλον ἐβάδιζε μετ' ἐμοῦ. κἀκεῖνος οὔτε ἀκοῦσαι πώποτε ἔφασκεν, οὔτε ἀπαγγεῖλαι πρὸς Εὐρυπτόλεμον. καὶ οὐ ταῦτα μόνον. ἀλλ' οὐδὲ διειλέχθαι πολλοῦ χρόνου. τοιαύτας προφάσεις προφασιζόμενοι, τότε μὲν ἐκ τῆς ἐμῆς καὶ Θρασυμάχου συνουσίας ἐστὲ φανεροί, νῦν δὲ ἐπειδὴ ἐκλελοίπασιν ὑμᾶς αἱ προφάσεις, ἐλευθερώτερόν με κακώσας, κλέπτειν δ' οὐδέν. χρῆν μὲν οὖν τότε με γινώσκειν ὀφειλόμενόν με ταῦτα παθεῖν, ὅταν καὶ πρὸς ἐμὲ περὶ ὑμῶν αὐτῶν ἔλεγε κακῶς. ἔπειτα καὶ τὸ Πολυκλέους, ᾧ νυνὶ βοηθεῖτε πάντες εἴρηκα πρὸς ὑμᾶς, καὶ τά τι δή τι ταῦτα ἐφυλαττόμην εὐήθης τι ἔπαθον. ᾤμην γὰρ ἀπόθετος ὑμῖν εἶναι φίλος τοῦ μηδὲν ἀκοῦσαι κακὸν δι' αὐτὸ τοῦτο, διότι πρὸς ἐμὲ τοὺς ἄλλους ἐλέγετε, καὶ παρακαταθήκην ἔχων ὑμῶν παρ' ἑκάστου λόγους πονηροὺς τῶν ἀλλήλων. ἐγὼ τοίνυν ἑκὼν ὑμῖν ἐξίσταμαι τῆς φιλίας.

ἐπεί τοι μὰ τοὺς θεοὺς, οὐκ οἶδ' ὅτι ζημιωθήσομαι μὴ ξυνὼν ὑμῖν. οὐδὲ γὰρ ὠφελούμην ξυνών. πότερον γὰρ ὅταν ᾖ τί μοι πρᾶγμα, τότε ποθήσομαι συνδρομῶντα, καὶ τοὺς μαρτυρήσοντας, καὶ νῦν αὐτίκα μὲν τοῦ λέγειν ὑπὲρ ἐμοῦ τὸν λέγοντα, πειρᾶσθε κωλύειν. αὐτίκα δὲ τοῦ βοηθεῖν ἐμοὶ καὶ μαρτυρεῖν τὰ δίκαια, ξαύκετε τοῖς ἐμοῖς ἀντιδίκοις ἐμαρτυρεῖτε ὡς εὔνους ὄντες ἐμοὶ, τὰ βέλτιστα εὑρεῖτε περὶ ἐμοῦ. ἀλλὰ καὶ νῦν ὑμεῖς με μόνον κακῶς ἐλέγετε. τὸ μὲν οὖν ἐμὸν, οὐκ ἐμποδὼν ὑμῖν ἔσται. τοιοῦτον γὰρ πρὸς ὑμᾶς αὐτοὺς πείσεσθε. ἐπειδὴ ὑπὲρ ὑμῖν ἔθος ἐστὶν, ἀεὶ τῶν ξυνόντων ἀεὶ κακῶς λέγειν καὶ ποιεῖν. ἐπειδ' ἂν ἐγὼ μηνύσω πρὸς ὑμᾶς αὐτοὺς τρέψεσθε. κἄπειτα καθ' ἕνα ἕκαστον ὑμῶν αὐτοὺς ἀπαχρήσεσθε. τὸ δὲ τελευταῖον, εἷς ὁ λειπόμενος αὐτὸς αὑτὸν κακῶς ἐρεῖ. κερδανῶ δὲ τοσοῦτον, ὅτι πρῶτον μὲν ὑμῶν ἀπαλλαγεὶς, ἐλάχιστα κακῶς ὑφ' ὑμῶν πείσομαι. τοὺς μὲν γὰρ χρωμένους ὑμῖν, κακῶς καὶ λέγετε καὶ ποιεῖτε. τῶν δὲ μὴ χρωμένων, οὐδένα πώποτε.

Λυσίου, ὑπὲρ τοῦ στρατιώτου.

Ι ποτὲ διανοηθέντες οἱ ἀντίδικοι, τοῦ μὲν πράγματος, παρημελήκασι. τὸν δὲ τρόπον μου ἐπιχείρησαν διαβάλλειν. πότερον ἀγνοοῦντες ὅτι περὶ τοῦ πράγματος προσήκει λέγειν, ἢ τοῦτο μὲν ἐπίστανται. ἡγούμενοι δὲ λήσειν, περὶ παντὸς πλείω λόγον, ἢ τὸ προσῆκον ποιοῦνται. ὅτι μὲν οὖν οὐκ ἐμοῦ καταφρονήσαντες, ἀλλὰ τοῦ πράγματος, τοὺς λόγους ποιοῦνται, σαφῶς ἐπίσταμαι. εἰ μέντοι ὑμᾶς οἴονται δι' ἄγνοιαν ὑπὸ τῶν διαβολῶν πεισθέντας καταψηφιεῖσθαί μου, οὐκ ἂν θαυμάσαιμι. ᾤμην μὲν οὖν ὦ ἄνδρες δικασταὶ περὶ τοῦ ἐγκλήματος, οὐ περὶ τοῦ τρόπου τὸν ἀγῶνά μοι προκεῖσθαι. διαβαλλόντων δέ με τῶν ἀντιδίκων, ἀναγκαῖόν ἐστι περὶ πάντων ἀπολογίαν ποιήσασθαι. πρῶτον μὲν οὖν περὶ τῆς ἀπογραφῆς ὑμᾶς διδάξω. ἀφικόμενος πρότερον εἰς τὴν πόλιν, οὔπω δύο μῆνας ἐπιδεδημηκὼς, κατελέγην στρατιώτης. αἰσθόμενος δὲ τὸ πραχθὲν, ὑπετοπούμην εὐθέως οὐδενὶ ὑγιεῖ κατειλέχθαι. προσελθὼν οὖν τῷ στρατηγῷ, ἐδήλωσα ὅτι ἐστρατευμένος εἴην. ἔτυχον δὲ οὐδενὸς τῶν μετρίων. προπηλακιζόμενος δὲ, ἠγανάκτουν μὲν, ἡσυχίαν δ' εἶχον. ἀπορούμενος δὲ καὶ συμβουλευόμενός τινι τῶν πολιτῶν, τί χρήσομαι τῷ πράγματι, ἐπυθόμην ὡς καὶ δήσειν με ἀπειλοῖεν. λέγοντες ὅτι οὐδὲν ἐλάττω χρόνον Καλλικράτους Πολύαινος ἐπιδημοίη. καίτοι μὲν τὰ προειρημένα διείλεκτο ἤδη τῇ Φιλίου τραπέζῃ. οἱ δὲ μετὰ Κτησικλέους τοῦ ἄρχοντος ἀπαγγείλαντός τινος ὡς ἐγὼ λοιδοροίμην, τοῦ νόμου ἀπαγορεύοντος, ἐάν τις ἀρχὴν ἐν συνεδρίῳ λοιδορῇ παρὰ τὸν νόμον, ζημιῶσαι ἠξίωσαν. ἐπιβαλόντες δὲ τὸ ἀργύριον, πράξασθαι μὲν οὐκ ἐπεχείρησαν. ἐξιούσης δὲ τῆς ἀρχῆς, γράψαντες εἰς λεύκωμα τοῖς ταμίαις παρέδοσαν. οὗτοι μὲν ταῦτα διεπράξαντο. οἱ δὲ ταμίαι, οὐδὲν ὅμοιον τοῖσδε διανοηθέντες, ἀνακαλεσάμενοι δὲ τοὺς παρόντας, καὶ τὴν γραφὴν, ἐσκοποῦντο τῆς αἰτίας τὴν πρόφασιν. ἀκούσαντες δὲ τὸ γεγενημένον, ἐννοοῦντες οἷα πεπονθὼς ἦν, τὸ μὲν πρῶτον ἔπειθον αὐτοὺς ἀφεῖναι, διδάσκοντες ὡς οὐκ ἐπιεικὲς εἴη, τῶν πολιτῶν τινας διὰ τὰς ἔχθρας ἀναγράφεσθαι. ἀποροῦντες δὲ μεταπεῖσαι αὐτοὺς, τὸν παρ' ὑμῶν κίνδυνον ὑποστάντες, ἄκυρον τὴν ζημίαν ἔκριναν. ὅτι μὲν οὖν ἀφείθην ὑπὸ τῶν ταμιῶν, ἐπίστασθε. προσήκειν δὲ ἡγούμενος καὶ διὰ ταύτην τὴν ἀπόλειξιν ἀπηλλάχθαι τοῦ ἐγκλήματος, ἔτι πλείονας καὶ νόμους, καὶ ἄλλας δικαιώσεις παρασχήσομαι, καί μοι λάβε τὸν νόμον. Νόμος.

Τοῦ μὲν νόμου διαῤῥήδην ἀγορεύοντος τοὺς ἐν τῷ συνεδρίῳ λοιδοροῦντας, ζημιοῦν, ἀκηκόατε. ἐγὼ δ' ὅτι μὲν οὐκ εἰσῆλθον εἰς τὸ ἀρχεῖον, μάρτυρας παρεσχόμην. ἀδίκως δὲ ζημιωθεὶς, οὔτ' ὀφείλω, οὔτ' ἐκτίσαι δίκαιός εἰμι. εἰ γὰρ φανερός εἰμι μὴ ἐλθὼν εἰς τὸ συνέδριον, ὁ δὲ νόμος τοὺς ἐν τούτῳ πλημμελοῦντας ἀγορεύει τὴν ζημίαν ὀφείλειν, ἠδικηκὼς μὲν οὐδὲν φαίνομαι. ἔχθρᾳ δὲ ἄνευ τούτου παραγόντως ζημιωθεὶς, συνέγνωσαν,

δὲ καὶ

δὲ καὶ αὐτοῖς φασιν ὡς ἠδικηκότες. οὔτε γὰρ εὐθύνας ὑπέχον, ὅτι εἰς δημόσιον εἰσελθόντες, τὰ πραχθέντα ψήφῳ κύρια κατέστησαν. εἰ δ' οὖν ἐζημίωσαν μέν, ἀδίκως δὲ προσηκόντως, ἐκύρωσαν δ' οὐχ ὑμῶν τὴν ἐπιβουλὴν τῶν ταμιῶν ἀφέντων, εἰκότως ἂν τοῦ ἐγκλήματος ἀπηλλαγμένοι εἶεν. εἰ μὲν γὰρ κύριοι ἦσαν πράξασθαι ἢ ἀφεῖναι, ἀνόμως ζημιωθεὶς, εὐλόγως ἂν ὤφειλον. εἰ δ' ἔξεστι μὲν αὐτοῖς ἀφεῖναι, δίδοασι δὲ αὐτοῖς ὑπὲρ ὧν ἂν διαχειρίζωσιν, ἐάν τι ἀδικῶσι, τῆς προσηκούσης ῥᾳδίως δίκης τυγχάνουσι. ᾧ μὲν τρόπῳ παρεδόθην, καὶ ἐζημιώθην, ἐπίστασθε. δεῖ δ' ὑμᾶς, μὴ μόνον τοῦ ἐγκλήματος τὴν αἰτίαν, ἀλλὰ καὶ τῆς ἔχθρας τὴν πρόφασιν εἰδῆσαι. Σωστράτῳ γὰρ φίλος ἐγενόμην, πρότερον μὲν τῆς τούτων ἔχθρας. εἰδὼς δὲ περὶ τὴν πόλιν ἄξιον λόγου γεγενημένον. γνώριμος δὲ γενόμενος διὰ τῆς ἐκείνου δυναστείας, οὔτ' ἐχθρὸν ἐτιμωρησάμην, οὔτε φίλον εὐηργέτησα. ζῶντος μὲν γὰρ διὰ τὴν ἀνάγκην καὶ διὰ τὴν ἡλικίαν ἐσχόλαζον. ἐκλιπόντος δὲ τὸν βίον, οὔτε λόγῳ, οὔτε ἔργῳ ἔβλαψα οὐδένα τῶν κατηγορούντων. ἔχω δὲ καὶ τοιαῦτα εἰπεῖν, ἐξ ὧν ὠφελοίμην ἂν πολὺ δικαιότερον ὑπὸ τῶν ἀντιδίκων, ἢ κακῶς πάσχοιμι. τὴν μὲν οὖν ὀργὴν διὰ τὰ προειρημένα συνεστήσαντο. προφάσεως οὐδεμιᾶς πρὸς ἔχθραν ὑπαρχούσης. ὀμόσαντες μὲν οὖν τοὺς ἀστρατεύτους καταλέξειν παρέβησαν τοὺς ὅρκους. προὔθεσαν δὲ τὸ πλῆθος βουλεύσασθαι περὶ τοῦ σώματος. ζημιώσαντες μὲν ὡς τὴν ἀρχὴν λοιδοροῦντα. κατολιγωρήσαντες δὲ τοῦ δικαίου, βιαζόμενοι βλάπτειν ἐξ ἅπαντος τοῦ λόγου πᾶν ἔπραξαν μέλλοντες μεγάλα μὲν ἐμὲ βλάψειν. πολλὰ δ' ἑαυτοὺς ὠφελήσειν. οἵτινες οὐδετέρου τούτων ὑπάρχοντος, πάντα περὶ ἐλάττονος ποιοῦνται τῶν δικαίων. ἀλλὰ γὰρ εἰ κατεφρόνησαν τοῦ ὑμετέρου πλήθους, οὐδὲ φοβηθῆναι τοὺς θεοὺς ἠξίωσαν. ἀλλ' οὕτως ὀλιγώρως καὶ παρανόμως προσηνέχθησαν, ὥστε ἀπολογήσασθαι μὲν περὶ τῶν πεπραγμένων, οὐδ' ἐπεχείρησαν. τὸ δὲ τελευταῖον, νομίζοντες οὐχ ἱκανῶς με τετιμωρῆσθαι, τὸ πέρας ἐκ τῆς πόλεως ἐξήλασαν. διατεθέντες δὲ οὕτω παρανόμως καὶ βιαίως, ἐπικρύψασθαι τὴν ἀδικίαν περὶ οὐδενὸς ἐποιήσαντο. παραγαγόντες δὲ πάλιν περὶ τῶν αὐτῶν ἠδικηκότα με, οὐδὲν ἐπιδεικνύουσι, καὶ λοιδοροῦσι. τοῖς μὲν ἐμοῖς ἐπιτηδεύμασιν, οὐ προσηκούσας διαβολὰς ἐπιφέροντες. τοῖς δ' αὐτῶν τρόποις τὰς οἰκείας καὶ συνήθεις. οἱ δὲ μὲν οὖν ἐκ παντός του τρόπου προθυμοῦνταί με τῇ δίκῃ ἁλῶναι. ὑμεῖς δὲ μήτε ταῖς τούτων διαβολαῖς ἐπαρθέντες, ἐμοῦ καταψηφίσησθε, μήτε τοὺς βέλτιον καὶ δικαίως βουλευσαμένους, ἀκύρους καταστήσητε, οἱ δὲ μὲν γὰρ ἅπαντα, καὶ κατὰ τοὺς νόμους, καὶ κατὰ τὸ εἰκὸς ἔπραξαν. ἠδικηκότες μὲν γὰρ οὐδὲν φαίνονται. λόγον δὲ πλεῖστον τοῦ δικαίου ποιησάμενοι. τούτων μὲν οὖν ἀδικούντων μετρίως ἂν ἠγανάκτουν. ἡγούμενος τετάχθαι τοὺς μὲν ἐχθρούς, κακῶς ποιεῖν, τοὺς δὲ φίλους εὖ, παρ' ὑμῶν δὲ τοῦ δικαίου στερηθείς, πολὺ ἂν μᾶλλον λυπηθείην. δι' ἔχθραν μὲν γὰρ οὐ δόξω κακῶς πεπονθέναι. διὰ κακίαν δὲ τῆς πόλεως. λόγῳ μὲν οὖν περὶ τῆς ἀπογραφῆς ἀγωνίζομαι. ἔργῳ δὲ, περὶ πολιτείας. τυχὼν μὲν γὰρ τῶν δικαίων, πιστεύων δὲ τῇ ὑμετέρᾳ γνώμῃ, μένοιμι ἂν τῇ πόλει. πραχθεὶς δὲ ὑπὸ τῶνδε, εἰ ἀδίκως ἁλοίην, ἀποδραίην ἄν. τίνι γὰρ ἐπαρθέντα ἐλπίδι δεῖ με συμπολιτεύεσθαι, ἢ τί με χρὴ διανοηθέντα. εἰδότα μὲν τῶν ἀντιδίκων τὴν προθυμίαν. ἀπορoῦντα δ' ὅθεν χρὴ τῶν δικαίων τινὸς τυχεῖν. περὶ πλείστου οὖν ποιησάμενοι, τὸ δίκαιον καὶ ἐνθυμηθέντες, ὅτι καὶ περὶ τῶν περιφανῶν ἀδικημάτων, συγγνώμην ποιεῖσθε τοὺς μηδὲν ἀδικήσαντας, διὰ τὰς ἔχθρας, μὴ περιίδητε ἀδίκως τοῖς μεγίστοις ἀδικήμασι περιπεσόντας.

Λυσίου, κατὰ Θεομνήστου πρῶτος.

Αρτύρων μὲν, οὐκ ἀπορίαν μοι ἔσεσθαι δοκῶ ὦ ἄνδρες δικασταί. πολλοὺς
μ γὰρ ὑμῶν ὁρῶ δικάζοντας τῶν τότε παρόντων, ὅτε Λυσίθεος Θεόμνηστον εἰσήγγελλε τὰ ὅπλα ἀποβεβληκότα· οὐκ ἐξὸν αὐτῷ δημηγορεῖν. ἐν ἐκείνῳ γὰρ τῷ ἀγῶνι, τὸν πατέρα μ' ἔφασκεν ἀπεκτονέναι τὸν ἐμαυτοῦ. ἐγὼ δ' εἰ μὲν τὸν ἑαυτοῦ ἀπεκτονέναι ᾐτιᾶτο, συγγνώμην ἂν εἶχον αὐτῷ τῶν εἰρημένων· φαῦλον

γ' αὐτὸν καὶ οὐδενὸς ἄξιον ἡγούμην. οὐδ' εἰ τῷ ἄλλῳ τῶν ἀπορρήτων ἤκουσα, οὐκ ἂν ἐπεξῆλθον αὐτῷ. ἀνελεύθερον γὰρ καὶ λίαν φιλόδικον εἶναι νομίζω κακηγορίας δικάζεσθαι. νυνὶ δὲ αἰσχρόν μοι εἶναι δοκεῖ περὶ τοῦ πατρὸς οὕτω πολλοῦ ἀξίου γεγενημένου καὶ ὑμῖν καὶ τῇ πόλει, μὴ τιμωρήσασθαι τὸν ταῦτ' εἰρηκότα, καὶ παρ' ὑμῶν εἰδέναι βούλομαι πότερον δώσει δίκην, ἢ τούτῳ μόνῳ ἀθηναίων ἐξαίρετόν ἐστι, καὶ ποιεῖν καὶ λέγειν παρὰ τοὺς νόμους ὅ τι ἂν βούληται. ἐμοὶ γὰρ ὦ ἄνδρες δικασταὶ, ἔτη εἰσὶ τριάκοντα, ἐξ ὅτου ὑμεῖς κατεληλύθατε, εἰκοστὸν τουτί. φαίνομαι οὖν τρισκαιδεκέτης ὢν, ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπέθνησκε. ταύτην δὲ ἔχων τὴν ἡλικίαν, οὔτ' εἰ ἔστιν ὀλιγαρχία ἠπιστάμην, οὔτε ἂν ἐκείνῳ ἀδικουμένῳ ἠδυνάμην βοηθῆσαι. καὶ μὲν δὴ οὐκ ὀρθῶς τῶν χρημάτων ἕνεκα ἐπιβούλευσα αὐτῷ. ὁ γὰρ πρεσβύτερος ἀδελφὸς Πανταλέων, ἅπαντα παρέλαβε, καὶ ἐπιτροπεύσας, ἡμᾶς τῶν πατρῴων ἀπεστέρησεν. ὥστε πολλῶν ἕνεκα ὦ ἄνδρες δικασταὶ προσῆκέ μοι αὐτὸν βούλεσθαι ζῆν. ἀνάγκη μὲν οὖν περὶ αὐτῶν μνησθῆναι. οὐδὲν δὲ δεῖ πολλῶν λόγων. σχεδὸν γὰρ ἐπίστασθε ἅπαντες ὅτι ἀληθῆ λέγω. ὅμως δὲ μάρτυρας αὐτῶν παρέξομαι. Μάρτυρες. Ἴσως τοίνυν ὦ ἄνδρες δικασταὶ, περὶ τούτων μὲν, οὐδὲν ἀπολογήσεται. ἐρεῖ δὲ πρὸς ὑμᾶς ἅπερ ἐτόλμα λέγειν, καὶ πρὸς τὸν διαιτητήν. ὡς οὐκ ἔστι τῶν ἀπορρήτων, ἐάν τις εἴπῃ τὸν πατέρα ἀπεκτονέναι. τὸν γὰρ νόμον οὐ ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾶν λέγειν. ἐγὼ δὲ οἶμαι ὑμᾶς ὦ ἄνδρες δικασταὶ, οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ τῆς τούτων διανοίας. καὶ πάντας εἰδέναι ὅτι ὅσοι ἀνδροφόνοι εἰσὶ, καὶ ἀπεκτόνασί τινας. πολὺ γὰρ ἔργον ἦν τῷ νομοθέτῃ ἅπαντα τὰ ὀνόματα γράφειν, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει. ἀλλὰ περὶ ἑνὸς εἰπὼν, περὶ πάντων ἐδήλου. οὐ γὰρ δή που ὦ Θεόμνηστε, εἰ μέν τις εἴποι πατραλοίαν, ἢ μητραλοίαν, ἠξίους ἂν αὐτὸν ὀφλεῖν σοι δίκην. εἰ δέ τις εἴποι ὡς τὴν τεκοῦσαν, ἢ τὸν φύσαντα ἔτυπτες, οὐκ ἂν αὐτὸν ἀζήμιον δεῖν εἶναι, ὡς οὐδὲν τῶν ἀπορρήτων εἰρηκότα. ἡδέως γὰρ ἄν σου πυθοίμην, περὶ τούτου γὰρ δεινὸς εἶ καὶ μεμελέτηκας καὶ ποιεῖν καὶ λέγειν, εἴ τίς σε εἴποι ῥῖψαι τὴν ἀσπίδα ἐν δὲ τῷ νόμῳ εἴρητο. ἐάν τις φάσκῃ ἀποβεβληκέναι, ὑπόδικον εἶναι, οὐκ ἂν ἐδικάζου αὐτῷ. ἀλλ' ἐξήρκει ἄν σοι ἐρριφέναι τὴν ἀσπίδα, λέγοντι οὐδέν σοι μέλλει. οὐ γὰρ τὸ αὐτό ἐστι ῥῖψαι καὶ ἀποβεβληκέναι. ἀλλ' οὐδ' ἂν τῶν ἕνδεκα γενόμενος ἀποδέξαιο εἴ τις ἀπάγει τινὰ φάσκων θοἰμάτιον ἀποδεδύσθαι, ἢ τὸν χιτωνίσκον ἐκδεδύσθαι. ἀλλ' ἀφίεις ἂν τὸν αὐτὸν τρόπον, ὅτι οὐ λωποδύτης ὀνομάζεται, οὐδ' εἰ τὴν παῖδα ἐξαγαγὼν ληφθείη, οὐκ ἂν φάσκοις αὐτὸν ἀνδραποδιστὴν εἶναι. εἴπερ μάχῃ τοῖς ὀνόμασιν, ἀλλὰ μὴ τοῖς ἔργοις τὸν νοῦν προσέχεις, ὧν ἕνεκα τὰ ὀνόματα, πάντες τίθενται. Ἔτι τοίνυν σκέψασθε ὦ ἄνδρες δικασταί. οὑτοσὶ γάρ μοι δοκεῖ ὑπὸ ῥαθυμίας καὶ μαλακίας, οὐδ' εἰς ἄρειον πάγον ἀναβεβηκέναι. πάντες γὰρ ἐπίστασθε ὅτι ἐν ἐκείνῳ τῷ χωρίῳ ὅταν τὰς τοῦ φόνου δίκας δικάζωνται, οὐ διὰ τούτου τοῦ ὀνόματος τὰς διωμοσίας ποιοῦνται, ἀλλὰ δι' οὗπερ ἐγὼ κακῶς ἀκήκοα. ὁ μὲν γὰρ διώκων ὡς ἔκτεινε, διόμνυται. ὁ δὲ φεύγων, ὡς οὐκ ἔκτεινεν. οὐκοῦν ἄτοπον ἂν εἴη τὸν δράξαντα κτεῖναι, φάσκοντα ἀνδροφόνον εἶναι. ὅτι ὁ διώκων ὡς ἔκτεινε τὸν φεύγοντα διωμόσατο. τί γὰρ ταῦτα ὧν οὗτος ἐρεῖ διαφέρει, καὶ αὐτὸς μὴ θέων κατηγορίας ἐδικάσω εἰπεῖ τίς σε ἐρριφέναι τὴν ἀσπίδα. καίτοι περὶ μὲν τοῦ ῥῖψαι, οὐδὲν ἐν τῷ νόμῳ εἴρηται. ἐὰν δέ τις εἴπῃ ἀποβεβληκέναι τὴν ἀσπίδα, πεντακοσίας δραχμὰς ὀφείλειν κελεύει. οὐκοῦν δεινὸν, εἰ ὅταν μὲν δέῃ σε κακῶς ἀκούσαντα τοὺς ἐχθροὺς τιμωρεῖσθαι, οὕτω τοὺς νόμους ὥσπερ ἐγὼ νῦν λαμβάνειν. ὅταν δ' ἕτερον παρὰ τοὺς νόμους εἴπῃς κακῶς, οὐκ ἀξιοῖς δοῦναι δίκην, πότερον οὕτω σὺ δεινὸς εἶ, ὥστε ὅπως ἂν βούλῃ οἷός τ' εἶ χρῆσθαι τοῖς νόμοις, ἢ τοσοῦτον δύνασαι, ὥστε οὐδέ ποτε οἴει τοὺς ἀδικουμένους ὑπὸ σοῦ τιμωρίας τεύξεσθαι. εἶτ' οὐκ αἰσχύνῃ οὕτως ἀνοήτως διακείμενος, ὥστε οὐχ ὑπὲρ ὧν εὖ πεποίηκας τὴν πόλιν, ἀλλ' ὑπὲρ ὧν ἀδικῶν οὐ δέδωκας δίκην, οἴει δεῖν πλεονεκτεῖν; καί μοι ἀνάγνωθι τὸν νόμον. Νόμος. Ἐγὼ τοίνυν ὦ ἄνδρες δικασταὶ ὑμᾶς μὲν πάντας εἰδέναι ἡγοῦμαι, ὅτι ἐγὼ μὲν ὀρθῶς λέγω. τοῦτον δὲ οὕτω σκαιὸν εἶναι, ὥστε οὐ δύνασθαι μαθεῖν τὰ λεγόμενα. βούλομαι οὖν αὐτὸν καὶ ἐξ ἑτέρων νόμων περὶ τούτου διδάξαι. ἄν πως

ἀλλὰ

ἀλλὰ νῦν ἐπὶ τοῦ βήματος παιδευθῇ. καὶ τὸ λοιπὸν ἦ μὴν μὴ παρέξει πράγματα, καί μοι ἀνάγνωθι τούτους τοὺς νόμους τοῦ Σόλωνος τοὺς παλαιούς. Νόμος. Δεδέσθαι δ' ἐν τῇ ποδοκάκκῃ ἡμέρας πέντε τὸν πόδα, ἐὰν μὴ προτιμήσῃ ἡ ἡλιαία. ἡ ποδοκάκκη αὕτη ἐστὶν ὦ Θεόμνηστε, ὃ νῦν καλεῖται ἐν τῷ ξύλῳ δεδέσθαι. εἰ οὖν ὁ δεθεὶς ἐξελθὼν ἐν ταῖς εὐθύναις τῶν ἕνδεκα κατηγοροίη ὅτι οὐκ ἐν τῇ ποδοκάκκῃ ἐδέδετο, ἀλλ' ἐν τῷ ξύλῳ, οὐκ ἂν ἠλίθιον αὐτὸν νομίζοιεν; λέγε ἕτερον νόμον. Νόμος. Ἐπισύας δ' ἐπιορκήσαντα τὸν Ἀπόλλω. δεδιότα δὲ δίκης ἕνεκα δρασκάζειν, τούτων τὸ μὲν ἐπιορκήσαντα, ὀμόσαντα ἐστί. τὸ δὲ δρασκάζειν, ὃ νῦν ἀποδιδράσκειν ὀνομάζομεν. Ὅστις δὲ ἀπίλλει τῇ θύρᾳ, ἔνδον τοῦ κλέπτου ὄντος, τὸ ἀπίλλειν τὸ ἀποκλείειν νομίζεται. καὶ μηδὲν διὰ τοῦτο διαφέρου. Τὸ ἀργύριον στάσιμον εἶναι ἐφ' ὁπόσῳ ἂν βούληται ὁ δανείζων. τὸ στάσιμον τοῦτο ἐστὶν ὦ βέλτιστε οὐ ζυγῷ ἱστάναι, ἀλλὰ τόκον πράττεσθαι ὁπόσον ἂν βούληται. ἐπανάγνωθι τουτὶ τοῦ νόμου τὸ τελευταῖον. ὅσαι δὲ πεφασμένως πωλοῦνται καὶ οἰκῆος καὶ βλάβης τὴν δούλην εἶναι ὀφείλειν. Προσέχετε τὸν νοῦν. τὸ μὲν πεφασμένως, ἐστὶ φανερῶς. πωλεῖσθαι δέ, βαδίζειν. τὸ δὲ οἰκῆος, θεράποντος. πολλὰ δὲ τοιαῦτα καὶ ἄλλα ἐστὶν ὦ ἄνδρες δικασταί. ἀλλ' εἰ μὴ σιδήρου ἐστίν, οἴομαι αὐτὸν συνοοῦ γεγονέναι. ὅτι τὰ μὲν πράγματα ταῦτά ἐστι νῦν τε καὶ πάλαι. τοῖς δὲ ὀνόμασιν ἐνίοις, οὐ τοῖς αὐτοῖς χρώμεθα νῦν καὶ πρότερον. δηλώσει δέ. οὐ γὰρ ἔτι ἄπεισιν ἀπὸ τοῦ βήματος σιωπῇ. εἰ δὲ μή, δέομαι ὑμῶν ὦ ἄνδρες δικασταί, τὰ δίκαια ψηφίσασθαι. ἐνθυμουμένους ὅτι πολὺ μεῖζον κακόν ἐστιν ἀκούσαντα τὸν πατέρα ἀποβεβληκέναι. ἐγὼ γοῦν δεξαίμην ἂν πάσας τὰς ἀσπίδας ἐρριφέναι, ἢ τοιαύτην γνώμην ἔχειν περὶ τὸν πατέρα. οὗτος οὖν ἔνοχος μὲν ὢν τῇ αἰτίᾳ, ἐλάττονος δὲ οὔσης αὐτῷ τῆς συμφορᾶς, οὐ μόνον ὑφ' ὑμῶν ἠλεήθη, ἀλλὰ καὶ τὸν μαρτυρήσαντα ἠτίμωσεν. ἐγὼ δὲ ἑωρακὼς μὲν ἐκεῖνο τοῦτον ποιήσαντα, ὃ καὶ ὑμεῖς ἴστε, αὐτὸς δὲ σώσας τὴν ἀσπίδα, ἀκηκοὼς δὲ οὕτως ἀνόσιον καὶ δεινὸν πρᾶγμα, μεγίστης δὲ οὔσης μοι τῆς συμφορᾶς εἰ ἀποφεύξεται, τούτῳ δ' οὐδενὸς ἀξίου εἰ κακηγορίας ἁλώσεται. οὐ καταδίκην παρ' αὐτοῦ λήψομαι; τίνος ἕνεκα ἐμοὶ πρὸς ὑμᾶς ἐγκλήματος. πότερον ὅτι δικαίως ἀκήκοα; ἀλλ' οὐδ' ἂν αὐτοὶ φήσαιτε. ἀλλ' ὅτι βελτίων καὶ ἐκ βελτιόνων ὁ φεύγων ἐμοῦ, ἀλλ' οὐδ' ἂν αὐτὸς ἀξιώσειεν. ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα δικάζομαι κακηγορίας τῷ σώσαντι; ἀλλ' οὐχ οὗτος ὁ λόγος ἐν τῇ πόλει κατεσκεύασται. ἀναμνήσθητε δὲ ὅτι μεγάλην καὶ καλὴν ἐκείνῳ δωρεὰν αὐτῷ δεδώκατε. ἐν ᾗ τίς οὐκ ἂν ἐλεήσειεν Διονύσιον. τοιαύτῃ μὲν συμφορᾷ περιπεπτωκότα. ἄνδρα δὲ ἄριστον ἐν τοῖς κινδύνοις γεγενημένον. ἀπιόντα δὲ ἀπὸ τοῦ δικαστηρίου καὶ λέγοντα. ὅτι δυστυχεστάτην ἐκείνην εἴημεν στρατείαν ἐστρατευμένοι. ἐν ᾗ πολλοὶ μὲν ἡμῶν ἀπέθανον. οἱ δὲ σώσαντες τὰ ὅπλα, ὑπὸ τῶν ἀποβαλόντων ψευδομαρτυριῶν ἑαλώκασι. κρεῖττον δὲ ἦν αὐτῷ τότε ἀποθανεῖν, ἢ οἴκαδ' ἐλθόντι τοιαύτῃ τύχῃ χρῆσθαι. μὴ τοίνυν ἀκούσαντα Θεόμνηστον κακῶς, τὰ προσήκοντα ἐλεεῖτε, καὶ ὑβρίζοντι καὶ λέγοντι παρὰ τοὺς νόμους, συγγνώμην ἔχετε. τίς γὰρ ἂν ἐμοὶ μείζων ταύτης γένοιτο συμφορά, περὶ τοιούτου πατρός, οὕτως αἰσχρὰν αἰτίαν ἀκηκοότος. πολλάκις μὲν ἐστρατήγησε. πολλοὺς δὲ καὶ ἄλλους κινδύνους μεθ' ὑμῶν ἐκινδύνευσε, καὶ οὔτε τοῖς πολεμίοις τὸ ἐκείνου σῶμα ὑποχείριον ἐγένετο, οὔτε τοῖς πολίταις, οὐδὲ μίαν πώποτε ὦφλεν εὐθύνην. ἔτη δὲ γεγονὼς ἑπτὰ καὶ ἑξήκοντα ἐν ὀλιγαρχίᾳ, δι' εὔνοιαν τοῦ ὑμετέρου πλήθους ἀπέθανεν. ἆρ' ἄξιον ὀργισθῆναι τῷ εἰρηκότι, καὶ βοηθῆσαι τῷ πατρὶ ὡς καὶ ἐκείνου κακῶς ἀκηκοότος. τί γὰρ ἂν τούτου ἀνιαρότερον γένοιτο αὐτῷ, ἢ τεθνάναι μὲν ὑπὸ τῶν ἐχθρῶν, αἰτίαν δ' ἔχειν ὑπὸ τῶν παίδων. οὗ ἔτι καὶ νῦν ὦ ἄνδρες δικασταὶ τῆς ἀρετῆς τὰ μνημεῖα, πρὸς τοῖς ὑμετέροις ἀνάκειται. τὰ δὲ τούτου καὶ τὰ τούτου πατρὸς τῆς κακίας, πρὸς τοῖς τῶν πολεμίων, οὕτω σύμφυτος αὐτοῖς ἡ δειλία. καὶ μὲν δὴ ὦ ἄνδρες δικασταί, ὅσῳ μείζους εἰσὶ καὶ νεανίαι τὰς ὄψεις, τοσούτῳ μᾶλλον ὀργῆς ἄξιοί εἰσι. δῆλον γὰρ ὅτι τοῖς μὲν σώμασι δύνανται. τὰς δὲ ψυχὰς οὐκ ἔχουσιν. Ἀκούω δ' αὐτὸν ὦ ἄνδρες δικασταί, ἐπὶ τοῦτον τὸν λόγον τρέψεσθαι,

ὡς ὀργισθεὶς εἴρηκε. ταῦτα ἐμοῦ μαρτυρήσαντος τὴν αὐτὴν μαρτυρίαν Διονυσίῳ. ὑμᾶς δ' ἐνθυμεῖσθε ὦ ἄνδρες δικασταὶ, ὅτι ὁ νομοθέτης, οὐδεμιᾷ ὀργῇ συγνώμην δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποφαίνῃ ὡς ἔστιν ἀληθῆ τὰ εἰρημένα. ἐγὼ δὲ δὶς ἤδη περὶ τούτου μεμαρτύρηκα. οὐ γάρ που ᾔδειν ὅτι ὑμεῖς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε. τοῖς δὲ ἀποβάλλουσι, συγνώμην ἔχετε. περὶ μὲν οὖν τούτων, οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν. ἐγὼ δὲ ὑμῶν δέομαι καταψηφίσασθαι θεομνήστου. ἐνθυμουμένους ὅτι οὐκ ἂν γένοιτο τούτου μείζων ἀγών μοι. νῦν γὰρ διώκω κακηγορίας. τῇ δ' αὐτῇ ψήφῳ, φόνου φεύγω τοῦ πατρός. ὃς μόνος ἐπειδὴ τάχιστα ἐδοκιμάσθην, ἐπεξῆλθον τοῖς τριάκοντα ἐν ἀρείῳ πάγῳ. ὧν μεμνημένοι, καὶ ἐμοὶ καὶ τῷ πατρὶ βοηθήσατε. καὶ τοῖς νόμοις τοῖς κειμένοις, καὶ τοῖς ὅρκοις οὓς ὀμωμόκατε.

Λυσίου, κατὰ θεομνήστου. β'.

ὅ τι μὲν τὸν πατέρα μ' ἔφασκεν ἀπεκτονέναι, πολλοὶ συνείδασιν ὑμῶν, καὶ μαρτυροῦσι δέ μοι. ὅτι δὲ οὐ πεποίηκα, ἔτη γάρ ἐστι μοι δύο καὶ τριάκοντα. ἐξ οὗ δ' ὑμεῖς κατήλθετε, εἰκοστὸν τοῦτο. φαίνομαι οὖν δωδεκέτης ὢν, ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπέθνησκεν. ὥστ' οὐδ' ὅτι ὀλιγαρχία ἦν ᾔδειν, οὐδὲ τῷ πατρὶ βοηθεῖν, ἀεργός τις ἦν. ἀλλὰ μὴν οὐδὲ τῶν χρημάτων οὕνεκα ἐπιβούλευσα αὐτῷ. ὁ γὰρ πρεσβύτερος ἀδελφὸς πάντα λαβὼν, ἀπεστέρησεν ἡμᾶς. ἴσως δ' ἐρεῖ ὡς οὐκ ἔστι τῶν ἀπορρήτων, ἐάν τις λέγῃ τὸν πατέρα ἀπεκτονέναι. τὸν γὰρ νόμον, οὐ ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾶν λέγειν. ἐγὼ δ' οἶμαι δεῖν οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ περὶ τῆς τούτων διανοίας. καὶ πάντας εἰδέναι, ὅτι ὁπόσοι ἀπεκτόνασί τινας, καὶ ἀνδροφόνοι τῶν αὐτῶν εἰσι. καὶ ὅσοι ἀνδροφόνοι τινὸς, καὶ ἀπεκτόνασι τουτονί. πολὺ γὰρ ἂν ἔργον ἦν τῷ νομοθέτῃ πάντα γράφειν τὰ ὀνόματα, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει. ἀλλὰ περὶ ἑνὸς εἰπὼν, περὶ πάντων ἐδήλωσεν. οὐ γὰρ δή που ἐὰν μέν τις πατραλοίαν ἢ μητραλοίαν καλέσῃ, ὑπόδικός ἐστιν. ἐὰν δέ τις τὴν τεκοῦσαν ἢ τὸν φυτεύσαντα τύπτοι, ἀζήμιος ἔσται. καὶ εἴ τις εἴποι ῥίψασπιν, ἀθῷος ἔσται. τὸν γὰρ νόμον ἐάν τις εἴπῃ τὴν ἀσπίδα ἀποβεβληκέναι, ζημίαν τάττειν. ἀλλ' οὐκ ἂν τις ῥίψαι φῇ αὐτήν. ὁμοίως δ' ἂν καὶ τῶν ἕνδεκα γενόμενος, οὐκ ἂν ἀποδέχοιτο τὸν ἀπαγόμενον. ὅτι θοιμάτιον ἔξω θέμενος ἢ τὸν χιτωνίσκον, εἰ μὴ λωποδύτην ὠνόμαζον. εἰ μή τις παῖδα ἐξῆγεν ὡς ἀνδραποδιστήν. καὶ αὐτὸς μὲν ἐδικάσω κακηγορίας τῷ εἰπόντι σε ῥίψαι τὴν ἀσπίδα. καίτοι ἐν τῷ νόμῳ οὐ γέγραπται. ἀλλ' ἐάν τις φῇ ἀποβεβληκέναι. πῶς οὖν οὐ δεινόν. ἐὰν μέν τις γε εἴπῃ τοὺς νόμους ἐκλαμβάνειν, οὕτως ὡς περ ἐγὼ νῦν, καὶ τιμωρεῖν τοὺς ἐχθρούς. ἐὰν δ' αὐτὸς εἴπῃς, οὐκ ἄξιον δοῦναι δίκην. βοηθήσατε οὖν μοι ἐνθυμούμενοι, ὅτι μεῖζόν ἐστι κακὸν τὸν πατέρα ἀπεκτονέναι, ἢ τὴν ἀσπίδα ῥίψαι. ἐγὼ οὖν δεξαίμην πάσας ἀποβεβληκέναι, ἢ τοιαύτην γνώμην περὶ τὸν πατέρα ἔχειν. καί γε οὗτος μὲν ἑώρακε ποιοῦντα, ὡς καὶ ὑμεῖς ἴστε. αὐτὸς δ' ἔσωσε τὴν ἀσπίδα. ὥστε διὰ τί οὐκ ἂν λάβοιμι δίκην παρ' αὐτοῦ. τίνος ἐγκλήματός μοι ὄντος. πότερον, ὡς δικαίως ἤκουσα; ἀλλ' οὐδ' ἂν αὐτοὶ φήσαιτε. ἀλλ' ὡς βελτίονος ὄντος; ἀλλ' οὐδ' ἂν αὐτὸς ἀξιώσειεν. ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα σώσαντι, δικάζομαι; ἀλλ' οὐχ οὗτος ὁ λόγος διέσπαρται κατὰ τὴν πόλιν. μὴ δὴ κακῶς ἀκούοντα τὰ προσήκοντα ἐλεεῖτε. μηδ' ὑβρίζοντί τε καὶ λέγοντι παρὰ τοὺς νόμους, συγγνώμην ἔχετε. καὶ ταῦτα εἰς ἄνδρα, ὃς πολλὰς μὲν στρατηγίας ἐστρατήγηκε, πολλὰς δὲ μεθ' ὑμῶν κεκινδύνευκε. καὶ οὔτε τοῖς πολεμίοις ὑποχείριος γέγονεν, οὔθ' ὑμῖν εὐθύνας ὦφλεν. ἑβδομήκοντα δ' ἐτῶν ὢν, ὑπ' ὀλιγαρχίας ἐτελεύτησε διὰ τὴν ὑμετέραν εὔνοιαν. ἄξιον δὲ ὀργισθῆναι ὑπὲρ αὐτοῦ. τί γὰρ ἂν τούτου ἀθλιώτερον ἀκούσειεν, εἰ τεθνηκὼς ὑπὸ τῶν ἐχθρῶν, αἰτίαν ἔχοι ὑπὸ τῶν τέκνων ἀνῃρῆσθαι. οὗ τῆς ἀρετῆς τὰ μνημεῖα, πρὸς τοῖς ὑμετέροις ἱεροῖς ἀνάκειται. τῆς δὲ τούτων κακίας, πρὸς

τοῖς τῶν

τοῖς τῶν πολεμίων. ἐρεῖ δὲ, ὡς ὀργισθεὶς εἴρηκεν. ὑμεῖς δ' ἐνθυμεῖσθε ὅτι ὁ νομοθέτης οὐδεμίαν συγγνώμην ὀργῇ δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ. ἐγὼ δὲ δὶς περὶ τούτου μεμαρτύρηκα. οὐ γὰρ ᾔδειν ὅτι ὑμεῖς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀποβάλλουσι συγγνώμην ἔχετε. δέομαι οὖν καταψηφίσασθαι αὐτοῦ. νυνὶ γὰρ διώκω μὲν κατηγορίας. τῇ δ' αὐτῇ ψήφῳ, φόνου φεύγω τοῦ πατρός. οὗ μείζων ἀγὼν, οὐκ ἂν γένοιτό μοι. ὃς μόνος δοκιμασθεὶς τοῖς τριάκοντ' ἐπεξῆλθον ἐν ἀρείῳ πάγῳ. βοηθήσατ' οὖν, κἀκείνῳ κἀμοί.

Λυσίου. κατὰ ἐρατοσθένους, τοῦ γενομένου τῶν τριάκοντα, ὃν αὐτὸς εἶπε λυσίας.

Υκ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι ὦ ἄνδρες δικασταὶ τῆς κατηγορίας, ἀλλὰ παύσασθαι λέγοντι. τοιαῦτα αὐτοῖς τὸ μέγεθος καὶ τοσαῦτα τὸ πλῆθος εἴργασται, ὥστε μήτ' ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρχόντων κατηγορῆσαι, μήτ' ἀληθῆ βουλόμενον εἰπεῖν ἅπαντα δύνασθαι. ἀλλ' ἀνάγκη ἢ τὸν κατήγορον ἀπειπεῖν, ἢ τὸν χρόνον ἐπιλιπεῖν. τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι, ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ. πρότερον μὲν γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ἥτις εἴη πρὸς τοὺς φεύγοντας. νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι. ἥτις ἦν αὐτοῖς πρὸς τὴν πόλιν ἔχθρα, ἀνθ' ὅτου τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. οὐ μέντοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφορὰς τοὺς λόγους ποιοῦμαι, ἀλλ' ὡς ἅπασι πολλῆς ἀφθονίας οὔσης ὑπὲρ τῶν ἰδίων, ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι. ἐγὼ μὲν οὖν ὦ ἄνδρες δικασταὶ, οὔτ' ἐμαυτοῦ πώποτε οὔτε ἀλλότρια πράγματα πράξας, νῦν ἠνάγκασμαι ὑπὲρ τῶν γεγενημένων τούτου κατηγορεῖν. ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν κατέστην. μὴ διὰ τὴν ἀπειρίαν, ἀναξίως καὶ ἀδυνάτως ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ τὴν κατηγορίαν ποιήσωμαι. ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι δι' ἐλαχίστων διδάξαι. οὑμὸς πατὴρ κέφαλος, ἐπείσθη μὲν ὑπὸ περικλέους, εἰς ταύτην τὴν γῆν ἀφικέσθαι. ἔτη δὲ τριάκοντα ᾤκησε. καὶ οὐδενὶ πώποτε οὔτε ἡμεῖς οὔτε ἐκεῖνος δίκην οὔτε ἐδικασάμεθα, οὔτε ἐφύγομεν. ἀλλ' οὕτως ᾠκοῦμεν δημοκρατούμενοι, ὥστε μήτε εἰς τοὺς ἄλλους ἐξαμαρτάνειν, μήτε ὑπὸ τῶν ἄλλων ἀδικεῖσθαι. ἐπειδὴ δ' οἱ τριάκοντα πονηροὶ μὲν ἂν συκοφάνται ὄντες εἰς τὴν ἀρχὴν κατέστησαν, φάσκοντες χρῆναι τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν καὶ τοὺς λοιποὺς πολίτας, ἐπ' ἀρετὴν καὶ δικαιοσύνην τραπέσθαι. καὶ τοιαῦτα λέγοντες, οὐ τοιαῦτα ποιεῖν ἐτόλμων. ὡς ἐγὼ περὶ τῶν ἐμαυτοῦ πρῶτον εἰπὼν, καὶ περὶ τῶν ὑμετέρων ἀναμνῆσαι πειράσομαι. θέογνις γὰρ καὶ πείσων ἔλεγον ἐν τοῖς τριάκοντα περὶ τῶν μετοίκων ὡς εἶέν τινες, τῇ πολιτείᾳ ἀχθόμενοι. καλλίστην οὖν εἶναι πρόφασιν τιμωρεῖσθαι μὲν δοκεῖν, τῷ δ' ἔργῳ χρηματίζεσθαι. πάντως δὲ τὴν μὲν πόλιν πένεσθαι, τὴν ἀρχὴν δεῖσθαι χρημάτων. καὶ τοὺς ἀκούοντας, οὐ χαλεπῶς ἔπειθον. ἀποκτιννύναι μὲν γὰρ ἀνθρώπους, περὶ οὐδενὸς ἡγοῦντο. λαμβάνειν δὲ χρήματα, περὶ πολλοῦ ἐποιοῦντο. ἔδοξεν οὖν αὐτοῖς δέκα συλλαβεῖν. τούτων δὲ δύο πένητας, ἵνα αὐτοῖς ᾖ πρὸς τοὺς ἄλλους ἀπολογία. ὡς οὐ χρημάτων ἕνεκα ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα τῇ πολιτείᾳ γεγένηται. ὥσπερ τι τῶν ἄλλων εὐλόγως πεποιηκότες. διαλαβόντες δὲ τὰς οἰκίας, ἐβάδιζον. καὶ ἐμὲ μὲν ξένους ἑστιῶντα κατέλαβον. οὓς ἐξελάσαντες, πείσωνί με παραδιδόασιν. οἱ δ' ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες, τὰ ἀνδράποδα ἀπεγράφοντο. ἐγὼ δὲ πείσωνα μὲν ἠρώτων, εἰ βούλοιτό με σῶσαι χρήματα λαβών. ὁ δ' ἔφασκεν εἰ πολλὰ εἴη. εἶπον οὖν ὅτι τάλαντον ἀργυρίου, ἕτοιμος εἴην δοῦναι. ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. ἠπιστάμην μὲν οὖν, ὅτι οὔτε θεοὺς οὔτε ἀνθρώπους νομίζει. ὅμως δ' ἐκ τῶν παρόντων ἐδόκει μοι ἀναγκαιότατον εἶναι πίστιν παρ' αὐτοῦ λαβεῖν. ἐπειδὴ δὲ ὤμοσεν, ἐξώλειαν ἑαυτῷ καὶ τοῖς παισὶν ἐπαρώμενος, λαβὼν τὸ τάλαντόν με σώσειν, εἰσελθὼν εἰς τὸ δωμάτιον, τὴν κιβωτὸν ἀνοίγνυμι. πείσων δ' αἰσθόμενος εἰσέρχεται, καὶ ἰδὼν τὰ ἐνόντα, καλεῖ τῶν

ὑπηρετῶν δύο. καὶ τὰ ἐν τῇ κιβωτῷ λαβεῖν ἐκέλευσεν. ἐπεὶ δ' οὐχ ὅσον ὡμολόγησα εἶχεν, ὦ ἄνδρες δικασταί, ἀλλὰ τρία τάλαντα ἀργυρίου, καὶ τετρακοσίους κυζικηνούς, καὶ ἑκατὸν καρικούς, καὶ φιάλας ἀργυρᾶς τέτταρας, ἐδεόμην αὐτοῦ ἐφόδιά μοι δοῦναι. ὁ δ' ἀγαπήσειν με ἔφασκεν, εἰ τὸ σῶμα σώσω. ἐξιοῦσι δέ μοι καὶ Πείσωνι ἐπιτυγχάνει Μηλόβιός τε καὶ Μνησιθείδης ἐκ τοῦ ἐργαστηρίου ἀπιόντες. καὶ καταλαμβάνουσι πρὸς αὐταῖς ταῖς θύραις, καὶ ἐρωτῶσιν ὅποι βαδίζοιμεν. ὁ δ' ἔφασκεν εἰς τὰ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ. ἵνα καὶ τὰ ἐν ἐκείνῃ τῇ οἰκίᾳ σκέψηται. ἐκεῖνον μὲν οὖν ἐκέλευον βαδίζειν. ἐμὲ δὲ μετ' αὐτῶν ἀκολουθεῖν εἰς Δαμνίππου. Πείσων δὲ προσελθὼν σιγᾶν μοι παρεκελεύετο καὶ θαρρεῖν, ὡς ἥξων ἐκεῖσε. καταλαμβάνομεν δὲ αὐτόθι Θέογνιν ἑτέρους φυλάττοντα. ᾧ παραδόντες ἐμέ, πάλιν ᾤχοντο. ἐν τοιούτῳ δ' ὄντι μοι, κινδυνεύειν ἐδόκει ὡς τοῦ γε ἀποθανεῖν ὑπάρχοντος ἤδη. καλέσας δὲ Δάμνιππον, λέγω πρὸς αὐτὸν τάδε. ἐπιτήδειος μέν μοι τυγχάνεις ὤν, ἥκω δ' εἰς τὴν σὴν οἰκίαν. ἀδικῶ δ' οὐδέν. χρημάτων δ' ἕνεκα ἀπόλλυμαι. σὺ οὖν ταῦτα πάσχοντί μοι, πρόθυμον παράσχου τὴν σεαυτοῦ δύναμιν, εἰς τὴν ἐμὴν σωτηρίαν. ὁ δ' ὑπέσχετο ποιήσειν. ἐδόκει δ' αὐτῷ βέλτιον εἶναι πρὸς Θέογνιν μνησθῆναι. ἡγεῖτο γὰρ ἅπαν ποιήσειν αὐτόν, εἴ τις ἀργύριον διδοίη. ἐκείνου δὲ διαλεγομένου Θεόγνιδι, ἔμπειρος γὰρ ὢν ἐτύγχανον τῆς οἰκίας, καὶ ᾔδειν ὅτι ἀμφίθυρος εἴη, ἐδόκει μοι ταύτῃ πειρᾶσθαι σωθῆναι. ἐνθυμουμένῳ, ὅτι ἐὰν μὲν λάθω, σωθήσομαι. ἐὰν δὲ ληφθῶ, ἡγούμην μὲν εἰ Θέογνις εἴη πεπεισμένος ὑπὸ τοῦ Δαμνίππου χρήματα λαβεῖν, οὐδὲν ἧττον ἀφεθήσεσθαι. εἰ δὲ μή, ὁμοίως ἀποθανεῖσθαι. ταῦτα διανοηθείς, ἔφευγον ἐκείνων ἐπὶ τῇ αὐλείῳ θύρᾳ τὴν φυλακὴν ποιουμένων. τριῶν δὲ θυρῶν οὐσῶν, ἃς ἔδει με διελθεῖν, ἅπασαι ἀνεῳγμέναι ἔτυχον. ἀφικόμενος δὲ εἰς Ἀρχένεω τοῦ ναυκλήρου, ἐκεῖνον πέμπω εἰς ἄστυ πευσόμενον περὶ τοῦ ἀδελφοῦ, ἥκων δὲ ἔλεγεν. ὅτι Ἐρατοσθένης αὐτὸν ἐν τῇ ὁδῷ λαβών, εἰς τὸ δεσμωτήριον ἀπαγάγοι. καὶ ἐγὼ τοιαῦτα πεπυσμένος, τῆς ἐπιούσης νυκτὸς διέπλευσα Μεγαράδε.

Πολεμάρχῳ δὲ παρήγγειλαν οἱ τριάκοντα τὸ ἐπ' ἐκείνων εἰθισμένον παράγγελμα, πίνειν κώνειον πρὶν τὴν αἰτίαν εἰπεῖν, δι' ἥν τινα ἔμελλεν ἀποθανεῖσθαι. οὕτω πολλοῦ ἐδέησε κριθῆναι καὶ ἀπολογήσασθαι, καὶ ἐπειδὴ ἀπεφέρετο ἐκ τοῦ δεσμωτηρίου τεθνεώς, τριῶν ἡμῖν οἰκιῶν οὐσῶν, οὐδὲ μιᾶς εἴασαν ἐξενεχθῆναι. ἀλλὰ κλίσιον μισθωσάμενοι, προὔθεντο αὐτόν. καὶ πολλῶν ὄντων ἱματίων, αἰτοῦσιν οὐδὲν ἔδοσαν εἰς ταφήν, ἀλλὰ τῶν φίλων ὁ μέν, ἱμάτιον. ὁ δέ, προσκεφάλαιον. ὁ δέ, ὅ τι ἕκαστος ἔτυχεν ἔδωκεν εἰς τὴν ἐκείνου ταφήν. καὶ ἔχοντες μὲν ἑπτακοσίας ἀσπίδας τῶν ἡμετέρων, ἔχοντες δὲ ἀργύριον καὶ χρυσίον τοσοῦτον, χαλκὸν δὲ κόσμον καὶ ἔπιπλα καὶ ἱμάτια γυναικεῖα, ὅσα οὐδεπώποτε ᾤοντο κτήσασθαι, καὶ ἀνδράποδα εἴκοσι καὶ ἑκατόν, ὧν τὰ μὲν βέλτιστα ἔλαβον, τὰ δὲ λοιπὰ εἰς τὸ δημόσιον ἀπέδοσαν, εἰς τοσαύτην ἀπληστίαν καὶ αἰσχροκέρδειαν ἀφίκοντο, καὶ τοῦ τρόπου τοῦ αὐτῶν ἀπόδειξιν ἐποιήσαντο. τῆς γὰρ Πολεμάρχου γυναικὸς χρυσοῦς ἑλικτῆρας οὓς ἔχουσα ἐτύγχανεν ὅτε τὸ πρῶτον ἦλθεν εἰς τὴν οἰκίαν, Μηλόβιος ἐκ τῶν ὤτων ἐξείλετο. καὶ οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς οὐσίας ἐλέου παρ' αὐτῶν ἐτυγχάνομεν, ἀλλ' οὕτως εἰς ἡμᾶς διὰ τὰ χρήματα ἐξημάρτανον, ὥσπερ γ' ἂν ἕτεροι μεγάλων ἀδικημάτων ὀργὴν ἔχοντες. οὐ τούτων ἀξίους γε ὄντας τῇ πόλει, ἀλλὰ πάσας τὰς χορηγίας χορηγήσαντας, πολλὰς δ' εἰσφορὰς εἰσενεγκόντας, κοσμίους δ' ἡμᾶς αὐτοὺς παρέχοντας. καὶ πᾶν τὸ προσταττόμενον ποιοῦντας, ἐχθρὸν δ' οὐδένα κεκτημένους. πολλοὺς δ' Ἀθηναίων ἐκ τῶν πολεμίων λυσαμένους, τοιούτων ἠξίωσαν. οὐχ ὁμοίως μετοικοῦντας, ὥσπερ αὐτοὶ ἐπολιτεύοντο. οὗτοι γὰρ πολλοὺς μὲν τῶν πολιτῶν εἰς τοὺς πολεμίους ἐξήλασαν. πολλοὺς δ' ἀδίκως ἀποκτείναντες, ἀτάφους ἐποίησαν. πολλοὺς δ' ἐπιτίμους ὄντας, ἀτίμους τῆς πόλεως κατέστησαν. πολλῶν δὲ θυγατέρας μελλούσας ἐκδίδοσθαι, ἐκώλυσαν. Καὶ εἰς τοσοῦτόν εἰσι τόλμης ἀφιγμένοι, ὥσθ' ἥκουσιν ἀπολογησόμενοι. καὶ λέγουσιν ὡς οὐδὲν κακὸν οὐδ' αἰσχρὸν εἰργασμένοι εἰσίν. ἐγὼ δ' ἐβουλόμην αὐτοὺς ἀληθῆ λέγειν.

μετῆν τι αὖ καὶ ἐμοί, τούτου τἀγαθοῦ οὐκ ἐλάχιστον μέρος. νῦν δὲ οὔτε πρὸς τὴν πόλιν αὐτοῖς τοιαῦτα ὑπάρχει, οὔτε πρὸς ἐμέ. τὸν ἀδελφὸν γάρ μου ὥσπερ καὶ πρότερον εἶπον, Ἐρατοσθένης ἀπέκτεινεν, οὔτε αὐτὸς ἰδίᾳ ἀδικούμενος, οὔτε εἰς τὴν πόλιν ὁρῶν ἐξαμαρτάνοντα. ἀλλὰ τῇ ἑαυτοῦ παρανομίᾳ προθύμως ἐξυπηρετῶν. ἀναβιβασάμενος δ᾽ αὐτὸν βούλομαι ἐρέσθαι ὦ ἄνδρες δικασταί. τοιαύτην γὰρ γνώμην ἔχω. ἐπὶ μὲν τῇ τούτου ὠφελείᾳ καὶ πρὸς ἕτερον περὶ τούτου διαλέγεσθαι ἀσεβὲς εἶναι νομίζω. ἐπὶ δὲ τῇ τούτου βλάβῃ καὶ πρὸς αὐτὸν τοῦτον, ὅσον καὶ ἀσεβές. ἀνάβηθι οὖν μοι καὶ ἀπόκριναι ὅ τι ἄν σε ἐρωτῶ. ἀπήγαγες Πολέμαρχον ἢ οὔ; Τὰ ὑπὸ τῶν ἀρχόντων προσταχθέντα δεδιὼς ἐποίουν. Ἦσθα δ᾽ ἐν τῷ βουλευτηρίῳ ὅτε οἱ λόγοι ἐγένοντο περὶ ἡμῶν; Ἦν. Πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖναι, ἢ ἀντέλεγες; Ἀντέλεγον. Ἵνα ἀποθάνωμεν; Ἵνα μὴ ἀποθάνητε. Ἡγούμενος ἡμᾶς ἄδικα πάσχειν ἢ δίκαια; Ἄδικα. Εἶτ᾽ ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μὲν ἵνα σώσειας, συνελάμβανες δὲ ἵνα ἀποκτείνῃς; καὶ ὅτε μὲν τὸ πλῆθος ἦν ὑμῶν κύριον τῆς σωτηρίας τῆς ἡμετέρας, ἀντιλέγειν φῂς τοῖς βουλομένοις ἡμᾶς ἀπολέσαι, ἐπειδὴ δὲ ἐπὶ σοὶ μόνῳ ἐγένετο καὶ σῶσαι Πολέμαρχον καὶ μή, εἰς τὸ δεσμωτήριον ἀπήγαγες; Εἶθ᾽ ὅτι μὲν ὡς φῂς ἀντειπὼν, οὐδὲν ὠφέλησας, ἀξιοῖς χρηστὸς νομίζεσθαι. ὅτι δὲ συλλαβὼν ἀπέκτεινας, οὐκ οἴει ἐμοὶ καὶ τουτοισὶ δοῦναι δίκην; καὶ μὴν οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν, εἴπερ ἀληθῆ λέγει, φάσκων ἀντειπεῖν ὡς αὐτῷ ἐπετάχθη. οὐ γὰρ δή που ἐν τοῖς μετοίκοις πίστιν παρ᾽ αὐτοῦ ἐλάμβανον. ἔπειτα τῷ πίστιν εἰκὸς ἦν προσταχθῆναι, ἢ ὅστις ἀντειπών γε ἐτύγχανε, καὶ γνώμην ἀποδεδειγμένος. τίνα γὰρ εἰκὸς ἦν ἧττον ταῦτα ὑπηρετῆσαι, ἢ τὸν ἀντειπόντα, οἷς ἐκεῖνοι ἐβούλοντο πραχθῆναι; ἔτι δὲ τοῖς μὲν ἄλλοις Ἀθηναίοις, ἱκανή μοι δοκεῖ πρόφασις εἶναι τῶν γεγενημένων εἰς τοὺς τριάκοντα ἀναφέρειν τὴν αἰτίαν. αὐτοὺς δὲ τοὺς τριάκοντα ἂν εἰς σφᾶς αὐτοὺς ἀναφέρωσι, πῶς ὑμᾶς εἰκὸς ἀποδέχεσθαι; εἰ μὲν γάρ τις ἐν τῇ πόλει ἀρχὴ ἰσχυροτέρα αὐτῆς, ὑφ᾽ ἧς αὐτῷ προσετάττετο παρὰ τὸ δίκαιον ἀνθρώπους ἀπολλύναι, ἴσως ἂν εἰκότως αὐτῷ συγγνώμην εἴχετε. νῦν δὲ παρ᾽ αὐτοῦ ποτε καὶ λήψεσθε δίκην, εἴπερ ἐξέσται τοῖς τριάκοντα λέγειν ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποίουν, καὶ μηδὲν δὴ οὐκ ἐν τῇ οἰκίᾳ, ἀλλ᾽ ἐν τῇ ὁδῷ σώζοντα αὐτὸν καὶ τὰ τούτοις ἐψηφισμένα. ὃν συλλαβὼν ἀπήγαγεν. ὑμεῖς δὲ πάντες ὀργίζεσθε ὅσοι εἰς τὰς οἰκίας ἦλθον τὰς ὑμετέρας, ζήτησιν ποιούμενοι, ἢ ὑμῶν, ἢ τῶν ὑμετέρων τινός. καίτοι εἰ χρὴ τοῖς διὰ τὴν ἑαυτῶν σωτηρίαν, ἑτέρους ἀπολέσασι συγγνώμην ἔχειν, ἐκείνοις ἂν δικαιότερον ἔχοιτε. κίνδυνος γὰρ ἦν πεμφθεῖσι μὴ ἐλθεῖν, καὶ καταλαβοῦσιν ἐξάρνοις γενέσθαι. τῷ δὲ Ἐρατοσθένει ἐξῆν εἰπεῖν ὅτι οὐκ ἀπήντησεν, ἔπειτα ὅτι οὐκ εἶδεν. ταῦτα γὰρ οὔτε ἔλεγχον, οὔτε βάσανον εἶχεν. ὥστε μηδ᾽ ὑπὸ τῶν ἐχθρῶν βουλομένων, οἷόν τε εἶναι ἐξελεγχθῆναι. χρῆν δέ σε ὦ Ἐρατόσθενες εἴπερ ἦσθα χρηστὸς, πολὺ μᾶλλον τοῖς μέλλουσιν ἀδίκως ἀποθανεῖσθαι μηνυτὴν γενέσθαι ἢ τοὺς ἀδίκως ἀπολουμένους συλλαμβάνειν. νῦν δέ σου τὰ ἔργα φανερὰ γεγένηται οὐχ ὡς ἀνιωμένου, ἀλλ᾽ ὡς ἡδομένου τοῖς γιγνομένοις. ὥστε τούσδε ἐκ τῶν ἔργων χρὴ μᾶλλον, ἢ ἐκ τῶν λόγων τὴν ψῆφον φέρειν. ἃ ἴσασι γεγενημένα, τῶν τότε λεγομένων τεκμήρια λαμβάνοντας, ἐπειδὴ μάρτυρας περὶ αὐτῶν οὐχ οἷόν τε παρασχέσθαι. οὐ γὰρ μόνον ἡμῖν παρεῖναι οὐκ ἐξῆν, ἀλλ᾽ οὐδὲ παρ᾽ αὑτοῖς εἶναι. ὥστε ἐπὶ τούτοις ἐστὶ πάντα τὰ κακὰ εἰργασμένοις τὴν πόλιν, πάντα τἀγαθὰ περὶ αὐτῶν λέγειν. τοῦτο μέντοι οὐ φεύγω, ἀλλ᾽ ὁμολογῶ σοι εἰ βούλει ἀντειπεῖν φάσκων, ἀπέκτεινας Πολέμαρχον; φέρε δὴ τί ἂν εἰ καὶ ἀδελφοὶ ὄντες ἐτύχετε αὐτοῦ, ἢ καὶ υἱεῖς ἀπεψηφίσασθε; δεῖ γὰρ ὦ ἄνδρες δικασταὶ Ἐρατοσθένην δυοῖν θάτερον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν αὐτὸν, ἢ ὡς δικαίως τοῦτ᾽ ἔπραξεν. οὗτος δὲ ὡμολόγηκεν ἀδίκως συλλαβεῖν, ὥστε ῥᾳδίαν ὑμῖν τὴν διαψήφισιν περὶ αὐτοῦ πεποίηκε. Καὶ μὲν δὴ πολλοὶ καὶ τῶν ἀστῶν, καὶ τῶν ξένων ἥκουσιν εἰσόμενοι τίνα γνώμην περὶ τούτων ἕξετε. ὧν οἱ μὲν,

ἡμέτεροι ὄντες πολῖται, μαθόντες ἀπίασιν, ὅτι δίκην δώσουσιν, ὧν ἂν ἐξαμάρτωσιν, ἢ πράξαντες μὲν ὧν ἐφίενται, τύραννοι τῆς πόλεως ἔσονται, δυστυχήσαντες δὲ, τὸ ἴσον ὑμῖν ἕξουσιν. ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν, εἴσονται πότερον ἀδίκως τοὺς τριάκοντα ἐκκηρύττουσιν ἐκ τῶν πόλεων ἢ δικαίως. εἰ γὰρ δὴ αὐτοὶ οἱ κακῶς πεπονθότες λαβόντες ἀφήσουσιν, ἦ που σφᾶς αὐτοὺς ἡγήσονται περιέργους ὑπὲρ ὑμῶν τηρουμένους. οὐκ οὖν δεινὸν εἰ τοὺς μὲν στρατηγοὺς οἳ ἐνίκων ναυμαχοῦντες, ὅτε διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι θανάτῳ ἐζημιώσατε. ἡγούμενοι χρῆναι τῇ τῶν τεθνεώτων ἀρετῇ, παρ' ἐκείνων δίκην λαβεῖν. τούτους δὲ οἳ ἰδιῶται μὲν ὄντες καθ' ὅσον ἐδύναντο, ἐποίησαν ἡττηθῆναι ναυμαχοῦντας. ἐπειδὴ δὲ εἰς τὴν ἀρχὴν κατέστησαν, ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτιννύναι. οὐκ ἄρα χρὴ αὐτοὺς καὶ τοὺς παῖδας ἀφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζεσθαι.

Ἐγὼ τοίνυν ὦ ἄνδρες δικασταὶ ἠξίουν ἱκανὰ εἶναι τὰ κατηγορημένα. μέχρι γὰρ τούτου νομίζω χρῆναι κατηγορεῖν, ἕως ἂν θανάτου δόξῃ τῷ φεύγοντι ἄξια εἰργάσθαι. ταύτην γὰρ ἐσχάτην δίκην δυνάμεθα παρ' αὐτῶν λαβεῖν, ὥστ' οὐκ οἶδ' ὅτι δεῖ πολλὰ κατηγορεῖν τοιούτων ἀνδρῶν, οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων, δὶς ἀποθανόντες δίκην δοῦναι δύναιντ' ἄν. Οὐ γὰρ δὴ οὐδὲ τοῦτο αὐτοῖς προσήκει ποιῆσαι, ὅπερ ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστί. πρὸς μὲν τὰ κατηγορούμενα μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ σφῶν αὐτῶν ἕτερα λέγοντες, ἐνίοτ' ἐξαπατῶσιν, ὑμῖν ἀποδεικνύντες ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς τῶν πολεμίων ναῦς ἔλαβον τριηραρχήσαντες, πόλεις πολεμίας οὔσας, φιλίας ἐποίησαν. ἐπεὶ κελεύετε αὐτὸν ἀποδεῖξαι ὅπου τοσούτους τῶν πολεμίων ἀπέκτειναν, ὅσους τῶν πολιτῶν, ἢ ναῦς ὅπου τοσαύτας ἔλαβον, ὅσας αὐτοὶ παρέδωκαν, ἢ πόλιν ἥν τινα τοιαύτην προσεκτήσαντο, οἵαν τὴν ὑμετέραν κατεδουλώσαντο. ἀλλὰ γὰρ ὅπλα τῶν πολεμίων ἐσκύλευσαν ὅσα περ ὑμῶν ἀφείλοντο; ἀλλὰ τείχη τοιαῦτα εἷλον, οἷα τῆς ἑαυτῶν πατρίδος κατέσκαψαν. οἵ τινες καὶ τὰ περὶ τὴν Ἀττικὴν φρούρια καθεῖλον καὶ ὑμῖν ἐδήλωσαν, ὅτι οὐδὲ τὸν Πειραιᾶ Λακεδαιμονίων προσταττόντων περιεῖλον, ἀλλ' ὅτι αὐτοῖς τὴν ἀρχὴν, οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι. πολλάκις οὖν ἐθαύμασα τῆς τόλμης τῶν λεγόντων ὑπὲρ αὐτῶν. πλὴν ὅταν ἐνθυμηθῶ, ὅτι τῶν αὐτῶν ἐστιν, αὐτούς τε πάντα τὰ κακὰ ἐργάζεσθαι, καὶ τοὺς τοιούτους ἐπαινεῖν. οὐ γὰρ νῦν πρῶτον τῷ ὑμετέρῳ πλήθει τὰ ἐναντία ἔπραξεν, ἀλλὰ καὶ ἐπὶ τῶν τετρακοσίων ἐν τῷ στρατοπέδῳ ὀλιγαρχίαν καθιστάς, ἔφευγεν ἐξ Ἑλλησπόντου τριήραρχος καταλιπὼν τὴν ναῦν μετὰ Ἰατροκλέους καὶ ἑτέρων, ὧν τὰ ὀνόματα οὐδὲν δέομαι λέγειν. ἀφικόμενος δὲ δεῦρο, τἀναντία τοῖς βουλομένοις δημοκρατίαν εἶναι ἔπραττε, καὶ τούτων μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ. Τὸν μὲν τοίνυν μεταξὺ βίον αὐτοῦ παρήσω. ἐπειδὴ δὲ ἡ ναυμαχία καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο δημοκρατίας ἔτι οὔσης, ὅθεν τῆς στάσεως ἦρξαν πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων. συναγωγεῖς μὲν τῶν πολιτῶν. ἄρχοντες δὲ τῶν συνωμοτῶν, ἐναντία τῷ ὑμετέρῳ πλήθει πράττοντες, ὧν Ἐρατοσθένης καὶ Κριτίας ἦσαν. οὗτοι δὲ φυλάρχους τε ἐπὶ τὰς φυλὰς κατέστησαν, καὶ ὅτι δέοι χειροτονεῖσθαι. καὶ οὕς τινας χρὴ ἄρχειν παρήγγελλον, καὶ εἴ τι ἄλλο πράττειν βούλοιντο, κύριοι ἦσαν, οὕτως οὐχ ὑπὸ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὑπὸ τούτων πολιτῶν ὄντων ἐπεβουλεύεσθε ὅπως μήτ' ἀγαθὸν μηδὲν ψηφίσεσθε, πολλῶν τε ἐνδεεῖς ἔσεσθε. τοῦτο γὰρ καὶ ἠπίσταντο, ὅτι ἄλλως μὲν οὐχ οἷοί τε ἔσονται περιγενέσθαι, κακῶς δὲ πραττόντων, δυνήσονται. Καὶ ἡμᾶς ἡγοῦντο τῶν παρόντων κακῶν ἐπιθυμοῦντας ἀπαλλαγῆναι, περὶ τῶν μελλόντων οὐκ ἐνθυμήσεσθαι. ὡς τοίνυν τῶν ἐφόρων ἐγένετο, μάρτυρας ὑμῖν παρέξομαι, οὐ τοὺς τότε συμπράττοντας (οὐ γὰρ ἂν δυναίμην) ἀλλὰ τοὺς αὐτοῦ Ἐρατοσθένους ἀκούσαντας. καίτοι εἰ ἐσωφρόνουν, κατεμαρτύρουν ἂν αὐτῶν. καὶ τοὺς διδασκάλους τῶν σφετέρων ἁμαρτημάτων, σφόδρ' ἂν ἐκόλαζον, καὶ τοὺς ὅρκους εἰ ἐσωφρόνουν, οὐκ ἂν ἐπὶ μὲν τοῖς τῶν πολιτῶν κακοῖς πι-

στοὺς ἐνόμιζον. ἤδη δὲ τοῖς τῆς πόλεως ἀγαθοῖς, ῥᾳδίως παρέβαινον. πρὸς μὲν οὖν τούτους, τοσαῦτα λέγω. τοὺς δὲ μάρτυράς μοι κάλει, καὶ ὑμεῖς ἀνάβητε.

ΜΑΡΤΥΡΕΣ. Τῶν μὲν μαρτύρων ἀκηκόατε. τὸ δὲ τελευταῖον εἰς τὴν ἀρχὴν καταστὰς, ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, ἄλλων δὲ πολλῶν. καίτοι εἴπερ ἦν ἀνὴρ ἀγαθὸς, ἐχρῆν ἂν πρῶτον μὲν μὴ παρανόμως ἄρχειν, ἔπειτα τῇ βουλῇ μηνυτὴν γίνεσθαι περὶ τῶν εἰσαγγελιῶν ἁπασῶν, ὅτι ψευδεῖς εἶεν, καὶ βάτραχος, καὶ αἰσχυλίδης οὐ τἀληθῆ μηνύουσιν, ἀλλὰ τὰ ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰσαγγέλλουσι συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλάβῃ. Καὶ μὲν δὴ ὦ ἄνδρες δικασταὶ ὅσοι κακόνοι ἦσαν τῷ ὑμετέρῳ πλήθει, οὐδὲν ἔλαττον εἶχον σιωπῶντες. ἕτεροι γὰρ ἦσαν οἱ λέγοντες καὶ πράττοντες, ὧν οὐχ οἷόν τ' ἦν μείζω κακὰ γενέσθαι τῇ πόλει. ὁπόσοι δ' εὖνοί φασιν εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα λέγοντες, καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες. Ἴσως δ' ἂν ἔχοι εἰπεῖν ὅ, τι ἐδεδοίκει (καὶ ὑμῶν τοῦτο ἐνίοις ἱκανὸν ἔσται) ὅπως τις μὴ φανήσεται ἐν τῷ λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος, εἰ δὲ μὴ, ἐνταῦθα δῆλος ἔσται. ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε, καὶ τοσοῦτον ἐδύνατο, ὥστε ἐναντιούμενος μηδὲν κακὸν παθεῖν ὑπ' αὐτῶν. χρῆν δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ταύτην τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ θηραμένους, ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτεν. ἀλλ' οὗτος τὴν μὲν πόλιν ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέρους ἐχθροὺς, φίλους, ὡς ἀμφότερα ταῦτα ἐγὼ πολλοῖς τεκμηρίοις παραστήσω, καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς οὐχ ὑπὲρ ὑμῶν, ἀλλ' ὑπὲρ ἑαυτῶν γιγνομένας. ὁπότεροί μοι ταῦτα πράξουσι, καὶ τῆς πόλεως ἄρξουσι. καὶ γὰρ ὑπὲρ τῶν ἀδικουμένων ἐστασίαζον. ποῦ κάλλιον ἂν ἦν αὐτῷ ἄρχοντι, ἢ θρασυβούλου φυλὴν κατειληφότος, τότε ἐπιδείξασθαι τὴν αὐτοῦ εὔνοιαν. ὁ δ' ἀντὶ τοῦ ἐπαγγείλασθαί τι, ἢ πρᾶξαι ἀγαθὸν πρὸς τοὺς ἐπὶ φυλῇ, ἐλθὼν μετὰ τῶν συναρχόντων εἰς σαλαμῖνα καὶ ἐλευσῖνάδε, τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμωτήριον, καὶ μιᾷ ψήφῳ αὐτῶν ἁπάντων, θάνατον κατεψηφίσατο. ἐπειδὴ δὲ εἰς τὸν πειραιᾶ ἤλθομεν, καὶ αἱ ταραχαὶ γεγενημέναι ἦσαν καὶ περὶ τῶν διαλλαγῶν οἱ λόγοι ἐγίνοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους ἔσεσθαι ὡς ἀμφότεροι ἔδοξαν. οἱ μὲν γὰρ ἐκ πειραιῶς κρείττους ὄντες, εἴασαν αὐτοὺς ἀπελθεῖν, οἱ δὲ εἰς τὸ ἄστυ ἐλθόντες, τοὺς μὲν τριάκοντα ἐξέβαλον. πλὴν φείδωνος καὶ ἐρατοσθένους. ἄρχοντας δὲ τοὺς ἐκείνοις ἐχθίστους εἵλοντο. ἡγούμενοι δικαίως ἂν ὑπὸ τῶν αὐτῶν τούς τε τριάκοντα μισεῖσθαι καὶ τοὺς ἐν πειραιεῖ φιλεῖσθαι. τούτων τοίνυν φείδων ὁ τῶν τριάκοντα γενόμενος καὶ ἱπποκλῆς, καὶ ἐπιχάρης ὁ λαμπτρεὺς καὶ ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώτατοι χαρικλεῖ καὶ κριτίᾳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ, ἐπειδὴ αὐτοὺς εἰς τὴν ἀρχὴν κατέστησαν, πολὺ μείζω στάσιν καὶ πόλεμον ἐπὶ τοὺς ἐν πειραιεῖ ἢ τοῖς ἐξ ἄστεος ἐποίησαν. οἱ δὲ φανερῶς ἐπεδείξαντο, ὅτι οὐχ ὑπὲρ τῶν ἐν πειραιεῖ, οὐδ' ὑπὲρ τῶν ἀδίκως ἀπολλυμένων ἐστασίαζον. οὐδ' οἱ τεθνεῶτες αὐτοὺς ἐλύπουν. οὐδ' οἱ μέλλοντες ἀποθανεῖσθαι, ἀλλ' οἱ μεῖζον δυνάμενοι, καὶ θᾶττον πλουτοῦντες. λαβόντες γὰρ τὰς ἀρχὰς καὶ τὴν πόλιν, ἀμφοτέροις ἐπολέμουν. τοῖς τε τριάκοντα πάντα κακὰ εἰργασμένοις, καὶ ὑμῖν πάντα κακὰ πεπονθόσι, καίτοι τοῦτο πᾶσι δῆλον ἦν. ὅτι εἰ μὲν ἐκεῖνοι δικαίως ἔφευγον, ὑμεῖς ἀδίκως. εἰ δ' ὑμεῖς ἀδίκως, οἱ τριάκοντα δικαίως. οὐ γὰρ δι' ἑτέρων ἔργων αἰτίαν λαβόντες ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων. ὥστε σφόδρα χρὴ ὀργίζεσθαι ὅτι φείδων αἱρεθεὶς ὑμᾶς διαλλάξαι καὶ καταγαγεῖν. τῶν αὐτῶν ἔργων ἐρατοσθένει μετεῖχε, καὶ τῇ αὐτῇ γνώμῃ, τοὺς μὲν κρείττους αὐτῶν δι' ὑμᾶς κακῶς ποιεῖν, ἕτοιμος ἦν. ὑμῖν δὲ ἀδίκως φεύγουσιν, οὐκ ἠθέλησεν ἀποδοῦναι τὴν πόλιν. ἀλλ' ἐλθὼν εἰς λακεδαίμονα, ἔπειθεν αὐτοὺς στρατεύεσθαι. διαβάλλων ὅτι βοιωτῶν ἡ πόλις ἔσται, καὶ ἄλλα λέγων, οἷς ᾤετο πείσειν μάλιστα. οὐ δυνάμενος δὲ τούτων τυχεῖν, εἴτε καὶ τῶν ἱερῶν ἐμποδὼν ὄντων, εἴτε καὶ αὐτῶν οὐ βουλομένων, ἑκατὸν τάλαντα ἐδανείσατο. ἵνα ἔχοι ἐπικούρους μισθοῦσθαι, καὶ λύσανδρον ἄρχοντα ᾐτήσατο. εὐνούστατον μὲν ὄντα τῇ ὀλιγαρχίᾳ. κακονούστατον δὲ τῇ πόλει.

μισθοῦνται μὲν μάλιστα τοὺς ἐν Πειραιεῖ. μισθωσάμενοι δὲ πάντας ἀνθρώπους ἐπ' ὀλέθρῳ τῆς πόλεως, καὶ πόλεις ἐπάγοντες, καὶ τελευτῶντες Λακεδαιμονίους, καὶ τῶν συμμάχων ὁπόσους ἐδύναντο πεῖσαι, οὐ διαλλάξαι, ἀλλ' ἀπολέσαι παρεσκευάζοντο τὴν πόλιν· εἰ μὴ δι' ἄνδρας ἀγαθούς, οὓς ὑμεῖς δηλώσατε παρὰ τῶν ἐχθρῶν δίκην λαβόντες, ὅτι καὶ ἐκείνοις χάριν ἀποδώσετε. ταῦτα δὲ ἐπίστασθε μὲν καὶ αὐτοί· καὶ οἶδ' ὅτι οὐ δεῖ μάρτυρας παρασχέσθαι. ὅμως δ' ἐγώ τε γὰρ δέομαι ἀναπαύσασθαι, ὑμῶν τ' ἐνίοις ἥδιον ὡς πλείστων τοὺς αὐτοὺς λόγους ἀκούειν. Μάρτυρες. Φέρε δὴ καὶ περὶ Θηραμένους, ὡς ἂν δύνωμαι διὰ βραχυτάτων διδάξω. Δέομαι δ' ὑμῶν ἀκοῦσαι ὑπέρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως. καὶ μηδενὶ τοῦτο παραστῇ, ὡς Ἐρατοσθένους κινδυνεύοντος, Θηραμένους κατηγορῶ. πυνθάνομαι γὰρ ταῦτα ἀπολογήσεσθαι αὐτόν, ὅτι ἐκείνῳ φίλος ἦν, καὶ τῶν αὐτῶν ἔργων μετεῖχε. καίτοι σφόδρ' ἂν αὐτὸν οἶμαι μετὰ Θεμιστοκλέους πολιτευόμενον προσποιεῖσθαι πράττειν, ὅπως οἰκοδομηθήσεται τὰ τείχη· ὁπότε δὲ μετὰ Θηραμένους, ὅπως καθαιρεθήσεται. οὐ γάρ μοι δοκοῦσιν ἴσον ἄξιοι γεγενῆσθαι. ὁ μὲν γὰρ Λακεδαιμονίων ἀκόντων ᾠκοδόμησεν αὐτά, οὗτος δὲ τοὺς πολίτας ἐξαπατήσας καθεῖλε. περιέστηκεν οὖν τῇ πόλει τοὐναντίον ἢ ὡς εἰκὸς ἦν. ἄξιον μὲν γὰρ καὶ τοὺς φίλους τοῦ Θηραμένους προσαπολωλέναι, πλὴν εἴ τις ἐτύγχανεν ἐκείνῳ τἀναντία πράττων. νῦν δὲ ὁρῶ τάς τε ἀπολογίας εἰς ἐκεῖνον ἀναφερομένας, τούς τ' ἐκείνῳ συνόντας τιμᾶσθαι πειρωμένους, ὥσπερ πολλῶν ἀγαθῶν αἰτίους, ἀλλ' οὐ μεγάλων κακῶν γεγενημένους. ὃς πρῶτον μὲν τῆς προτέρας ὀλιγαρχίας αἰτιώτατος ἐγένετο, πείσας ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν ἑλέσθαι. καὶ ὁ μὲν πατὴρ αὐτοῦ τῶν προβούλων ὤν, ταῦτ' ἔπραττεν· αὐτὸς δὲ δοκῶν εὐνούστατος εἶναι τοῖς πράγμασι, στρατηγὸς ὑπ' αὐτῶν ᾑρέθη. καὶ ἕως μὲν ἐτιμᾶτο, πιστὸν ἑαυτὸν τῇ πόλει παρεῖχεν. ἐπειδὴ δὲ Πείσανδρον μὲν καὶ Κάλλαισχρον καὶ ἑτέρους ἑώρα προτέρους αὐτοῦ γιγνομένους, τὸ δὲ ὑμέτερον πλῆθος οὐκέτι βουλόμενον τούτων ἀκροᾶσθαι, τότ' ἤδη διά τε τὸν πρὸς ἐκείνους φθόνον, καὶ τὸ παρ' ὑμῶν δέος, μετέσχε τῶν Ἀριστοκράτους ἔργων. βουλόμενος δὲ τῷ ὑμετέρῳ πλήθει δοκεῖν πιστὸς εἶναι, Ἀντιφῶντα καὶ Ἀρχεπτόλεμον φιλτάτους ὄντας αὐτῷ, κατηγορῶν ἀπέκτεινεν. εἰς τοσοῦτον δὲ κακίας ἦλθεν, ὥστε ἅμα μὲν διὰ τὴν πρὸς ἐκείνους πίστιν ὑμᾶς κατεδουλώσατο, διὰ δὲ τὴν πρὸς ὑμᾶς τοὺς φίλους ἀπώλεσεν. τιμώμενος δὲ καὶ τῶν μεγίστων ἀξιούμενος, αὐτὸς ἐπαγγειλάμενος σώσειν τὴν πόλιν, αὐτὸς ἀπώλεσε, φάσκων πρᾶγμα ηὑρηκέναι μέγα καὶ πολλοῦ ἄξιον. ὑπέσχετο δὲ εἰρήνην ποιήσειν, μήτε ὅμηρα δούς, μήτε τὰ τείχη καθελών, μήτε τὰς ναῦς παραδούς. ταῦτα δὲ εἰπεῖν μὲν οὐδενὶ ἠθέλησεν· ἐκέλευσε δὲ αὐτῷ πιστεύειν. ὑμεῖς δὲ ὦ ἄνδρες Ἀθηναῖοι, πραττούσης μὲν τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς σωτηρίαν, ἀντιλεγόντων δὲ πολλῶν Θηραμένει, εἰδότες δὲ ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι τῶν πολεμίων ἕνεκεν τἀπόρρητα ποιοῦνται, ἐκεῖνος δ' ἐν τοῖς αὐτοῦ πολίταις, οὐκ ἠθέλησεν εἰπεῖν ταῦθ', ἃ πρὸς τοὺς πολεμίους ἔμελλεν ἐρεῖν, ὅμως ἐπετρέψατε αὐτῷ πατρίδα, καὶ παῖδας, καὶ γυναῖκας, καὶ ὑμᾶς αὐτούς. ὁ δὲ ὧν μὲν ὑπέσχετο, οὐδὲν ἔπραξεν. οὕτω δὲ ἐνετεθύμητο, ὡς χρὴ μικρὰν καὶ ἀσθενῆ γενέσθαι τὴν πόλιν. ὥστε περὶ ὧν οὐδεὶς πώποτε, οὔτε τῶν πολεμίων ἐμνήσθη οὔτε τῶν πολιτῶν ἤλπισε, ταῦθ' ὑμᾶς ἔπεισε πρᾶξαι. οὐχ ὑπὸ Λακεδαιμονίων ἀναγκαζόμενος ἀλλ' αὐτὸς ἐκείνοις ἐπαγγελλόμενος, τοῦ τε Πειραιέως τὰ τείχη περιελεῖν, καὶ τὴν ὑπάρχουσαν πολιτείαν καταλῦσαι, εὖ εἰδώς, ὅτι εἰ μὴ πασῶν τῶν ἐλπίδων ἀποστερηθήσεσθε, ταχεῖαν παρ' αὐτοῦ τὴν τιμωρίαν κομιεῖσθε. καὶ τὸ τελευταῖον ὦ ἄνδρες δικασταί, οὐ πρότερον εἴασε τὴν ἐκκλησίαν γενέσθαι, ἕως ὁ λεγόμενος ὑπ' ἐκείνου καιρός, ἐπιμελῶς ὑπ' αὐτοῦ ἐτηρήθη, καὶ μετεπέμψατο μὲν τὰς μετὰ Λυσάνδρου ναῦς ἐκ Σάμου· ἐπεδήμησε δὲ τὸ τῶν πολεμίων στρατόπεδον. τότε δὲ τούτων ὑπαρχόντων, καὶ παρόντων Λυσάνδρου καὶ Φιλοχάρους καὶ Μιλτιάδου, περὶ τῆς πολιτείας τὴν ἐκκλησίαν ἐποίουν· ἵνα μήτε ῥήτωρ αὐτοῖς μηδεὶς ἐναντιοῖτο, μήτε ἀπειλοῖτο. ὑμεῖς τε μὴ τὰ τῇ πόλει συμφέροντα ἕλοισθε, ἀλλὰ

τὰ κείνοις δόξαντα ψηφίσασθαι. ἀναστὰς δὲ Θηραμένης, ἐκέλευσεν ὑμᾶς, τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πόλιν, καὶ τῇ πολιτείᾳ χρῆσθαι, ἣν Δρακοντίδης ἀπέφαινεν. ὑμεῖς δ' ὅμως καὶ οὕτω διακείμενοι, ἐθορυβεῖτε ὡς οὐ ποιήσοντες ταῦτα. ἐγιγνώσκετε γὰρ ὅτι περὶ δουλείας καὶ ἐλευθερίας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκκλησιάζετε. Θηραμένης δὲ ὦ ἄνδρες δικασταὶ (καὶ τούτων ὑμᾶς αὐτοὺς μάρτυρας παρέξομαι) εἶπεν ὅτι οὐδὲν αὐτῷ μέλει τοῦ ὑμετέρου θορύβου. ἐπειδὴ πολλοὺς μὲν Ἀθηναίων εἰδείη τοὺς τὰ ὅμοια πράττοντας αὐτῷ. δοκοῦντα δὲ Λυσάνδρῳ καὶ Λακεδαιμονίοις λέγοι. μετ' ἐκεῖνον δὲ Λύσανδρος ἀναστὰς, ἄλλα τε πολλὰ τολμηρῶς εἶπε. καὶ ὅτι παρασπόνδους ὑμᾶς ἔχοι. καὶ ὅτι οὐ περὶ πολιτείας ὑμῖν ἔσται, ἀλλὰ περὶ σωτηρίας ὁ λόγος, εἰ μὴ ποιήσαιθ' ἃ Θηραμένης κελεύοι. τῶν δ' ἐν τῇ ἐκκλησίᾳ ὅσοι ἄνδρες ἀγαθοὶ ἦσαν, γνόντες τὴν παρασκευὴν καὶ τὴν ἀνάγκην, οἱ μὲν αὐτοῦ μένοντες, ἡσυχίαν ἦγον. οἱ δὲ, ᾤχοντο ἀπιόντες. τοῦτο γοῦν σφίσιν αὐτοῖς συνειδότες, ὅτι οὐδὲν κακὸν τῇ πόλει ἐψηφίσαντο. ὀλίγοι δέ τινες καὶ πονηροὶ, καὶ κακῶς βουλευόμενοι τὰ προσταχθέντα ἐχειροτόνησαν. παρηγγέλλετο γὰρ αὐτοῖς δέκα μὲν, οὓς Θηραμένης ἀπέδειξε χειροτονῆσαι. δέκα δὲ, οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν. δέκα δ' ἐκ τῶν παρόντων. οὕτω γὰρ τὴν ὑμετέραν ἀσθένειαν ἑώρων, καὶ τὴν αὐτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον ᾔδεσαν τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ πραχθήσεσθαι. ταῦτα δὲ οὐκ ἐμοὶ δοκεῖ πιστεῦσαι, ἀλλ' ἐκείνῳ. πάντα γὰρ τὰ ὑπ' ἐμοῦ εἰρημένα ἐν τῇ βουλῇ, ἀπολογούμενος ἔλεγεν. ὀνειδίζων μὲν τοῖς φεύγουσιν, ὅτι δι' αὐτὸν κατέλθοιεν. οὐδὲν φροντίζων δὲ τῶν Λακεδαιμονίων. ὀνειδίζων δὲ τοῖς τῆς πολιτείας μετέχουσιν, ὅτι πάντων τῶν πεπραγμένων τοῖς εἰρημένοις τρόποις ὑπ' ἐμοῦ, αὐτὸς αἴτιος γεγενημένος τοιούτων τυγχάνει, πολλὰς πίστεις αὐτῶν ἔργῳ δεδωκὼς καὶ παρ' ἐκείνων ὅρκους εἰληφώς. καὶ τοσούτων καὶ ἑτέρων κακῶν καὶ αἰσχρῶν καὶ πάλαι καὶ νεωστὶ καὶ μικρῶν καὶ μεγάλων αἴτιοι γεγενημένοι τολμήσουσιν αὑτοὺς φίλους ὄντας ἀποφαίνειν. οὐχ ὑπὲρ ὑμῶν ἀποθανόντος Θηραμένους, ἀλλ' ὑπὲρ τῆς αὐτῶν πονηρίας. καὶ δικαίως μὲν ἐν ὀλιγαρχίᾳ δίκην δόντος. ἤδη γὰρ αὐτὴν κατέλυσε. δικαίως δ' ἂν ἐν δημοκρατίᾳ. δὶς γὰρ ὑμᾶς κατεδουλώσατο. τῶν μὲν παρόντων, καταφρονῶν. τῶν δὲ ἀπόντων, ἐπιθυμῶν. καὶ τῷ καλλίστῳ ὀνόματι χρώμενος, δεινοτάτων ἔργων διδάσκαλος καταστάς. περὶ μὲν τοίνυν Θηραμένους, ἱκανά μοι ἐστὶ τὰ κατηγορημένα. ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρὸς, ἐν ᾧ δεῖ συγγνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις. ἀλλὰ παρὰ Ἐρατοσθένους, καὶ τῶν τούτου συναρχόντων, δίκην λαβεῖν. μὴ μαχομένους, κρείττους εἶναι τῶν πολεμίων. ψηφιζομένους δὲ, ἥττους τῶν ἐχθρῶν. μὴ δ' ὧν φασὶ μέλλειν πράξειν, πλείω χάριν αὐτοῖς ἴστε, ἢ ὧν ἐποίησαν ὀργίζεσθε. μὴ δ' ἀποῦσι μὲν τοῖς τριάκοντα, ἐπιβουλεύετε. παρόντας δ' ἀφῆτε. μηδὲ τῆς τύχης ἣ τούτους παρέδωκε τῇ πόλει, κάκιον ὑμεῖς αὐτοῖς βοηθήσητε. κατηγορεῖτε δὲ Ἐρατοσθένους καὶ τῶν τούτου φίλων, οἷς τὰς ἀπολογίας ἀνοίσει. καὶ μεθ' ὧν αὐτῷ ταῦτα πέπρακται. ὁ μέντοι ἀγὼν, οὐκ ἐξ ἴσου τῇ πόλει, καὶ Ἐρατοσθένει. οὗτος μὲν γὰρ, κατήγορος καὶ δικαστὴς αὐτὸς ἦν τῶν γιγνομένων. ἡμεῖς δὲ νυνὶ εἰς κατηγορίαν καὶ ἀπολογίαν καθέσταμεν. καί τοι οὗτοι μὲν τοὺς οὐδὲν ἀδικοῦντας, ἀκρίτως ἀπέκτειναν. ὑμεῖς δὲ τοὺς ἀπολέσαντας τὴν πόλιν, κατὰ τὸν νόμον ἀξιοῦτε κρίνειν. παρ' ὧν οὐδ' ἂν παρανόμως βουλόμενοι δίκην λαμβάνειν ἀξίαν τῶν ἀδικημάτων, ὧν τὴν πόλιν ἠδικήκασι λάβοιτε. τί γὰρ ἂν παθόντες δίκην τὴν ἀξίαν εἴησαν τῶν ἔργων δεδωκότες. πότερον εἰ αὐτοὺς ἀποκτείνοιτε, καὶ τοὺς παῖδας αὐτῶν, ἱκανὴν ἂν τοῦ φόνου δίκην λάβοιμεν. ὧν οὗτοι πατέρας καὶ υἱεῖς καὶ ἀδελφοὺς ἀκρίτως ἀπέκτειναν. ἀλλὰ γὰρ εἰ τὰ χρήματα τὰ φανερὰ δημεύσετε, καλῶς ἂν ἔχοι ἢ τῇ πόλει, ἧς οὗτοι πολλὰ εἰλήφασιν, ἢ τοῖς ἰδιώταις ὧν οἰκίας ἐξεπόρθησαν; ἐπειδὴ τοίνυν πάντα ποιοῦντες, δίκην παρ' αὐτῶν οὐκ ἂν δύναισθε λαβεῖν, πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἡντινοῦν ἀπολιπεῖν, ἣν τινά τις βούλοιτο παρὰ τούτων λαμβάνειν. πᾶν δ' ἄν μοι δοκεῖ τολμῆσαι ὅστις νυνὶ οὐχ ἑτέρων ὄντων τῶν δικαστῶν, ἀλλ' αὐτῶν τῶν κακῶς πεπονθότων, ἥκει ἀπο-

λογισάμενος πρὸς αὐτὸν τοὺς μάρτυρας τῆς τούτου πονηρίας. τοσοῦτον δ' ὑμῶν καταπεφρόνηκεν, ἢ ἑτέροις πεπίστευκεν, ὧν ἀμφοτέρων ἄξιον ἐπιμεληθῆναι. ἐνθυμουμένοις, ὅτι οὐκ ἂν ἐκεῖνα δύναιντο ποιεῖν, μὴ ἑτέρων συμπραττόντων. οὔτ' ἂν νῦν ἐπιχείρησαν ἐλθεῖν, μὴ ὑπὸ τῶν αὐτῶν οἰόμενοι σωθήσεσθαι. οἱ οὐ τούτοις ἥκουσι βοηθήσοντες, ἀλλὰ ἡγούμενοι πολλὴν ἄδειαν σφίσιν ἔσεσθαι τῶν πεπραγμένων, καὶ τοῦ λοιποῦ ποιεῖν ὅτι ἂν βούλωνται. εἰ τοὺς μεγίστων κακῶν αἰτίους λαβόντες, ἀφήσετε. ἀλλὰ καὶ τῶν συνερούντων αὐτοῖς ἄξιον θαυμάζειν. πότερον, ὡς καλοὶ κἀγαθοὶ, αἰτήσονται τὴν αὐτῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς τούτων πονηρίας; ἐβουλόμην μέντ' ἂν αὐτοὺς οὕτω προθύμους εἶναι σώζειν τὴν πόλιν, ὥσπερ οὗτοι ἀπολλῦσαι. ἢ ὡς δεινοὶ λέγειν ἀπολογήσονται, καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια ἀποφανοῦσιν; ἀλλ' οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν οὔτε τὰ δίκαια πώποτε ἐπιχείρησεν εἰπεῖν. ἀλλὰ τοὺς μάρτυρας ἄξιον ἰδεῖν, οἳ τούτοις μαρτυροῦντες, αὐτῶν κατηγοροῦσι. σφόδρα ἐπιλήσμονας καὶ εὐήθεις νομίζοντες ὑμᾶς εἶναι, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλήθους ἀδεῶς ἡγοῦνται τοὺς τριάκοντα σώσειν. διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ, δεινὸν ἦν καὶ τῶν τεθνεώτων ἐπ' ἐκφορὰν ἐλθεῖν. καὶ τοιοῦτοι μὲν σωθέντες, πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι. ἐκεῖνοι δὲ οὓς οὗτοι ἀπώλεσαν τελευτήσαντες τὸν βίον, πέρας ἔχουσι τῆς παρὰ τῶν ἐχθρῶν τιμωρίας. οὐκοῦν δεινὸν, εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι συναπώλλυντο, αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπολέσασιν, ἦ που ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε βοηθεῖν τοσοῦτοι παρασκευάζονται. καὶ μὲν δὴ πολλοὶ ῥᾴδιον ἡγοῦμαι εἶναι. ὑπὲρ ὧν ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ περὶ ὧν οὗτοι πεποιήκασιν ἀπολογήσασθαι. καίτοι λέγουσιν ὡς Ἐρατοσθένει ἐλάχιστα τῶν τριάκοντα κακὰ εἴργασται, καὶ διὰ τοῦτο αὐτὸν ἀξιοῦσι σωθῆναι. ὅτι δὲ τῶν ἄλλων Ἑλλήνων πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, οὐκ οἴονται χρῆναι αὐτὸν ἀπολέσθαι. ὑμεῖς δὲ δείξατε ἥν τινα γνώμην ἔχετε περὶ τῶν πραγμάτων. εἰ μὲν γὰρ τούτου καταψηφιεῖσθε, δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις. εἰ δὲ ἀποψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄντες, καὶ οὐχ ἕξετε λέγειν, ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποιεῖτε. νυνὶ μὲν γὰρ οὐδεὶς ὑμᾶς ἀναγκάζει παρὰ τὴν ὑμετέραν γνώμην ἀποψηφίζεσθαι. ὥστε συμβουλεύω μὴ τούτων ἀποψηφισαμένους, ὑμῶν αὐτῶν καταψηφίσασθαι. μὴ δ' οἴεσθε κρύβδην τὴν ψῆφον, φανερὰν γὰρ τῇ πόλει τὴν ὑμετέραν γνώμην ποιήσετε. βούλομαι δὲ ὀλίγα ἑκατέρους ἀναμνήσας, καταβαίνειν τούς τε ἐξ ἄστεως, καὶ τοὺς ἐκ Πειραιέως, ἵνα τὰς ὑμῖν διὰ τούτων γεγενημένας συμφορὰς παραδείγματα ἔχοντες, τὴν ψῆφον φέρητε. καὶ πρῶτον μὲν ὅσοι ἐξ ἄστεώς ἐστε, σκέψασθε ὅτι ὑπὸ τούτων οὕτω σφόδρα ἤρχεσθε, ὥστε ἀδελφοῖς καὶ υἱέσι, καὶ πολίταις ἠναγκάζεσθε πολεμεῖν τοιοῦτον πόλεμον, ἐν ᾧ ἡττηθέντες μὲν, τοῖς νικήσασι τὸ ἴσον εἴχετε. νικήσαντες δ' ἂν, τούτοις ἐδουλεύετε. καὶ τοὺς ἰδίους οἴκους οὗτοι μὲν ἂν ἐκ τῶν πραγμάτων, μεγάλους ἐκτήσαντο. ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀλλήλους πόλεμον, ἐλάττους εἴχετε. συνωφελεῖσθαι μὲν γὰρ ὑμᾶς οὐκ ἠξίουν. συνδιαβάλλεσθαι δ' ἠνάγκαζον. εἰς τοσοῦτον ὑπεροψίας ἐλθόντες, ὥστε οὐ τῶν ἀγαθῶν κοινούμενοι, πιστοὺς ὑμᾶς ἐκτῶντο. ἀλλὰ τῶν ὀνειδῶν μεταδιδόντες, εὔνους ᾤοντο εἶναι. ἀνθ' ὧν ὑμεῖς νῦν ἐν τῷ θαρραλέῳ ὄντες, καθ' ὅσον δύνασθε καὶ ὑπὲρ ὑμῶν αὐτῶν, καὶ ὑπὲρ τῶν ἐκ Πειραιέως τιμωρήσασθε. ἐνθυμηθέντες μὲν, ὅτι ὑπὸ τούτων πονηροτέρων ὄντων, ἤρχεσθε. ἐνθυμηθέντες δὲ, ὅτι μετ' ἀνδρῶν νῦν ἀρίστων πολιτεύεσθε, καὶ τοῖς πολεμίοις μάχεσθε, καὶ περὶ τῆς πόλεως βουλεύεσθε. ἀναμνησθέντες δὲ τῶν ἐπικούρων, οὓς οὗτοι φύλακας τῆς ὑμετέρας ἀρχῆς, καὶ τῆς ὑμετέρας δουλείας, εἰς τὴν ἀκρόπολιν κατέστησαν. καὶ πρὸς ὑμᾶς μὲν, ἔτι πολλῶν ὄντων εἰπεῖν, τοσαῦτα λέγω. ὅσοι δ' ἐκ Πειραιέως ἐστὲ, πρῶτον μὲν τῶν ὅπλων ἀναμνήσθητε, ὅτι πολλὰς μάχας ἐν τῇ ἀλλοτρίᾳ μαχεσάμενοι, οὐχ ὑπὸ τῶν πολεμίων, ἀλλ' ὑπὸ τούτων εἰρήνης οὔσης ἀφῃρέθητε τὰ ὅπλα. ἔπειθ' ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως, ἣν ὑμῖν οἱ πατέρες παρέδοσαν. φεύγοντας δὲ ὑμᾶς ἐκ τῶν πόλεων, ἐξῃτοῦντο. ἀνθ' ὧν ὀργίσθητε μὲν ὥσπερ

ὅτ' ἐφεύγετε. ἀναμνήσθητε δὲ καὶ τῶν ἄλλων κακῶν, ἃ πεπόνθατε ὑπ' αὐτῶν· οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς, τοὺς δ' ἐκ τῶν ἱερῶν συναρπάζοντες, βιαίως ἀπέκτεινον· τοὺς δὲ, ἀπὸ τέκνων καὶ γονέων καὶ γυναικῶν ἀφελόντες, φονέας αὐτῶν ἠνάγκασαν γενέσθαι. καὶ οὐδὲ ταφῆς τῆς νομιζομένης εἴασαν τυχεῖν· ἡγούμενοι τὴν αὐτῶν ἀρχὴν βεβαιοτέραν εἶναι, τῆς παρὰ τῶν θεῶν τιμωρίας. ὅσοι δὲ τὸν θάνατον διέφυγον, πολλαχοῦ κινδυνεύσαντες, καὶ εἰς πολλὰς πόλεις πλανηθέντες, καὶ πανταχόθεν ἐκκηρυττόμενοι ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, οἱ μὲν, ἐν πολεμίᾳ τῇ πατρίδι τοὺς παῖδας καταλιπόντες, οἱ δ' ἐν ξένῃ γῇ, πολλῶν ἐναντιουμένων, ἤλθετε εἰς τὸν Πειραιᾶ· πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρξάντων, ἄνδρες ἀγαθοὶ γενόμενοι, τοὺς μὲν, ἠλευθερώσατε· τοὺς δ' εἰς τὴν πατρίδα κατηγάγετε. εἰ δὲ ἐδυστυχήσατε καὶ τούτων ἡμάρτετε, αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε μὴ πάθητε τοιαῦτα, οἷα καὶ πρότερον· καὶ οὔτε ἂν ἱερὰ, οὔτε βωμοὶ ὑμᾶς ἀδικουμένους, διὰ τοὺς τούτων τρόπους ὠφέλησαν, ἃ καὶ τοῖς ἀδικοῦσι σωτηρία γίνεται. οἱ δὲ παῖδες ὑμῶν ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο· οἱ δ' ἐπὶ ξένης μικρῶν ἂν ἕνεκα συμβολαίων ἐδούλευον ἐρημίᾳ τῶν ἐπικουρησόντων. ἀλλὰ γὰρ οὐ τὰ μέλλοντα ἔσεσθαι βούλομαι λέγειν, τὰ πραχθέντα ὑπὸ τούτων οὐ δυνάμενος εἰπεῖν. οὐδὲ γὰρ ἑνὸς κατηγόρου, οὐδὲ δυοῖν, ἔργον ἐστὶν, ἀλλὰ πολλῶν. ὅμως δὲ τῆς ἐμῆς προθυμίας, ἐλλέλειπται ὑπὲρ τῶν ἱερῶν, ἃ οὗτοι τὰ μὲν, ἀπέδοντο· τὰ δ' εἰσιόντες ἐμίαινον, ὑπέρ τε τῆς πόλεως ἣν μικρὰν ἐποίουν, ὑπέρ τε τῶν νεωρίων ἃ καθεῖλον, καὶ ὑπὲρ τῶν τεθνεώτων, οἷς ὑμεῖς ἐπειδὴ ζῶσιν ἐπαμῦναι οὐκ ἠδύνασθε, ἀποθανοῦσι βοηθήσατε; οἶμαι δ' αὐτοὺς ὑμῶν τε ἀκροᾶσθαι, καὶ ὑμᾶς εἴσεσθαι τὴν ψῆφον φέροντας· ἡγουμένους ὅσοι μὲν ἂν τούτων ἀποψηφίσησθε, αὐτῶν θάνατον καταψηφιεῖσθαι· ὅσοι δ' ἂν παρὰ τούτων δίκην λάβωσιν, ὑπὲρ αὐτῶν τιμωρίας πεποιημένους, παύσομαι κατηγορῶν. ἀκηκόατε. ἑωράκατε. πεπόνθατε. ἔχετε. δικάζετε.

Λυσίου κατὰ ἀγοράτου ἐνδείξεως.

π

ροσήκει μὲν ὦ ἄνδρες δικασταὶ πᾶσιν ὑμῖν τιμωρεῖν ὑπὲρ τῶν ἀνδρῶν οἳ ἀπέθανον, εὖνοι ὄντες τῷ πλήθει τῷ ὑμετέρῳ· προσήκει δὲ κἀμοὶ οὐχ ἥκιστα. κηδεστὴς γάρ μοι ἦν Διονυσόδωρος καὶ ἀνεψιός. τυγχάνει οὖν μοι ἡ αὐτὴ ἔχθρα πρὸς ἀγόρατον τουτονὶ, καὶ τῷ πλήθει τῷ ὑμετέρῳ ὑπάρχουσα. ἔπραξε γὰρ οὗτος τοιαῦτα, δι' ἃ ὑπ' ἐμοῦ νυνὶ εἰκότως μισεῖται· ὑπό τε ὑμῶν, ἂν θεὸς θέλῃ, δικαίως τιμωρηθήσεται. Διονυσόδωρον γὰρ τὸν κηδεστὴν τὸν ἐμὸν, καὶ ἑτέρους πολλοὺς, ὧν δὴ τὰ ὀνόματα ἀκούσεσθε ἄνδρας ὄντας ἀγαθοὺς περὶ τὸ πλῆθος τὸ ὑμέτερον, ἐπὶ τῶν τριάκοντα ἀπέκτεινε, μηνυτὴς κατ' ἐκείνων γενόμενος· ποιήσας δὲ ταῦτα, ἐμὲ μὲν ἰδίᾳ καὶ ἕκαστον τῶν προσηκόντων, μεγάλα ἐζημίωσε· τὴν δὲ πόλιν κοινῇ πᾶσαν τοιούτων ἀνδρῶν ἀποστερήσας, οὐ μικρὰ ὡς ἐγὼ νομίζω ἔβλαψεν. Ἐγὼ οὖν ἄνδρες δικασταὶ δίκαιον καὶ ὅσιον ἡγοῦμαι εἶναι καὶ ἐμοὶ καὶ ὑμῖν ἅπασι, τιμωρεῖσθαι καθ' ὅσον ἕκαστος δύναται· καὶ ποιοῦσι ταῦτα, νομίζω ἡμῖν καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων ἄμεινον ἂν γίγνεσθαι. δεῖ δ' ὑμᾶς ὦ ἄνδρες ἀθηναῖοι ἐξ ἀρχῆς τῶν πραγμάτων ἁπάντων ἀκοῦσαι, ἵν' εἰδῆτε πρῶτον μὲν ᾧ τρόπῳ ὑμῖν ἡ δημοκρατία κατελύθη, καὶ ὑφ' ὅτου. ἔπειτα ᾧ τρόπῳ οἱ ἄνδρες ὑπ' ἀγοράτου ἀπέθανον. καὶ δὴ ὅτι ἀποθνήσκειν μέλλοντες ἐπέσκηψαν. ἅπαντα γὰρ ταῦτα ἀκριβῶς ἂν μαθόντες, ἥδιον καὶ ὁσιώτερον ἀγοράτου τουτουὶ καταψηφίζοισθε. ὅθεν οὖν ἡμεῖς τε ῥᾷστα διδάξομεν, καὶ ὑμεῖς μαθήσεσθε, ἐντεῦθεν ὑμῖν ἄρξομαι διηγεῖσθαι. Ἐπειδὴ γὰρ αἱ νῆες αἱ ὑμέτεραι διεφθάρησαν, καὶ τὰ πράγματα ἐν τῇ πόλει ἀσθενέστερα ἐγεγένητο, οὐ πολλῷ χρόνῳ ὕστερον αἵ τε νῆες αἱ λακεδαιμονίων εἰς τὸν πειραιᾶ ἀφικνοῦνται, καὶ ἅμα λόγοι πρὸς λακεδαιμονίους περὶ τῆς εἰρήνης ἐγίνοντο. ἐν δὲ τῷ χρόνῳ τούτῳ οἱ βουλόμενοι νεώτερα πράγματα ἐν τῇ πόλει γίγνεσθαι, ἐπεβούλευον. νομίζοντες κάλλιστον καιρὸν

ἐληλυθέναι καὶ μάλιστα ἐν τῷ τότε χρόνῳ τὰ πράγματα, ὡς αὐτοὶ ἐβούλοντο καταστήσασθαι. ἡγοῦντο δὲ οὐδὲν ἄλλο σφίσιν ἐμποδὼν εἶναι, ἢ τοὺς τοῦ δήμου προεστηκότας, καὶ τοὺς στρατηγοῦντας καὶ ταξιαρχοῦντας. τούτους οὖν ἐβούλοντο ἄλλως γέ πως ἐκποδὼν ποιήσασθαι, ἵνα ῥᾳδίως ἃ βούλοιντο διαπράττοιντο. πρῶτον μὲν οὖν Κλεοφῶντι ἐπίθενται ἐκ τρόπου τοιούτου. ὅτε γὰρ ἡ πρώτη ἐκκλησία περὶ τῆς εἰρήνης ἐγίγνετο, καὶ οἱ παρὰ Λακεδαιμονίων ἥκοντες, ἔλεγον. ἐφ᾽ οἷς ἕτοιμοι ὦσι τὴν εἰρήνην ποιεῖσθαι Λακεδαιμόνιοι. εἰ κατασκαφείη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα στάδια ἑκατέρου, τότε ὑμεῖς τε ὦ ἄνδρες Ἀθηναῖοι οὐκ ἠνέσχεσθε ἀκούσαντες περὶ τῶν τειχῶν τῆς κατασκαφῆς. Κλεοφῶν τε ὑπὲρ ὑμῶν πάντων ἀναστὰς ἀντεῖπεν, ὡς οὐδενὶ τρόπῳ οἷόν τε εἴη ποιεῖν ταῦτα. μετὰ δὲ ταῦτα Θηραμένης ἐπιβουλεύων τῷ πλήθει τῷ ὑμετέρῳ, ἀναστὰς λέγει. ὅτι ἐὰν αὐτὸν ἕλησθε περὶ τῆς εἰρήνης πρεσβευτὴν αὐτοκράτορα, ποιήσειν ὥστε μήτε τῶν τειχῶν διελεῖν, μήτε ἄλλο τὴν πόλιν ἐλαττῶσαι μηδέν. οἴοιτο δὲ καὶ ἄλλο τι ἀγαθὸν παρὰ Λακεδαιμονίων τῇ πόλει εὑρήσεσθαι. πεισθέντες δὲ ὑμεῖς, εἵλεσθε ἐκεῖνον πρεσβευτὴν αὐτοκράτορα, ὃν τῷ προτέρῳ ἔτει στρατηγὸν χειροτονηθέντα ἀπεδοκιμάσατε. οὐ νομίζοντες εὔνουν εἶναι τῷ πλήθει τῷ ὑμετέρῳ. ἐκεῖνος μὲν οὖν ἐλθὼν εἰς Λακεδαίμονα, ἔμενεν ἐκεῖ πολὺν χρόνον καταλιπὼν ὑμᾶς πολιορκουμένους. εἰδὼς τὸ ὑμέτερον πλῆθος ἐν ἀπορίᾳ ἐχόμενον καὶ διὰ τὸν πόλεμον καὶ τὰ κακὰ, τοὺς πολλοὺς τῶν ἐπιτηδείων ἐνδεεῖς ὄντας. νομίζων διαθεὶς ὑμᾶς ἀπόρως, ὥσπερ διέθηκεν, ἀσμένως ὁποιανοῦν τινα ἐθελῆσαι ἂν εἰρήνην ποιήσασθαι. οἱ δ᾽ ἐνθάδε ὑπομένοντες καὶ ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν, εἰς ἀγῶνα Κλεοφῶντα καθιστᾶσι. πρόφασιν μὲν, ὅτι οὐκ ἦλθεν εἰς τὰ ὅπλα ἀναπαυσόμενος. τὸ δ᾽ ἀληθὲς, ὅτι ἀντεῖπεν ὑπὲρ ὑμῶν, μὴ καθαιρεῖν τὰ τείχη. ἐκείνῳ μὲν οὖν δικαστήριον παρασκευάσαντες, καὶ εἰσελθόντες οἱ βουλόμενοι ὀλιγαρχίαν καταστήσασθαι, ἀπέκτειναν ἐν τῇ προφάσει ταύτῃ. Θηραμένης δὲ ὕστερον ἀφικνεῖται ἐκ Λακεδαίμονος. προσιόντες δὲ αὐτῷ τῶν τε στρατιωτῶν τινες καὶ τῶν ταξιάρχων, ὧν ἦν Στρομβιχίδης, καὶ Διονυσόδωρος καὶ ἄλλοι τινὲς τῶν πολιτῶν εὐνοοῦντες ὑμῖν, ὥς γ᾽ ἐδήλωσαν ὕστερον, ἠγανάκτουν σφόδρα. ἦλθε γὰρ φέρων εἰρήνην τοιαύτην, ἣν ἡμεῖς ἔργῳ μαθόντες, ἔγνωμεν. πολλοὺς γὰρ τῶν πολιτῶν καὶ ἀγαθοὺς ἀπωλέσαμεν. καὶ αὐτοὶ ὑπὸ τῶν τριάκοντα ἐξηλάθημεν. ἦν γὰρ ἀντὶ μὲν τὰ ἐπὶ δέκα στάδια τῶν μακρῶν τειχῶν διελεῖν, ὅλα τὰ μακρὰ τείχη διασκάψαι. ἀντὶ δὲ τοῦ ἄλλο τι ἀγαθὸν τῇ πόλει εὑρέσθαι, τάς τε ναῦς παραδοῦναι τοῖς Λακεδαιμονίοις, καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος περιελεῖν. ὁρῶντες δὲ οὗτοι οἱ ἄνδρες ὀνόματι μὲν εἰρήνην λεγομένην, τῷ δ᾽ ἔργῳ τὴν δημοκρατίαν καταλυομένην, οὐκ ἔφασαν ἐπιτρέψαι ταῦτα γενέσθαι. οὐκ ἐλεοῦντες ὦ ἄνδρες Ἀθηναῖοι τὰ τείχη εἰ πεσεῖται. οὐδὲ κηδόμενοι τῶν νεῶν, εἰ Λακεδαιμονίοις παραδοθήσονται. οὐδὲν γὰρ αὐτοῖς τούτων πλεῖον ἢ ὑμῶν ἑκάστῳ προσῆκεν, ἀλλ᾽ αἰσθόμενοι ἐκ τοῦ τρόπου τούτου τὸ ὑμέτερον πλῆθος καταλυθησόμενον. οὐδ᾽ ὥς φασί τινες, οὐκ ἐπιθυμοῦντες εἰρήνην γίγνεσθαι. ἀλλὰ βουλόμενοι βελτίω ταύτης εἰρήνης, τῷ δήμῳ τῶν Ἀθηναίων ποιήσασθαι, ἐνόμιζον δυνήσεσθαι καὶ ἔπραξαν ἂν ταῦτα, εἰ μὴ ὑπ᾽ Ἀγοράτου τουτουῒ ἀπώλοντο. γνοὺς δὲ ταῦτα Θηραμένης, καὶ οἱ ἄλλοι οἱ ἐπιβουλεύοντες ὑμῖν ὅτι εἰσί τινες, οἳ κωλύσουσι τὸν δῆμον καταλυθῆναι καὶ ἐναντιώσονται περὶ τῆς ἐλευθερίας, εἵλοντο πρὶν τὴν ἐκκλησίαν τὴν περὶ τῆς εἰρήνης γενέσθαι, τούτους πρῶτον εἰς διαβολὰς καὶ κινδύνους καταστῆσαι. ἵνα μηδεὶς ἐκείνων ὑπὲρ τοῦ ὑμετέρου πλήθους ἀντιλέγῃ. ἐπιβουλὴν οὖν τοιαύτην ἐπιβουλεύουσι. πείθουσι γὰρ Ἀγόρατον τουτονὶ μηνυτὴν κατὰ τῶν στρατηγῶν, καὶ τῶν ταξιάρχων γενέσθαι. οὐ ξυνειδότα ἐκείνοις ὦ ἄνδρες Ἀθηναῖοι οὐδέν. οὐ γὰρ δή που ἐκεῖνοι οὕτως ἀνόητοι ἦσαν καὶ ἄφιλοι, ὥστε περὶ τηλικούτων ἂν πραγμάτων πράττοντες, Ἀγόρατον ὡς πιστὸν καὶ εὔνουν δοῦλον, καὶ ἐκ δούλων ὄντα παρεκάλεσαν. ἀλλ᾽ ἐδόκει αὐτοῖς οὗτος ἐπιτήδειος εἶναι μηνυτής. ἐβούλοντο οὖν ἄκοντα δοκεῖν αὐτὸν, καὶ μὴ ἑκόντα μηνύειν. ὅπως πιστότερα ὑμῖν ὑπὸ

φαίνοιτο. ὡς δὲ ἑκὼν ἐμήνυσε, καὶ ὑμᾶς οἶμαι ἐκ τῶν πεπραγμένων αἰσθήσεσθαι. ἐκπέμπουσι γὰρ εἰς τὴν βουλὴν τὴν πρὸ τῶν τριάκοντα βουλεύουσαν, θεόκριτον τὸν τοῦ ἐλαφοστίκτου καλούμενον. ὁ δὲ θεόκριτος οὗτος, ἑταῖρος ἦν τῷ ἀγοράτῳ καὶ ἐπιτήδειος. ἡ δὲ βουλὴ πρὸ τῶν τριάκοντα βουλεύουσα, διέφθαρτο. καὶ ὀλιγαρχίας ἐπεθύμει ὡς ἴστε μάλιστα. τεκμήριον δὲ, οἱ γὰρ πολλοὶ ἐξ ἐκείνης τῆς βουλῆς τὴν ὑστέραν βουλὴν, ἐπὶ τῶν τριάκοντα ἐβούλευον. τοῦ δ' ἕνεκα ταῦτα λέγω ὑμῖν, ἵν' εἰδῆτε ὅτι τὰ ψηφίσματα τὰ ἐξ ἐκείνης τῆς βουλῆς, οὐκέτι εὐνοίᾳ τῇ ὑμετέρᾳ, ἀλλ' ἐπὶ καταλύσει τοῦ δήμου τοῦ ὑμετέρου ἅπαντα ἐλέγετο. καὶ ὡς τοιούτοις οὖσιν αὐτοῖς, τὸν νοῦν προσέχητε. εἰσελθὼν δὲ εἰς ταύτην τὴν βουλὴν ἐν ἀπορρήτῳ θεόκριτος μηνύει. ὅτι συλλέγονταί τινες ἐναντιωσόμενοι τοῖς τότε καθισταμένοις πράγμασι. τὰ μὲν οὖν ὀνόματα οὐκ ἔφη αὐτῶν ἐρεῖν καθέκαστον. ὅρκους τε γὰρ ὀμωμοκέναι τοὺς αὐτοὺς ἐκείνοις. καὶ εἶναι ἑτέρους οἳ ἐροῦσι τὰ ὀνόματα. αὐτὸς δὲ οὐκ ἄν ποτε ποιῆσαι ταῦτα. καίτοι εἰ μὴ ἐκ παρασκευῆς ἐμηνύετο, πῶς οὐκ ἂν ἠνάγκασεν ἡ βουλὴ εἰπεῖν τὰ ὀνόματα θεόκριτον, καὶ μὴ ἀνώνυμον τὴν μήνυσιν ποιήσασθαι.

λείπει πολύ.

νυνὶ τοῦτο τὸ ψήφισμα ψηφίσασθαι. ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη, κατέρχονται ἐπὶ τὸν ἀγόρατον εἰς τὸν πειραιᾶ οἱ διαιρεθέντες τῶν βουλευτῶν. καὶ περιτυχόντες αὐτῷ ἐν ἀγορᾷ, ἐζήτουν ἄγειν. παραγενόμενος δὲ νικίας καὶ νικομένης, καὶ ἄλλοι τινὲς, ὁρῶντες τὰ πράγματα οὐχ οἷα βέλτιστα ἐν τῇ πόλει ὄντα. ἄγειν μὲν τὸν ἀγόρατον, οὐκ ἔφασαν προήσεσθαι, ἀφῃροῦντο δὲ καὶ ἠγγυῶντο, καὶ ὡμολόγουν παρέξειν εἰς τὴν βουλήν. γραψάμενοι δὲ οἱ βουλευταὶ τὰ ὀνόματα τῶν ἐγγυωμένων, καὶ κωλυόντων, ἀπιόντες ᾤχοντο εἰς ἄστυ. ὁ δὲ ἀγόρατος καὶ οἱ ἐγγυηταὶ, καθίζουσιν ἐπὶ τὸν βωμὸν, μουνυχίασιν. ἐπειδὴ δὲ ἐκάθισαν, ἐβουλεύοντο τί χρὴ ποιεῖν. ἐδόκει οὖν τοῖς ἐγγυηταῖς, καὶ τοῖς ἄλλοις ἅπασιν, ἐκποδὼν ποιῆσαι τὸν ἀγόρατον ὡς τάχιστα. καὶ παρορμίσαντες δύο πλοῖα μουνυχίασιν, ἐδέοντο αὐτοῦ παντὶ τρόπῳ ἀπελθεῖν ἀθήνηθεν. καὶ αὐτοὶ ἔφασαν συνεκπλευσεῖσθαι, ἕως τὰ πράγματα κατασταίη. λέγοντες ὅτι εἰ κομισθείη εἰς τὴν βουλὴν, βασανιζόμενος ἴσως ἀναγκασθήσεται ὀνόματα εἰπεῖν ἀθηναίων, ὧν ἂν ὑποβάλλωσιν οἱ βουλόμενοι κακόν τι ἐν τῇ πόλει ἐργάζεσθαι. ταῦτα ἐκείνων δεομένων καὶ παρασκευασάντων πλοῖα, καὶ αὐτῶν ἑτοίμων ὄντων συνεκπλεῖν, οὐκ ἠθέλησε πείσεσθαι ἀγόρατος οὑτοσί. καίτοι ὦ ἀγόρατε, εἰ μή τι σοι ἦν παρεσκευασμένον, καὶ ἐπίστευες μηδὲν κακὸν πείσεσθαι, πῶς οὐκ ἂν ᾤχου. καὶ πλοίων παρεσκευασμένων, καὶ τῶν ἐγγυητῶν ἑτοίμων ὄντων σοι συνεκπλεῖν. ἔτι γὰρ οἷόν τέ σοι καὶ οὔπω ἡ βουλή σου ἐκράτει. ἀλλὰ μὴν δὴ οὐχ ὅμοιά γέ σοι καὶ ἐκείνοις ὑπῆρχε; πρῶτον μέν γε ἀθηναῖοι ἦσαν, ὥστε οὐκ ἐδεδίεσαν βασανισθῆναι. ἔπειτα πατρίδα σφετέραν αὐτῶν καταλιπόντες, ἕτοιμοι ἦσαν συνεκπλεῖν μετὰ σοῦ. ἡγησάμενοι ταῦτα μᾶλλον λυσιτελεῖν, ἢ τῶν πολιτῶν πολλοὺς καὶ ἀγαθοὺς ὑπό σου ἀδίκως ἀπολέσθαι. σοὶ δὲ πρῶτον μὲν κίνδυνος ἦν βασανισθῆναι καταμένοντι. ἔπειτα οὐ πατρίδα ἂν σαυτοῦ ἀπέλιπες. ὥστε ἐκ παντὸς τρόπου σοὶ μᾶλλον, ἢ ἐκείνοις ἐκπλεῦσαι συνέφερεν, εἰ μή τι ἦν ᾧ ἐπίστευες. νῦν δὲ ἄκων μὲν προσποιῇ. ἑκὼν δὲ πολλοὺς καὶ ἀγαθοὺς ἀθηναίων ἀπέκτεινας. ὥστε παρεσκευάσθη ἅπαντα ἃ ἐγὼ λέγω. καὶ μάρτυρές εἰσι, καὶ αὐτὸ τὸ ψήφισμα οὕτω τῆς βουλῆς καταμαρτυρήσει. ψήφισμα. ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη. καὶ ἦλθον οἱ ἐκ τῆς βουλῆς μουνυχίαζε, ἑκὼν ἀνέστη ἀγόρατος ἀπὸ τοῦ βωμοῦ. καίτοι νῦν γε βίᾳ φησὶν ἀφαιρεθῆναι. ἐπειδὴ δὲ εἰς τὴν βουλὴν ἐκομίσθησαν, ἀπογράφει ἀγόρατος, πρῶτον μὲν τῶν αὐτοῦ ἐγγυητῶν τὰ ὀνόματα, ἔπειτα τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων. ἔπειτα δὲ καὶ ἄλλων τινῶν πολιτῶν. ἡ δὲ ἀρχὴ αὕτη, τοῦ παντὸς κακοῦ ἐγένετο. ὡς δὲ ἀπέγραψε τὰ ὀνόματα, οἶμαι μὲν καὶ

αὐτὸν ὁμολογήσειν. εἰ δὲ μὴ, μετ' αὐτοφώρῳ ἐγὼ αὐτὸν ἐξελέγξω, ἀπόκριναι δή μοι. ἐβούλοντο τοίνυν ὦ ἄνδρες δικασταὶ ἔτι πλειόνων αὐτοὶ τὰ ὀνόματα ἀπογράψαι· οὕτω σφόδρα ἔρρωτο ἡ βουλὴ κακόν τι ἐργάζεσθαι. αὐτὸς δ' οὐκ ἐδόκει αὐτοῖς ἅπαντα τἀληθῆ πω κατηγορηκέναι. τούτους μὲν οὖν ἅπαντας ἑκὼν ἀπογράφει, οὐδεμιᾶς αὐτῷ ἀνάγκης οὔσης. μετὰ ταῦτα προσαπογράφει ἑτέρους τῶν πολιτῶν. ἐπειδὴ δὲ ἡ ἐκκλησία Μουνυχίασιν ἐν τῷ θεάτρῳ ἐγίγνετο, οὕτω σφόδρα τινὲς ἐπεμελοῦντο, ὅπως καὶ ἐν τῷ δήμῳ περὶ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων μήνυσις γένοιτο· περὶ δὲ τῶν ἄλλων, ἀπέχρη ἐν τῇ βουλῇ μήνυσις ἡ γεγενημένη, ὥστε καὶ ἐκεῖ παράγουσιν εἰς τὸν δῆμον. καί μοι ἀπόκριναι ὦ Ἀγόρατε. ἀλλ' οἶμαί σε ἔξαρνον γενέσθαι, ἃ ἐναντίον Ἀθηναίων ἁπάντων ἐποίησας. ὁμολογεῖ μὲν καὶ αὐτός· ὅμως δὲ καὶ τὰ ψηφίσματα ὑμῖν τοῦ δήμου ἀναγνώσεται. ΨΗΦΙΣΜΑ. Ὅτι μὲν ἀπέγραψεν Ἀγόρατος οὑτοσὶ τῶν ἀνδρῶν ἐκείνων τὰ ὀνόματα, καὶ τὰ ἐν τῇ βουλῇ καὶ τὰ ἐν τῷ δήμῳ, καὶ ἔστι φονεὺς ἐκείνων, σχεδόν τι οἶμαι ὑμᾶς ἐπίστασθαι. Ὡς τοίνυν ἁπάντων τῶν κακῶν αἴτιος τῇ πόλει ἐγένετο, καὶ οὐδ' ὑφ' ἑνὸς αὐτὸν προσήκει ἐλεεῖσθαι, ἐγὼ οἶμαι ὑμῖν ἐν κεφαλαίοις ἀποδείξειν. ἐπειδὴ γὰρ ἐκεῖνοι συλληφθέντες ἐδέθησαν, τότε καὶ ὁ Λύσανδρος εἰς τοὺς λιμένας τοὺς ὑμετέρους εἰσέπλευσε. καὶ αἱ νῆες αἱ ὑμέτεραι Λακεδαιμονίοις παρεδόθησαν, καὶ τὰ τείχη κατεσκάφησαν, οἱ τριάκοντα κατέστησαν, καὶ τοιοῦτον δεινὸν τῇ πόλει ἐγένετο. ἐπειδὴ τοίνυν οἱ τριάκοντα κατεστάθησαν, εὐθέως κρίσιν τοῖς ἀνδράσι τούτοις ἐποίουν ἐν τῇ βουλῇ· ὁ δὲ δῆμος ἐν τῷ δικαστηρίῳ, ἐν δισχιλίοις ἐψηφίσατο. καί μοι ἀνάγνωθι τὸ ψήφισμα. ΨΗΦΙΣΜΑ. Εἰ μὲν οὖν ἐν τῷ δικαστηρίῳ ἐκρίνοντο, ῥᾳδίως ἂν ἐσώζοντο. ἅπαντες γὰρ ἤδη ἐγνωκότες ἦτε, οὗ ἦν κακοῦ ἡ πόλις, ἐν ᾧ οὐδὲν ἔτι ὠφελεῖν ἐδύνασθε. νῦν δ' εἰς τὴν βουλὴν αὐτοὺς τὴν ἐπὶ τῶν τριάκοντα εἰσάγουσιν. ἡ δὲ κρίσις τοιαύτη ἐγίγνετο, οἵαν καὶ ὑμεῖς αὐτοὶ ἐπίστασθε. οἱ μὲν γὰρ τριάκοντα ἐκάθηντο ἐπὶ τῶν βάθρων, οὗ νῦν οἱ πρυτάνεις καθέζονται. δύο δὲ τράπεζαι ἐν τῷ πρόσθεν τῶν τριάκοντα ἐκείσθην. τὴν δὲ ψῆφον, οὐκ εἰς καδίσκους, ἀλλὰ φανερὰν ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τίθεσθαι· τὴν μὲν καθαιροῦσαν ἐπὶ τὴν ὑστέραν, τὴν δὲ σώζουσαν ἐπὶ τὴν προτέραν, ὥστε ἐκ τίνος τρόπου ἔμελλέ τις αὐτῶν σωθήσεσθαι. ἐνὶ δὲ λόγῳ ὅσοι εἰς τὸ βουλευτήριον ἐπὶ τῶν τριάκοντα εἰσῆλθον κριθησόμενοι, ἁπάντων θάνατος κατεγιγνώσκετο, καὶ οὐδενὸς ἀπεψηφίσαντο, πλὴν Ἀγοράτου τουτουΐ. τοῦτον δὲ ἀφεῖσαν ὡς εὐεργέτην ὄντα. ἵνα δὲ εἰδῆτε ὡς πολλοὶ ὑπὸ τούτου τεθνᾶσι, βούλομαι ὑμῖν τὰ ὀνόματα αὐτῶν ἀναγνῶναι. Ἐπειδὴ τοίνυν ὦ ἄνδρες δικασταὶ θάνατος αὐτῶν κατεγνώσθη, καὶ ἔδει αὐτοὺς ἀποθνήσκειν, μεταπέμπονται εἰς τὸ δεσμωτήριον, ὁ μὲν, ἀδελφόν· ὁ δὲ, μητέρα· ὁ δὲ, γυναῖκα· ὁ δ' εἴ τις ἦν ἑκάστῳ αὐτῶν προσήκουσα· ἵνα τὰ ὕστατα ἀσπασάμενοι, τοὺς αὐτῶν οὕτω τὸν βίον τελευτήσειαν. καὶ δὴ καὶ Διονυσόδωρος μεταπέμπεται τὴν ἀδελφὴν τὴν ἐμὴν εἰς τὸ δεσμωτήριον, γυναῖκα ἑαυτοῦ οὖσαν. πυθομένη δ' ἐκείνη, ἀφικνεῖται, μέλαν τε ἱμάτιον ἠμφιεσμένη, ὡς εἰκὸς ἦν ἐπὶ τῷ ἀνδρὶ αὐτῆς, τοιαύτῃ συμφορᾷ κεχρημένῳ. ἐναντίον δὲ τῆς ἀδελφῆς τῆς ἐμῆς Διονυσόδωρος τά τε οἰκεῖα τὰ αὑτοῦ διέθετο, ὅπως αὐτῷ ἐδόκει. καὶ περὶ Ἀγοράτου τουτουῒ ἔλεγεν, ὅτι αἴτιος ἦν τοῦ θανάτου, καὶ ἐπέσκηπτεν ἐμοὶ καὶ Διονυσίῳ τούτῳ τῷ ἀδελφῷ τῷ αὑτοῦ, καὶ τοῖς φίλοις πᾶσι, τιμωρεῖν ὑπὲρ αὑτοῦ Ἀγόρατον· καὶ τῇ γυναικὶ τῇ αὑτοῦ ἐπέσκηπτε, νομίζων αὐτὴν κύειν ἐξ αὑτοῦ, ἐὰν γένηται αὐτῇ παιδίον, φράζειν τῷ γενομένῳ, ὅτι τὸν πατέρα αὐτοῦ, Ἀγόρατος ἀπέκτεινε, καὶ κελεύειν τιμωρεῖν ὑπὲρ αὐτοῦ ὡς φονέα ὄντα. ὡς οὖν ἀληθῆ λέγω, μάρτυρας τούτων παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Οὗτοι μὲν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι, ὑπ' Ἀγοράτου ἀπογραφέντες ἀπέθανον. ἐπειδὴ δὲ τούτους ἐκποδὼν ἐποιήσαντο οἱ τριάκοντα, σχεδὸν οἶμαι ὑμᾶς ἐπίστασθαι, ὡς πολλὰ καὶ δεινὰ μετὰ ταῦτα τῇ πόλει ἐγένετο. ὧν οὗτος ἁπάντων αἴτιός ἐστιν, ἀποκτείνας ἐκείνους. ἀνιῶμαι μὲν οὖν ὑπομιμνήσκων τὰς γεγενημένας συμφορὰς τῇ πόλει· ἀνάγκη δ' ἐστὶν ὦ ἄνδρες δικασταὶ ἐν τῷ παρόντι καιρῷ, ἵν' εἰδῆτε

ὡς σφόδρα

ὡς σφόδρα ὑμῖν ἐλεεῖν προσήκει ἀγόρατον. ἴστε μὲν γὰρ τοὺς ἐκ σαλαμῖνος τῶν πολιτῶν κομισθέντας οἷοι ἦσαν, καὶ ὅσοι, καὶ οἵῳ ὀλέθρῳ ὑπὸ τῶν τριάκοντα ἀπώλοντο. ἴστε δὲ τοὺς ἐξ ἐλευσῖνος ὡς πολλοὶ ταύτῃ τῇ συμφορᾷ ἐχρήσαντο. μέμνησθε δὲ καὶ τοὺς ἐνθάδε διὰ τὰς ἰδίας ἔχθρας ἀπαγομένους εἰς τὸ δεσμωτήριον. οἳ οὐδὲν κακὸν τὴν πόλιν ποιήσαντες, ἠναγκάζοντο αἰσχίστῳ καὶ ἀκλεεστάτῳ ὀλέθρῳ ἀπόλλυσθαι. οἱ μὲν γονέας σφετέρους αὐτῶν πρεσβύτας καταλιπόντες, οἳ ἤλπιζον ὑπὸ τῶν σφετέρων αὐτῶν παίδων γηροτροφηθέντες, ἐπειδὴ τελευτήσαιεν τὸν βίον, ταφήσεσθαι. οἱ δὲ, ἀδελφὰς ἀνεκδότους. οἱ δὲ, παῖδας μικροὺς πολλῆς ἔτι θεραπείας δεομένους. οὓς ὦ ἄνδρες δικασταὶ, ποίαν τινὰ οἴεσθε γνώμην περὶ τούτου ἔχειν, ἢ ποίαν τινὰ ἂν ψῆφον θέσθαι, εἰ ἐπ' ἐκείνοις γένοιτο, ἀποστερηθέντας διὰ τοῦτον τῶν ἡδίστων. ἔτι τὰ τείχη ὡς κατεσκάφη, καὶ αἱ νῆες τοῖς πολεμίοις παρεδόθησαν, καὶ τὰ νεώρια καθῃρέθη, καὶ λακεδαιμόνιοι τὴν ἀκρόπολιν ἡμῶν εἶχον, καὶ ἡ δύναμις ἅπασα τῆς πόλεως παρελύθη, ὥστε μηδὲν διαφέρειν τῆς ἐλαχίστης πόλεως τὴν πόλιν. πρὸς δὲ τούτοις, τὰς ἰδίας οὐσίας ἀπωλέσατε. καὶ τὸ τελευταῖον, συλλήβδην ἅπαντες ὑπὸ τῶν τριάκοντα ἐκ τῆς πατρίδος ἐξηλάθητε, ταῦτα ἐκεῖνοι οἱ ἀγαθοὶ ἄνδρες αἰσθόμενοι, οὐκ ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην ὦ ἄνδρες δικασταὶ ποιήσασθαι. οὓς σὺ ἀγόρατε βουλόμενος ἀγαθόν τι πρᾶξαι τῇ πόλει, ἀπέκτεινας. μηνύσας αὐτοὺς τῇ πόλει ἐπιβουλεύειν τῷ πλήθει τῷ ὑμετέρῳ, καὶ αἴτιος εἶ ἁπάντων τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων. νῦν οὖν μνησθέντες καὶ τῶν ἰδίων ἕκαστος δυστυχημάτων, καὶ τῶν κοινῶν τῆς πόλεως, τιμωρεῖσθε τὸν αἴτιον τούτων. θαυμάζω δ' ἔγωγε ὦ ἄνδρες δικασταὶ, ὅ, τί ποτε τολμήσει πρὸς ὑμᾶς ἀπολογεῖσθαι. δεῖ γὰρ αὐτὸν ἀποδεῖξαι ὡς οὐ κατεμήνυσε τῶν ἀνδρῶν τούτων. οὐδ' αἴτιος αὐτοῖς ἐστὶ τοῦ θανάτου, κἂν δύναιτο, οὐδέ ποτε ἀποδεῖξαι. πρῶτον μὲν γὰρ τὰ ψηφίσματα αὐτοῦ τά τε ἐκ τῆς βουλῆς καὶ τοῦ δήμου καταμαρτυρεῖ. διαῤῥήδην ἀγορεύοντα, περὶ ὧν ἀγόρατος κατείρηκεν. ἔπειτα ἡ κρίσις ἣν ἐκρίθη ἐπὶ τῶν τριάκοντα καὶ ἀφείθη διαῤῥήδην λέγει. διότι φησὶν ἔδοξε τἀληθῆ εἰσαγγεῖλαι. ψήφισμα. Γραφή. Ὡς μὲν οὖν οὐκ ἀπέγραψεν, οὐδενὶ τρόπῳ δύναιτ' ἂν ἀποδεῖξαι. δεῖ τοίνυν αὐτὸν ὡς δικαίως ἐμήνυσε ταῦτα ἀποφαίνειν. ὁρῶν αὐτοὺς πονηρὰ καὶ οὐκ ἐπιτήδεια τῷ δήμῳ τῷ ὑμετέρῳ πράττοντας, οἶμαι οὐδ' ἂν τοῦτον αὐτὸν ἐπιχειρῆσαι ἀποδεικνύναι. οὐ γὰρ δή που εἴ τι κακὸν τὸν δῆμον τῶν ἀθηναίων εἰργάσαντο οἱ τριάκοντα δεδιότες μὴ καταλυθείησαν, ὁ δῆμος τιμωρούμενος, ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτεινεν. ἀλλ' οἶμαι πολὺ τοὐναντίον τούτου. ἀλλ' ἴσως φήσει ἄκων τοσαῦτα κακὰ ἐργάσασθαι; ἐγὼ δ' οὐκ οἶμαι ὦ ἄνδρες δικασταί. οὐδ' ἐάν τις ὑμᾶς ὡς μάλιστα ἄκων μεγάλα κακὰ ἐργάσηται, ὧν μὴ οἷόν τε γενέσθαι ὑπερβολὴν, οὐ τούτου ἕνεκα οὐ δεῖν ὑμᾶς ἀμύνεσθαι. ἔπειτα δὲ καὶ ἐκεῖνο μεμνῆσθαι, ὅτι ἐξῆν ἀγοράτῳ τούτῳ πρὶν εἰς τὴν βουλὴν κομισθῆναι, ὅτι ἐπὶ τοῦ βωμοῦ ἐκάθητο, μουνυχίασι σωθῆναι. καὶ γὰρ πλοῖα παρεσκεύαστο, καὶ ἐγγυηταὶ ἕτοιμοι ἦσαν συναπιέναι. καίτοι εἰ ἐκείνοις ἐπείθου καὶ ἠθέλησας ἐκπλεῦσαι μετ' ἐκείνων, οὔτ' ἂν ἑκὼν, οὔτε ἄκων τοσούτους ἀθηναίους ἀπέκτεινας. νῦν δὲ πεισθεὶς ὑφ' ὧν τότε ἐπείσθης, εἰ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων, τὰ ὀνόματα μόνον εἴποις, μέγα τι ᾤου παρ' αὐτῶν διαπράξεσθαι. οὔκουν τούτου ἕνεκα, δεῖ σε παρ' ἡμῶν συγγνώμης τινὸς τυχεῖν. ἐπεὶ οὐδ' ἐκεῖνοι παρὰ σοῦ οὐδεμιᾶς ἔτυχον, οὓς σὺ ἀπέκτεινας. καὶ ἱππίας μὲν ὁ θάσιος, καὶ ξενοφῶν ὁ καριεὺς, οἳ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ τούτῳ ὑπὸ τῆς βουλῆς μετεπέμφθησαν, οὗτοι μὲν ἀπέθανον. ὁ μὲν, στρεβλωθεὶς ξενοφῶν. ὁ δὲ ἱππίας, οὕτω. διότι οὐκ ἂν ἄξιοι ἐδόκουν τοῖς τριάκοντα, σωτηρίας εἶναι. οὐδένα γὰρ ἀθηναίων ἀπώλεσαν. ἀγόρατος δὲ, ἀφείθη. διότι ἐδόκει ἐκείνοις τὰ ἥδιστα πεποιηκέναι.

Ακούω δ' αὐτὸν καὶ ἐς μενέστρατον ἀναφέρειν τι περὶ τῶν γραφῶν τούτων. τὸ δὲ τοῦ μενεστράτου πρᾶγμα, τοιοῦτον ἐγένετο. ὁ μενέστρατος οὗτος ἀπεγράφη ὑπὸ τοῦ ἀγοράτου, καὶ συλληφθεὶς ἐδέδετο. ἁγνόδωρος δ' ἦν ἀμφιτροπαιεὺς, δημότης τοῦ μενεστρά-

ὡς ὀργισθεὶς εἴρηκε. ταῦτα ἐμοῦ μαρτυρήσαντος τὴν αὐτὴν μαρτυρίαν Διονυσίῳ. ὑμεῖς δ᾽ ἐνθυμεῖσθε ὦ ἄνδρες δικασταί, ὅτι ὁ νομοθέτης, οὐδὲ μιᾷ ὀργῇ συγγνώμην δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποφαίνῃ ὡς ἔστιν ἀληθῆ τὰ εἰρημένα. ἐγὼ δὲ δὶς ἤδη περὶ τούτου μεμαρτύρηκα. οὐ γάρ πω ᾔδειν ὅτι ὑμεῖς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε. τοῖς δὲ ἀποβάλλουσι, συγγνώμην ἔχετε. τὸ μὲν οὖν τούτων, οὐκ οἶδ᾽ ὅτι δεῖ πλείω λέγειν. ἐγὼ δὲ ὑμῶν δέομαι καταψηφίσασθαι Θεομνήστου. ἐνθυμουμένους ὅτι οὐκ ἂν γένοιτο τούτου μείζων ἀγών μοι. νῦν γὰρ διώκω κακηγορίας. τῇ δ᾽ αὐτῇ ψήφῳ, φόνου φεύγω τοῦ πατρός. ὃς μόνος ἐπειδὴ τάχιστα ἐδοκιμάσθην, ἐπεξῆλθον τοῖς τριάκοντα ἐν ἀρείῳ πάγῳ. ὧν μεμνημένοι, καὶ ἐμοὶ καὶ τῷ πατρὶ βοηθήσατε. καὶ τοῖς νόμοις τοῖς κειμένοις, καὶ τοῖς ὅρκοις οὓς ὀμωμόκατε.

Λυσίου, κατὰ Θεομνήστου. β′.

ὅ τι μὲν τὸν πατέρα μ᾽ ἔφασκεν ἀπεκτονέναι, πολλοὶ συνοίδασιν ὑμῶν, καὶ μαρτυροῦσι δέ μοι. ὅτι δὲ οὐ πεποίηκα, ἔτη γάρ ἐστι μοι δύο καὶ τριάκοντα. ἐξ οὗ δ᾽ ὑμεῖς κατήλθετε, εἰκοστὸν τοῦτο. φαίνομαι οὖν τρισκαιδεκέτης ὤν, ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπέθνησκεν. ὥστ᾽ οὐδ᾽ ὅτι ὀλιγαρχία ἦν ᾔδειν, οὐδὲ τῷ πατρὶ βοηθεῖν, ἀεργός τις ἦν. ἀλλὰ μὴν οὐδὲ τῶν χρημάτων ἕνεκα ἐπιβουλεῦσαι αὐτῷ. ὁ γὰρ πρεσβύτερος ἀδελφὸς πάντα λαβών, ἀπεστέρησεν ὑμᾶς. ἴσως δ᾽ ἐρεῖ ὡς οὐκ ἔστι τῶν ἀπορρήτων, ἐάν τις λέγῃ τὸν πατέρα ἀπεκτονέναι. τὸν γὰρ νόμον, οὐ ταῦτ᾽ ἀπαγορεύειν, ἀλλ᾽ ἀνδροφόνον οὐκ ἐᾶν λέγειν. ἐγὼ δ᾽ οἶμαι δεῖν οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ περὶ τῆς τούτων διανοίας. καὶ πάντας εἰδέναι, ὅτι ὁποῖοι ἀπεκτόνασί τινας, καὶ ἀνδροφόνοι τῶν αὐτῶν εἰσί. καὶ ὅσοι ἀνδροφόνοί τινος, καὶ ἀπεκτόνασι τουτονί. πολὺ γὰρ ἂν ἔργον εἴη τῷ νομοθέτῃ πάντα γράφειν τὰ ὀνόματα, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει. ἀλλὰ περὶ ἑνὸς εἰπών, περὶ πάντων ἐδήλωσεν. οὐ γὰρ δήπου ἐὰν μέν τις πατραλοίαν ἢ μητραλοίαν καλέσῃ, ὑπόδικός ἐστιν. ἐὰν δέ τις τὴν τεκοῦσαν ἢ τὸν φυτεύσαντα τύπτοι, ἀζήμιος ἔσται. καὶ εἴ τις εἴποι ῥίψασπιν, ἀθῷος ἔσται. τὸν γὰρ νόμον ἐάν τις εἴπῃ τὴν ἀσπίδα ἀποβεβληκέναι, ζημίαν τάττειν. ἀλλ᾽ οὐκ ἄν τις ῥίψαι φῇ αὐτήν. ὁμοίως δ᾽ ἂν καὶ τῶν ἕνδεκα γενόμενος, οὐκ ἂν ἀποδέχοιτο τὸν ἀπαγόμενον. ὅτι θοἰμάτιον ἔξω θέμενος ἢ τὸν χιτωνίσκον, εἰ μὴ λωποδύτην ὠνόμαζον. εἰ μή τις παῖδ᾽ ἐξάγων ὡς ἀνδραποδιστήν. καὶ αὐτὸς μὲν ἐδικάσω κακηγορίας τῷ εἰπόντι σε ῥίψαι τὴν ἀσπίδα. καίτοι ἐν τῷ νόμῳ οὐ γέγραπται. ἀλλ᾽ ἐάν τις φῇ ἀποβεβληκέναι. πῶς οὖν οὐ δεινόν. ἐὰν μή τις γε εἴπῃ τοὺς νόμους ἐκλαμβάνειν, οὕτως ὥσπερ ἐγὼ νῦν, καὶ τιμωρεῖν τοὺς ἐχθρούς. ἐὰν δ᾽ αὐτὸς εἴπῃς οὐκ ἀξιοῦν δοῦναι δίκην. βοηθήσατε οὖν μοι ἐνθυμούμενοι, ὅτι μεῖζόν ἐστι κακὸν τὸν πατέρα ἀπεκτονέναι, ἢ τὴν ἀσπίδα ῥίψαι. ἐγὼ οὖν δεξαίμην πάσας ἀποβεβληκέναι, ἢ τοιαύτην γνώμην περὶ τὸν πατέρα ἔχειν. καί γε τοῦτον μὲν ἑώρακα ποιοῦντα, ὡς καὶ ὑμεῖς ἴστε. αὐτὸς δ᾽ ἔσωσα τὴν ἀσπίδα. ὥστε διὰ τί οὐκ ἂν λάβοιμι δίκην παρ᾽ αὐτοῦ. τίνος ἐγκλήματός μοι ὄντος. πότερον, ὡς δικαίως ἤκουσα; ἀλλ᾽ οὐδ᾽ ἂν αὐτοὶ φήσαιτε. ἀλλ᾽ ὡς βελτίονος ὄντος; ἀλλ᾽ οὐδ᾽ ἂν αὐτὸς ἀξιώσειεν. ἀλλ᾽ ὅτι ἀποβεβληκὼς τὰ ὅπλα σώσαντι, δικάζομαι; ἀλλ᾽ οὐχ οὗτος ὁ λόγος διέσπαρται κατὰ τὴν πόλιν. μὴ δὴ κακῶς ἀκούοντα τὰ προσήκοντα ἐλεεῖτε. μηδ᾽ ὑβρίζοντί τε καὶ λέγοντι παρὰ τοὺς νόμους, συγγνώμην ἔχετε. καὶ ταῦτα εἰς ἄνδρα, ὃς πολλὰς μὲν στρατηγίας ἐστρατήγηκε, πολλὰς δὲ μεθ᾽ ὑμῶν κεκινδύνευκε. καὶ οὔτε τοῖς πολεμίοις ὑποχείριος γέγονεν, οὔθ᾽ ὑμῖν εὐθύνας ὦφλεν. ἑβδομήκοντα δ᾽ ἐτῶν ὤν, ὑπ᾽ ὀλιγαρχίας ἐτελεύτησε διὰ τὴν ὑμετέραν εὔνοιαν. ἄξιον δὲ ὀργισθῆναι ὑπὲρ αὐτοῦ. τί γὰρ ἂν τούτου ἀνιαρότερον ἀκούσειεν, εἰ τεθνηκὼς ὑπὸ τῶν ἐχθρῶν, αἰτίαν ἔχοι ὑπὸ τῶν τέκνων ἀνῃρῆσθαι. οὗ τῆς ἀρετῆς τὰ μνημεῖα, πρὸς τοῖς ὑμετέροις ἱεροῖς ἀνάκειται. τὰ δὲ τούτων κακίας, πρὸς

τοῖς τῶν

τοῖς τῶν πολεμίων. ἐρεῖ δέ, ὡς ὀργισθεὶς εἴρηκεν. ὑμεῖς δ' ἐνθυμεῖσθε ὅτι ὁ νομοθέτης οὐδεμίαν συγγνώμην ὀργῇ δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ. ἐγὼ δὲ δὶς περὶ τούτου μεμαρτύρηκα· οὐ γὰρ ᾔδειν ὅτι ὑμεῖς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀποβάλλουσι συγγνώμην ἔχετε. δέομαι οὖν καταψηφίσασθαι αὐτοῦ. νυνὶ γὰρ διώκω μὲν κακηγορίας. τῇ δ' αὐτῇ ψήφῳ, φόνου φεύγω τοῦ πατρός. οὗ μείζων ἀγὼν, οὐκ ἂν γένοιτό μοι. ὃς μόνος δοκιμασθεὶς τοῖς τριάκοντ' ἐπεξῆλθον ἐν ἀρείῳ πάγῳ. βοηθήσατε οὖν, κἀκείνῳ κἀμοί.

Λυσίου. κατὰ ἐρατοσθένους, τοῦ γενομένου τῶν τριάκοντα, ὃν αὐτὸς εἶπε λυσίας.

Υκ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι ὦ ἄνδρες δικασταὶ τῆς κατηγορίας, ἀλλὰ παύσασθαι λέγοντι. τοιαῦτα αὐτοῖς τὸ μέγεθος καὶ τοσαῦτα τὸ πλῆθος εἴργασται, ὥστε μήτ' ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρχόντων κατηγορῆσαι, μήτ' ἀληθῆ βουλόμενον εἰπεῖν ἅπαντα δύνασθαι. ἀλλ' ἀνάγκη ἢ τὸν κατήγορον ἀπειπεῖν, ἢ τὸν χρόνον ἐπιλιπεῖν. τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι, ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ. πρότερον μὲν γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ἥτις εἴη πρὸς τοὺς φεύγοντας. νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι. ἥτις ἦν αὐτοῖς πρὸς τὴν πόλιν ἔχθρα, ἀνθ' ὅτου τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. οὐ μέντοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφορὰς τοὺς λόγους ποιοῦμαι, ἀλλ' ὡς ἅπασι πολλῆς ἀφθονίας οὔσης ὑπὲρ τῶν ἰδίων, ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι. ἐγὼ μὲν οὖν ὦ ἄνδρες δικασταὶ, οὔτ' ἐμαυτοῦ πώποτε οὔτε ἀλλότρια πράγματα πράξας, νῦν ἠνάγκασμαι ὑπὸ τῶν γεγενημένων τούτου κατηγορεῖν. ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν κατέστην. μὴ διὰ τὴν ἀπειρίαν, ἀναξίως καὶ ἀδυνάτως ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ τὴν κατηγορίαν ποιήσωμαι. ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι δι' ἐλαχίστων διδάξαι. οὑμὸς πατὴρ κέφαλος, ἐπείσθη μὲν ὑπὸ περικλέους, εἰς ταύτην τὴν γῆν ἀφικέσθαι. ἔτη δὲ τριάκοντα ᾤκησε. καὶ οὐδενὶ πώποτε οὔτε ἡμεῖς οὔτε ἐκεῖνος δίκην οὔτε ἐδικασάμεθα, οὔτε ἐφύγομεν. ἀλλ' οὕτως ᾠκοῦμεν δημοκρατούμενοι, ὥστε μήτε εἰς τοὺς ἄλλους ἐξαμαρτάνειν, μήτε ὑπὸ τῶν ἄλλων ἀδικεῖσθαι. ἐπειδὴ δ' οἱ τριάκοντα πονηροὶ μὲν ἂν συκοφάνται ὄντες εἰς τὴν ἀρχὴν κατέστησαν, φάσκοντες χρῆναι τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν καὶ τοὺς λοιποὺς πολίτας, ἐπ' ἀρετὴν καὶ δικαιοσύνην τραπέσθαι. καὶ τοιαῦτα λέγοντες, οὐ τοιαῦτα ποιεῖν ἐτόλμων. ὡς ἐγὼ περὶ τῶν ἐμαυτοῦ πρῶτον εἰπὼν, καὶ περὶ τῶν ὑμετέρων ἀναμνῆσαι πειράσομαι. θέογνις γὰρ καὶ πείσων ἔλεγον ἐν τοῖς τριάκοντα περὶ τῶν μετοίκων ὡς εἶέν τινες, τῇ πολιτείᾳ ἀχθόμενοι. καλλίστην οὖν εἶναι πρόφασιν τιμωρεῖσθαι μὲν δοκεῖν, τῷ δ' ἔργῳ χρηματίζεσθαι. πάντως δὲ τὴν μὲν πόλιν πένεσθαι, τὴν ἀρχὴν δεῖσθαι χρημάτων. καὶ τοὺς ἀκούοντας, οὐ χαλεπῶς ἔπειθον. ἀποκτιννύναι μὲν γὰρ ἀνθρώπους, περὶ οὐδενὸς ἡγοῦντο. λαμβάνειν δὲ χρήματα, περὶ πολλοῦ ἐποιοῦντο. ἔδοξεν οὖν αὐτοῖς δέκα συλλαβεῖν. τούτων δὲ δύο πένητας, ἵνα αὐτοῖς ᾖ πρὸς τοὺς ἄλλους ἀπολογία. ὡς οὐ χρημάτων ἕνεκα ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα τῇ πολιτείᾳ γεγένηται. ὥσπερ τι τῶν ἄλλων εὐλόγως πεποιηκότες. διαλαβόντες δὲ τὰς οἰκίας, ἐβάδιζον. καὶ ἐμὲ μὲν ξένους ἑστιῶντα κατέλαβον· οὓς ἐξελάσαντες, πείσωνί με παραδιδόασιν. οἱ δὲ ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες, τὰ ἀνδράποδα ἀπεγράφοντο. ἐγὼ δὲ πείσωνα μὲν ἠρώτων, εἰ βούλοιτό με σῶσαι χρήματα λαβών. ὁ δ' ἔφασκεν εἰ πολλὰ εἴη. εἶπον οὖν ὅτι τάλαντον ἀργυρίου, ἕτοιμος εἴην δοῦναι. ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. ἠπιστάμην μὲν οὖν, ὅτι οὔτε θεοὺς οὔτε ἀνθρώπους νομίζει. ὅμως δ' ἐκ τῶν παρόντων ἐδόκει μοι ἀναγκαιότατον εἶναι πίστιν παρ' αὐτοῦ λαβεῖν. ἐπειδὴ δὲ ὤμοσεν, ἐξώλειαν ἑαυτῷ καὶ τοῖς παισὶν ἐπαρώμενος, λαβὼν τὸ τάλαντόν με σώσειν, εἰσελθὼν εἰς τὸ δωμάτιον, τὴν κιβωτὸν ἀνοίγνυμι. πείσων δ' αἰσθόμενος εἰσέρχεται, καὶ ἰδὼν τὰ ἐνόντα, καλεῖ τῶν

μετῆν ἂν καὶ ἐμοὶ, τούτου τἀγαθοῦ οὐκ ἐλάχιστον μέρος. νῦν δὲ οὔτε πρὸς τὴν πόλιν αὐτοῖς τοιαῦτα ὑπάρχει, οὔτε πρὸς ἐμέ. τὸν ἀδελφὸν γάρ μου ὥσπερ καὶ πρότερον εἶπον, ἐρατοσθένης ἀπέκτεινεν οὔτε αὐτὸς ἰδίᾳ ἀδικούμενος, οὔτε εἰς τὴν πόλιν ὁρῶν ἐξαμαρτάνοντα. ἀλλὰ τῇ ἑαυτοῦ παρανομίᾳ προθύμως ἐξυπηρετῶν. ἀναβιβασάμενος δ' αὐτὸν βούλομαι ἐρέσθαι ὦ ἄνδρες δικασταί. τοιαύτην γὰρ γνώμην ἔχω. ἐπὶ μὲν τῇ τούτου ὠφελείᾳ καὶ πρὸς ἕτερον περὶ τούτου διαλέγεσθαι ἀσεβὲς εἶναι νομίζω. ἐπὶ δὲ τῇ τούτου βλάβῃ καὶ πρὸς αὐτὸν τοῦτον, ὅσον καὶ ἀσεβές. ἀνάβηθι οὖν μοι καὶ ἀπόκριναι ὅτι ἄν σε ἐρωτῶ. ἀπήγαγες πολέμαρχον ἢ οὔ; Τὰ ὑπὸ τῶν ἀρχόντων προσταχθέντα δεδιὼς ἐποίουν. Ἦσθα δ' ἐν τῷ βουλευτηρίῳ ὅτε οἱ λόγοι ἐγένοντο περὶ ἡμῶν; Ην πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖναι, ἢ ἀντέλεγες; Ἀντέλεγον. Ἵνα ἀποθάνωμεν; Ἵνα μὴ ἀποθάνητε. Ἡγούμενος ἡμᾶς ἄδικα πάσχειν ἢ δίκαια; Ἄδικα. Εἶτ' ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μὲν ἵνα σώσειας, συνελάμβανες δὲ, ἵνα ἀποκτείνῃς; καὶ ὅτε μὲν τὸ πλῆθος ἦν ὑμῶν κύριον τῆς σωτηρίας τῆς ἡμετέρας, ἀντιλέγειν φῂς τοῖς βουλομένοις ἡμᾶς ἀπολέσαι, ἐπειδὴ δὲ ἐπὶ σοὶ μόνῳ ἐγένετο, καὶ σῶσαι πολέμαρχον καὶ μὴ, εἰς τὸ δεσμωτήριον ἀπήγαγες; Εἶθ' ὅτι μὲν ὡς φῂς ἀντειπὼν, οὐδὲν ὠφελήσας, ἀξιοῖς χρηστὸς νομίζεσθαι. ὅτι δὲ συλλαβὼν ἀπέκτεινας, οὐκ οἴει ἐμοὶ καὶ τουτοισὶ δοῦναι δίκην; καὶ μὴν οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν, εἴπερ ἀληθῆ λέγει, φάσκων ἀντειπεῖν ὡς αὐτῷ ἐπετάχθη. οὐ γὰρ δή που ἐν τοῖς μετοίκοις πίστιν παρ' αὐτοῦ ἐλάμβανον. ἔπειτα τῷ ἧττον εἰκὸς ἦν προσταχθῆναι, ἢ ὅστις ἀντειπών γε ἐτύγχανε, καὶ γνώμην ἀποδεδειγμένος. τίνα γὰρ εἰκὸς ἦν ἧττον ταῦτα ὑπηρετῆσαι, ἢ τὸν ἀντειπόντα οἷς ἐκεῖνοι ἐβούλοντο πραχθῆναι; ἔτι δὲ τοῖς μὲν ἄλλοις ἀθηναίοις, ἱκανή μοι δοκεῖ πρόφασις εἶναι τῶν γεγενημένων εἰς τοὺς τριάκοντα ἀναφέρειν τὴν αἰτίαν. αὐτοὺς δὲ τοὺς τριάκοντα ἂν εἰς σφᾶς αὐτοὺς ἀναφέρωσι, πῶς ὑμᾶς εἰκὸς ἀποδέχεσθαι; εἰ μὲν γάρ τις ἐν τῇ πόλει ἀρχὴ ἰσχυροτέρα αὐτῆς, ὑφ' ἧς αὐτῷ προσετάττετο παρὰ τὸ δίκαιον ἀνθρώπους ἀπολλύναι, ἴσως ἂν εἰκότως αὐτῷ συγγνώμην εἴχετε. νῦν δὲ παρὰ τοῦ ποτε καὶ λήψεσθε δίκην, εἴπερ ἐξέσται τοῖς τριάκοντα λέγειν ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποίουν, καὶ μηδὲν δὴ οὐκ ἐν τῇ οἰκίᾳ, ἀλλ' ἐν τῇ ὁδῷ σῴζοντα αὐτὸν καὶ τὰ τούτοις ἐψηφισμένα, ὃν συλλαβὼν ἀπήγαγεν. ὑμεῖς δὲ πάντες ὀργίζεσθε ὅσοι εἰς τὰς οἰκίας ἦλθον τὰς ὑμετέρας, ζήτησιν ποιούμενοι, ἢ ὑμῶν, ἢ τῶν ὑμετέρων τινός. καί τοι εἰ χρὴ τούτοις διὰ τὴν ἑαυτῶν σωτηρίαν, ἑτέρους ἀπολέσασι συγγνώμην ἔχειν, ἐκείνοις ἂν δικαιότερον ἔχοιτε. κίνδυνος γὰρ ἦν πεμφθεῖσι μὴ ἐλθεῖν, καὶ καταλαβοῦσιν ἐξάρνοις γενέσθαι. τῷ δὲ ἐρατοσθένει ἐξῆν εἰπεῖν ὅτι οὐκ ἀπήντησεν ἔπειτα ὅτι οὐκ εἶδεν. ταῦτα γὰρ οὔτε ἔλεγχον, οὔτε βάσανον εἶχεν. ὥστε μὴ δ' ὑπὸ τῶν ἐχθρῶν βουλομένων, οἷόν τε εἶναι ἐξελεγχθῆναι. χρῆν δέ σε ὦ ἐρατόσθενες εἴπερ ἦσθα χρηστὸς, πολὺ μᾶλλον τοῖς μέλλουσιν ἀδίκως ἀποθανεῖσθαι μηνυτὴν γενέσθαι, ἢ τοὺς ἀδίκως ἀπολουμένους συλλαμβάνειν. νῦν δέ σου τὰ ἔργα φανερὰ γεγένηται οὐχ ὡς ἀνιωμένου, ἀλλ' ὡς ἡδομένου τοῖς γιγνομένοις. ὥστε τούσδε ἐκ τῶν ἔργων χρὴ μᾶλλον, ἢ ἐκ τῶν λόγων τὴν ψῆφον φέρειν. ἃ ἴσασι γεγενημένα, τῶν τότε λεγομένων τεκμήρια λαμβάνοντας, ἐπειδὴ μάρτυρας περὶ αὐτῶν οὐχ οἷόν τε παρασχέσθαι. οὐ γὰρ μόνον ἡμῖν παρεῖναι οὐκ ἐξῆν, ἀλλ' οὐδὲ παρ' αὑτοῖς εἶναι. ὥστε ἐπὶ τούτοις ἐστὶ πάντα τὰ κακὰ εἰργασμένοις τὴν πόλιν, πάντα τἀγαθὰ περὶ αὐτῶν λέγειν. τοῦτο μέντοι οὐ φεύγω, ἀλλ' ὁμολογῶ σοι εἰ βούλει ἀντειπεῖν φάσκων, ἀπέκτεινας πολέμαρχον; φέρε δὴ τί ἂν εἰ καὶ ἀδελφοὶ ὄντες ἐτύχετε αὐτοῦ, ἢ καὶ υἱεῖς ἀπεψηφίσασθε; δεῖ γὰρ ὦ ἄνδρες δικασταὶ ἐρατοσθένην δυοῖν θάτερον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν αὐτὸν, ἢ ὡς δικαίως τοῦτ' ἔπραξεν. οὗτος δὲ ὡμολόγηκεν ἀδίκως συλλαβεῖν, ὥστε ῥᾳδίαν ὑμῖν τὴν διαψήφισιν περὶ αὐτοῦ πεποίηκε. Καὶ μὲν δὴ πολλοὶ καὶ τῶν ἀστῶν, καὶ τῶν ξένων ἥκουσιν εἰσόμενοι τίνα γνώμην περὶ τούτων ἕξετε. ὧν οἱ μὲν,

ἡμέτεροι ὄντες πολῖται, μαθόντες ἀπίασιν, ὅτι ἢ δίκην δώσουσιν ὧν ἂν ἐξαμάρτωσιν, ἢ πράξαντες μὲν ὧν ἐφίενται, τύραννοι τῆς πόλεως ἔσονται, δυστυχήσαντες δὲ, τὸ ἴσον ὑμῖν ἕξουσιν. ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν, εἴσονται πότερον ἀδίκως τοὺς τριάκοντα ἐκκηρύττουσιν ἐκ τῶν πόλεων ἢ δικαίως. εἰ γὰρ δὴ αὐτοὶ οἱ κακῶς πεπονθότες λαβόντες ἀφήσουσιν, ἦ που σφᾶς αὐτοὺς ἡγήσονται περιέργους ὑπὲρ ὑμῶν τηρουμένους. οὐκ οὖν δεινὸν εἰ τοὺς μὲν στρατηγοὺς οἳ ἐνίκων ναυμαχοῦντες, ὅτε διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε, ἡγούμενοι χρῆναι τῇ τῶν τεθνεώτων ἀρετῇ, παρ' ἐκείνων δίκην λαβεῖν. τούτους δὲ οἳ ἰδιῶται μὲν ὄντες καθ' ὅσον ἐδύναντο, ἐποίησαν ἡττηθῆναι ναυμαχοῦντας. ἐπειδὴ δὲ εἰς τὴν ἀρχὴν κατέστησαν, ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτιννύναι. οὐκ ἄρα χρὴ αὐτοὺς καὶ τοὺς παῖδας ἀφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζεσθαι.

Ἐγὼ τοίνυν ὦ ἄνδρες δικασταὶ ἠξίουν ἱκανὰ εἶναι τὰ κατηγορημένα. μέχρι γὰρ τούτου νομίζω χρῆναι κατηγορεῖν, ἕως ἂν θανάτου δόξῃ τῷ φεύγοντι ἄξια εἰργάσθαι. ταύτην γὰρ ἐσχάτην δίκην δυνάμεθα παρ' αὐτῶν λαβεῖν, ὥστ' οὐκ οἶδ' ὅτι δεῖ πολλὰ κατηγορεῖν τοιούτων ἀνδρῶν, οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων, δὶς ἀποθανόντες δίκην δοῦναι δύναιντ' ἄν. Οὐ γὰρ δὴ οὐδὲ τοῦτο αὐτοῖς προσήκει ποιῆσαι, ὅπερ ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστί. πρὸς μὲν τὰ κατηγορούμενα μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ σφῶν αὐτῶν ἕτερα λέγοντες, ἐνίοτ' ἐξαπατῶσιν, ὑμῖν ἀποδεικνύντες ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς τῶν πολεμίων ναῦς ἔλαβον τριηραρχήσαντες, πόλεις πολεμίας οὔσας, φιλίας ἐποίησαν. ἐπεὶ κελεύετε αὐτὸν ἀποδεῖξαι ὅπου τοσούτους τῶν πολεμίων ἀπέκτειναν, ὅσους τῶν πολιτῶν, ἢ ναῦς ὅπου τοσαύτας ἔλαβον, ὅσας αὐτοὶ παρέδωκαν, ἢ πόλιν ἥν τινα τοιαύτην προσεκτήσαντο, οἵαν τὴν ὑμετέραν κατεδουλώσαντο. ἀλλὰ γὰρ ὅπλα τῶν πολεμίων ἐσκύλευσαν ὅσα περ ὑμῶν ἀφείλοντο; ἀλλὰ τείχη τοιαῦτα εἷλον, οἷα τῆς ἑαυτῶν πατρίδος κατέσκαψαν. οἵτινες καὶ τὰ περὶ τὴν Ἀττικὴν φρούρια καθεῖλον καὶ ὑμῖν ἐδήλωσαν, ὅτι οὐδὲ τὸν Πειραιᾶ Λακεδαιμονίων προσταττόντων περιεῖλον, ἀλλ' ὡς αὐτοῖς τὴν ἀρχὴν, οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι. Πολλάκις οὖν ἐθαύμασα τῆς τόλμης τῶν λεγόντων ὑπὲρ αὐτῶν. πλὴν ὅταν ἐνθυμηθῶ, ὅτι τῶν αὐτῶν ἐστιν, αὐτούς τε πάντα τὰ κακὰ ἐργάζεσθαι, καὶ τοὺς τοιούτους ἐπαινεῖν. οὐ γὰρ νῦν πρῶτον τῷ ὑμετέρῳ πλήθει τὰ ἐναντία ἔπραξεν, ἀλλὰ καὶ ἐπὶ τῶν τετρακοσίων ἐν τῷ στρατοπέδῳ ὀλιγαρχίαν καθιστὰς, ἔφευγεν ἐξ Ἑλλησπόντου τριήραρχος καταλιπὼν τὴν ναῦν μετὰ Ἰατροκλέους καὶ ἑτέρων, ὧν τὰ ὀνόματα οὐδὲν δέομαι λέγειν. ἀφικόμενος δὲ δεῦρο, τἀναντία τοῖς βουλομένοις δημοκρατίαν εἶναι ἔπραττε, καὶ τούτων μάρτυρας ὑμῖν παρέξομαι.

Μάρτυρες. Τὸν μὲν τοίνυν μεταξὺ βίον αὐτοῦ παρήσω. ἐπειδὴ δὲ ἡ ναυμαχία καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο δημοκρατίας ἔτι οὔσης, ὅθεν τῆς στάσεως ἦρξαν πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων. συναγωγεῖς μὲν τῶν πολιτῶν. ἄρχοντες δὲ τῶν συνωμοτῶν ἐναντία τῷ ὑμετέρῳ πλήθει πράττοντες, ὧν Ἐρατοσθένης καὶ Κριτίας ἦσαν. οὗτοι δὲ φυλάρχους τε ἐπὶ τὰς φυλακὰς κατέστησαν καὶ ὅτι δέοι χειροτονεῖσθαι καὶ οὕς τινας χρὴ ἄρχειν παρήγγελλον, καὶ εἴ τι ἄλλο πράττειν βούλοιντο, κύριοι ἦσαν, οὕτως οὐχ ὑπὸ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὑπὸ τούτων πολιτῶν ὄντων ἐπιβουλεύεσθε ὅπως μήτ' ἀγαθὸν μηδὲν ψηφίσησθε, πολλῶν τε ἐνδεεῖς ἔσεσθε. τοῦτο γὰρ καὶ ἠπίσταντο, ὅτι ἄλλως μὲν οὐχ οἷοί τε ἔσονται περιγενέσθαι. κακῶς δὲ πραττόντων, δυνήσονται. Καὶ ὑμᾶς ἡγοῦντο τῶν παρόντων κακῶν ἐπιθυμοῦντας ἀπαλλαγῆναι, περὶ τῶν μελλόντων οὐκ ἐνθυμήσεσθαι. ὡς τοίνυν τῶν ἐφόρων ἐγένετο, μάρτυρας ὑμῖν παρέξομαι, οὐ τοὺς τότε συμπράττοντας (οὐ γὰρ ἂν δυναίμην) ἀλλὰ τοὺς αὐτοῦ Ἐρατοσθένους ἀκούσαντας. καίτοι εἰ ἐσωφρόνουν, κατεμαρτύρουν ἂν αὐτῶν. καὶ τοὺς διδασκάλους τῶν σφετέρων ἁμαρτημάτων, σφόδρ' ἂν ἐκόλαζον, καὶ τοὺς ὅρκους εἰ ἐσωφρόνουν, οὐκ ἂν ἐπὶ μὲν τοῖς τῶν πολιτῶν κακοῖς πιστοὺς

στοὺς

σοὺς ἐνόμιζον· ἐπειδὴ δὲ τοῖς τῆς πόλεως ἀγαθοῖς, ῥᾳδίως παρέβαινον. πρὸς μὲν οὖν τούτους, τοσαῦτα λέγω. τοὺς δὲ μάρτυράς μοι κάλει, καὶ ὑμεῖς ἀνάβητε.

ΜΑΡΤΥΡΕΣ. Τῶν μὲν μαρτύρων ἀκηκόατε. τὸ δὲ τελευταῖον εἰς τὴν ἀρχὴν καταστὰς, ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, ἄλλων δὲ πολλῶν. καίτοι εἴπερ ἦν ἀνὴρ ἀγαθὸς, ἐχρῆν ἂν πρῶτον μὲν μὴ παρανόμως ἄρχειν, ἔπειτα τῇ βουλῇ μηνυτὴν γίνεσθαι περὶ τῶν εἰσαγγελιῶν ἁπασῶν, ὅτι ψευδεῖς εἶεν, καὶ βάτραχος, καὶ αἰσχυλίδης οὐ τἀληθῆ μηνύουσιν, ἀλλὰ τὰ ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰσαγγέλλουσι συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλάβῃ. Καὶ μὲν δὴ ὦ ἄνδρες δικασταὶ ὅσοι κακόνοι ἦσαν τῷ ὑμετέρῳ πλήθει, οὐδὲν ἔλαττον εἶχον σιωπῶντες. ἕτεροι γὰρ ἦσαν οἱ λέγοντες καὶ πράττοντες, ὧν οὐχ οἷόν τ' ἦν μείζω κακὰ γενέσθαι τῇ πόλει. ὁπόσοι δ' εὖνοί φασιν εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα λέγοντες, καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες. Ἴσως δ' ἂν ἔχοι εἰπεῖν ὅ, τι ἐδεδοίκει (καὶ ὑμῶν τοῦτο ἐνίοις ἱκανὸν ἔσται) ὅπως τοίνυν μὴ φανήσεται ἐν τῷ λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος, εἰ δὲ μὴ, ἐνταῦθα δῆλος ἔσται. ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε καὶ τοσοῦτον ἐδύνατο, ὥστε ἐναντιούμενος μηδὲν κακὸν παθεῖν ὑπ' αὐτῶν. χρῆν δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ταύτην τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ θηραμένους, ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτεν. ἀλλ' οὗτος τὴν μὲν πόλιν ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέρους ἐχθροὺς, φίλους, ὡς ἀμφότερα ταῦτα ἐγὼ πολλοῖς τεκμηρίοις παραστήσω, καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς οὐχ ὑπὲρ ὑμῶν, ἀλλ' ὑπὲρ ἑαυτῶν γινομένας. ὁπότεροι μὲν ταῦτα πράξουσι, καὶ τῆς πόλεως ἄρξουσι. καὶ γὰρ ὑπὲρ τῶν ἀδικουμένων, ἐστασίαζον. ποῦ κάλλιον ἂν ἦν ἀνδρὶ ἄρχοντι, ἢ θρασυβούλου φυλὴν κατειληφότος, τότε ἐπιδείξασθαι τὴν αὐτοῦ συνουσίαν. ὁ δ' ἀντὶ τοῦ ἐπαγγείλασθαί τι, ἢ πρᾶξαι ἀγαθὸν πρὸς τοὺς ἐπὶ φυλῇ, ἐλθὼν μετὰ τῶν συναρχόντων εἰς σαλαμῖνα καὶ ἐλευσῖνάδε, τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμωτήριον, καὶ μιᾷ ψήφῳ αὐτῶν ἁπάντων, θάνατον κατεψηφίσατο. ἐπειδὴ δὲ εἰς τὸν πειραιᾶ ἤλθομεν, καὶ αἱ ταραχαὶ γεγενημέναι ἦσαν καὶ περὶ τῶν διαλλακτῶν οἱ λόγοι ἐγίνοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους ἔσεσθαι ὡς ἀμφότεροι ἔδειξαν. οἱ μὲν γὰρ ἐκ πειραιέως κρείττους ὄντες, εἴασαν αὐτοὺς ἀπελθεῖν, οἱ δὲ εἰς τὸ ἄστυ ἐλθόντες, τοὺς μὲν τριάκοντα ἐξέβαλον· πλὴν φείδωνος καὶ ἐρατοσθένους· ἄρχοντας δὲ τοὺς ἐκείνοις ἐχθίστους εἵλοντο· ἡγούμενοι δικαίως ἂν ὑπὸ τῶν αὐτῶν τούς τε τριάκοντα μισεῖσθαι καὶ τοὺς ἐν πειραιεῖ φιλεῖσθαι. τούτων τοίνυν φείδων ὁ τῶν τριάκοντα γενόμενος καὶ ἱπποκλῆς, καὶ ἐπιχάρης ὁ λαμπτρεὺς καὶ ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώτατοι χαρικλεῖ καὶ κριτίᾳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ, ἐπειδὴ αὐτοὺς εἰς τὴν ἀρχὴν κατέστησαν, πολὺ μείζω στάσιν καὶ πόλεμον ἐπὶ τοὺς ἐν πειραιεῖ ἢ τοῖς ἐξ ἄστεος ἐποίησαν. οἱ δὲ φανερῶς ἐπεδείξαντο, ὅτι οὐχ ὑπὲρ τῶν ἐν πειραιεῖ, οὐδ' ὑπὲρ τῶν ἀδίκως ἀπολλυμένων ἐστασίαζον. οὐδ' οἱ τεθνεῶτες αὐτοὺς ἐλύπουν. οὐδ' οἱ μέλλοντες ἀποθανεῖσθαι, ἀλλ' οἱ μεῖζον δυνάμενοι, καὶ θᾶσσον πλουτοῦντες. λαβόντες γὰρ τὰς ἀρχὰς καὶ τὴν πόλιν, ἀμφοτέροις ἐπολέμουν. τοῖς τε τριάκοντα πάντα κακὰ εἰργασμένοις, καὶ ὑμῖν πάντα κακὰ πεπονθόσι, καίτοι τοῦτο πᾶσι δῆλον ἦν. ὅτι εἰ μὲν ἐκεῖνοι δικαίως ἔφευγον, ὑμεῖς ἀδίκως. εἰ δ' ὑμεῖς ἀδίκως, οἱ τριάκοντα δικαίως. οὐ γὰρ δὴ ἑτέρων ἔργων αἰτίαν λαβόντες ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων. ὥστε σφόδρα χρὴ ὀργίζεσθαι ὅτι φείδων αἱρεθεὶς ὑμᾶς διαλλάξαι καὶ καταγαγεῖν. τῶν αὐτῶν ἔργων ἐρατοσθένει μετεῖχε, καὶ τῇ αὐτῇ γνώμῃ, τοὺς μὲν κρείττους αὐτῶν δι' ὑμᾶς κακῶς ποιεῖν, ἕτοιμος ἦν. ὑμῖν δὲ ἀδίκως φεύγουσιν, οὐκ ἠθέλησεν, ἀποδοῦναι τὴν πόλιν. ἀλλ' ἐλθὼν εἰς λακεδαίμονα, ἔπειθεν αὐτοὺς στρατεύεσθαι. διαβάλλων ὅτι βοιωτῶν ἡ πόλις ἔσται, καὶ ἄλλα λέγων, οἷς ᾤετο πείσειν μάλιστα. οὐ δυνάμενος δὲ τούτων τυχεῖν, εἴτε καὶ τῶν ἱερῶν ἐμποδὼν ὄντων, εἴτε καὶ αὐτῶν οὐ βουλομένων, ἑκατὸν τάλαντα ἐδανείσατο. ἵνα ἔχῃ ἐπικούρους μισθοῦσθαι, καὶ λύσανδρον ἄρχοντα ᾐτήσατο. εὐνούστατον μὲν ὄντα τῇ ὀλιγαρχίᾳ· κακονούστατον δὲ τῇ πόλει.

μισοῦντα μὲν μάλιστα τοὺς ἐν πειραιεῖ. μισθωσάμενοι δὲ πάντας ἀνθρώπους ἐπ' ὀλέθρῳ τῆς πόλεως, καὶ πόλεις ἐπάγοντες, καὶ τελευτῶντες λακεδαιμονίους, καὶ τῶν συμμάχων ὁπόσους ἐδύναντο πεῖσαι, οὐ διαλλάξαι, ἀλλ' ἀπολέσαι παρεσκευάζοντο τὴν πόλιν· εἰ μὴ δι' ἄνδρας ἀγαθούς, οὓς ὑμεῖς δηλώσατε παρὰ τῶν ἐχθρῶν δίκην λαβόντες. ὅτι καὶ ἐκείνοις χάριν ἀποδώσετε. ταῦτα δὲ ἐπίστασθε μὲν καὶ αὐτοί. καὶ οἶδ' ὅτι οὐ δεῖ μάρτυρας παρασχέσθαι. ὅμως δ' ἐγώ τε γὰρ δέομαι ἀναπαύσασθαι ὑμῶν τ' ἐνίοις ἥδιον ὡς πλείστων τοὺς αὐτοὺς λόγους ἀκούειν. μάρτυρες. Φέρε δὲ καὶ περὶ θηραμένους, ὡς δύνωμαι διὰ βραχυτάτων διδάξω. Δέομαι δ' ὑμῶν ἀκοῦσαι ὑπέρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως. καὶ μηδενὶ τοῦτο παραστῇ ὡς ἐρατοσθένους κινδυνεύοντος, θηραμένους κατηγορῶ. πυνθάνομαι γὰρ ταῦτα, ἀπολογήσασθαι αὐτόν. ὅτι ἐκείνῳ φίλος ἦν, καὶ τῶν αὐτῶν ἔργων μετεῖχε. καίτοι σφόδρ' ἂν αὐτὸν οἶμαι μετὰ θεμιστοκλέους πολιτευόμενον προσποιεῖσθαι πράττειν, ὅπως οἰκοδομηθήσεται τὰ τείχη. ὁπότε δὲ μετὰ θηραμένους, ὅπως καθαιρεθήσεται. οὐ γάρ μοι δοκοῦσιν ἴσου ἄξιοι γεγενῆσθαι. ὁ μὲν γὰρ λακεδαιμονίων ἀκόντων ᾠκοδόμησεν αὐτά, οὗτος δὲ τοὺς πολίτας ἐξαπατήσας καθεῖλε. περιέστηκεν οὖν τῇ πόλει τοὐναντίον. ἢ ὡς εἰκὸς ἦν. ἄξιον μὲν γὰρ καὶ τοὺς φίλους τοὺς θηραμένους προσαπολωλέναι. πλὴν εἴ τις ἐτύγχανεν, ἐκείνῳ τἀναντία πράττων. νῦν δὲ ὁρῶ τάς τε ἀπολογίας εἰς ἐκεῖνον ἀναφερομένας. τούς τ' ἐκείνῳ συνόντας τιμᾶσθαι πειρωμένους, ὥσπερ πολλῶν ἀγαθῶν αἰτίους ἀλλ' οὐ μεγάλων κακῶν γεγενημένους. ὃς πρῶτον μὲν τῆς προτέρας ὀλιγαρχίας αἰτιώτατος ἐγένετο πείσας ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν ἑλέσθαι. καὶ ὁ μὲν πατὴρ αὐτοῦ τῶν προβούλων ὤν, ταὔτ' ἔπραττεν. αὐτὸς δὲ δοκῶν εὐνούστατος εἶναι τοῖς πράγμασι, στρατηγὸς ὑπ' αὐτῶν ᾑρέθη. καὶ ἕως μὲν ἐτιμᾶτο, πιστὸν ἑαυτὸν τῇ πόλει παρεῖχεν. ἐπειδὴ δὲ πείσανδρον μὲν καὶ κάλλαισχρον καὶ ἑτέρους ἑώρα προτέρους αὐτοῦ γινομένους, τὸ δὲ ὑμέτερον πλῆθος οὐκέτι βουλόμενον τούτων ἀκροᾶσθαι, τότ' ἤδη διά τε τὸν πρὸς ἐκείνους φθόνον, καὶ τὸ παρ' ὑμῶν δέος, μετέσχε τῶν ἀριστοκράτους ἔργων. βουλόμενος δὲ τῷ ὑμετέρῳ πλήθει δοκεῖν πιστὸς εἶναι, ἀντιφῶντα καὶ ἀρχεπτόλεμον φιλτάτους ὄντας αὐτῷ, κατηγορῶν ἀπέκτεινεν. εἰς τοσοῦτον δὲ κακίας ἦλθεν, ὥστε ἅμα μὲν, διὰ τὴν πρὸς ἐκείνους πίστιν ὑμᾶς κατεδουλώσατο, διὰ δὲ τὴν πρὸς ὑμᾶς τοὺς φίλους ἀπώλεσεν. τιμώμενος δὲ καὶ τῶν μεγίστων ἀξιούμενος, αὐτὸς ἐπαγγειλάμενος σώσειν τὴν πόλιν, αὐτὸς ἀπώλεσε. φάσκων, πρᾶγμα εὑρηκέναι μέγα καὶ πολλοῦ ἄξιον. ὑπέσχετο δὲ εἰρήνην ποιήσειν, μήτε ὅμηρα δούς, μήτε τὰ τείχη καθελών, μήτε τὰς ναῦς παραδούς. ταῦτα δὲ εἰπεῖν μὲν οὐδενὶ ἠθέλησεν. ἐκέλευσε δὲ αὐτῷ πιστεύειν. ὑμεῖς δὲ ὦ ἄνδρες ἀθηναῖοι, πραττούσης μὲν τῆς ἐν ἀρείῳ πάγῳ βουλῆς σωτηρίαν. ἀντιλεγόντων δὲ πολλῶν θηραμένει, εἰδότες δὲ ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι τῶν πολεμίων οὕνεκεν τἀπόρρητα ποιοῦνται, ἐκεῖνος δ' ἐν τοῖς αὐτοῦ πολίταις, οὐκ ἠθέλησεν εἰπεῖν ταῦθ', ἃ πρὸς τοὺς πολεμίους ἔμελλεν ἐρεῖν, ὅμως ἐπιτρέψατε αὐτῷ πατρίδα, καὶ παῖδας, καὶ γυναῖκας, καὶ ὑμᾶς αὐτούς. ὁ δὲ ὧν μὲν ὑπέσχετο, οὐδὲν ἔπραξεν. οὕτω δὲ ἐνεθύμητο, ὡς χρὴ μικρὰν καὶ ἀσθενῆ γενέσθαι τὴν πόλιν. ὥστε περὶ ὧν οὐδεὶς πώποτε, οὔτε τῶν πολεμίων ἐμνήσθη οὔτε τῶν πολιτῶν ἤλπισε, ταῦθ' ὑμᾶς ἔπεισε πρᾶξαι. οὐχ ὑπὸ λακεδαιμονίων ἀναγκαζόμενος ἀλλ' αὐτὸς ἐκείνοις ἐπαγγελλόμενος τοῦ τε πειραιέως τὰ τείχη περιελεῖν, καὶ τὴν ὑπάρχουσαν πολιτείαν καταλῦσαι, εὖ εἰδώς, ὅτι εἰ μὴ πασῶν τῶν ἐλπίδων ἀποστερηθήσεσθε, ταχεῖαν παρ' αὐτοῦ τὴν τιμωρίαν κομιεῖσθε. καὶ τὸ τελευταῖον ὦ ἄνδρες δικασταί οὐ πρότερον εἴασε τὴν ἐκκλησίαν γενέσθαι, ἕως ὁ λεγόμενος, ὑπ' ἐκείνου καιρός, ἐπιμελῶς ὑπ' αὐτοῦ ἐτηρήθη, καὶ μετεπέμψατο μὲν τὰς μετὰ λυσάνδρου ναῦς ἐκ σάμου. ἐπεδήμησε δὲ τὸ τῶν πολεμίων στρατόπεδον. τότε δὲ τούτων ὑπαρχόντων, καὶ παρόντων λυσάνδρου καὶ φιλοχάρους καὶ μιλτιάδου, περὶ τῆς πολιτείας τὴν ἐκκλησίαν ἐποίουν. ἵνα μήτε ῥήτωρ αὐτοῖς μηδεὶς ἐναντιοῖτο, μήτε ἀπειλοῖτο. ὑμεῖς τε μὴ τὰ τῇ πόλει συμφέροντα ἕλοισθε, ἀλλὰ

τὰ κείνοις δοκοῦντα ψηφίσαισθε. ἀναστὰς δὲ θηραμένης, ἐκέλευσεν ὑμᾶς, τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πόλιν, καὶ τῇ πολιτείᾳ χρῆσθαι, ἣν δρακοντίδης ἀπέφαινεν. ὑμεῖς δ' ὅμως καὶ οὕτω διακείμενοι, ἐθορυβεῖτε ὡς οὐ ποιήσοντες ταῦτα. ἐγινώσκετε γὰρ ὅτι περὶ δουλείας καὶ ἐλευθερίας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκκλησιάζετε. θηραμένης δὲ ὦ ἄνδρες δικασταὶ (καὶ τούτων ὑμᾶς αὐτοὺς μάρτυρας παρέξομαι) εἶπεν ὅτι οὐδὲν αὐτῷ μέλλει τοῦ ὑμετέρου θορύβου· ἐπειδὴ πολλοὺς μὲν ἀθηναίων εἰδείη τοὺς τὰ ὅμοια πράττοντας αὐτῷ· δοκοῦντα δὲ λυσάνδρῳ καὶ λακεδαιμονίοις λέγει. μετ' ἐκεῖνον δὲ λύσανδρος ἀναστὰς, ἄλλα τε πολλὰ τολμηρῶς εἶπε· καὶ ὅτι παρασπόνδους ὑμᾶς ἔχοι. καὶ ὅτι οὐ περὶ πολιτείας ὑμῖν ἔσται, ἀλλὰ περὶ σωτηρίας ὁ λόγος, εἰ μὴ ποιήσαιθ' ἃ θηραμένης κελεύοι. τῶν δ' ἐν τῇ ἐκκλησίᾳ ὅσοι ἄνδρες ἀγαθοὶ ἦσαν, γνόντες τὴν παρασκευὴν καὶ τὴν ἀνάγκην, οἱ μὲν αὐτοῦ μένοντες, ἡσυχίαν ἦγον. οἱ δὲ, ᾤχοντο ἀπιόντες. τοῦτο γοῦν σφίσιν αὐτοῖς συνειδότες, ὅτι οὐδὲν κακὸν τῇ πόλει ἐψηφίσαντο. ὀλίγοι δέ τινες καὶ πονηροὶ, καὶ κακῶς βουλευόμενοι τὰ προσταχθέντα ἐχειροτόνησαν. παρήγγελτο γὰρ αὐτοῖς δέκα μὲν, οὓς θηραμένης ἀπέδειξε χειροτονῆσαι. δέκα δὲ, οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν. δέκα δ' ἐκ τῶν παρόντων. οὕτω γὰρ τὴν ὑμετέραν ἀσθένειαν ἑώρων, καὶ τὴν αὐτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον ᾔδεσαν τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ πραχθήσεσθαι. ταῦτα δὲ οὐκ ἐμοὶ δοκεῖ πιστεῦσαι, ἀλλὰ ἐκείνῳ. πάντα γὰρ τὰ ὑπ' ἐμοῦ εἰρημένα ἐν τῇ βουλῇ, ἀπολογούμενος ἔλεγεν. ὀνειδίζων μὲν τοῖς φεύγουσιν, ὅτι δι' αὐτὸν κατέλθοιεν. οὐδὲν φροντίζων δὲ τῶν λακεδαιμονίων. ὀνειδίζων δὲ τοῖς τῆς πολιτείας μετέχουσιν, ὅτι πάντων τῶν πεπραγμένων τοῖς εἰρημένοις τρόποις ὑπ' ἐμοῦ, αὐτὸς αἴτιος γεγενημένος τοιούτων τυγχάνει, πολλὰς πίστεις αὐτοῖς ἔργῳ δεδωκὼς καὶ παρ' ἐκείνων ὅρκους εἰληφώς. καὶ τοσούτων καὶ ἑτέρων κακῶν καὶ αἰσχρῶν καὶ πάλαι καὶ νεωστὶ καὶ μικρῶν καὶ μεγάλων αἴτιοι γεγενημένοι τολμήσουσιν αὐτοὺς φίλους ὄντας ἀποφαίνειν. οὐχ ὑπὲρ ὑμῶν ἀποθανόντος θηραμένους, ἀλλ' ὑπὲρ τῆς αὐτῶν πονηρίας. καὶ δικαίως μὲν ἐν ὀλιγαρχίᾳ δίκην δόντος. ἤδη γὰρ αὐτὴν κατέλυσε. δικαίως δ' ἂν ἐν δημοκρατίᾳ. δὶς γὰρ ὑμᾶς κατεδουλώσατο· τῶν μὲν παρόντων, καταφρονῶν· τῶν δὲ ἀπόντων, ἐπιθυμῶν· καὶ τῷ καλλίστῳ ὀνόματι χρώμενος, δεινοτάτων ἔργων διδάσκαλος καταστάς. περὶ μὲν τοίνυν θηραμένους, ἱκανά μοι ἐστὶ τὰ κατηγορημένα. ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρός, ἐν ᾧ δεῖ συγγνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις. ἀλλὰ παρὰ ἐρατοσθένους, καὶ τῶν τούτου συναρχόντων, δίκην λαβεῖν. μὴ δὲ μαχομένους, κρείττους εἶναι τῶν πολεμίων. ψηφιζομένους δὲ, ἥττους τῶν ἐχθρῶν. μὴ δ' ὧν φασὶ μέλλειν πράξειν, πλείω χάριν αὐτοῖς ἴστε, ἢ ὧν ἐποίησαν ὀργίζεσθε. μὴ δ' ἀποῦσι μὲν τοῖς τριάκοντα, ἐπιβουλεύετε. παρόντας δ' ἀφῆτε. μηδὲ τῆς τύχης ἣ τούτους παρέδωκε τῇ πόλει, κάκιον ὑμῖν αὐτοῖς βοηθήσητε. κατηγορεῖτε δὲ ἐρατοσθένους καὶ τῶν τούτου φίλων, οἷς τὰς ἀπολογίας ἀνοίσει. καὶ μεθ' ὧν αὐτῷ ταῦτα πέπρακται. ὁ μέντοι ἀγὼν, οὐκ ἐξ ἴσου τῇ πόλει, καὶ ἐρατοσθένει. οὗτος μὲν γὰρ, κατήγορος καὶ δικαστὴς αὐτὸς ἦν τῶν γινομένων. ὑμεῖς δὲ νυνὶ εἰς κατηγορίαν καὶ ἀπολογίαν καθέσταμεν. καί τοι οὗτοι μὲν τοὺς οὐδὲν ἀδικοῦντας, ἀκρίτως ἀπέκτειναν. ὑμεῖς δὲ τοὺς ἀπολέσαντας τὴν πόλιν, κατὰ τὸν νόμον ἀξιοῦτε κρίνειν. παρ' ὧν οὐδ' ἂν παρανόμως βουλόμενοι δίκην λαμβάνειν ἀξίαν τῶν ἀδικημάτων, ὧν τὴν πόλιν ἠδικήκασι λάβοιτε. τί γὰρ ἂν παθόντες δίκην τὴν ἀξίαν εἴησαν τῶν ἔργων δεδωκότες. πότερον εἰ αὐτοὺς ἀποκτείνοιτε, καὶ τοὺς παῖδας αὐτῶν, ἱκανὴν ἂν τοῦ φόνου δίκην λάβοιμεν· ὧν οὗτοι πατέρας καὶ υἱεῖς καὶ ἀδελφοὺς ἀκρίτως ἀπέκτειναν. ἀλλὰ γὰρ εἰ τὰ χρήματα τὰ φανερὰ δημεύσετε, καλῶς ἂν ἔχοι ἢ τῇ πόλει, ἧς οὗτοι πολλὰ εἰλήφασιν, ἢ τοῖς ἰδιώταις ὧν οἰκίας ἐξεπόρθησαν; ἐπειδὴ τοίνυν πάντα ποιοῦντες, δίκην παρ' αὐτῶν οὐκ ἂν δύναισθε λαβεῖν, πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἡντινοῦν ἀπολιπεῖν, ἥντινά τις βούλοιτο παρὰ τούτων λαμβάνειν. πᾶν δ' ἄν μοι δοκεῖ τολμῆσαι ὅστις νυνὶ οὐχ ἑτέρων ὄντων τῶν δικαστῶν, ἀλλ' αὐτῶν τῶν κακῶς πεπονθότων, ἥκει ἀπο-

λογισάμενος πρὸς αὐτὸν τοὺς μάρτυρας τῆς τούτου πονηρίας. τοσοῦτον δ' ὑμῶν κατα-
πεφρόνηκεν, ἢ ἑτέροις πεπίστευκεν, ὧν ἀμφοτέρων ἄξιον ἐπιμεληθῆναι. ἐνθυμουμένοις,
ὅτι οὐκ ἂν ἐκεῖνα δύναιντο ποιεῖν, μὴ ἑτέρων συμπραττόντων. οὔτ' ἂν νῦν ἐπεχείρησαν
ἐλθεῖν, μὴ ὑπὸ τῶν αὐτῶν οἰόμενοι σωθήσεσθαι. οἳ οὐ τούτοις ἥκουσι βοηθήσοντες, ἀλ-
λὰ ἡγούμενοι πολλὴν ἄδειαν σφίσιν ἔσεσθαι τῶν πεπραγμένων, καὶ τοῦ λοιποῦ ποιεῖν
ὅτι ἂν βούλωνται. εἰ τοὺς μεγίστων κακῶν αἰτίους λαβόντες, ἀφήσετε. ἀλλὰ καὶ τῶν συ-
νερούντων αὐτοῖς ἄξιον θαυμάζειν. πότερον, ὡς καλοὶ κἀγαθοὶ, αἰτήσονται τὴν
αὑτῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς τούτων πονηρίας; ἐβουλόμην μέντ' ἂν αὐ-
τοὺς οὕτω προθύμους εἶναι σώζειν τὴν πόλιν, ὥσπερ οὗτοι ἀπολλύναι. ἢ ὡς δεινοὶ λέγειν
ἀπολογήσονται. καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια ἀποφανοῦσιν; ἀλλ' οὐχ ὑπὲρ ὑμῶν
οὐδεὶς αὐτῶν οὔτε τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν. ἀλλὰ τοὺς μάρτυρας ἄξι-
ον ἰδεῖν, οἳ τούτοις μαρτυροῦντες, αὑτῶν κατηγοροῦσι. σφόδρα ἐπιλήσμονας καὶ εὐή-
θεις νομίζοντες ὑμᾶς εἶναι, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλήθους ἀδεῶς ἡγοῦνται τοὺς τριά-
κοντα σώσειν. διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ, δεινὸν ἦν καὶ τῶν τε-
θνειώτων ἐπ' ἐκφορὰν ἐλθεῖν. καὶ τοιοῦτοι μὲν σωθέντες, πάλιν ἂν δύναιντο τὴν πόλιν
ἀπολέσαι. ἐκεῖνοι δὲ οὓς οὗτοι ἀπώλεσαν τελευτήσαντες τὸν βίον, πέρας ἔχουσι τῆς
παρὰ τῶν ἐχθρῶν τιμωρίας. οὐκ οὖν δεινὸν, εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι συ-
ναπώλλυντο, αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπολέσασιν, ἦ που ἐκφορᾷ πολλοὶ ἥξουσιν, ὁ-
πότε βοηθεῖν τοσοῦτοι παρασκευάζονται. καὶ μὲν δὴ πολλοὶ ῥᾴδιον ἡγοῦμαι εἶναι.
ὑπὲρ ὧν ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ περὶ ὧν οὗτοι πεποιήκασιν ἀπολογήσασθαι. καί-
τοι λέγουσιν ὡς Ἐρατοσθένης ἐλάχιστα τῶν τριάκοντα κακὰ εἴργασται, καὶ διὰ τοῦτο αὐ-
τὸν ἀξιοῦσι σωθῆναι. ὅτι δὲ τῶν ἄλλων Ἑλλήνων πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, οὐκ οἴ-
ονται χρῆναι αὐτὸν ἀπολέσθαι. ὑμεῖς δὲ δείξατε ἥν τινα γνώμην ἔχετε περὶ τῶν
πραγμάτων. εἰ μὲν γὰρ τούτου καταψηφιεῖσθε, δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πε-
πραγμένοις. εἰ δὲ ἀποψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄν-
τες, καὶ οὐχ ἕξετε λέγειν, ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποιεῖτε. νυνὶ
μὲν γὰρ οὐδεὶς ὑμᾶς ἀναγκάζει παρὰ τὴν ὑμετέραν γνώμην ἀποψηφίζεσθαι. ὥστε
συμβουλεύω μὴ τούτου ἀποψηφισαμένους, ὑμῶν αὐτῶν καταψηφίσασθαι. μὴ δ' οἴε-
σθε κρύβδην τὴν ψῆφον, φανερὰν γὰρ τῇ πόλει τὴν ὑμετέραν γνώμην ποιήσετε. βούλο-
μαι δὲ ὀλίγα ἑκατέρους ἀναμνήσας, καταβαίνειν τούς τε ἐξ ἄστεως, καὶ τοὺς ἐκ Πειραι-
ως, ἵνα τὰς ὑμῖν διὰ τούτων γεγενημένας συμφορὰς παραδείγματα ἔχοντες, τὴν
ψῆφον φέρητε. καὶ πρῶτον μὲν ὅσοι ἐξ ἄστεώς ἐστε, σκέψασθε ὅτι ὑπὸ τούτων οὕτω
σφόδρα ἤρχεσθε, ὥστε ἀδελφοῖς καὶ υἱέσι, καὶ πολίταις ἠναγκάζεσθε πολεμεῖν τοιοῦ-
τον πόλεμον, ἐν ᾧ ἡττηθέντες μὲν, τοῖς νικήσασι τὸ ἴσον εἴχετε. νικήσαντες δ' ἂν, τού-
τοις ἐδουλεύετε. καὶ τοὺς ἰδίους οἴκους οὗτοι μὲν ἂν ἐκ τῶν πραγμάτων, μεγάλους ἐκ-
τήσαντο. ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀλλήλους πόλεμον, ἐλάττους ἔχετε. συνωφελεῖσθαι
μὲν γὰρ ὑμᾶς οὐκ ἠξίουν. συνδιαβάλλεσθαι δ' ἠνάγκαζον. εἰς τοσοῦτον ὑπεροψίας
ἐλθόντες, ὥστε οὐ τῶν ἀγαθῶν κοινωνούμενοι, πιστοὺς ὑμᾶς ἐκτῶντο. ἀλλὰ τῶν ὀνειδῶν
μεταδιδόντες, εὔνους ᾤοντο εἶναι. ἀνθ' ὧν ὑμεῖς νῦν ἐν τῷ θαρραλέῳ ὄντες, καθόσον δύνασθε καὶ
ὑπὲρ ὑμῶν αὐτῶν, καὶ ὑπὲρ τῶν ἐκ Πειραιέως τιμωρήσασθε. ἐνθυμηθέντες μὲν, ὅτι ὑπὸ τούτων
πονηροτέρων ὄντων, ἤρχεσθε. ἐνθυμηθέντες δὲ, ὅτι μετ' ἀνδρῶν νῦν ἀρίστων πολιτεύε-
σθε, καὶ τοῖς πολεμίοις μάχεσθε, καὶ περὶ τῆς πόλεως βουλεύεσθε. ἀναμνησθέντες δὲ τῶν
ἐπικούρων, οὓς οὗτοι φύλακας τῆς ὑμετέρας ἀρχῆς, καὶ τῆς ὑμετέρας δουλείας, εἰς
τὴν ἀκρόπολιν κατέστησαν. καὶ πρὸς ὑμᾶς μὲν, ἔτι πολλῶν ὄντων εἰπεῖν, τοσαῦτα λέ-
γω. ὅσοι δ' ἐκ Πειραιέως ἐστὲ, πρῶτον μὲν τῶν ὅπλων ἀναμνήσθητε, ὅτι πολλὰς μάχας ἐν
τῇ ἀλλοτρίᾳ μαχεσάμενοι, οὐχ ὑπὸ τῶν πολεμίων, ἀλλ' ὑπὸ τούτων εἰρήνης οὔσης ἀ-
φῃρέθητε τὰ ὅπλα. ἔπειθ' ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως, ἣν ὑμῖν οἱ πατέρες πα-
ρέδοσαν. φεύγοντας δὲ ὑμᾶς ἐκ τῶν πόλεων, ἐξῃτοῦντο. ἀνθ' ὧν ὀργίσθητε μὲν ὥσπερ

ὅτ' ἐφεύγετε. ἀναμνήσθητε δὲ καὶ τῶν ἄλλων κακῶν, ἃ πεπόνθατε ὑπ' αὐτῶν· οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς, τοὺς δ' ἐκ τῶν ἱερῶν συναρπάζοντες, βιαίως ἀπέκτεινον· τοὺς δὲ, ἀπὸ τέκνων καὶ γονέων καὶ γυναικῶν ἀφελόντες, φονέας αὑτῶν ἠνάγκασαν γενέσθαι. καὶ οὐδὲ ταφῆς τῆς νομιζομένης εἴασαν τυχεῖν· ἡγούμενοι τὴν αὑτῶν ἀρχὴν βεβαιοτέραν εἶναι, τῆς παρὰ τῶν θεῶν τιμωρίας. ὅσοι δὲ τὸν θάνατον διέφυγον, πολλαχοῦ κινδυνεύσαντες, καὶ εἰς πολλὰς πόλεις πλανηθέντες, καὶ πανταχόθεν ἐκκηρυττόμενοι ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, οἱ μὲν, ἐν πολεμίᾳ τῇ πατρίδι τοὺς παῖδας καταλιπόντες, οἱ δ' ἐν ξένῃ γῇ, πολλῶν ἐναντιουμένων, ἤλθετε εἰς τὸν πειραιᾶ. πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρξάντων, ἄνδρες ἀγαθοὶ γενόμενοι, τοὺς μὲν ἠλευθερώσατε· τοὺς δ' εἰς τὴν πατρίδα κατηγάγετε. εἰ δὲ ἐδυστυχήσατε καὶ τούτων ἡμάρτητε, αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε μὴ πάθητε τοιαῦτα, οἷα καὶ πρότερον· καὶ οὔτε ἂν ἱερὰ, οὔτε βωμοὶ ὑμᾶς ἀδικουμένους, διὰ τοὺς τούτων τρόπους ὠφέλησαν, ἃ καὶ τοῖς ἀδικοῦσι σωτηρία γίνεται. οἱ δὲ παῖδες ὑμῶν ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο· οἱ δ' ἐπὶ ξένης μικρὸν ἂν ἕνεκα συμβολαίων ἐδούλευον ἐρημίᾳ τῶν ἐπικουρησόντων. ἀλλὰ γὰρ οὐ τὰ μέλλοντα ἔσεσθαι βούλομαι λέγειν, τὰ πραχθέντα ὑπὸ τούτων οὐ δυνάμενος εἰπεῖν. οὐδὲ γὰρ ἑνὸς κατηγόρου, οὐδὲ δυοῖν, ἔργον ἐστὶν, ἀλλὰ πολλῶν. ὅμως δὲ τῆς ἐμῆς προθυμίας, ἐλλέλειπται ὑπὲρ τῶν ἱερῶν, ἃ οὗτοι τὰ μὲν, ἀπέδοντο· τὰ δ' εἰσιόντες ἐμίαινον, ὑπέρ τε τῆς πόλεως ἣν μικρὰν ἐποίουν, ὑπέρ τε τῶν νεωρίων ἃ καθεῖλον, καὶ ὑπὲρ τῶν τεθνεώτων, οἷς ὑμεῖς ἐπειδὴ ζῶσιν ἐπαμῦναι οὐκ ἠδύνασθε, ἀποθανοῦσι βοηθήσατε; οἶμαι δ' αὐτοὺς ὑμῶν τε ἀκροᾶσθαι, καὶ ὑμᾶς εἴσεσθαι τὴν ψῆφον φέροντας· ἡγουμένους ὅσοι μὲν ἂν τούτων ἀποψηφίσησθε, αὐτῶν θάνατον καταψηφιεῖσθαι. ὅσοι δ' ἂν παρὰ τούτων δίκην λάβωσιν, ὑπὲρ αὐτῶν τιμωρίας πεποιημένους, παύσομαι κατηγορῶν. ἀκηκόατε. ἑωράκατε. πεπόνθατε. ἔχετε. δικάζετε.

Λυσίου, κατὰ ἀγοράτου ἐνδείξεως.

π ροσήκει μὲν ὦ ἄνδρες δικασταὶ πᾶσιν ὑμῖν τιμωρεῖν ὑπὲρ τῶν ἀνδρῶν οἳ ἀπέθανον, εὖνοι ὄντες τῷ πλήθει τῷ ὑμετέρῳ· προσήκει δὲ κἀμοὶ οὐχ ἥκιστα. κηδεστὴς γάρ μοι ἦν διονυσόδωρος καὶ ἀνεψιός. τυγχάνει οὖν μοι ἡ αὐτὴ ἔχθρα πρὸς ἀγόρατον τουτονὶ, καὶ τῷ πλήθει τῷ ὑμετέρῳ ὑπάρχουσα. ἔπραξε γὰρ οὗτος τοιαῦτα, δι' ἃ ὑπ' ἐμοῦ νυνὶ εἰκότως μισεῖται. ὑπό τε ὑμῶν, ἂν θεὸς θέλῃ, δικαίως τιμωρηθήσεται. διονυσόδωρον γὰρ τὸν κηδεστὴν τὸν ἐμὸν, καὶ ἑτέρους πολλοὺς, ὧν δὴ τὰ ὀνόματα ἀκούσεσθε ἄνδρας ὄντας ἀγαθοὺς περὶ τὸ πλῆθος τὸ ὑμέτερον, ἐπὶ τῶν τριάκοντα ἀπέκτεινε, μηνυτὴς κατ' ἐκείνων γενόμενος. ποιήσας δὲ ταῦτα, ἐμὲ μὲν ἰδίᾳ καὶ ἕκαστον τῶν προσηκόντων, μεγάλα ἐζημίωσε. τὴν δὲ πόλιν κοινῇ πᾶσαν τοιούτων ἀνδρῶν ἀποστερήσας, οὐ μικρὰ ὡς ἐγὼ νομίζω ἔβλαψεν. Ἐγὼ οὖν ἄνδρες δικασταὶ δίκαιον καὶ ὅσιον ἡγοῦμαι εἶναι καὶ ἐμοὶ καὶ ὑμῖν ἅπασι, τιμωρεῖσθαι καθ' ὅσον ἕκαστος δύναται· καὶ ποιοῦσι ταῦτα, νομίζω ἡμῖν καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων ἄμεινον ἂν γίγνεσθαι. δεῖ δ' ὑμᾶς ὦ ἄνδρες ἀθηναῖοι ἐξ ἀρχῆς τῶν πραγμάτων ἁπάντων ἀκοῦσαι, ἵν' εἰδῆτε πρῶτον μὲν ᾧ τρόπῳ ὑμῖν ἡ δημοκρατία κατελύθη, καὶ ὑφ' ὅτου. ἔπειτα ᾧ τρόπῳ οἱ ἄνδρες ὑπ' ἀγοράτου ἀπέθανον. καὶ διότι ἀποθνήσκειν μέλλοντες ἐπέσκηψαν. ἅπαντα γὰρ ταῦτα ἀκριβῶς ἂν μαθόντες, ἥδιον καὶ ὁσιώτερον ἀγοράτου τουτουὶ καταψηφίζοισθε. ὅθεν οὖν ἡμεῖς τε ῥᾷστα διδάξομεν, καὶ ὑμεῖς μαθήσεσθε, ἐντεῦθεν ὑμῖν ἄρξομαι διηγεῖσθαι. Ἐπειδὴ γὰρ αἱ νῆες αἱ ὑμέτεραι διεφθάρησαν, καὶ τὰ πράγματα ἐν τῇ πόλει ἀσθενέστερα ἐγεγένητο, οὐ πολλῷ χρόνῳ ὕστερον αἵ τε νῆες αἱ λακεδαιμονίων ἐπὶ τὸν πειραιᾶ ἀφικνοῦνται, καὶ ἅμα λόγοι πρὸς λακεδαιμονίους περὶ τῆς εἰρήνης ἐγίνοντο. ἐν δὲ τῷ χρόνῳ τούτῳ οἱ βουλόμενοι νεώτερα πράγματα ἐν τῇ πόλει γίγνεσθαι, ἐπεβούλευον. νομίζοντες κάλλιστον καιρὸν

ἀληθεύαι καὶ μάλιστα ἐν τῷ τότε χρόνῳ τὰ πράγματα, ὡς αὐτοὶ ἠβούλοντο καταστήσασθαι. ἡγοῦντο δὲ οὐδὲν ἄλλο σφίσιν ἐμποδὼν εἶναι, ἢ τοὺς τοῦ δήμου προεστηκότας, καὶ τοὺς στρατηγοῦντας καὶ ταξιαρχοῦντας. τούτους οὖν ἐβούλοντο ἄλλως γέ πως ἐκποδὼν ποιήσασθαι, ἵνα ῥᾳδίως ἃ βούλοιντο διαπράττοιντο. πρῶτον μὲν οὖν Κλεοφῶντι ἐπιτίθενται ἐκ τρόπου τοιούτου. ὅτε γὰρ ἡ πρώτη ἐκκλησία περὶ τῆς εἰρήνης ἐγίγνετο, καὶ οἱ παρὰ Λακεδαιμονίων ἥκοντες, ἔλεγον ἐφ' οἷς ἕτοιμοι ὦσι τὴν εἰρήνην ποιεῖσθαι Λακεδαιμόνιοι, εἰ κατασκαφείη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα στάδια ἑκατέρου, τότε ὑμεῖς τε ὦ ἄνδρες Ἀθηναῖοι οὐκ ἠνέσχεσθε ἀκούσαντες περὶ τῶν τειχῶν τῆς κατασκαφῆς. Κλεοφῶν τε ὑπὲρ ὑμῶν πάντων ἀναστὰς ἀντεῖπεν, ὡς οὐδενὶ τρόπῳ οἷόν τε εἴη ποιεῖν ταῦτα. μετὰ δὲ ταῦτα Θηραμένης ἐπιβουλεύων τῷ πλήθει τῷ ὑμετέρῳ, ἀναστὰς λέγει· ὅτι ἐὰν αὐτὸν ἕλησθε περὶ τῆς εἰρήνης πρεσβευτὴν αὐτοκράτορα, ποιήσειν ὥστε μήτε τῶν τειχῶν διελεῖν, μήτε ἄλλο τὴν πόλιν ἐλαττῶσαι μηδέν. οἴοιτο δὲ καὶ ἄλλο τι ἀγαθὸν παρὰ Λακεδαιμονίων τῇ πόλει εὑρήσεσθαι. πεισθέντες δὲ ὑμεῖς, εἵλεσθε ἐκεῖνον πρεσβευτὴν αὐτοκράτορα, ὃν τῷ προτέρῳ ἔτει στρατηγὸν χειροτονηθέντα ἀπεδοκιμάσατε. οὐ νομίζοντες εὔνουν εἶναι τῷ πλήθει τῷ ὑμετέρῳ. ἐκεῖνος μὲν οὖν ἐλθὼν εἰς Λακεδαίμονα, ἔμενεν ἐκεῖ πολὺν χρόνον καταλιπὼν ὑμᾶς πολιορκουμένους. εἰδὼς τὸ ὑμέτερον πλῆθος ἐν ἀπορίᾳ ἐχόμενον καὶ διὰ τὸν πόλεμον καὶ τὰ κακὰ, τοὺς πολλοὺς τῶν ἐπιτηδείων ἐνδεεῖς ὄντας. νομίζων διαθεὶς ὑμᾶς ἀπόρως, ὥσπερ διέθηκεν, ἀσμένως ὁποιαντινοῦν ἐθελῆσαι ἂν εἰρήνην ποιήσασθαι. οἱ δ' ἐνθάδε ὑπομείναντες καὶ ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν, εἰς ἀγῶνα Κλεοφῶντα καθιστᾶσι. πρόφασιν μὲν, ὅτι οὐκ ἦλθεν εἰς τὰ ὅπλα ἀναπαυσόμενος. τὸ δ' ἀληθὲς, ὅτι ἀντεῖπεν ὑπὲρ ὑμῶν, μὴ καθαιρεῖν τὰ τείχη. ἐκείνῳ μὲν οὖν δικαστήριον παρασκευάσαντες, καὶ εἰσελθόντες οἱ βουλόμενοι ὀλιγαρχίαν καταστήσασθαι, ἀπέκτειναν ἐν τῇ προφάσει ταύτῃ. Θηραμένης δὲ ὕστερον ἀφικνεῖται ἐκ Λακεδαίμονος. προσιόντες δὲ αὐτῷ τῶν τε στρατιωτῶν τινες καὶ τῶν ταξιάρχων, ὧν ἦν Στρομβιχίδης, καὶ Διονυσόδωρος καὶ ἄλλοι τινὲς τῶν πολιτῶν εὐνοοῦντες ὑμῖν, ὥς γ' ἐδήλωσαν ὕστερον, ἠγανάκτουν σφόδρα. ἦλθε γὰρ φέρων εἰρήνην τοιαύτην, ἣν ἡμεῖς ἔργῳ μαθόντες, ἔγνωμεν. πολλοὺς γὰρ τῶν πολιτῶν καὶ ἀγαθοὺς ἀπωλέσαμεν. καὶ αὐτοὶ ὑπὸ τῶν τριάκοντα ἐξηλάθημεν. ἦν γὰρ ἀντὶ μὲν τοῦ τὰ δέκα στάδια τῶν μακρῶν τειχῶν διελεῖν, ὅλα τὰ μακρὰ τείχη διασκάψαι. ἀντὶ δὲ τοῦ ἄλλο τι ἀγαθὸν τῇ πόλει εὑρέσθαι, τάς τε ναῦς παραδοῦναι τοῖς Λακεδαιμονίοις, καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος περιελεῖν. ὁρῶντες δὲ οὗτοι οἱ ἄνδρες ὀνόματι μὲν εἰρήνην λεγομένην, τῷ δ' ἔργῳ τὴν δημοκρατίαν καταλυομένην, οὐκ ἔφασαν ἐπιτρέψαι ταῦτα γενέσθαι. οὐκ ἐλεοῦντες ὦ ἄνδρες Ἀθηναῖοι τὰ τείχη εἰ πεσεῖται. οὐδὲ κηδόμενοι τῶν νεῶν, εἰ Λακεδαιμονίοις παραδοθήσονται. οὐδὲν γὰρ αὐτοῖς τούτων πλεῖον ἢ ὑμῶν ἑκάστῳ προσῆκεν, ἀλλ' αἰσθόμενοι ἐκ τοῦ τρόπου τούτου τὸ ὑμέτερον πλῆθος καταλυθησόμενον. οὐδ' ὥς φασί τινες, οὐκ ἐπιθυμοῦντες εἰρήνην γίγνεσθαι. ἀλλὰ βουλόμενοι βελτίω ταύτης εἰρήνης, τῷ δήμῳ τῶν Ἀθηναίων ποιήσασθαι, ἐνόμιζον δυνήσεσθαι καὶ ἔπραξαν ἂν ταῦτα, εἰ μὴ ὑπ' Ἀγοράτου τουτουὶ ἀπώλοντο. γνοὺς δὲ ταῦτα Θηραμένης, καὶ οἱ ἄλλοι οἱ ἐπιβουλεύοντες ὑμῖν ὅτι εἰσί τινες, οἳ κωλύσουσι τὸν δῆμον καταλυθῆναι καὶ ἐναντιώσονται περὶ τῆς ἐλευθερίας, εἵλοντο πρὶν τὴν ἐκκλησίαν τὴν περὶ τῆς εἰρήνης γενέσθαι, τούτους πρῶτον εἰς διαβολὰς καὶ κινδύνους καταστῆσαι. ἵνα μηδεὶς ἐκεῖ ὑπὲρ τοῦ ὑμετέρου πλήθους ἀντιλέγῃ. ἐπιβουλὴν οὖν τοιαύτην ἐπιβουλεύουσι. πείθουσι γὰρ Ἀγόρατον τουτονὶ μηνυτὴν κατὰ τῶν στρατηγῶν, καὶ τῶν ταξιάρχων γενέσθαι. οὐ ξυνειδότα ἐκείνοις ὦ ἄνδρες Ἀθηναῖοι οὐδέν. οὐ γὰρ δή που ἐκεῖνοι οὕτως ἀνόητοι ἦσαν καὶ ἄφιλοι, ὥστε περὶ τηλικούτων ἂν πραγμάτων πράττοντες, Ἀγόρατον ὡς πιστὸν καὶ εὔνουν δοῦλον, καὶ ἐκ δούλων ὄντα παρεκάλεσαν. ἀλλ' ἐδόκει αὐτοῖς οὗτος ἐπιτήδειος εἶναι μηνυτής. ἐβούλοντο οὖν ἄκοντα δοκεῖν αὐτὸν, καὶ μὴ ἑκόντα μηνύειν. ὅπως πιστότερα ὑμῖν ὑπὸ

φαίνοιτο. ὡς δὲ ἑκὼν ἐμήνυσε, καὶ ὑμᾶς οἶμαι ἐκ τῶν πεπραγμένων αἰσθήσεσθαι. ἐκπέμπουσι γὰρ εἰς τὴν βουλὴν τὴν πρὸ τῶν τριάκοντα βουλεύουσαν, Θεόκριτον τὸν τοῦ ἐλαφοστίκτου καλούμενον. ὁ δὲ Θεόκριτος οὗτος, ἑταῖρος ἦν τῷ ἀγοράτῳ καὶ ἐπιτήδειος. ἡ δὲ βουλὴ πρὸ τῶν τριάκοντα βουλεύουσα, διέφθαρτο· καὶ ὀλιγαρχίας ἐπεθύμει ὡς ἴστε μάλιστα. τεκμήριον δέ, οἱ γὰρ πολλοὶ ἐξ ἐκείνης τῆς βουλῆς τὴν ὑστέραν βουλήν, ἐπὶ τῶν τριάκοντα ἐβούλευον. τοῦ δ' οὖν ἕνεκα ταῦτα λέγω ὑμῖν, ἵν' εἰδῆτε ὅτι τὰ ψηφίσματα τὰ ἐξ ἐκείνης τῆς βουλῆς, οὐκέτι εὐνοίᾳ τῇ ὑμετέρᾳ, ἀλλ' ἐπὶ καταλύσει τοῦ δήμου τοῦ ὑμετέρου ἅπαντα ἐλέγετο. καὶ ὡς τοιούτοις οὖσιν αὐτοῖς, τὸν νοῦν προσέχητε. εἰσελθὼν δὲ εἰς ταύτην τὴν βουλὴν ἐν ἀπορρήτῳ Θεόκριτος μηνύει· ὅτι συλλέγονταί τινες ἐναντιωσόμενοι τοῖς τότε καθισταμένοις πράγμασι. τὰ μὲν οὖν ὀνόματα οὐκ ἔφη αὐτῶν ἐρεῖν καθέκαστον· ὅρκους τε γὰρ ὀμωμοκέναι τοὺς αὐτοὺς ἐκείνοις. καὶ εἶναι ἑτέρους οἳ ἐροῦσι τὰ ὀνόματα. αὐτὸς δὲ οὐκ ἄν ποτε ποιῆσαι ταῦτα. καίτοι εἰ μὴ ἐκ παρασκευῆς ἐμηνύετο, πῶς οὐκ ἂν ἠνάγκασεν ἡ βουλὴ εἰπεῖν τὰ ὀνόματα Θεόκριτον, καὶ μὴ ἀνώνυμον τὴν μήνυσιν ποιήσασθαι.

λείπει πολύ.

νυνὶ τοῦτο τὸ ψήφισμα ψηφίσασθαι. ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη, κατέρχονται ἐπὶ τὸν ἀγόρατον εἰς τὸν πειραιᾶ οἱ διαιρεθέντες τῶν βουλευτῶν· καὶ τυχόντες αὐτῷ ἐν ἀγορᾷ, ἐζήτουν ἄγειν. παραγενόμενος δὲ νικίας καὶ νικομένης, καὶ ἄλλοι τινές, ὁρῶντες τὰ πράγματα οὐχ ὡς βέλτιστα ἐν τῇ πόλει ὄντα· ἄγειν μὲν τὸν ἀγόρατον, οὐκ ἔφασαν προήσεσθαι, ἀφῃροῦντο δὲ καὶ ἠγγυῶντο, καὶ ὡμολόγουν παρέξειν εἰς τὴν βουλήν. γραψάμενοι δὲ οἱ βουλευταὶ τὰ ὀνόματα τῶν ἐγγυωμένων, καὶ κωλυόντων, ἀπιόντες ᾤχοντο εἰς ἄστυ. ὁ δὲ ἀγόρατος καὶ οἱ ἐγγυηταί, καθίζουσιν ἐπὶ τὸν βωμόν, μουνυχίασιν. ἐπειδὴ δὲ ἐκάθηντο, ἐβουλεύοντο τί χρὴ ποιεῖν. ἐδόκει οὖν τοῖς ἐγγυηταῖς, καὶ τοῖς ἄλλοις ἅπασιν, ἐκποδὼν ποιῆσαι τὸν ἀγόρατον ὡς τάχιστα. καὶ παρορμίσαντες δύο πλοῖα μουνυχίασιν, ἐδέοντο αὐτοῦ παντὶ τρόπῳ ἀπελθεῖν ἀθήνηθεν. καὶ αὐτοὶ ἔφασαν συνεκπλευσεῖσθαι, ἕως τὰ πράγματα κατασταίη. λέγοντες ὅτι εἰ κομισθείη εἰς τὴν βουλήν, βασανιζόμενος ἴσως ἀναγκασθήσεται ὀνόματα εἰπεῖν ἀθηναίων, ὧν ἂν ὑποβάλλωσιν οἱ βουλόμενοι κακόν τι ἐν τῇ πόλει ἐργάζεσθαι. ταῦτα ἐκείνων δεομένων καὶ παρασκευασάντων πλοῖα, καὶ αὐτῶν ἑτοίμων ὄντων συνεκπλεῖν, οὐκ ἠθέλησε πείθεσθαι ἀγόρατος οὑτοσί. καίτοι ὦ ἀγόρατε, εἰ μή τι σοι ἦν παρεσκευασμένον, καὶ ἐπίστευες μηδὲν κακὸν πείσεσθαι, πῶς οὐκ ἂν ᾤχου· καὶ πλοίων παρεσκευασμένων, καὶ τῶν ἐγγυητῶν ἑτοίμων ὄντων σοι συνεκπλεῖν. ἔτι γὰρ οἷόν τέ σοι καὶ οὔπω ἡ βουλή σου ἐκράτει. ἀλλὰ μὴν δὴ οὐχ ὅμοιά γέ σοι καὶ ἐκείνοις ὑπῆρχε; πρῶτον μέν γε ἀθηναῖοι ἦσαν, ὥστε οὐκ ἐδεδίεσαν βασανισθῆναι. ἔπειτα πατρίδα σφετέραν αὐτῶν καταλιπόντες, ἕτοιμοι ἦσαν συνεκπλεῖν μετά σου· ἡγησάμενοι ταῦτα μᾶλλον λυσιτελεῖν, ἢ τῶν πολιτῶν πολλοὺς καὶ ἀγαθοὺς ὑπό σου ἀδίκως ἀπολέσθαι. σοὶ δὲ πρῶτον μὲν κίνδυνος ἦν βασανισθῆναι ὑπομέναντι. ἔπειτα οὐ πατρίδα ἂν σαυτοῦ ἀπέλιπες. ὥστε ἐκ παντὸς τρόπου σοὶ μᾶλλον, ἢ ἐκείνοις ἐκπλεῦσαι συνέφερεν, εἰ μή τι ἦν ᾧ ἐπίστευες. νῦν δὲ ἄκων μὲν προσποιεῖ· ἑκὼν δὲ πολλοὺς καὶ ἀγαθοὺς ἀθηναίων ἀπέκτεινας. ὥστε παρεσκευάσθη ἅπαντα ἃ ἐγὼ λέγω. καὶ μάρτυρές εἰσι, καὶ αὐτὸ τὸ ψήφισμα οὕτω τῆς βουλῆς καταμαρτυρήσει. ψήφισμα. Ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη, καὶ ἦλθον οἱ ἐκ τῆς βουλῆς μουνυχίαζε, ἑκὼν ἀνέστη ἀγόρατος ἀπὸ τοῦ βωμοῦ· καίτοι νῦν γε βίᾳ φησὶν ἀφαιρεθῆναι. ἐπειδὴ δὲ εἰς τὴν βουλὴν ἐκομίσθησαν, ἀπογράφει ἀγόρατος, πρῶτον μὲν τῶν αὐτοῦ ἐγγυητῶν τὰ ὀνόματα, ἔπειτα τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων. ἔπειτα δὲ καὶ ἄλλων τινῶν πολιτῶν. ἡ δὲ ἀρχὴ αὕτη, τοῦ παντὸς κακοῦ ἐγένετο. ὡς δὲ ἀπέγραψε τὰ ὀνόματα, οἶμαι μὲν καὶ

αὐτὸν ὁμολογήσειν· εἰ δὲ μὴ μετ' αὐτοφόρῳ ἐπ' αὐτὸν ἐξελέγξω, ἀπόκριναι δή μοι. ἐβούλοντο τοίνυν ὦ ἄνδρες δικασταὶ ἔτι πλειόνων αὐτὸν τὰ ὀνόματα ἀπογράψαι· οὕτω σφόδρα ἔρρωτο ἡ βουλὴ κακόν τι ἐργάζεσθαι. αὐτὸς δ' οὐκ ἐδόκει αὐτοῖς ἅπαντα τὰ ἀληθῆ πω κατηγορηκέναι. τούτους μὲν οὖν ἅπαντας ἑκὼν ἀπογράφει. οὐδεμιᾶς αὐτῷ ἀνάγκης οὔσης. μετὰ ταῦτα προσαπογράφει ἑτέρους τῶν πολιτῶν. ἐπειδὴ δὲ ἡ ἐκκλησία μουνυχίασιν ἐν τῷ θεάτρῳ ἐγίγνετο, οὕτω σφόδρα τινὲς ἐπεμελοῦντο, ὅπως καὶ ἐν τῷ δήμῳ περὶ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων μήνυσις γένοιτο. περὶ δὲ τῶν ἄλλων, ἀπέχρη ἐν τῇ βουλῇ μήνυσις ἡ γεγενημένη, ὥστε καὶ ἐκεῖ παράγουσιν εἰς τὸν δῆμον, καί μοι ἀπόκριναι ὦ ἀγόρατε. ἀλλ' οἶμαί σε ἔξαρνον γενέσθαι, ἃ ἐναντίον ἀθηναίων ἁπάντων ἐποίησας· ὁμολογεῖ μὲν καὶ αὐτός· ὅμως δὲ καὶ τὰ ψηφίσματα ὑμῖν τοῦ δήμου ἀναγνώσεται. ΨΗΦΙΣΜΑ. Ὅτι μὲν ἀπέγραψεν ἀγόρατος οὑτοσὶ τῶν ἀνδρῶν ἐκείνων τὰ ὀνόματα, καὶ τὰ ἐν τῇ βουλῇ καὶ τὰ ἐν τῷ δήμῳ, καὶ ἐστὶ φονεὺς ἐκείνων, σχεδόν τι οἶμαι ὑμᾶς ἐπίστασθαι. Ὡς τοίνυν ἁπάντων τῶν κακῶν αἴτιος τῇ πόλει ἐγένετο, καὶ οὐδ' ὑφ' ἑνὸς αὐτὸν προσήκει ἐλεεῖσθαι, ἐγὼ οἶμαι ὑμῖν ἐν κεφαλαίοις ἀποδείξειν. ἐπειδὴ γὰρ ἐκεῖνοι συλληφθέντες ἐδέθησαν, τότε καὶ ὁ λύσανδρος εἰς τοὺς λιμένας τοὺς ὑμετέρους εἰσέπλευσε. καὶ αἱ νῆες αἱ ὑμέτεραι λακεδαιμονίοις παρεδόθησαν, καὶ τὰ τείχη κατεσκάφησαν, οἱ τριάκοντα κατέστησαν, καὶ τοιοῦτον δεινὸν τῇ πόλει ἐγένετο. ἐπειδὴ τοίνυν οἱ τριάκοντα κατεστάθησαν, εὐθέως κρίσιν τοῖς ἀνδράσι τούτοις ἐποίουν ἐν τῇ βουλῇ· ὁ δὲ δῆμος ἐν τῷ δικαστηρίῳ, ἐν δισχιλίοις ἐψηφίσατο. καί μοι ἀνάγνωθι τὸ ψήφισμα. ΨΗΦΙΣΜΑ. Εἰ μὲν οὖν ἐν τῷ δικαστηρίῳ ἐκρίνοντο, ῥᾳδίως ἂν ἐσώζοντο. ἅπαντες γὰρ ἤδη ἐγνωκότες ἦτε, οὗ ἦν κακοῦ ἡ πόλις. ἐν ᾧ οὐδὲν ἔτι ὠφελεῖν ἐδύνασθε. νῦν δ' εἰς τὴν βουλὴν αὐτοὺς τὴν ἐπὶ τῶν τριάκοντα εἰσάγουσιν. ἡ δὲ κρίσις τοιαύτη ἐγίγνετο, οἵαν καὶ ὑμεῖς αὐτοὶ ἐπίστασθε. οἱ μὲν γὰρ τριάκοντα ἐκάθηντο ἐπὶ τῶν βάθρων, οὗ νῦν οἱ πρυτάνεις καθέζονται. δύο δὲ τράπεζαι ἐν τῷ πρόσθεν τῶν τριάκοντα ἐκείσθην. τὴν δὲ ψῆφον, οὐκ εἰς καδίσκους, ἀλλὰ φανερὰν ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τίθεσθαι· τὴν μὲν καθαιροῦσαν ἐπὶ τὴν ὑστέραν, τὴν δὲ, σώζουσαν ἐπὶ τὴν προτέραν, ὥστε ἐκ τίνος τρόπου ἔμελλέ τις αὐτῶν σωθήσεσθαι. ἐνὶ δὲ λόγῳ ὅσοι εἰς τὸ βουλευτήριον ἐπὶ τῶν τριάκοντα εἰσῆλθον κριθησόμενοι, ἁπάντων θάνατος κατεγιγνώσκετο· καὶ οὐδενὸς ἀπεψηφίσαντο, πλὴν ἀγοράτου τουτουΐ. τοῦτον δὲ ἀφεῖσαν ὡς εὐεργέτην ὄντα. ἵνα δὲ εἰδῆτε ὡς πολλοὶ ὑπὸ τούτου τεθνᾶσι, βούλομαι ὑμῖν τὰ ὀνόματα αὐτῶν ἀναγνῶναι. Ἐπειδὴ τοίνυν ὦ ἄνδρες δικασταὶ θάνατος αὐτῶν κατεγνώσθη, καὶ ἔδει αὐτοὺς ἀποθνήσκειν, μεταπέμπονται εἰς τὸ δεσμωτήριον· ὁ μὲν, ἀδελφόν· ὁ δὲ, μητέρα· ὁ δὲ, γυναῖκα· ὁ δ' εἴ τις ἦν ἑκάστῳ αὐτῶν προσήκουσα· ἵνα τὰ ὕστατα ἀσπασάμενοι, τοὺς αὑτῶν οὕτω τὸν βίον τελευτήσειαν. καὶ δὴ καὶ διονυσόδωρος μεταπέμπεται τὴν ἀδελφὴν τὴν ἐμὴν εἰς τὸ δεσμωτήριον, γυναῖκα ἑαυτοῦ οὖσαν. πυθομένη δ' ἐκείνη, ἀφικνεῖται. μέλαν τε ἱμάτιον ἠμφιεσμένη, ὡς εἰκὸς ἦν ἐπὶ τῷ ἀνδρὶ αὐτῆς, τοιαύτῃ συμφορᾷ κεχρημένῳ. ἐναντίον δὲ τῆς ἀδελφῆς τῆς ἐμῆς διονυσόδωρος τά τε οἰκεῖα τὰ αὑτοῦ, διέθετο, ὅπως αὐτῷ ἐδόκει. καὶ περὶ ἀγοράτου τουτουῒ ἔλεγεν, ὅτι αἴτιος ἦν τοῦ θανάτου, καὶ ἐπέσκηπτεν ἐμοὶ καὶ διονυσίῳ τουτῳῒ τῷ ἀδελφῷ τῷ αὑτοῦ. καὶ τοῖς φίλοις πᾶσι, τιμωρεῖν ὑπὲρ αὑτοῦ ἀγόρατον καὶ τῇ γυναικὶ τῇ αὑτοῦ ἐπέσκηπτε· νομίζων αὐτὴν κύειν ἐξ αὑτοῦ, ἐὰν γένηται αὐτῇ παιδίον φράζειν τῷ γενομένῳ. ὅτι τὸν πατέρα αὐτοῦ, ἀγόρατος ἀπέκτεινε· καὶ κελεύειν τιμωρεῖν ὑπὲρ αὑτοῦ ὡς φονέα ὄντα. ὡς οὖν ἀληθῆ λέγω, μάρτυρας τούτων παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Οὗτοι μὲν τοίνυν ὦ ἄνδρες ἀθηναῖοι, ὑπ' ἀγοράτου ἀπογραφέντες ἀπέθανον· ἐπεὶ δὲ τούτους ἐκποδὼν ἐποιήσαντο οἱ τριάκοντα, σχεδὸν οἶμαι ὑμᾶς ἐπίστασθαι, ὡς πολλὰ καὶ δεινὰ μετὰ ταῦτα τῇ πόλει ἐγένετο. ὧν οὗτος ἁπάντων αἴτιός ἐστιν, ἀποκτείνας ἐκείνους. ἀνιῶμαι μὲν οὖν ὑπομιμνήσκων τὰς γεγενημένας συμφορὰς τῇ πόλει· ἀνάγκη δ' ἐστὶν ὦ ἄνδρες δικασταὶ ἐν τῷ παρόντι καιρῷ, ἵν' εἰδῆτε

ὡς σφόδρα

ὡς σφόδρα ὑμῖν ἐλεεῖν προσήκει ἀγόρατον. ἴστε μὲν γὰρ τοὺς ἐκ σαλαμῖνος τῶν πολιτῶν κομισθέντας οἷοι ἦσαν, καὶ ὅσοι, καὶ οἵῳ ὀλέθρῳ ὑπὸ τῶν τριάκοντα ἀπώλοντο. ἴστε δὲ τοὺς ἐξ ἐλευσῖνος ὡς πολλοὶ ταύτῃ τῇ συμφορᾷ ἐχρήσαντο. μέμνησθε δὲ καὶ τοὺς ἐνθάδε διὰ τὰς ἰδίας ἔχθρας ἀπαγομένους εἰς τὸ δεσμωτήριον. οἳ οὐδὲν κακὸν τὴν πόλιν ποιήσαντες, ἠναγκάζοντο αἰσχίστῳ καὶ ἀκλεεστάτῳ ὀλέθρῳ ἀπόλλυσθαι. οἱ μὲν γονέας πρεσβύτας καταλιπόντες, οἳ ἤλπιζον ὑπὸ τῶν σφετέρων αὐτῶν παίδων γηροτροφηθέντες, ἐπειδὴ τελευτήσειαν τὸν βίον, ταφήσεσθαι. οἱ δὲ, ἀδελφὰς ἀνεκδότους. οἱ δὲ, παῖδας μικροὺς πολλῆς ἔτι θεραπείας δεομένους. οὓς ὦ ἄνδρες δικασταὶ, ποίαν τινὰ οἴεσθε γνώμην περὶ τούτου ἔχειν, ἢ ποίαν τινὰ ἂν ψῆφον θέσθαι, εἰ ἐπ' ἐκείνοις γένοιτο ἀποστερηθέντας διὰ τοῦτον τῶν ἡδίστων. ἔτι τὰ τείχη ὡς κατεσκάφη, καὶ αἱ νῆες τοῖς πολεμίοις παρεδόθησαν, καὶ νεώρια καθῃρέθη, καὶ λακεδαιμόνιοι τὴν ἀκρόπολιν ὑμῶν εἶχον, καὶ ἡ δύναμις ἅπασα τῆς πόλεως παρελύθη, ὥστε μηδὲν διαφέρειν τῆς ἐλαχίστης πόλεως τὴν πόλιν. πρὸς δὲ τούτοις, τὰς ἰδίας οὐσίας ἀπωλέσατε. καὶ τὸ τελευταῖον, συλλήβδην ἅπαντες ὑπὸ τῶν τριάκοντα ἐκ τῆς πατρίδος ἐξηλάθητε, ταῦτα ἐκεῖνοι οἱ ἀγαθοὶ ἄνδρες αἰσθόμενοι, οὐκ ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην ὦ ἄνδρες δικασταὶ ποιήσασθαι. οὓς σὺ ἀγόρατε βουλόμενος ἀγαθόν τι πρᾶξαι τῇ πόλει, ἀπέκτεινας. μηνύσας αὐτοὺς τῇ πόλει ἐπιβουλεύειν τῷ πλήθει τῷ ὑμετέρῳ, καὶ αἴτιος εἶ ἁπάντων τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων. νῦν οὖν μνησθέντες καὶ τῶν ἰδίων ἕκαστος δυστυχημάτων, καὶ τῶν κοινῶν τῆς πόλεως, τιμωρεῖσθε τὸν αἴτιον τούτων. θαυμάζω δ' ἔγωγε ὦ ἄνδρες δικασταὶ, ὅ, τί ποτε τολμήσει πρὸς ὑμᾶς ἀπολογεῖσθαι. δεῖ γὰρ αὐτὸν ἀποδεῖξαι ὡς οὐ κατεμήνυσε τῶν ἀνδρῶν τούτων. οὐδ' αἴτιος αὐτοῖς ἐστι τοῦ θανάτου, καὶ δύναιτο, οὐδέ ποτε ἀποδεῖξαι. πρῶτον μὲν γὰρ τὰ ψηφίσματα αὐτοῦ τά ἐκ τῆς βουλῆς καὶ τοῦ δήμου καταμαρτυρεῖ. διαρρήδην ἀγοράτου ὄντα, περὶ ὧν ἀγόρατος κατείρηκεν. ἔπειτα ἡ κρίσις ἣν ἐκρίθη ἐπὶ τῶν τριάκοντα καὶ ἀφείθη διαρρήδην λέγει. διότι φησὶν ἔδοξε τἀληθῆ εἰσαγγεῖλαι. ψήφισμα. Γραφή. Ὡς μὲν οὖν οὐκ ἀπέγραψεν, οὐδενὶ τρόπῳ δύναιτ' ἂν ἀποδεῖξαι. δεῖ τοίνυν αὐτὸν ὡς δικαίως ἐμήνυσε ταῦτα ἀποφαίνειν. ὁρῶν αὐτοὺς πονηρὰ καὶ οὐκ ἐπιτήδεια τῷ δήμῳ τῷ ὑμετέρῳ πράττοντας, οἴομαι οὐδ' ἂν τοῦτον αὐτὸν ἐπιχειρῆσαι ἀποδεικνύναι. οὐ γὰρ δή που εἴ τι κακὸν τὸν δῆμον τῶν ἀθηναίων εἰργάσαντο οἱ τριάκοντα δεδιότες μὴ καταλυθείησαν, ὁ δῆμος τιμωρούμενος, ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτειναν. ἀλλ' οἶμαι πολὺ τοὐναντίον τούτου. ἀλλ' ἴσως φήσει ἄκων τοσαῦτα κακὰ ἐργάσασθαι; ἐγὼ δ' οὐκ οἶμαι ὦ ἄνδρες δικασταί. οὐδὲ ἐάν τις ὑμᾶς ὡς μάλιστα ἄκων μεγάλα κακὰ ἐργάσηται, ὧν μὴ οἷόν τε γενέσθαι ὑπερβολὴν, οὐ τούτου ἕνεκα οὐ δεῖν ὑμᾶς ἀμύνεσθαι. ἔτι δὲ καὶ ἐκεῖνο μεμνῆσθαι, ὅτι ἐξῆν ἀγοράτῳ τούτῳ πρὶν εἰς τὴν βουλὴν κομισθῆναι, ὅτι ἐπὶ τοῦ βωμοῦ ἐκάθητο, μουνυχίασι σωθῆναι. καὶ γὰρ πλοῖα παρεσκεύαστο, καὶ ἐγγυηταὶ ἕτοιμοι ἦσαν συναπιέναι. καίτοι εἰ ἐκείνοις ἐπείθου καὶ ἠθέλησας ἐκπλεῦσαι μετ' ἐκείνων, οὔτ' ἂν ἑκὼν, οὔτε ἄκων τοσούτους ἀθηναίους ἀπέκτεινας. νῦν δὲ πεισθεὶς ὑφ' ὧν τότε ἐπείσθης, εἰ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων, τὰ ὀνόματα μόνον εἴποις, μέγα τι ᾤου παρ' αὐτῶν διαπράξεσθαι. οὐκοῦν τούτου ἕνεκα, δεῖ σε παρ' ὑμῶν συγγνώμης τινὸς τυχεῖν. ἐπεὶ οὐδὲ ἐκεῖνοι παρὰ σοῦ οὐδεμιᾶς ἔτυχον, οὓς σὺ ἀπέκτεινας. καὶ ἱππίας μὲν ὁ θάσιος, καὶ ξενοφῶν ὁ κουριεὺς, οἳ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ τούτῳ ὑπὸ τῆς βουλῆς μετεπέμφθησαν, οὗτοι μὲν ἀπέθανον. ὁ μὲν, στρεβλωθεὶς ξενοφῶν. ὁ δὲ ἱππίας, οὕτω. διότι οὐκ ἄξιοι ἐδόκουν τοῖς τριάκοντα, σωτηρίας εἶναι. οὐδένα γὰρ ἀθηναίων ἀπώλεσαν. ἀγόρατος δὲ, ἀφείθη. διότι ἐδόκει ἐκείνοις τὰ ἥδιστα πεποιηκέναι.

Ακούω δ' αὐτὸν καὶ εἰς μενέστρατον ἀναφέρειν τι περὶ τῶν γραφῶν τούτων. τὸ δὲ τοῦ μενεστράτου πρᾶγμα, τοιοῦτον ἐγένετο. ὁ μενέστρατος οὗτος ἀπεγράφη ὑπὸ τοῦ ἀγοράτου, καὶ συλληφθεὶς ἐδέδετο. ἀγνόδωρος δ' ἦν ἀμφιτροπαιεὺς, δημότης τοῦ μενεστρά

του. κριτίου κηδεστής, τοῦ τῶν τριάκοντα. οὗτος οὖν ὅτε ἡ ἐκκλησία μουνιχίασιν ἐν τῷ θεάτρῳ ἐγένετο, ἅμα μὲν βουλόμενος τὸν μενέστρατον σωθῆναι. ἅμα δὲ, ὡς πλείστους ἀπογραφέντας ἀπολέσθαι, παράγει αὐτὸν εἰς τὸν δῆμον. καὶ εὑρίσκων τε αὐτῷ κατὰ τὸ ψήφισμα τουτὶ ἄδειαν. ἐπειδὴ δὲ τοῦτο τὸ ψήφισμα ἐγένετο, μηνύει ὁ μενέστρατος, καὶ προσαπογράφει ἑτέρους τῶν πολιτῶν. τούτους μέντοι οἱ μὲν τριάκοντα ἀφεῖσαν ὥσπερ ἀγόρατον τουτονὶ δόξαντα ἀληθῆ εἰσαγγεῖλαι. ὑμεῖς δὲ πολλῷ χρόνῳ ὕστερον λαβόντες ἐν δικαστηρίῳ ὡς ἀνδροφόνον ὄντα, θάνατον δικαίως καταψηφισάμενοι, τῷ δημίῳ παρέδοτε, καὶ ἀπετυμπανίσθη. καίτοι εἰ ἐκεῖνος ἀπέθανεν, ἦ που ἀγόρατός γε δικαίως ἀποθανεῖται. ὅστε τόν, τε μενέστρατον ἀπογράψας, αἴτιος ἐκείνῳ ἐστὶ τοῦ θανάτου. καὶ τοῖς ὑπὸ μενεστράτου ἀπογραφεῖσι, τίς αἰτιώτερος, ἢ ὁ εἰς τοιαύτην ἀνάγκην ἐκεῖνον καταστήσας. ἀνόμοιος δέ μοι δοκεῖ ἀριστοφάνει γενέσθαι τῷ χολλίδῃ. ὃς ἐγγυητὴς τότε τούτου ἐγένετο. καὶ τὰ πλοῖα παρασκευάσας μουνυχίασιν ἕτοιμος ἦν συνεκπλεῖν μετὰ τούτου, καὶ τό γε ἐπ' ἐκεῖνον εἶναι ἐσώθης, καὶ οὔτ' ἂν ἀθηναίων οὐδένα ἀπώλεσας, οὔτ' ἂν αὐτὸς εἰς τοιούτους κινδύνους κατέστης. νῦν δὲ καὶ τὸν σωτῆρα τὸν σαυτοῦ ἐτόλμησας ἀπογράψαι, καὶ ἐπιγράψας, καὶ ἐκεῖνον καὶ τοὺς ἄλλους ἐξέντεσας. τοῦτον μέντοι ὡς οὐ καθαρῶς ἀθηναῖον ὄντα, ἐβούλοντο τινὲς καταστρεβλῶσαι, καὶ τουτὶ τὸ ψήφισμα τὸν δῆμον ἀναπείθουσι ψηφίζεσθαι. μετὰ ταῦτα τοίνυν προσιόντες τῷ ἀριστοφάνει, οἱ πράττοντες τότε τὰ πράγματα ἐδέοντο αὐτοῦ κατειπεῖν καὶ σώζεσθαι, καὶ μὴ κινδυνεύειν, ἀγωνισάμενον τῆς ξενίας τὰ ἔσχατα παθεῖν. ὁ δὲ οὐκ ἔφη οὐδέποτε. οὕτω χρηστὸς ἦν καὶ περὶ τοὺς δεδεμένους καὶ περὶ τὸν δῆμον τῶν ἀθηναίων, ὥστε εἵλετο μᾶλλον ἀποθανεῖν, ἢ κατειπεῖν, καὶ ἀδίκως τινὰς ἀπολέσαι. ἐκεῖνος μὲν τοίνυν καὶ ὑπὸ σοῦ ἀπολλύμενος, τοιοῦτος ἐγένετο. καὶ ὁ ξενοφῶν ὁ στρεβλωθεὶς, καὶ ἱππίας ὁ θάσιος. σὺ δ' οὐδὲν τοῖς ἀνδράσιν ἐκείνοις συνειδὼς, πεισθεὶς δὲ ὡς σύ γε ἂν ἐκεῖνοι ἀπόλωνται, μεθέξεις τῆς τε πολιτείας καθισταμένης, ἀπεγράφης. καὶ ἀπέκτεινας ἀθηναίων πολλοὺς καὶ ἀγαθούς.

Βούλομαι δ' ὑμῖν ὦ ἄνδρες δικασταὶ ἐπιδεῖξαι, οἵων ἀνδρῶν ὑπὸ ἀγοράτου ἀπεστέρησθε. εἰ μὲν οὖν πολλοὶ ἦσαν, καθ' ἕκαστον ἂν περὶ αὐτῶν ἠκούετε. νῦν δὲ, συλλήβδην περὶ πάντων. οἱ μὲν γὰρ στρατηγήσαντες, ὑμῖν πολλάκις μείζω τὴν πόλιν τοῖς διαδεχομένοις στρατηγοῖς παρεδίδοσαν. οἱ δ' ἑτέρας μεγάλας ἀρχὰς ἄρξαντες, καὶ τριηραρχίας πολλὰς τριηραρχήσαντες, οὐδὲ πώποτε οὐδ' ὑφ' ὑμῶν οὐδὲ μίαν τὴν αἰτίαν αἰσχρὰν ἔσχον. οἱ δ' αὐτῶν περιγενόμενοι καὶ σωθέντες, οὓς οὗτος μὲν ἀπέκτεινεν ὠμῶς, καὶ θάνατος αὐτῶν κατεγνώσθη, ἡ δὲ τύχη καὶ ὁ δαίμων περιεποίησε. φυγόντες γὰρ ἐνθένδε, καὶ οὐ συλληφθέντες οὐδὲ ὑπομείναντες τὴν κρίσιν, κατελθόντες ἀπὸ φυλῆς, τιμῶνται ὑφ' ὑμῶν, ὡς ἄνδρες ἀγαθοὶ ὄντες. τούτους μὲν τοιούτους ὄντας, ἀγόρατος τοὺς μὲν, ἀπέκτεινε. τοὺς δὲ φυγάδας, ἐντεῦθεν ἐποίησε. τίς ὢν αὐτός, δεῖ γὰρ ὑμᾶς εἰδέναι, ὅτι δοῦλος καὶ ἐκ δούλων ἐστίν. ἵν' εἰδῆτε οἷος ὢν εἰς ὑμᾶς ἐλυμαίνετο. τούτῳ μὲν γὰρ πατὴρ ἦν εὐμαρής. ἐγένετο δὲ ὁ εὐμαρὴς οὗτος, νικοκλέους καὶ ἀντικλέους. καί μοι ἀνάβητε μάρτυρες. Μάρτυρες.

Πολλὰ τοίνυν ὦ ἄνδρες δικασταὶ ὅσα κακὰ καὶ αἰσχρὰ, καὶ τούτῳ καὶ τοῖς τούτου ἀδελφοῖς ἐπιτετήδευται, πολὺ ἂν ἔργον εἴη λέγειν. περὶ δὲ συκοφαντίας ὅσας οὗτος, ἢ δίκας ἰδίας συκοφαντῶν ἐδικάζετο, ἢ γραφὰς ὅσας ἐγράφετο, ἢ ἀπογραφὰς ἐπέγραφεν, οὐδέν με δεῖ καθ' ἕκαστον λέγειν. συλλήβδην γὰρ ὑμεῖς ἅπαντες, καὶ ἐν τῷ δήμῳ καὶ ἐν τῷ δικαστηρίῳ, συκοφαντίας αὐτοῦ κατέγνωτε. καὶ ὦφλισεν ὑμῖν μυρίας δραχμάς. ὥστε τοῦτο μὲν ἱκανῶς ὑπὸ ὑμῶν ἁπάντων μεμαρτύρηται. γυναῖκας τοίνυν τῶν πολιτῶν τοιοῦτος ὤν, μοιχεύειν καὶ διαφθείρειν ἐλευθέρας ἐπιχείρησε. καὶ ἐλήφθη μοιχός, καὶ τούτου θάνατος ἡ ζημία ἐστίν. ὡς δὲ ἀληθῆ λέγω, μάρτυρας κάλει. Μάρτυρες.

Ἦσαν τοίνυν οὗτοι ὦ ἄνδρες δικασταὶ, τέτταρες ἀδελφοί. τούτων εἷς μὲν ὁ πρεσβύτερος ἐν σικελίᾳ φρυκτωρευόμενος τοῖς πολεμίοις, ληφθεὶς ὑπὸ λαμάχου, ἀπε

τυμπα

τυμπανίσθη. ὁ δὲ ἕτερος, εἰς κόρινθον μὲν ἐντευθενὶ ἀνδράποδον ἐξήγαγε. ἐκεῖθεν δὲ παιδίσκην αὐτὸς ἐξάγων, ἁλίσκεται, καὶ ἐν τῷ δεσμωτηρίῳ, δεδεμένος ἀπέθανε. τὸν δὲ τρίτον φαινιππίδην ἐνθάδε λωποδύτην ἀπήγαγε, καὶ ὑμεῖς κρίναντες αὐτὸν ἐν τῷ δικαστηρίῳ, καὶ καταγνόντες αὐτοῦ θάνατον, ἀποτυμπανίσαι παρέδοτε. ὡς δὲ ἀληθῆ λέγω, καὶ αὐτὸν οἶμαι ὁμολογήσειν τοῦτον, καὶ μάρτυρας παρεξόμεθα.

μάρτυρες. Πῶς οὖν οὐχ ἅπασι προσήκει ὑμῖν τούτου καταψηφίζεσθαι, εἰ γὰρ τούτων ἕκαστος δι᾽ ἓν ἁμάρτημα θανάτου ἠξιώθη, ὑπὸ τοῦ γε πολλὰ ἐξημαρτηκότος καὶ δημοσίᾳ εἰς τὴν πόλιν, καὶ ἰδίᾳ εἰς ἕκαστον ὑμῶν ὧν ἑκάστου ἁμαρτήσαντος, ἐν τοῖς νόμοις θάνατος ἡ ζημία ἐστὶ, δεῖ ὑμᾶς σφόδρα θάνατον αὐτοῦ καταψηφίσασθαι. Λέξει δὲ ὦ ἄνδρες δικασταὶ καὶ ἐξαπατῆσαι ὑμᾶς πειράσεται, ὡς ἐπὶ τῶν τετρακοσίων, φρύνιχον ἀπέκτεινε, καὶ ἀντὶ τούτου φησὶν αὐτὸν ἀθηναῖον τὸν δῆμον ποιήσασθαι. ψευδόμενος ὦ ἄνδρες δικασταὶ, οὔτε γὰρ φρύνιχον ἀπέκτεινεν, οὔτε ἀθηναῖον αὐτὸν ὁ δῆμος ἐποιήσατο. φρυνίχῳ γὰρ ὦ ἄνδρες δικασταὶ κοινῇ, θρασύβουλός τε ὁ καλυδώνιος, καὶ ἀπολλόδωρος ὁ μεγαρεὺς ἐπεβούλευσαν. ἐπειδὴ δὲ ἐπετυχέτην αὐτῷ βαδίζοντι, ὁ μὲν θρασύβουλος τύπτει τὸν φρύνιχον, καὶ καταβάλλει πατάξας. ὁ δὲ ἀπολλόδωρος οὐχ ἥψατο, ἀλλὰ τούτῳ κραυγὴ γίνεται, καὶ ᾤχοντο φεύγοντες. ἀγόρατός τε οὑτοσὶ, οὔτε παρεκλήθη, οὔτε παρεγένετο, οὔτε οἶδε τοῦ πράγματος οὐδὲν, ὡς δὲ ἀληθῆ λέγω, αὐτὸ ὑμῖν τὸ ψήφισμα δηλώσει.

ψήφισμα. Ὅτι μὲν οὐκ ἀπέκτεινε φρύνιχον, ἐξ αὐτοῦ τοῦ ψηφίσματος δῆλον. οὐδαμοῦ γάρ ἐστιν ἀγόρατον ἀθηναῖον εἶναι, ὥσπερ θρασύβουλον καὶ ἀπολλόδωρον. καί τοι εἴπερ ἀπέκτεινε φρύνιχον, ἔδει αὐτὸν ἐν τῇ αὐτῇ στήλῃ ἵναπερ θρασύβουλον καὶ ἀπολλόδωρον ἀθηναῖον πεποιημένον. τὰ μέν τοι ὀνόματα διαπράττονται σφῶν αὐτῶν, δόντες ἀργύριον τῷ ῥήτορι προσγραφῆναι εἰς τὴν στήλην ὡς εὐεργέταις ὄντας, καὶ ὡς ἀληθῆ λέγω, τοῦτο τὸ ψήφισμα ἐλέγξει.

ψήφισμα. Οὕτω μέν τοι οὗτος πολὺ ὑμῶν καταφρονεῖ, ὥστε οὐκ ὢν ἀθηναῖος, καὶ ἐδίκαζε, καὶ ἐξεκλησίαζε, καὶ γραφὰς τὰς ἐξ ἀνθρώπων ἐγράφετο. ἐπιγραφόμενος ἀναγυράσιος εἶναι. ἔπειτα δὲ καὶ ἕτερον μέγα τεκμήριον, ὡς οὐκ αὖ ἀπέκτεινε φρύνιχον, δι᾽ ὃν ἀθηναῖός φησι γεγενῆσθαι. ὁ φρύνιχος γὰρ οὗτος, τοὺς τετρακοσίους κατέστησε. ἐπειδὴ δ᾽ ἐκεῖνοι ἀπέθανον, οἱ πολλοὶ τῶν τετρακοσίων ἔφυγον. πότερον οὖν δοκοῦσιν ὑμῖν οἱ τριάκοντα καὶ ἡ βουλὴ ἡ ἐπὶ τῶν τριάκοντα βουλεύουσα, οἱ αὐτοὶ ἦσαν ἅπαντες τῶν τετρακοσίων τῶν φευγόντων, ἀφεῖναι ἂν λαβόντες τὸν φρύνιχον ἀποκτείναντα, ἢ τιμωρήσασθαι ὑπὲρ φρυνίχου καὶ τῆς φυγῆς, ἧς αὐτοὶ ἔφυγον. ἐγὼ μὲν οἶμαι τιμωρεῖσθαι ἄν. εἰ μὲν οὖν μὴ ἀποκτείνας προσποιεῖται, ἀδικεῖ ὡς ἐγώ φημι. εἰ δὲ ἀμφισβητεῖς καὶ φὴς φρύνιχον ἀποκτεῖναι, δῆλον ὅτι μείζω τὸν δῆμον τῶν ἀθηναίων κακὰ ποιήσας, τὴν ὑπὲρ φρυνίχου αἰτίαν πρὸς τοὺς τριάκοντα ἀπελύσω. οὐδέποτε γὰρ πείσεις οὐδένα ἀνθρώπων, ὡς φρύνιχον ἀποκτείνας, ἀφείθης ἂν ὑπὸ τῶν τριάκοντα, εἰ μὴ μεγάλα τὸν δῆμον τῶν ἀθηναίων, καὶ ἀνήκεστα κακὰ εἰργάσω. ἐὰν μὲν οὖν φάσκῃ φρύνιχον ἀποκτεῖναι, τούτων μέμνησθε, καὶ τοῦτον τιμωρεῖσθε, ἀνθ᾽ ὧν ἐποίησεν. ἐὰν δὲ μὴ φάσκῃ, ἔρεσθε αὐτόν, διότι φησὶν ἀθηναῖος ποιηθῆναι. ἐὰν δὲ μὴ ἔχῃ ἀποδεῖξαι, τιμωρεῖσθε αὐτὸν, ὅτι καὶ ἐδίκαζεν, καὶ ἐξεκλησίαζε, καὶ ἐσυκοφάντει πολλοὺς, ὡς ἀθηναῖος τοὔνομα ἐπιγραφόμενος. Ἀκούω δὲ αὐτὸν παρασκευάζεσθαι ἀπολογεῖσθαι, ὡς καὶ ἐπὶ φυλήν τε ᾤχετο, καὶ συγκατῆλθεν ἀπὸ φυλῆς, καὶ τοῦτο μέγιστον ἀγώνισμα εἶναι. ἐγένετο δὲ τοιοῦτον. ἦλθεν οὗτος ἐπὶ φυλήν. καί τοι πῶς ἂν γένοιτο ἄνθρωπος μιαρώτερος, ὅστις εἰδὼς ὅτι εἰσί τινες ἐπὶ φυλῇ τῶν ὑπὸ τούτου ἐκπεπτωκότων, ἐτόλμησεν ἐλθεῖν ὡς τούτους. ἐπειδὴ δὲ εἶδον αὐτὸν, τάχιστα συλλαβόντες, ἄγουσιν αὐτίκα ὡς ἀποκτενοῦντες, οὗπερ καὶ τοὺς ἄλλους ἀπέσφαττον, εἴ τινα λῃστὴν ἢ κακοῦργον συλλάβοιεν. Στρατηγῶν δὲ ἄνυτος ἐπὶ φυλῇ, οὐκ ἔφη χρῆ-

ναι ποιεῖν αὐτοὺς ταῦτα λέγων ὅτι οὔπω οὕτω διακέοιντο, ὥστε τιμωρεῖσθαι τινὰς τῶν ἐχθρῶν. ἀλλὰ νῦν μὲν δεῖν αὐτοὺς ἡσυχίαν ἔχειν. εἰ δέ ποτε οἴκαδε κατέλθοιεν, τότε καὶ τιμωρήσοιντο τοὺς ἀδικοῦντας. ταῦτα λέγων, αἴτιος ἐγένετο τοῦ ἀποφυγεῖν τοῦτον ἐκ φυλῆς. ἀνάγκη δὲ ἦν τοῦ στρατηγοῦ ἀνδρὸς ἀκροᾶσθαι, εἴπερ ἔμελλον σωθήσεσθαι. Ἀλλ' ἕτερον, οὔτε γὰρ συσσιτήσας τούτῳ οὐδεὶς φανήσεται, οὔτε σύσκηνος γενόμενος, οὔτε ταξίαρχος εἰς τὴν φυλὴν καταταξάμενος. ἀλλ' ὥσπερ ἀλιτηρίῳ, οὐδεὶς ἀνθρώπων αὐτῷ διελέγετο, καί μοι κάλει τὸν ταξίαρχον.

μάρτυς.

Ἐπειδὴ διαλλαγαὶ πρὸς ἀλλήλους ἐγένοντο, καὶ ἔπεμψαν οἱ πολῖται ἐκ πειραιῶς τὴν πομπὴν εἰς πόλιν, ἡγεῖτο μὲν αἴσιμος τῶν πολιτῶν. οὗτος δὲ οὕτω τολμηρὸς καὶ ἐκεῖνος ἐγένετο. συνηκολούθει γὰρ λαβὼν τὰ ὅπλα καὶ συνέπεμπε τὴν πομπὴν μετὰ τῶν πολιτῶν πρὸς τὸ ἄστυ. Ἐπειδὴ δὲ πρὸς ταῖς φυλαῖς ἦσαν, καὶ ἔθεντο τὰ ὅπλα πρὶν εἰσιέναι εἰς τὸ ἄστυ, ὁ μὲν αἴσιμος αἰσθάνεται. καὶ προσελθὼν, τήν τε ἀσπίδα αὐτοῦ λαβὼν ἔρριψε. καὶ ἀπιέναι ἐκέλευσεν ἐς κόρακας ἐκ τῶν πολιτῶν. οὐ γὰρ ἔφη δεῖν ἀνδροφόνον αὐτὸν ὄντα συμπέμπειν τὴν πομπὴν τῇ ἀθηνᾷ. τούτῳ τῷ τρόπῳ ὑπὸ αἰσίμου ἀπηλάθη. ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

μάρτυρες.

Τούτῳ τῷ τρόπῳ ὦ ἄνδρες δικασταὶ, καὶ ἐν φυλῇ καὶ ἐν πειραιεῖ, πρὸς τοὺς ὁπλίτας διέκειτο. οὐδεὶς γὰρ αὐτῷ διελέγετο, ὡς ἀνδροφόνῳ ὄντι. τοῦ τε μὴ ἀποθανεῖν, ἄνυτος ἐγένετο αὐτῷ αἴτιος. ἐὰν οὖν τῇ ἐπὶ φυλὴν ὁδῷ, ἀπολογίᾳ χρῆται, ὑπολαμβάνειν χρὴ εἰ ἄνυτος αὐτῷ ἐγένετο αἴτιος μὴ ἀποθανεῖν ἑτοίμων ὄντων τιμωρεῖσθαι, καὶ ἔρριψεν αὐτοῦ αἴσιμος τὴν ἀσπίδα, καὶ οὐκ εἴα μετὰ τῶν πολιτῶν πέμπειν τὴν πομπήν. καὶ εἴ τις αὐτὸν ταξίαρχος εἰς τάξιν τινὰ κατέταξεν. Μήτε οὖν ταῦτα αὐτοῦ ἀποδέχεσθε, μήτε ἂν λέγῃ, ὅτι πολλῷ χρόνῳ ὕστερον τιμωρούμεθα. οὐ γὰρ οἶμαι οὐδὲ μίαν τῶν τοιούτων ἀδικημάτων προθεσμίαν εἶναι. ἀλλ' ἐγὼ μὲν οἶμαι εἴτ' εὐθὺς, εἴτε χρόνῳ τις τιμωρεῖται, τοῦτον δεῖν ἀποδεικνύναι, ὡς οὐ πεποίηκε περὶ ὧν ἐστὶν ἡ αἰτία. οὗτος τοίνυν τοῦτο ἀποφαινέτω, ἢ ὡς οὐκ ἀπέκτεινεν ἐκείνους, ἢ ὡς δικαίως κακόν τι ποιοῦντας τὸν δῆμον τῶν ἀθηναίων. εἰ δὲ πάλαι δέον τιμωρεῖσθαι, ὕστερον ὑμεῖς τιμωρούμεθα, τὸν χρόνον κερδαίνει ὃν ἔζη. οὐ προσῆκον αὐτῷ. οἱ δὲ ἄνδρες ὑπὸ τούτου, οὐδὲν ἧττον τεθνήκασιν. Ἀκούω δ' αὐτὸν καὶ διισχυρίζεσθαι, ὅτι ἐπ' αὐτοφώρῳ τῇ ἀπαγωγῇ ἐπιγέγραπται. πάντων ἐγὼ οἶμαι εὐηθέστατον, ὡς εἰ μὲν τὸ ἐπ' αὐτοφώρῳ μὴ προσεγέγραπτο, ἔνοχος ὢν τῇ ἀπαγωγῇ. διότι δὲ τοῦτο προσγέγραπται ἔνοχος ὢν, ῥᾳστώνην τινὰ οἴεται αὐτῷ εἶναι. τοῦτο δὲ οὐδενὶ ἄλλῳ ἔοικεν, ἢ ὁμολογεῖν ἀποκτεῖναι μὴ ἐπ' αὐτοφώρῳ δὲ. καὶ περὶ τούτου διισχυρίζεσθαι. ὥσπερ εἰ μὴ ἐπ' αὐτοφώρῳ μὲν, ἀπέκτεινε δὲ, τούτου ἕνεκα δέον αὐτὸν σώζεσθαι. Δοκοῦσι δ' ἔμοιγε οἱ ἕνδεκα οἱ παραδεξάμενοι τὴν ἀπαγωγὴν ταύτην οἰόμενοι ἀγοράτῳ συμπράττειν τότε, καὶ διισχυριζόμενοι σφόδρα ὀρθῶς ποιῆσαι διονύσιον, τὴν ἀπαγωγὴν ἀπάγειν ἀναγκάζοντες, προσγράψασθαι τότε ἐπ' αὐτοφώρῳ, ἢ ὅπου ἂν ᾖ. πρῶτον μὲν ἐναντίον πεντακοσίων ἐν τῇ βουλῇ. εἶτα πάλιν ἐναντίον ἀθηναίων ἁπάντων ἐν τῷ δήμῳ ἀπογράψας τινὰς ἀποκτένει, καὶ αἴτιος γένοιτο τοῦ θανάτου. οὐ γὰρ δή που τοῦτο μόνον οἴεται ἐπ' αὐτοφώρῳ, ἐάν τις ξύλῳ ἢ μαχαίρᾳ πατάξας καταβάλῃ. ἐπεὶ ἔκ γε τοῦ σοῦ λόγου, οὐδεὶς φανήσεται ἀποκτείνας τοὺς ἄνδρας, οὓς σὺ ἀπέγραψας, οὔτε γὰρ ἐπάταξεν αὐτοὺς οὐδεὶς, οὔτε ἀπέσφαξεν. ἀλλ' ἀναγκασθέντες ὑπὸ τῆς σῆς ἀπογραφῆς, ἀπέθανον. οὐκοῦν, αἴτιος τοῦ θανάτου οὗτος ἐπ' αὐτοφώρῳ ἐστί. τίς οὖν ἄλλος αἴτιος, ἢ σὺ ἀπογράψας. ὥστε πῶς οὐκ ἐπ' αὐτοφώρῳ σὺ εἶ ὁ ἀποκτείνας. Πυνθάνομαι δ' αὐτὸν καὶ περὶ τῶν ὅρκων, καὶ περὶ τῶν συνθηκῶν μέλλειν λέγειν. ὡς παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας ἀγωνίζεται. ἃς συνεθέμεθα πρὸς τοὺς ἐν ἄστει, οἱ ἐν τῷ πειραιεῖ. σχεδὸν μὲν οὖν τούτοις ἰσχυριζόμενος, ὁμολογεῖ ἀνδροφόνος εἶναι. ἐμποδὼν γοῦν, ἢ ὅρκους, ἢ συνθήκας, ἢ χρόνον, ἢ μετ' αὐτοφώρῳ τι ποιεῖται

τί ποιεῖται. αὐτῷ δὲ τῷ γράμματι οὐδὲ πιστεύει καλῶς ἀπωνεῖσθαι. ὑμῖν δὲ ὦ ἄνδρες δικασταί, οὐ προσήκει περὶ τούτων ἀποδέχεσθαι. ἀλλ᾽ ὡς οὐκ ἐπέγραψεν, ὅτι οἱ ἄνδρες τεθνᾶσι, περὶ τούτων κελεύετε αὐτὸν ἀπολογεῖσθαι. ἔπειτα τοὺς ὅρκους καὶ τὰς συνθήκας οὐδὲν ἡγοῦμαι προσήκειν ὑμῖν πρὸς τοῦτον. οἱ γὰρ ὅρκοι τοῖς ἐν ἄστει πρὸς τοὺς ἐν Πειραιεῖ γεγένηνται. εἰ μὲν οὖν οὗτος μὲν ἐν ἄστει, ὑμεῖς δὲ ἐν Πειραιεῖ ἦτε, εἶχεν τινὰ λόγον αὐτῷ αἱ συνθῆκαι. νῦν δὲ καὶ οὗτος ἐν Πειραιεῖ ἦν, καὶ ἐγὼ καὶ Διονύσιος καὶ οὗτοι ἅπαντες οἱ τοῦτον τιμωρούμενοι. ὥστε οὐκ ἔστιν ὑμῖν ἐμποδών. οὐδένα γὰρ ὅρκον οἱ ἐν Πειραιεῖ τοῖς ἐν ἄστει ὤμοσαν.

Ἐκ παντὸς δὲ τρόπου ἔμοιγε δοκεῖ οὐχ ἑνὸς θανάτου ἄξιος εἶναι. ὅστις φησὶ μὲν ὑπὸ τοῦ δήμου, τὸν δὲ δῆμον ὃν αὐτός φησι πατέρα αὐτοῦ εἶναι, φαίνεται κακώσας, καὶ ἀφεὶς καὶ προδοὺς ἐξ ὧν ἐκεῖνος μείζων καὶ ἰσχυρότερος ἐγένετο. ὅστις οὖν τόν τε γόνῳ πατέρα τὸν αὐτοῦ ἔτυπτε, καὶ οὐδὲν παρεῖχε τῶν ἐπιτηδείων, τόν τε ποιητὸν πατέρα ἀφείλετο ἃ ἦν ὑπάρχοντα ἐκείνῳ ἀγαθά, πῶς οὐ καὶ διὰ τοῦτο καὶ διὰ τὸν τῆς κακώσεως νόμον, ἄξιός ἐστι θανάτῳ ζημιωθῆναι. προσήκει δ᾽ ὑμῖν ὦ ἄνδρες δικασταὶ ἅπασι τιμωρεῖν ὑπὲρ ἐκείνων τῶν ἀνδρῶν ὁμοίως ὥσπερ ὑμῶν ἑνὶ ἑκάστῳ. ἀποθνήσκοντες γὰρ, ὑμῖν ἐπέσκηψαν καὶ ἡμῖν, καὶ τοῖς ἄλλοις ἅπασι τιμωρεῖν ὑπὲρ σφῶν αὐτῶν, Ἀγόρατον τουτονὶ ὡς φονέα ὄντα, καὶ κακῶς ποιεῖν καθ᾽ ὅσον ἂν βραχὺ ἕκαστος δύνηται. εἰ τοίνυν τι ἐκεῖνοι ἀγαθὸν τὴν πόλιν ἢ τὸ πλῆθος τὸ ὑμέτερον φανεροί εἰσι πεποιηκότες, ἃ καὶ αὐτοὶ ὑμεῖς ὁμολογεῖτε, ἀνάγκη ὑμᾶς ἐστι πάντας ἐκείνοις φίλους καὶ ἐπιτηδείους εἶναι. ὥστε οὐδὲν μᾶλλον ἡμῖν, ἢ καὶ ὑμῶν ἑνὶ ἑκάστῳ ἐπέσκηψαν. οὔκουν οὔτε ὅσιον, οὔτε νόμιμον ὑμῖν ἐστιν ἀφεῖναι Ἀγόρατον τουτονί. ὑμεῖς τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι, νυνὶ δή, ἐπεὶ ἐν τῷ τότε χρόνῳ ἐν ᾧ ἐκεῖνοι ἀπέθνησκον οὐχ οἷοί τε ἐκείνοις ἐπαρκέσαι γεγόνατε διὰ τὰ πράγματα τὰ παρεστηκότα, νῦν ἐν ᾧ δύνασθε, τιμωρήσατε τὸν ἐκείνων φονέα. ἐνθυμεῖσθε δ᾽ ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ πάντων ἔργον σχετλιώτατον ἐργάσησθε. εἰ γὰρ ἀποψηφιεῖσθε Ἀγοράτου τουτουί, οὐ μόνον τούτῳ διαπράττεσθε, ἀλλὰ καὶ ἐκείνων τῶν ἀνδρῶν, οὓς ὁμολογεῖτε ὑμῖν εὔνους εἶναι, τῇ ψήφῳ ταύτῃ, θάνατον καταψηφίσασθε. ἀπολύοντες γὰρ τὸν αἴτιον ὄντα ἐκείνοις τοῦ θανάτου, οὐδὲν ἄλλο γιγνώσκετε, ἢ ἐκείνους δικαίως ὑπὸ τούτου τεθνηκέναι. καὶ οὕτως ἂν δεινότατα πάντων πάθοιεν, εἰ οἷς ἐπέσκηπτον ἐκεῖνοι ὡς φίλοις οὖσι τιμωρεῖν ὑπὲρ αὐτῶν, οὗτοι ὁμόψηφοι κατ᾽ ἐκείνων τῶν ἀνδρῶν τοῖς τριάκοντα γενήσονται.

Μηδαμῶς ὦ ἄνδρες δικασταὶ πρὸς θεῶν Ὀλυμπίων, μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ θάνατον ἐκείνων τῶν ἀνδρῶν καταψηφίσησθε. οἳ πολλὰ κἀγαθὰ ὑμᾶς ποιήσαντες, διὰ ταῦτα ὑπὸ τῶν τριάκοντα, καὶ Ἀγοράτου τουτουὶ ἀπέθανον. ἀναμνησθέντες οὖν ἁπάντων τῶν δεινῶν, καὶ τῶν κοινῶν τῇ πόλει, καὶ τῶν ἰδίων ὅσα ἑκάστῳ ἐγένοντο. ἐπειδὴ ἐκεῖνοι οἱ ἄνδρες ἐτελεύτησαν, τιμωρήσατε τὸν αἴτιον τούτων. ἀποδέδεικται δ᾽ ὑμῖν ἅπαντα καὶ ἐκ τῶν ψηφισμάτων, καὶ ἐκ τῶν ἀπογραφῶν, καὶ ἐκ τῶν ἄλλων ἁπάντων, Ἀγόρατος ὢν αὐτοῖς αἴτιος τοῦ θανάτου. ἔτι δὲ προσήκει ὑμῖν ἐναντία τοῖς τριάκοντα ψηφίζεσθαι. ὧν μὲν τοίνυν ἐκεῖνοι θάνατον κατέγνωσαν, ὑμεῖς ἀποψηφίσασθε· ὧν δ᾽ ἐκεῖνοι θάνατον οὐ κατέγνωσαν, ὑμεῖς καταγινώσκετε· οἱ τριάκοντα τοίνυν τῶν μὲν ἀνδρῶν τούτων, οἳ ἦσαν ὑμέτεροι φίλοι, θάνατον κατέγνωσαν, ὧν δεῖ ὑμᾶς ἀποψηφίζεσθαι· Ἀγοράτου δὲ ἀπεψηφίσαντο, διότι ἐδόκει προθύμως τούτους ἀπολλύναι. οὗ προσήκει καταψηφίζεσθαι. ἐὰν οὖν τἀναντία τοῖς τριάκοντα ψηφίζησθε, πρῶτον μὲν οὐχ ὁμόψηφοι γίγνεσθε. ἔπειτα τοῖς ὑμετέροις αὐτῶν φίλοις, τετιμωρηκότες ἔσεσθε. ἔπειτα τοῖς πᾶσιν ἀνθρώποις δόξετε δίκαια καὶ ὅσια ψηφίσασθαι.

Λυσίου, κατὰ Ἀλκιβιάδου λειποταξίου.

Οἶμαι μὲν ὦ ἄνδρες δικασταί, οὐδεμίαν ὑμᾶς ποθεῖν ἀκοῦσαι πρόφασιν παρὰ τῶν βουλομένων Ἀλκιβιάδου κατηγορεῖν. τοιοῦτον γὰρ πολίτην ἑαυτὸν ἐξ ἀρχῆς παρέσχεν, ὥστε καὶ εἰ μή τις ἰδίᾳ ἀδικούμενος ὑπ' αὐτοῦ τυγχάνει, οὐδὲν ἧττον προσήκει ἐκ τῶν ἄλλων ἐπιτηδευμάτων, ἐχθρὸν αὐτὸν ἡγεῖσθαι. οὐ γὰρ μικρὰ τὰ ἁμαρτήματα, οὐδὲ συγγνώμης ἄξια, οὐδ' ἐλπίδα παρέχοντα, ὡς ἔσται τὰ λοιπὰ βελτίων· ἀλλ' οὕτω πεπραγμένα καὶ εἰς τοσοῦτο κακίας ἀφιγμένα, ὥστ' ἐπινικίοις ὧν οὗτος φιλοτιμεῖται τοὺς ἐχθροὺς αἰσχύνεσθαι. Ἐγὼ μέντοι ὦ ἄνδρες δικασταί, καὶ προτέρας πρὸς τοὺς πατέρας ἡμῶν διαφορᾶς ὑπαρχούσης, καὶ πάλαι τοῦτον ἐχθρὸν ἡγούμενος, καὶ νῦν ὑπ' αὐτοῦ πεπονθὼς κακῶς, πειράσομαι περὶ πάντων τῶν πεπραγμένων, μεθ' ὑμῶν αὐτὸν τιμωρήσασθαι. περὶ μὲν τῶν ἄλλων, Ἀρχεστρατίδης ἱκανῶς κατηγόρηκε, καὶ γὰρ τοὺς νόμους ἐπέδειξε, καὶ μάρτυρας πάντων παρέσχετο. ὅσα δὲ οὗτος παραλέλοιπεν, ἐγὼ καθ' ἕκαστον ὑμᾶς διδάξω. ἀνάγνωθι δέ μοι τὸν νόμον.

Νόμος. Εἰκὸς τοίνυν ἐστὶν ὦ ἄνδρες δικασταί, ἐξ οὗ τὴν εἰρήνην ἐποιησάμεθα, πρῶτον περὶ τούτων νυνὶ δικάζοντας, μὴ μόνον δικαστάς, ἀλλὰ καὶ νομοθέτας αὐτοὺς γενέσθαι. εὖ εἰδότας, ὅτι ὅπως ἂν ὑμεῖς νυνὶ περὶ αὐτῶν γνῶτε, οὕτω καὶ τὸν ἄλλον χρόνον ἡ πόλις αὐτοῖς χρήσεται. δοκεῖ δέ μοι καὶ πολίτου χρηστοῦ καὶ δικαστοῦ δικαίου ἔργον εἶναι, ταύτῃ τοὺς νόμους διαλαμβάνειν, ὅπῃ εἰς τὸν λοιπὸν χρόνον μέλλει συνοίσειν τῇ πόλει. τολμῶσι γάρ τινες λέγειν ὡς οὐδεὶς ἔνοχός ἐστι λειποταξίου. οὐδὲ δειλίας. μάχην γὰρ οὐδεμίαν γεγονέναι. τὸν δὲ νόμον κελεύειν, ἐάν τις λείπῃ τὴν τάξιν εἰς τοὐπίσω δειλίας ἕνεκα μαχομένων τῶν ἄλλων, περὶ τούτου τοὺς στρατιώτας δικάζειν. ὁ δὲ νόμος οὐ περὶ τούτων κελεύει μόνον, ἀλλὰ καὶ ὁπόσοι ἂν μὴ παρῶσιν ἐν τῇ πεζῇ στρατιᾷ, ἀνάγνωθί μοι τὸν νόμον. Νόμος. Ἀκούετε ὦ ἄνδρες δικασταί, ὅτι περὶ ἀμφοτέρων κεῖται, καὶ ὅσοι ἂν μάχης οὔσης εἰς τοὐπίσω ἀναχωρήσωσι, καὶ ὅσοι ἂν ἐν τῇ πεζῇ στρατιᾷ μὴ παρῶσι. σκέψασθε δὲ τίνες εἰσὶν οὓς δεῖ παρεῖναι. οὐχ οἵτινες ἂν τὴν ἡλικίαν ταύτην ἔχωσιν; οὐχ οὓς ἂν οἱ στρατηγοὶ καταλέξωσιν; ἡγοῦμαι δὲ ὦ ἄνδρες δικασταὶ ὅλῳ τῷ νόμῳ μόνον αὐτὸν τῶν πολιτῶν ἔνοχον εἶναι. ἀστρατείας μὲν γὰρ δικαίως ἂν αὐτὸν ἁλῶναι, ὅτι καταλεγεὶς ὁπλίτης οὐκ ἐπεξῆλθε μεθ' ὑμῶν στρατοπεδευομένων. οὐδὲ παρέσχε μετὰ τῶν ἄλλων ἑαυτὸν τάξαι. δειλίας δὲ ὅτι δέον ἕκαστον μετὰ τῶν πολιτῶν κινδυνεύειν, ἱππεύειν εἵλετο. καίτοι φασὶν αὐτόν, ταύτην τὴν ἀπολογίαν ποιήσασθαι, ὡς ἐπειδήπερ ἵππευεν, οὐδὲν ἠδίκει τὴν πόλιν. ἐγὼ δὲ ἡγοῦμαι διὰ τοῦθ' ὑμᾶς δικαίως ἂν αὐτῷ ὀργίζεσθαι. ὅτι τοῦ νόμου κελεύοντος, ἐάν τις ἀδοκίμαστος ἱππεύῃ ἄτιμον εἶναι, ἐτόλμησεν ἀδοκίμαστος ἱππεύειν. καί μοι ἀνάγνωθι τὸν νόμον. Νόμος. Ὅτι τοίνυν εἰς τοῦτ' ἦλθε πονηρίας, καὶ οὕτως ὑμῶν κατεφρόνησε, καὶ τοὺς πολεμίους ἔδεισε, καὶ ἱππεύειν ἐπεθύμησε, καὶ τῶν νόμων οὐκ ἐφρόντισεν ὥστε οὐδὲν αὐτῷ τούτων τῶν κινδύνων ἐμέλησεν, ἀλλ' ἐβουλήθη καὶ ἄτιμος εἶναι, καὶ τὰ χρήματ' αὐτοῦ δημευθῆναι, καὶ πάσαις ταῖς κειμέναις ζημίαις ἔνοχος γενέσθαι μᾶλλον, ἢ μετὰ τῶν πολιτῶν εἶναι, καὶ ὁπλίτης γενέσθαι. καὶ ἕτεροι μὲν οὐδέ ποτε ὁπλιτεύσαντες, ἱππεύσαντες δὲ καὶ τὸν ἄλλον χρόνον, καὶ πολλὰ κακὰ τοὺς πολεμίους πεποιηκότες, οὐκ ἐτόλμησαν ἐπὶ τοὺς ἵππους ἀναβῆναι, δεδιότες ὑμᾶς καὶ τὸν νόμον. οὕτω γὰρ ἦσαν παρεσκευασμένοι, οὐχ ὡς ἀπολουμένης τῆς πόλεως, ἀλλ' ὡς σωθησομένης καὶ μεγάλης ἐσομένης, καὶ τιμωρησομένης τοὺς ἀδικοῦντας. Ἀλκιβιάδης δ' ἐτόλμησεν ἀναβῆναι. οὔτε εὔνους ὢν τῷ πλήθει, οὔτε πρότερον ἱππεύσας, οὔτε νῦν ἐπιστάμενος, οὔτε ὑφ' ὑμῶν δοκιμασθείς. ὡς οὐκ ἐξεσόμενον τῇ πόλει, δίκην παρὰ τῶν ἀδικούντων λαμβάνειν. ἐνθυμηθῆναι δὲ χρή. ὅτ' εἰ ἐξέσται, ὅτι ἄν τις βούληται ποιεῖν, οὐδὲν ὄφελος νόμους κεῖσθαι.

ἢ ὑμᾶς

ἢ ὑμᾶς συλλέγεσθαι, ἢ στρατηγοὺς αἱρεῖσθαι. θαυμάζω δὲ ὦ ἄνδρες δικασταί, εἴ τις ἀξιοῖ, ἐὰν μέν τις προσιόντων τῶν πολεμίων τῆς πρώτης τάξεως τεταγμένος, τῆς δευτέρας γένηται, τούτου μὲν δειλίαν καταψηφίζεσθαι. ἐὰν δέ τις ἐν τοῖς ὁπλίταις τεταγμένος, ἐν τοῖς ἱππεῦσιν ἀναφανῇ, τούτῳ συγγνώμην ἔχειν. καὶ μὲν δὴ ὦ ἄνδρες δικασταὶ ἡγοῦμαι δικάζειν ὑμᾶς, οὐ μόνον τῶν ἐξαμαρτανόντων ἕνεκα, ἀλλ' ἵνα καὶ τοὺς ἄλλους τῶν ἀκοσμούντων σωφρονεστέρους ποιῆτε. ἐὰν μὲν τοίνυν τοὺς ἀγνῶτας κολάζητε, οὐδεὶς ἔσται τῶν ἄλλων βελτίων· οὐδεὶς γὰρ εἴσεται τὰ ὑφ' ὑμῶν καταψηφισθέντα. ἐὰν δὲ τοὺς ἐπιφανεστάτους τῶν ἐξαμαρτανόντων τιμωρῆσθε, πάντες πεύσονται. ὥστε τούτῳ παραδείγματι χρώμενοι, βελτίους ἔσονται οἱ πολῖται. ἐὰν τοίνυν τούτου καταψηφίσησθε, οὐ μόνον οἱ ἐν τῇ πόλει εἴσονται, ἀλλὰ καὶ οἱ σύμμαχοι αἰσθήσονται, καὶ οἱ πολέμιοι πεύσονται, καὶ ἡγήσονται πολὺ πλείονος ἀξίαν εἶναι τὴν πόλιν, ἐὰν ὁρῶσιν ἐπὶ τοῖς τοιούτοις τῶν ἁμαρτημάτων μάλισθ' ὑμᾶς ὀργιζομένους· καὶ μηδεμιᾶς συγγνώμης τοὺς ἀκοσμοῦντας ἐν τῷ πολέμῳ τυγχάνοντας. ἐνθυμεῖσθε δὲ ὦ ἄνδρες δικασταί, ὅτι τῶν στρατιωτῶν, οἱ μέν, κάμνοντες ἐτύγχανον. οἱ δέ, ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, καὶ οἱ μὲν ἐν ταῖς πόλεσι καταμείναντες, ἐθεραπεύοντο. οἱ δέ, οἴκαδε ἀπελθόντες, τῶν οἰκείων ἐπεμέλοντο. οἱ δὲ ψιλοί, ἐστρατεύοντο· οἱ δὲ ἐν τοῖς ἱππεῦσιν, ἐκινδύνευον. ἀλλ' ὅμως οὐκ ἐτολμᾶτε ἀπολιπεῖν τὰς τάξεις. οὐδὲ τὰ ἀρεστὰ ὑμῖν αὐτοῖς αἱρεῖσθαι. ἀλλὰ πολὺ μᾶλλον ἐφοβεῖσθε τοὺς τῆς πόλεως νόμους, ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον. ὧν χρὴ μεμνημένους ὑμᾶς, νυνὶ τὴν ψῆφον, καὶ πᾶσι φανερὸν ποιεῖν, ὅτι Ἀθηναίων οἱ μὴ βουλόμενοι τοῖς πολεμίοις μάχεσθαι, ὑφ' ὑμῶν κακῶς πείσονται.

Ἡγοῦμαι δὲ ὦ ἄνδρες δικασταὶ περὶ μὲν τοῦ νόμου, καὶ αὐτοῦ τοῦ πράγματος, οὐχ ἕξειν αὐτοὺς ὅ, τι λέξουσιν. ἀναβαίνοντες δὲ ὑμᾶς ἐξαιτήσονται καὶ ἀντιβολήσουσιν. οὐκ ἀξιοῦντες τοῦ Ἀλκιβιάδου υἱέος τοσαύτην δειλίαν καταγνῶναι, ὡς ἐκεῖνον πολλῶν ἀγαθῶν, ἀλλ' οὐχὶ πολλῶν κακῶν αἴτιον γεγενημένον, ὃν εἰ τηλικοῦτον ὄντα ἀπεκτείνατε, ὅταν πρῶτον εἰς ὑμᾶς ἐλάβετε ἐξαμαρτάνοντα, οὐκ ἂν ἐγένοντο συμφοραὶ τοσαῦται τῇ πόλει. δεινὸν δέ μοι δοκεῖ ὦ ἄνδρες δικασταὶ εἶναι, εἰ αὐτοῦ μὲν ἐκείνου θάνατον κατέγνωτε, τὸν δὲ υἱὸν ἀδικοῦντα δι' ἐκεῖνον ἀποψηφιεῖσθε. ὃς αὐτὸς μέν, οὐκ ἐτόλμα μεθ' ἡμῶν μάχεσθαι. ὁ δὲ πατὴρ αὐτοῦ, μετὰ τῶν πολεμίων ἠξίου στρατεύεσθαι. καὶ ὅταν μὲν παῖς ἦν (οὔπω δῆλος ἦν ὁποῖός τις ἔσται) διὰ τὰ πατρὸς ἁμαρτήματα, ὀλίγου τοῖς ἕνδεκα παρεδόθη. ἐπειδὴ δὲ πρὸς τοῖς ἐκείνῳ πεπραγμένοις, ἐπίστασθε καὶ τὴν τούτου πονηρίαν, διὰ τὸν πατέρα ἐλεεῖν αὐτὸν ἀξιώσετε. οὐκοῦν δεινὸν ὦ ἄνδρες δικασταί, τούτους μὲν οὕτως εὐτυχεῖς εἶναι· ὥστε ἐπειδὰν ἐξαμαρτάνοντες ληφθῶσι, διὰ τὸ αὐτῶν γένος σώζεσθαι. ἡμᾶς δὲ εἰ ἐδυστυχήσαμεν διὰ τοὺς οὕτως ἀτακτοῦντας, μηδὲ ἂν δύνασθαι παρὰ τῶν πολεμίων ἐξαιτήσασθαι, μηδ' αὖ τὰς τῶν προγόνων ἀρετάς. καίτοι πολλαὶ καὶ μεγάλαι, καὶ ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων γεγόνασι καὶ οὐδὲν ὅμοιαι τοῖς ὑπὸ τούτων περὶ τὴν πόλιν πεπραγμένοις, ὦ ἄνδρες δικασταί. εἰ δ' ἐκεῖνοι δοκοῦσι βελτίους εἶναι, σώζοντες τοὺς φίλους, δῆλον ὅτι καὶ ὑμεῖς ἀμείνους δόξετε τιμωρούμενοι τοὺς ἐχθρούς. ἀξιῶ δὲ ὦ ἄνδρες δικασταί, ἐὰν μέν τινες τῶν συγγενῶν αὐτὸν ἐξαιτῶνται, ὀργίζεσθαι· ὅτι τούτου μὲν οὐκ ἐπεχείρησαν δεηθῆναι, ἢ δεηθέντες, οὐκ ἐδυνάσαντο εὑρέσθαι ποιεῖν τὰ ὑπὸ τῆς πόλεως προσταττόμενα· ὑμᾶς δὲ πείθειν πειρῶνται, ὡς οὐ χρὴ παρὰ τῶν ἀδικούντων δίκην λαμβάνειν. ἐὰν δέ τινες τῶν ἀρχόντων βοηθῶσιν αὐτῷ, ἐπίδειξιν μὲν τῆς ἑαυτῶν δυνάμεως ποιούμενοι· φιλοτιμούμενοι δέ, ὅτι καὶ τοὺς φανερῶς ἡμαρτηκότας σώζειν δύνανται. ὑμᾶς δὲ χρὴ ὑπολαμβάνειν πρῶτον μὲν ὅτι εἰ πάντες Ἀλκιβιάδῃ ὅμοιοι ἐγένοντο, οὐδὲν ἀλλ' ἔδει τοῦ στρατηγεῖν. οὐδὲν γὰρ εἶχον ὅτου ἡγοῦντο. ἔπειθ' ὅτι πολὺ μᾶλλον αὐτοὺς προσήκει τῶν λιπόντων τὴν τάξιν κατηγορεῖν, ἢ ὑπὲρ τῶν τοιούτων ἀπολογεῖσθαι· τίς γάρ ἐστιν ἐλπὶς τοὺς ἄλλους ἐθελήσειν ποιεῖν τὰ ὑπὸ τῶν στρατηγῶν προσταττόμενα, ὅταν αὐτοὶ οὗτοι τοὺς ἀκοσμοῦντας σώζειν πειρῶνται. ἐγὼ τοίνυν ἀξιῶ, ἂν μὲν ἀπο-

δείξωσιν δὲ λέγοντες καὶ αἰτούμενοι ὑπὲρ ἀλκιβιάδου, ὡς ἐστρατεύσατο ἐν τοῖς ὁπλίταις, ἢ ὡς ἱππεύειν δεδοκιμασμένος, ἀποψηφίσασθαι. ἐὰν δὲ μηδὲν ἔχοντες δίκαιον κελεύωσιν αὐτοὶ ὀργίζεσθαι, μεμνῆσθαι χρὴ ὅτι διδάσκουσιν ὑμᾶς ἐπιορκεῖν, καὶ τοῖς νόμοις μὴ πείθεσθαι. καὶ ὅτι λίαν προθύμως τοῖς ἀδικοῦσι βοηθοῦντες, πολλοὺς τῶν αὐτῶν ἔργων ἐπιθυμεῖν ποιοῦσι. Θαυμάζω δὲ μάλιστα ὦ ἄνδρες δικασταὶ, εἴ τις ὑμῶν τὸν ἀλκιβιάδην ἀξιώσῃ διὰ μὲν τοὺς βοηθοῦντας σώζεσθαι· διὰ δὲ τὴν αὐτοῦ πονηρίαν μὴ ἀπολέσθαι, ἧς ἄξιον ὑμᾶς ἀκοῦσαι. ἵν᾽ ἐπίστησθε ὅτι οὐκ ἂν εἰκότως αὐτοῦ ἀποψηφίζοισθε, ὡς ταῦτα μὲν ἡμαρτηκότος. τὰ δ᾽ ἄλλα πολίτου χρηστοῦ γεγενημένου. ἐκ γὰρ τῶν ἄλλων τῶν τούτῳ πεπραγμένων, δικαίως ἂν αὐτοῦ θανάτου καταψηφίζοισθε. προσήκει δ᾽ ὑμῖν περὶ αὐτῶν εἰδέναι. ἐπειδὴ γὰρ καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε λεγόντων τὰς σφετέρας αὐτῶν ἀρετὰς, καὶ τὰς τῶν προγόνων εὐεργεσίας, εἰκὸς ὑμᾶς καὶ τῶν κατηγόρων ἀκροᾶσθαι. ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας, πολλὰ εἰς ὑμᾶς ἡμαρτηκότας, καὶ τοὺς προγόνους αὐτῶν πολλῶν κακῶν αἰτίους γεγενημένους. οὗτος γὰρ παῖς μὲν ὢν παρ᾽ ἀρχεδήμῳ τῷ γλάμωνι, οὐκ ὀλίγα τῶν ὑμετέρων ἀφῃρημένῳ, πολλῶν ὁρώντων, ἔπι μὲν ὑπὸ τῷ αὐτόματι κατακείμενος ἐκώμαζε μεθ᾽ ἡμέραν ἄνηβος ἑταίρας ἔχων, μιμούμενος τοὺς ἑαυτοῦ προγόνους, καὶ ἡγούμενος οὐκ ἂν δύνασθαι πρεσβύτερος ὢν, λαμπρὸς γενέσθαι, εἰ μὴ νέος ὢν, πονηρότατος δόξειεν εἶναι. μετεπέμφθη δ᾽ ὑπὸ ἀλκιβιάδου, ἐπειδὴ φανερῶς ἐξημάρτανε. καίτοι ποῖόν τινα χρὴ αὐτὸν ὑφ᾽ ὑμῶν νομίζεσθαι εἶναι, ὅστις κἀκείνῳ ταῦτα ἐπιτηδεύων διεβέβλητο ὃς τοὺς ἄλλους ταῦτ᾽ ἐδίδασκε. μετὰ θεοτίμου δὲ ἐπιβουλεύσας τῷ πατρὶ, ὀρεοὺς προὔδωκεν. ὁ δὲ παραλαβὼν τὸ χωρίον, πρότερον μὲν ὕβριζεν αὐτὸν ὡραῖον ὄντα. τελευτῶντα δὲ, δήσας ἀργύριον εἰσεπράττετο. ὁ δὲ πατὴρ αὐτὸν οὕτως ἐμίσει σφόδρα, ὥστε οὐδ᾽ ἀποθανόντος ἔφασκε τὰ ὀστᾶ κομίσασθαι. τελευτήσαντος δ᾽ ἐκείνου, ἐραστὴς γενόμενος ἀλκιβιάδης, ὡς υἱὸν ἐλύσατο. οὐ πολλοῦ δὲ ὕστερον κατακυβεύσας τὰ ὄντα, ἐκ λευκῆς ἀκτῆς ὁρμώμενος, τοὺς φίλους κατεπόντιζεν. ὅσα μὲν οὖν ὦ ἄνδρες δικασταὶ, ἢ εἰς τοὺς πολίτας, ἢ εἰς τοὺς οἰκείους, ἢ περὶ τοὺς αὐτοῦ ξένους, ἢ περὶ τοὺς ἄλλους ἡμάρτηκε, μακρὸν ἂν εἴη λέγειν. ἱππόνικος δὲ πολλοὺς παρακαλέσας ἐξέπεμψεν αὐτοῦ γυναῖκα· φάσκων τοῦτον ὡς οὐκ ἀδελφὸν αὐτῆς, ἀλλ᾽ ὡς ἄνδρα ἐκείνης, εἰς τὴν οἰκίαν εἰσιόντα τὴν αὐτοῦ. καὶ τοιαῦθ᾽ ἡμαρτηκότι, καὶ οὕτω δεινὰ πολλὰ καὶ μεγάλα πεποιηκότι, οὔτε τῶν πεπραγμένων αὐτῷ μεταμέλει, οὔτε τῶν μελλόντων ἔσεσθαι. ὃν μᾶλλον ἔδει κοσμιώτατον εἶναι τῶν πολιτῶν, ἀπολογίαν ποιούμενον τὸν ἑαυτοῦ βίον, τῶν τοῦ πατρὸς ἁμαρτημάτων οὗτος ἑτέρους ὑβρίζειν πειρᾶται. ὥσπερ δυνάμενος ἂν, πολλοστὸν μέρος τῶν εἰδῶν τῶν ἑαυτοῦ προσηκόντων τοῖς ἄλλοις μεταδοῦναι, καὶ ταῦθ᾽ υἱὸς ὢν ἀλκιβιάδου ὃς ἔπεισε μὲν δεκέλειαν λακεδαιμονίους ἐπιτειχίσαι. ἐπὶ δὲ τὰς νήσους ἀποστήσων ἔπλευσε. διδάσκαλος δὲ τῶν τῆς πόλεως κακῶν ἐγένετο. πλεονάκις δὲ μετὰ τῶν ἐχθρῶν, ἐπὶ τὴν πατρίδα ἐστρατεύσατο, ἢ μετὰ τῶν πολιτῶν ἐπ᾽ ἐκείνους. ἀνθ᾽ ὧν καὶ ὑμῖν καὶ τοῖς μέλλουσιν ἔσεσθαι τιμωρεῖσθαι προσήκει ὅν τινα λαμβάνητε τούτων. Καίτοι σφόδρα εἴθισται λέγειν, ὡς οὐκ εἰκός ἐστι τὸν μὲν πατέρα αὐτοῦ κατελθόντα, δωρεὰς παρὰ τοῦ δήμου λαβεῖν. τοῦτον δ᾽ ἀδίκως διὰ τὴν φυγὴν τὴν ἐκείνου διαβεβλῆσθαι. ἐμοὶ δὲ δοκεῖ δεινὸν εἶναι, εἰ τὰς μὲν δωρεὰς αὐτοῦ ἀφείλεσθε ὡς οὐ δικαίως δεδωκότες, τοῦτον δὲ ἀδικοῦντος ἀποψηφιεῖσθε, ὡς τοῦ πατρὸς χρηστοῦ περὶ τὴν πόλιν γεγενημένου. καὶ μὲν δὴ ὦ ἄνδρες δικασταὶ, ἄλλων τε πολλῶν ἄξιον ἕνεκεν αὐτοῦ καταψηφίσασθαι. καὶ ὅτι ταῖς ὑμετέραις ἀρεταῖς, χρῆται παραδείγματι περὶ τῆς ἑαυτοῦ πονηρίας. τολμᾷ γὰρ λέγειν ὡς ἀλκιβιάδης οὐδὲν δεινὸν εἰργάσατο ἐπὶ τὴν πατρίδα στρατεύεσθαι. καὶ γὰρ ὑμᾶς φεύγοντας φυλὴν καταλαβεῖν. καὶ δένδρα τεμεῖν. καὶ πρὸς τὰ τείχη προσβαλεῖν. καὶ ταῦτα ποιήσαντας, οὐκ ὄνειδος τοῖς παισὶ καταλιπεῖν, ἀλλὰ τιμὴν παρὰ πᾶσιν ἀνθρώποις κτήσασθαι. ὡς τῶν αὐτῶν ὄντας ἀξίους, ὅσοι φυγόντες μετὰ τῶν πολεμίων ἐπὶ

ὧν ἐπὶ τὴν χώραν ἐστράτευσαν, καὶ ὅσοι κατῄεσαν Λακεδαιμονίων ἐχόντων τὴν πόλιν. καὶ μὲν δὴ πᾶσιν ἡγοῦμαι δῆλον εἶναι, ὅτι οὗτοι μὲν ἐξήρκεσαν κατιέναι· ὡς τὴν μὲν τῆς θαλάττης ἀρχὴν Λακεδαιμονίοις δώσοντες. αὐτοὶ δ' ὑμῶν ἄρξοντες· τὸ δ' ὑμέτερον πλῆθος κατελθόν, τοὺς μὲν πολεμίους ἐξήλασε. τῶν δὲ πολιτῶν καὶ τοὺς βουλομένους δουλεύειν, ἠλευθέρωσεν· ὥστ' οὐχ ὁμοίων τῶν ἔργων ἀμφοτέροις γεγενημένων, τοὺς λόγους ποιεῖται. ἀλλ' ὅμως τοσούτων συμφορῶν, καὶ οὕτως αὐτῷ μεγάλων ὑπαρχουσῶν, ἐπὶ τῇ τοῦ πατρὸς πονηρίᾳ φιλοτιμεῖται· καὶ λέγει ὡς οὕτως ἐκεῖνος μέγα ἐδύνατο, ὥστε τῇ πόλει πάντων κακῶν αἴτιος γεγένηται. καίτοι τίς οὕτως ἄπειρος τῆς ἑαυτοῦ πατρίδος, ὅστις οὐκ ἂν βουλόμενος εἶναι πονηρὸς εἰσηγήσεται μὲν τοῖς πολεμίοις, ἃ χρὴ καταλαβεῖν τῶν χωρίων· δηλώσει δ' αὖ ἃ κακῶς φυλάττεται τῶν φρουρίων· διδάξει δ' αὖ, ἃ πονηρῶς ἔχει τῶν πραγμάτων. μηνύσει δ' αὖ τοὺς βουλομένους ἀφίστασθαι τῶν συμμάχων. οὐ γὰρ δή που ὅτε μὲν ἔφευγε διὰ τὴν δύναμιν κακῶς οἷός τ' ἦν ποιεῖν τὴν πόλιν. ἐπειδὴ δὲ ὑμᾶς ἐξαπατήσας κατῆλθε καὶ πολλῶν ἦρξε τριήρων, οὔτε τοὺς πολεμίους ἐδύνατο ἐκ τῆς χώρας ἐκβαλεῖν, οὔτε Χίους οὓς ἀπέστησε, πάλιν φίλους ποιῆσαι, οὔτε ἄλλο οὐδὲν ἀγαθὸν ὑμᾶς ἐργάσασθαι. ὥστ' οὐ χαλεπὸν γνῶναι, ὅτι Ἀλκιβιάδης δυνάμει μὲν οὐδὲν τῶν ἄλλων διέφερε, πονηρίᾳ δὲ τῶν πολιτῶν πρῶτος ἦν· ἃ μὲν γὰρ ᾔδει τῶν ὑμετέρων κακῶς ἔχοντα, μηνυτὴς αὐτοῖς Λακεδαιμονίοις ἐγένετο. ἐπειδὴ δ' ἔδει αὐτὸν στρατηγεῖν, οὐδὲν κακὸν ποιεῖν ἐκείνους ἐδύνατο· ἀλλ' ὑποσχόμενος δι' ἑαυτὸν παρέξειν βασιλέα χρήματα, πλέον ἢ διακόσια τάλαντα τῆς πόλεως ὑφείλετο, καὶ οὕτω πολλὰ ἐνόμιζεν εἰς ὑμᾶς ἡμαρτηκέναι, ὥστε λέγειν δυνάμενος, καὶ φίλων ὄντων, καὶ χρήματα κεκτημένος, οὐδέποτ' ἐλθὼν εὐθύνας ἐτόλμησε δοῦναι· ἀλλὰ φυγὴν αὑτοῦ κατέγνω, καὶ Θρᾴκης καὶ πάσης πόλεως ἐβούλετο πολίτης γενέσθαι μᾶλλον, ἢ τῆς πατρίδος εἶναι τῆς ἑαυτοῦ. καὶ τὸ τελευταῖον ὦ ἄνδρες δικασταί ὑπερβολὴν ποιησάμενος τῆς προτέρας πονηρίας, ἐτόλμησε τὰς ναῦς Λυσάνδρῳ μετὰ Ἀδειμάντου προδοῦναι, ὥστε εἴ τις ὑμῶν ἢ τοὺς τεθνεῶτας ἐν ναυμαχίᾳ ἐλεεῖ, ἢ ὑπὲρ τῶν δουλευσάντων τοῖς πολεμίοις αἰσχύνεται· ἢ τῶν τειχῶν καθῃρημένων ἀγανακτεῖ, ἢ Λακεδαιμονίους μισεῖ, ἢ τοῖς τριάκοντα ὀργίζεται, τούτων ἁπάντων χρὴ τὸν τούτου πατέρα αἴτιον ἡγεῖσθαι, καὶ ἐνθυμηθῆναι. ὅτι Ἀλκιβιάδην μὲν τὸν πρόπαππον αὐτοῦ, καὶ τὸν πρὸς μητρὸς Μεγακλέα, οἱ ὑμέτεροι πρόγονοι δὶς ἀμφοτέρους ἐξωστράκισαν. τοῦ δὲ πατρὸς αὐτοῦ, οἱ πρεσβύτεροι ὑμῶν, θάνατον κατέγνωσαν· ὥστε νῦν χρὴ ἡγησαμένους πατρικὸν ἐχθρὸν τοῦτον εἶναι τῇ πόλει, καταψηφίσασθαι. καὶ μήτε ἔλεον, μήτε συγγνώμην, μήτε χάριν μηδεμίαν περὶ πλείονος ποιήσασθαι τῶν νόμων τῶν κειμένων, καὶ τῶν ὅρκων οὓς ὠμόσατε· σκέψασθε δὲ ὦ ἄνδρες δικασταί, διὰ τί ἄν τις τούτων ἀποψηφίσαιτο· πότερον, ὡς πρὸς μὲν τὴν πόλιν δεδυστυχήκασιν· ἄλλως δὲ κόσμιοί εἰσι, καὶ σωφρόνως βεβιώκασιν; οὐχ οἱ μὲν πολλαὶ αὐτῶν ἡταιρήκασιν· οἱ δ' ἀδελφαῖς συγγεγόνασι. τοῖς δ' ἐκ θυγατέρων παῖδες γεγόνασιν; οἱ δὲ μυστήρια πεποιήκασι, καὶ τοὺς Ἑρμᾶς περικεκόφασι. καὶ περὶ πάντας τοὺς θεοὺς ἠσεβήκασι; καὶ εἰς ἅπασαν τὴν πόλιν ἡμαρτήκασιν ἀδίκως καὶ παρανόμως. καὶ πρὸς τοὺς ἄλλους διακείμενοι. καὶ πρὸς σφᾶς αὐτοὺς πολιτευόμενοι, οὐδεμιᾶς τόλμης ἀπεχόμενοι, οὐδὲ ἔργου δεινοῦ ἄπειροι γεγενημένοι. ἀλλ' ἅτε πεπόνθασιν ἅπαντα· ἅ τε πεποιήκασι καὶ πεπόνθασι· οὕτω γὰρ διάκεινται. ὥστε ἐπὶ μὲν τοῖς καλοῖς αἰσχύνεσθαι, ἐπὶ δὲ τοῖς κακοῖς φιλοτιμεῖσθαι· καὶ μὲν δὴ ὦ ἄνδρες δικασταί, ἤδη τινῶν ἀποψηφίσασθε, ἀδικεῖν μὲν νομίσαντες· οἰόμενοι δ' εἰς τὸ λοιπὸν χρησίμους ὑμῖν ἔσεσθαι· τίς οὖν ἐλπίς, ὑπὸ τούτου τι ἀγαθὸν πείσεσθαι τὴν πόλιν, ὃν ὑμεῖς ὅτι μὲν οὐδενὸς ἄξιός ἐστιν, ἐπειδὰν ἀπολογῆται εἴσεσθε· ὅτι δὲ πονηρός ἐστιν, ἐκ τῶν ἄλλων ἐπιτηδευμάτων εἴσεσθε. ἀλλὰ μὲν δή, οὐδ' ἂν ἐξελθὼν ἐκ τῆς πόλεως οὐδὲν δύναιτο κακὸν ὑμᾶς ἐργάσασθαι. δειλὸς ὢν καὶ πένης, καὶ πράττειν ἀδύνατος, καὶ τοῖς οἰκείοις διάφορος καὶ ὑπὸ τῶν ἄλλων μισούμενος· ὥστ' οὐδὲ τούτων οὕνεκα αὐτὸν ἄξιον

φυλάττεσθαι· ἀλλὰ πολὺ μᾶλλον παράδειγμα ποιῆσαι, καὶ τοῖς ἄλλοις καὶ τοῖς τούτου φίλοις· οἳ τὰ μὲν προσταττόμενα ποιεῖν οὐκ ἐθέλουσι· τοιούτων δ' ἀνδρῶν ἐπιθυμοῦσι καὶ τῶν σφετέρων αὐτῶν κακῶς βουλευσάμενοι, περὶ τῶν ὑμετέρων δημηγοροῦσιν.

Ἐγὼ μὲν οὖν, ὡς ἐδυνάμην ἄριστα κατηγόρηκα. ἐπίσταμαι δ' ὅτι οἱ μὲν ἄλλοι τῶν ἀκροωμένων θαυμάζουσιν· ὅπως περὶ οὕτως ἀκριβῶς ἐδυνήθην ἐξευρεῖν τὰ τούτου ἁμαρτήματα· οὗτος δέ μου καταγελᾷ, ὅτι οὐδὲ τὸ πολλοστὸν μέρος εἴρηκα τῶν τούτοις ὑπαρχόντων κακῶν· ὑμεῖς οὖν καὶ τὰ εἰρημένα, καὶ τὰ παραλελειμμένα ἀναλογισάμενοι, πολὺ μᾶλλον αὐτοῦ καταψηφίσασθε· ἐνθυμηθέντες ὅτι ἔνοχος μέν ἐστι τῇ γραφῇ· μεγάλη δ' εὐτυχία τὸ, τούτου πολίτου ἀπαλλαγῆναι πόλει. ἀνάγνωθι δ' αὐτοῖς τοὺς νόμους. καὶ τοὺς ὅρκους· καὶ τὴν γραφήν· καὶ τούτων μεμνημένοι, ψηφίσονται τὰ δίκαια.

κατὰ ἀλκιβιάδου ἀστρατείας.

ἐ

γὼ μὲν ὦ ἄνδρες δικασταὶ καὶ ὑμᾶς αἰτοῦμαι τὰ δίκαια ψηφίσασθαι, καὶ τῶν στρατιωτῶν δέομαι, ἐπεὶ καὶ ἐν τῇ ἄλλῃ ἀρχῇ πολλοῦ ἄξιοι τῇ πόλει γεγόνασι, καὶ περὶ τῶν τῆς ἀστρατείας γραφῶν κοινωνοὺς εἶναι τῷ τε διώκοντι, καὶ τῷ φεύγοντι. καὶ μὴ βοηθοῦντας ὡς ἂν βούλονται πᾶσαν προθυμίαν ἔχειν παρὰ τὸ δίκαιον ὑμᾶς ψηφίσασθαι. ἐνθυμουμένους ὅτι σφόδρα ἂν ἠγανακτεῖτε ἐν τῇ ὑμετέρᾳ δοκιμασίᾳ εἰ θεσμοθέται ἀναβάντες, ὑμῶν ἐδέοντο καταψηφίσασθαι. ἡγούμενοι δεινὸν εἶναι εἰ οἱ τιθέντες τὸν ἀγῶνα καὶ τὴν ψῆφον διδόντες, παρακελεύσονται τῶν μὲν, μὴ καταψηφίσασθαι. τί δ' ἂν αἴσχιον ἔθος ἢ δεινότερον πρᾶγμα τούτου τῇ πόλει γένοιτο, εἰ τολμήσειε μὲν ἄρχων ἐμβὰς τῶν ἐπικλήρων δίκαις, ἀντιβολεῖν καὶ ἱκετεύειν τοὺς δικαστὰς ὅτι ἂν βούληται προσθεῖναι ὁ δὲ πολέμαρχος, καὶ οἱ τὰ   δικάσονται ἐν ταῖς δίκαις ταῖς ὑφ' ἑαυτῶν εἰσαγομέναις ὥσπερ καὶ νῦν. χρὴ τοίνυν, καὶ ὑπὲρ ὑμῶν αὐτῶν τὴν αὐτὴν γνώμην ἔχειν. ἐνθυμουμένους ὅτι οὐδὲν δεήσει ὑμᾶς ἰδίᾳ περὶ τῆς ἀστρατείας βοηθεῖν, ἢ τούτους ὧν τινὰς δεῖσθαι αὐτοὺς τὴν ψῆφον διδόντας. σκέψασθε δὲ ὦ ἄνδρες δικασταὶ ἐὰν ἱκανὸν γένηται τεκμήριον, ὅτι οὐδείς πω τῶν ἀρχόντων ἐν τῷ στρατοπέδῳ ἀλκιβιάδην ἐνεῖδε παρεσκευασμένον. ἐχρῆν γοῦν αὐτοὺς εἴπερ ἀληθῆ λέγουσιν, αἰτιᾶσθαι μὲν πάμφιλον ὅτι φαίνων τὸν ἵππον, ἱππέως ἀπεστέρει τὴν πόλιν ἐπιβάλλειν δὲ τῷ φυλάρχῳ ὅτι ἐξελαύνων ἀλκιβιάδην ἐκ τῆς φυλῆς, ἄκυρον ἐποίει τὴν τούτου τάξιν. κελεύειν δὲ τὸν ταξίαρχον ἐξαλείφειν αὐτὸν ἐκ τοῦ τῶν ὁπλιτῶν καταλόγου. νῦν δὲ τούτων οὐδὲν ἐποίησαν. ἀλλ' ἐν μὲν τῷ στρατοπέδῳ περιεώρων αὐτὸν ὑπὸ πάντων προπηλακιζόμενον, κἂν τοῖς ἱπποτοξόταις ἱππεύοντα. ἐπειδὴ δὲ ὑμᾶς δεῖ παρὰ τοῦ ἀδικοῦντος δίκην λαμβάνειν, χαριζόμενοι μαρτυροῦσιν ὑφ' ἑαυτῶν αὐτὸν τετάχθαι. καίτοι δεινὸν ὦ ἄνδρες δικασταί, αὐτοὺς μὲν τοὺς στρατηγοὺς ὑπὸ τοῦ δήμου χειροτονηθέντας, μὴ ἂν τολμῆσαι πρότερον ὑμῶν ἡγήσασθαι, ἕως ἂν ἐδοκιμάσθησαν κατὰ τοὺς νόμους. ἀλκιβιάδην δὲ τολμᾶν παρὰ τοὺς τῆς πόλεως νόμους ὑπ' αὐτῶν ταχθῆναι. δεινὸν δέ μοι δοκεῖ εἶναι ὦ ἄνδρες δικασταί, εἰ τῶν μὲν δεδοκιμασμένων ἱππέων, οὐκ ἐᾶσθαι τούτων ἔστιν ὅντινα βούλονται αὐτοὶ εἰς τοὺς ὁπλίτας καταλέξαι. τῶν δὲ ὁπλιτῶν ἀδοκιμάστων ὄντων, ἐξέσται τούτοις ὅντιν' ἂν βούλωνται ἱππεύειν. εἰ μὲν τοίνυν ὦ ἄνδρες δικασταὶ ὄντες κύριοι πολλῶν βουλομένων, μηδένα τῶν ἄλλων ἱππεύειν εἰάσατε, οὐκ ἂν δικαίως χαρίζοισθε αὐτοῖς. εἰ δ' ἄκυροι ὄντες ὁμολογήσουσι τάξαι, ἐνθυμεῖσθαι χρὴ ὅτι ὀμωμόκατε τὰ δίκαια γνώσεσθαι, ἀλλ' οὐχ ὅτι ἂν οὗτοι κελεύωσι ψηφιεῖσθαι. ὥστε οὐδένα χρὴ τῶν δεομένων περὶ πλείονος ὑμῶν αὐτῶν καὶ τῶν ὅρκων ποιεῖσθαι. καὶ μὲν δὴ ὦ ἄνδρες δικασταί, εἴ τῳ δοκεῖ μεγάλης ζημίας εἶναι καὶ λίαν ἰσχυρὸς ὁ νόμος, μεμνῆσθαι χρὴ ὅτι οὐ νομοθετήσοντες περὶ αὐτῶν ἥκετε, ἀλλὰ κατὰ τοὺς κειμένους νόμους ψηφιούμενοι· οὐδὲ τοὺς ἀδικοῦντας ἐλεήσοντες, ἀλλὰ πολὺ μᾶλλον αὐτοῖς ὀργιού-

μόνοι καὶ ὅλῃ τῇ πόλει βοηθήσοντες. εὖ εἰδότες ὅτι ὑπὲρ τῶν παρεληλυθότων, ὀλίγους τιμωρησάμενοι, πολλοὺς ποιήσετε κοσμιωτέρους, ἐν τοῖς μέλλουσι κινδυνεύειν. χρὴ δὲ ὦ ἄνδρες δικασταὶ ὥσπερ οὗτος ἀμελήσας τῆς πόλεως, τὴν αὑτοῦ σωτηρίαν ἐσκέψατο, οὕτως ὑμᾶς ἀμελήσαντας τούτου, τῇ πόλει τὰ βέλτιστα ψηφίσασθαι. ἄλλως τε καὶ ὅρκους ὀμωμοκότας. καὶ περὶ ἀλκιβιάδου μέλλοντας ψηφιεῖσθαι. οἷς αὖ ὑμᾶς ἐξαπατήσει, καταγελῶν τῆς πόλεως ἅπασιν. οὐ γὰρ δὴ χάριν γε ὑμῖν ἀποδώσει, τῇ ψήφῳ κρύβδην εὖ παθών, ὃς τῶν φίλων τοὺς φανερῶς αὐτὸν εὖ ποιήσαντας κακῶς ποιεῖ. ὑμεῖς οὖν ὦ ἄνδρες δικασταὶ τὰς τούτων δεήσεις περὶ ἐλαττόνων ποιησάμενοι, τὰ δίκαια ψηφίσασθε. ἀποδέδεικται δὲ καταλεγεὶς εἰς τοὺς πολίτας καὶ λιπὼν τὴν τάξιν, καὶ τῶν νόμων κωλυόντων, ἀδοκίμαστος ἱππεύσας. καὶ περὶ ὧν οἱ νόμοι διαρρήδην οὔτε στρατηγὸν οὔτε ἵππαρχον οὔτε ἄλλον οὐδένα κυριώτερον ἐκείνων ἀποδεικνύουσι, περὶ τούτων ἰδιώτης ὤν, τὴν ἐξουσίαν αὐτῷ δεδωκώς. ἐγὼ μὲν οὖν καὶ φίλῳ ὄντι ἀρχεστρατίδῃ βοηθῶν, καὶ ἀλκιβιάδην ἐχθρὸν ὄντα ἐμαυτοῦ τιμωρούμενος, δέομαι τὰ δίκαια ψηφίσασθαι. ὑμᾶς δὲ χρὴ τὴν αὐτὴν γνώμην ἔχοντας, τὴν ψῆφον φέρειν, ἥνπερ ὅτε ᾤεσθε πρὸς τοὺς πολεμίους διακινδυνεύειν.

Λυσίου ἐν βουλῇ μαντιθέῳ δοκιμαζομένῳ ἀπολογία.

Ι μὴ συνῄδειν ὦ βουλὴ τοῖς κατηγόροις βουλομένοις ἐκ παντὸς τρόπου κακῶς ἐμὲ ποιεῖν, πολλὴν ἂν αὐτοῖς χάριν εἶχον ταύτης τῆς κατηγορίας. ἡγοῦμαι γὰρ τοῖς ἀδίκως διαβεβλημένοις, τούτους εἶναι μεγίστων ἀγαθῶν αἰτίους, οἵτινες ἂν αὐτοὺς ἀναγκάζωσιν εἰς ἔλεγχον τῶν αὐτοῖς βεβιωμένων καταστῆναι. ἐγὼ γὰρ οὕτω σφόδρα ἐμαυτῷ πιστεύω, ὥστ' ἐλπίζω καὶ εἴ τις πρός με τυγχάνει ἀηδῶς ἢ κακῶς διακείμενος, ἐπειδὰν ἐμοῦ λέγοντος ἀκούσῃ περὶ τῶν πεπραγμένων, μεταμελήσειν αὐτῷ καὶ πολὺ βελτίω με εἰς τὸν λοιπὸν χρόνον ἡγήσεσθαι. Ἀξιῶ δὲ ὦ βουλή, ἐὰν μὲν τοῦτο μόνον ὑμῖν ἐπιδείξω, ὡς εὔνους εἰμὶ τοῖς καθεστηκόσι πράγμασι, καὶ ὡς ἠνάγκασμαι τῶν αὐτῶν κινδύνων μετέχειν ὑμῖν, μηδέν πω μοι πλέον εἶναι. ἐὰν δὲ φαίνωμαι περὶ τὰ ἄλλα μετρίως βεβιωκώς, καὶ πολὺ παρὰ τὴν δόξαν, καὶ παρὰ τοὺς λόγους τῶν ἐχθρῶν, δέομαι ὑμῶν ἐμὲ δοκιμάζειν, τούτους δὲ ἡγεῖσθαι χείρους εἶναι. πρῶτον δὲ ἀποδείξω, ὡς οὐχ ἵππευον, οὔτ' ἐπεδήμουν ἐπὶ τῶν τριάκοντα, οὐδὲ μετέσχον τῆς τότε πολιτείας. ἡμᾶς γὰρ ὁ πατὴρ πρὸ τῆς ἐν ἑλλησπόντῳ συμφορᾶς ὡς σάτυρον τὸν ἐν τῷ πόντῳ διαιτησομένους ἐξέπεμψε. καὶ οὔτε τῶν τειχῶν καθαιρουμένων, οὔτε μεθισταμένης τῆς πολιτείας, ἀλλ' ἤλθομεν πρὶν τοὺς ἀπὸ φυλῆς εἰς τὸν πειραιᾶ κατελθεῖν πρότερον πένθ' ἡμέραις. καίτοι οὔτε ἡμᾶς εἰκὸς ἦν εἰς τοιοῦτον καιρὸν ἀφιγμένους, ἐπιθυμεῖν μετέχειν τῶν ἀλλοτρίων κινδύνων, οὔτ' ἐκεῖνοι φαίνονται τοιαύτην γνώμην ἔχοντες, ὥστε καὶ τοῖς ἀποδημοῦσι καὶ τοῖς μηδὲν ἐξαμαρτάνουσι μεταδιδόναι τῆς πολιτείας, ἀλλὰ μᾶλλον ἠτίμαζον, ἢ τοὺς συγκαταλύσαντας τὸν δῆμον. Ἔπειτα δὲ ἐκ μὲν τοῦ σανιδίου, τοὺς ἱππεύσαντας σκοπεῖν, εὔηθές ἐστιν. ἐν τούτῳ γὰρ πολλοὶ μὲν τῶν ὁμολογούντων ἱππεύειν, οὐκ ἔνεισιν. ἔνιοι δὲ τῶν ἀποδημούντων, ἐγγεγραμμένοι εἰσίν. ἐκεῖνος δ' ἐστὶν ἔλεγχος μέγιστος. ἐπειδὴ γὰρ κατήλθετε, ἐψηφίσασθε τοὺς φυλάρχους, ἀπενεγκεῖν τοὺς ἱππεύσαντας. ἵνα τὰς καταστάσεις ἀναπράξητε παρ' αὐτῶν. ἐμὲ τοίνυν οὐδεὶς ἂν ἀποδείξειεν οὔτ' ἀπενεχθέντα ὑπὸ τῶν φυλάρχων, οὔτε παραδοθέντα τοῖς συνδίκοις, οὔτε κατάστασιν παραλαβόντα. καίτοι πᾶσι ῥᾴδιον τοῦτο γνῶναι. διότι ἀναγκαῖον ἦν τοῖς φυλάρχοις, εἰ μὴ ἀποδείξαιεν τοὺς ἔχοντας τὰς καταστάσεις, αὐτοῖς ζημιοῦσθαι. ὥστε πολὺ ἂν δικαιότερον ἐκείνοις τοῖς γράμμασιν, ἢ τούτοις πιστεύετε. ἐκ μὲν γὰρ τούτων, ῥᾴδιον ἦν ἐξαλειφθῆναι τῷ βουλομένῳ. ἐν ἐκείνοις δὲ τοὺς ἱππεύσαντας, ἀναγκαῖον ἦν ὑπὸ τῶν φυλάρχων ἀπενεχθῆναι. ἔτι δὲ ὦ βουλή, εἴπερ ἵππευσα

οὐκ ἂν ἦν ἔξαρνος ὡς δεινόν τι πεποιηκώς, ἀλλ' ἠξίουν ἀποδείξας οὐδένα ὑπ' ἐμοῦ τῶν πο-
λιτῶν κακῶς πεπονθότα δοκιμάζεσθαι. ὁρῶ δὲ καὶ ὑμᾶς ταύτῃ τῇ γνώμῃ χρωμένους· καὶ
πολλοὺς μὲν τῶν τότε ἱππευσάντων, βουλεύοντας. πολλοὺς δ' αὐτῶν στρατηγοὺς καὶ
ἱππάρχους κεχειροτονημένους· ὥστ' εἰ μηδὲν διαβάλλομαι, ἡγεῖσθε ταύτην ποιεῖσθαι τὴν
ἀπολογίαν. ἢ ὅτι περιφανῶς ἐτόλμησάν μου καταψεύσασθαι. ἀνάβηθι δέ μοι, καὶ
μαρτύρησον. ΜΑΡΤΥΡΙΑ. Περὶ μὲν τοίνυν ταύτης τῆς αἰτίας, οὐκ οἶδα ὅ,
τι δεῖ πλείω λέγειν· δοκεῖ δέ μοι ὦ βουλή, ἐν μὲν τοῖς ἄλλοις ἀγῶσι περὶ αὐτῶν μόνων
τῶν κατηγορημένων προσήκειν ἀπολογεῖσθαι· ἐν δὲ ταῖς δοκιμασίαις, δίκαιον εἶναι
παντὸς τοῦ βίου λόγον διδόναι. δέομαι οὖν ὑμῶν, μετ' εὐνοίας ἀκροάσασθαί μου. ποιήσο-
μαι δὲ τὴν ἀπολογίαν, ὡς ἂν δύνωμαι διὰ βραχυτάτων. Ἐγὼ γὰρ πρῶτον μὲν οὐ-
σίας μοι οὐ πολλῆς καταλειφθείσης διὰ τὰς συμφορὰς, καὶ τὰς τοῦ πατρὸς καὶ τὰς
τῆς πόλεως, δύο μὲν ἀδελφὰς ἐξέδωκα· ἐπιδοὺς τριάκοντα μνᾶς ἑκατέρᾳ. πρὸς τὸν
ἀδελφὸν δ' οὕτως ἐνειμάμην, ὥστ' ἐκεῖνον πλέον ὁμολογεῖν ἔχειν ἐμοῦ τῶν πατρῴων. καὶ
πρὸς τοὺς ἄλλους ἅπαντας οὕτω βεβίωκα, ὥστε μὴ δὲ πώποτέ μοι μὴ δὲ πρὸς ἕνα, μηδὲν
ἔγκλημα γενέσθαι. καὶ τὰ μὲν ἴδια οὕτω διῴκησα. περὶ δὲ τῶν κοινῶν μοι, μέγιστον ἡ-
γοῦμαι τεκμήριον εἶναι τῆς ἐμῆς ἐπιεικείας. ὅτι τῶν νεωτέρων, ὅσοι περὶ κύβους, ἢ πό-
τους, ἢ περὶ τὰς τοιαύτας ἀκολασίας τυγχάνουσι τὰς διατριβὰς ποιούμενοι, πάν-
τας αὐτοὺς ὄψεσθέ μοι διαφόρους ὄντας. καὶ πλεῖστα τούτους περὶ ἐμοῦ λογοποιοῦντας
καὶ ψευδομένους. καίτοι δῆλον, ὅτι εἰ τῶν αὐτῶν ἐπεθυμοῦμεν, οὐκ ἂν τοιαύτην γνώμην
εἶχον περὶ ἐμοῦ. ἔτι δ' ὦ βουλή, οὐδεὶς ἂν ἀποδεῖξαι περὶ ἐμοῦ δύναιτο, οὔτε δίκην αἰ-
σχρὰν, οὔτε γραφὴν, οὔτε εἰσαγγελίαν γεγενημένην. καίτοι ἑτέρους ὁρᾶτε πολλάκις εἰς
τοιούτους ἀγῶνας καθεστηκότας. Πρὸς τοίνυν τὰς στρατείας καὶ τοὺς κινδύνους
τοὺς πρὸς τοὺς πολεμίους, σκέψασθε οἷον ἐμαυτὸν παρέχω τῇ πόλει. πρῶτον μὲν γὰρ ὅ-
τε τὴν συμμαχίαν ἐποιήσασθε πρὸς τοὺς Βοιωτοὺς, καὶ εἰς Ἁλίαρτον ἔδει βοηθεῖν ὑπὸ Ὀρ-
θοβούλου κατειλεγμένος ἱππεύειν, ἐπειδὴ πάντας ἑώρων, τοῖς μὲν ἱππεύουσιν, ἀσφά-
λειαν εἶναι δεῖν νομίζοντας. τοῖς δ' ὁπλίταις κίνδυνον ἡγουμένους, ἑτέρων ἀναβάντ-
ων ἐπὶ τοὺς ἵππους ἀδοκιμάστων παρὰ τὸν νόμον, ἐγὼ προσελθὼν ἔφην τῷ Ὀρθοβούλῳ. ἐ-
ξαλεῖψαί με ἐκ τοῦ καταλόγου· ἡγούμενος αἰσχρὸν εἶναι τοῦ πλήθους μέλλοντος κιν-
δυνεύειν, ἄδειαν ἐμαυτῷ παρασκευάσαντι στρατεύεσθαι. καί μοι ἀνάβηθι Ὀρθόβου-
λε. ΜΑΡΤΥΡΙΑ. Συλλεγέντων τοίνυν τῶν δημοτῶν πρὸ τῆς ἐξόδου εἰδὼς
αὐτῶν ἐνίους πολίτας μὲν χρηστοὺς ὄντας καὶ προθύμους, ἐφοδίων δὲ ἀποροῦντας, εἶ-
πον ὅτι χρὴ τοὺς ἔχοντας παρέχειν τὰ ἐπιτήδεια τοῖς ἀπόρως διακειμένοις. καὶ οὐ μόνον
τοῦτο συνεβούλευον τοῖς ἄλλοις, ἀλλὰ καὶ αὐτὸς ἔδωκα δυοῖν ἀνδροῖν τριάκοντα δρα-
χμὰς ἑκατέρῳ· οὐχ ὡς πολλὰ κεκτημένος, ἀλλ' ἵνα παράδειγμα τοῦτο τοῖς ἄλλοις γέ-
νηται. καί μοι ἀνάβητε. ΜΑΡΤΥΡΕΣ. Μετὰ ταῦτα τοίνυν ὦ βουλὴ, εἰς Κόριν-
θον ἐξόδου γενομένης, καὶ πάντων προειδότων ὅτι δεήσει κινδυνεύειν, ἑτέρων ἀναδυο-
μένων, ἐγὼ διεπραξάμην, ὥστε τῆς πρώτης τεταγμένος μάχεσθαι τοῖς πολεμίοις.
καὶ μάλιστα τῆς ἡμετέρας φυλῆς δυστυχησάσης, καὶ πλείστων ἀποθανόντων ὕστερος
ἀνεχώρησα, τοῦ σεμνοῦ Στειριέως, τοῦ πᾶσιν ἀνθρώποις δειλίαν ὀνειδίκοτος. καὶ οὐ πολ-
λαῖς ἡμέραις ὕστερον μετὰ ταῦτα ἐν Κορίνθῳ χωρίων ἰσχυρῶν κατειλημμένων, ὥστε τοὺς
πολεμίους μὴ δύνασθαι προσιέναι, Ἀγησιλάου δ' εἰς τὴν Βοιωτίαν ἐμβαλόντος, ψηφι-
σαμένων τῶν ἀρχόντων ἀποχωρίσαι τάξεις αἵτινες βοηθήσουσι, φοβουμένων ἁπάν-
των (εἰκότως ὦ βουλή, δεινὸν γὰρ ἦν, ἀγαπητῶς ὀλίγῳ πρότερον σεσωσμένους ἐφ' ἕ-
τερον κίνδυνον ἰέναι) προσελθὼν ἐγὼ, τὸν ταξίαρχον ἐκέλευον ἀκληρωτὶ τὴν ἡμετέ-
ραν τάξιν πέμπειν. Ὥστ' εἴ τινες ὑμῶν ὀργίζονται, τοῖς τὰ μὲν τῆς πόλεως ἀξιοῦ-
σι πράττειν, ἐκ δὲ τῶν κινδύνων ἀποδιδράσκουσιν, οὐκ ἂν δικαίως περὶ ἐμοῦ τὴν γνώ-
μην ταύτην ἔχοιεν. οὐ γὰρ μόνον τὰ προσταττόμενα ἐποίουν προθύμως, ἀλλὰ καὶ κιν-
δυνεύειν ἐτόλμων. καὶ ταῦτ' ἐποίουν, οὐχ ὡς οὐ δεινὸν ἡγούμενος εἶναι Λακεδαιμονί-

οἷς μάχεσθαι, ἀλλ' ἵνα εἴ ποτε ἀδίκως εἰς κίνδυνον καθισταίμην, διὰ ταῦτα βελτίων ὑφ' ὑμῶν νομιζόμενος, ἁπάντων τῶν δικαίων τυγχάνοιμι. καί μοι ἀνάβητε τούτων μάρτυρες. Μάρτυρες. Τῶν τοίνυν ἄλλων στρατιῶν καὶ φρουρῶν, οὐδεμιᾶς ἀπελείφθην πώποτε. ἀλλὰ πάντα τὸν χρόνον διατετέλεκα, μετὰ τῶν πρώτων μὲν τὰς ἐξόδους ποιούμενος. μετὰ τῶν τελευταίων δὲ, ἀναχωρῶν. καίτοι χρὴ τοὺς φιλοτίμως καὶ κοσμίως πολιτευομένους ἐκ τῶν τοιούτων σκοπεῖν. ἀλλ' οὐκ εἴ τις κομᾷ, διὰ τοῦτο μισεῖν. τὰ μὲν γὰρ τοιαῦτα ἐπιτηδεύματα, οὔτε τοὺς ἰδιώτας οὔτε τὸ κοινὸν τῆς πόλεως βλάπτει. ἐκ δὲ τῶν κινδυνεύειν ἐθελόντων πρὸς τοὺς πολεμίους, ἅπαντες ὑμεῖς ὠφελεῖσθε. ὥστε οὐκ ἄξιον ἀπ' ὄψεως ὦ βουλὴ, οὔτε φιλεῖν, οὔτε μισεῖν οὐδένα, ἀλλ' ἐκ τῶν ἔργων σκοπεῖν. πολλοὶ μὲν γὰρ μικρὸν διαλεγόμενοι καὶ κοσμίως ἀμπεχόμενοι, μεγάλων κακῶν αἴτιοι γεγόνασιν. ἕτεροι δὲ τῶν τοιούτων ἀμελοῦντες, πολλὰ κἀγαθὰ ὑμᾶς εἰσὶν εἰργασμένοι. ἤδη δέ τινων ᾐσθόμην ὦ βουλὴ καὶ διὰ ταῦτα ἀχθομένων μοι. ὅτι νεώτερος ὢν, ἐπεχείρησα λέγειν ἐν τῷ δήμῳ. ἐγὼ δὲ τὸ μὲν πρῶτον ἠναγκάσθην ὑπὲρ τῶν ἐμαυτοῦ πραγμάτων δημηγορῆσαι. ἔπειτα μέντοι καὶ ἐμαυτῷ δοκῶ φιλοτιμότερον διατεθῆναι τοῦ δέοντος, ἅμα μὲν τῶν προγόνων ἐνθυμούμενος ὅτι οὐδὲν πέπαυνται τὰ τῆς πόλεως πράττοντες, ἅμα δὲ ὑμᾶς ὁρῶν. τὰ γὰρ ἀληθῆ χρὴ λέγειν τούτους μόνους ἀξίους νομίζοντας εἶναι. ὥστε ὁρῶν ὑμᾶς, ταύτην τὴν γνώμην ἔχοντας, τίς οὐκ ἂν ἐπαρθείη πράττειν καὶ λέγειν ὑπὲρ τῆς πόλεως. ἔτι δὲ τί ἂν τοῖς τοιούτοις ἄχθεσθε. οὐ γὰρ ἕτεροι περὶ αὐτῶν κριταί εἰσιν, ἀλλ' ὑμεῖς. :

Λυσίου, δημοσίων ἀδικημάτων.

σως τινὲς ὑμῶν ὦ ἄνδρες δικασταὶ διὰ τὸ βούλεσθαί με ἄξιον εἶναί τινος, ἡγοῦνται καὶ εἰπεῖν ἂν μᾶλλον ἑτέρου δύνασθαι. ἐγὼ δὲ τοσούτου δέω περὶ τῶν μὴ προσηκόντων ἱκανὸς εἶναι λέγειν, ὥστε δέδοικα μὴ καὶ περὶ ὧν ἀναγκαῖόν μοι δεῖ λέγειν, ἀδύνατος ὦ τὰ δέοντα εἰπεῖν. Οἴομαι μὲν οὖν ἂν πάντα διηγήσωμαι τὰ πεπραγμένα ἡμῖν, πρὸς Ἐράτωνα καὶ τοὺς ἐκείνου παῖδας, ῥᾳδίως ἐξ αὐτῶν ὑμᾶς εὑρήσειν ἃ προσήκει σκέψασθαι, περὶ ταύτης τῆς διαδικασίας. Ἐξ ἀρχῆς οὖν ἀκούσατε. Ἐράτων ὁ Ἐρασιφῶντος πατὴρ, ἐδανείσατο παρὰ τοῦ ἐμοῦ πάππου, τάλαντα δύο. ὅτι μὲν οὖν ἔλαβε τἀργύριον καὶ ὡς τοσοῦτον ἐδεήθη δανείσασθαι, ὧν ἐναντίον ἐδόθη, μάρτυρας ὑμῖν παρέξομαι. ἃ δὲ ἐχρήσατο αὐτῷ, καὶ ὅσα ὠφελήθη, οἱ μᾶλλόν τε ἐμοῦ εἰδότες καὶ παραγεγενημένοι οἷς ἐκεῖνος ἔπραττε, διηγήσονται ὑμῖν, καὶ μαρτυρήσουσι. καί μοι κάλει μάρτυρας. Μάρτυρες. Ἕως τοίνυν ὁ Ἐράτων ἔζη, τούς τε τόκους ἀπελάμβανον ἐγὼ καὶ τἄλλα τὰ συγκείμενα. ἐπειδὴ δὲ ἐτελεύτησε, καταλιπὼν υἱεῖς τρεῖς. Ἐρασιφῶντα, καὶ Ἐράτωνα, καὶ Ἐρασίστρατον, οὗτοι οὐδὲν ἔτι ἡμῖν τῶν δικαίων ἐποίουν. ἐν μὲν οὖν τῷ πολέμῳ διότι οὐκ ἦσαν δίκαι, οὐ δυνατοὶ ἦμεν παρ' αὐτῶν ἃ ὤφειλον πράξασθαι. ἐπειδὴ δὲ εἰρήνη ἐγένετο, ὅτε περ πρῶτον αἱ ἀστικαὶ δίκαι ἐδικάζοντο, λαχὼν ὁ πατὴρ παντὸς τοῦ συμβολαίου Ἐρασιστράτῳ ὅσπερ μόνος τῶν ἀδελφῶν ἐπεδήμει, κατεδικάσατο ἐπὶ Ξεναινέτου ἄρχοντος. Μάρτυρας δὲ καὶ τούτων παρέξομαι ὑμῖν. καί μοι κάλει μάρτυρας. Μάρτυρες. Ὅτι μὲν τὰ Ἐράτωνος δικαίως ἂν ἡμέτερα εἴη, ἐκ τούτων ῥᾴδιον. ὅτι δὲ πάντα δημεύεται ἐξ αὐτῆς τῆς ἀπογραφῆς. τρεῖς γὰρ καὶ τέτταρες ἕκαστα ἀπογεγράφασι. καίτοι τοῦτό γε παντὶ εὔγνωστον, ὅτι οὐκ ἂν παραλιπόντες εἴ τι ἄλλο τοῦ Ἐράτωνος, οἷόν τε ἦν δημεύειν τὴν πάντα τὰ Ἐράτωνος ἀπέγραφον. καὶ λόγῳ πολλῷ ἤδη χρόνον κέκτηναι. ὡς μὲν οὖν ὑμῖν οὐδ' ἑτέρωθεν εἰς πράξασθαι οἷόν τε, ἂν ὑμεῖς ταῦτα δημεύσητε, εὔγνωστόν μοι δοκεῖ εἶναι. ὡς δὲ τὴν ἀμφισβήτησιν ἐποιησάμην πρός τε ὑμᾶς καὶ τοὺς ἰδιώτας, ἔτι ἀκούσατε. ἕως μὲν γὰρ ὑμῖν οἱ Ἐρασιφῶντος οἰκεῖοι τούτων τῶν χρημάτων ἠμφισβήτουν, ἅπαν

τα ἠξίουν ἐμὰ εἶναι· διότι ὑπὲρ ἅπαντος τοῦ χρέους ἀντιδικῶν πρὸς τὸν πατέρα ὁ ἐρασίστρατος ἡττήθη. καὶ τὰ μὲν, σφηττοῖ ἤδη τρία ἔτη μεμίσθωκα. τῶν δὲ κικυννοῖ, καὶ τῆς οἰκίας ἐδικαζόμην τοῖς ἔχουσι. πέρυσι μὲν οὖν, διέγραψαν μου τὰς δίκας, ἔμποροι φάσκοντες εἶναι· νυνὶ δὲ λαχόντος ἐν τῷ γαμηλιῶνι μηνὶ οἱ ναυτοδίκαι, οὐκ ἐξεδίκασαν. ἐπειδὴ δ' ὑμῖν τὰ ἐρασιφῶντος δημεύειν ἔδοξε, ἀφεὶς τῇ πόλει τὰ δύο μέρη τὰ ἐρασιστράτου, ἀξιῶ μοι ψηφισθῆναι. διότι ταῦτά γε ἤδη καὶ πρότερον ἐγνώκατε ἡμέτερα εἶναι. ἀφειλόμην οὖν ἐμαυτῷ, τὸ τρίτον μέρος τῆς ἐκείνων οὐσίας, οὐ τὴν ἀκρίβειαν ἐπισκεψάμενος, ἀλλὰ πολλῷ πλέον, ἢ τὰ δύο μέρη τῷ δημοσίῳ ὑπολιπών. ῥᾴδιον δὲ γνῶναι ἐκ τοῦ τιμήματος τοῦ ἐπιγεγραμμένου τοῖς χρήμασιν. ἅπαντα μὲν γὰρ πλείονος, ἢ ταλάντου τετίμηται. ὧν δ' ἐγὼ ἀμφισβητῶ τῷ μὲν, πέντε μνᾶς. τῷ δὲ, χιλίας δραχμὰς ἐπιγραψάμενος. καὶ πλείονος ἄξιά ἐστιν, ἢ τοσούτου ἐπικηρυχθέντων, ὃ περιττὸν ἡ πόλις λήψεται. ἵνα οὖν εἰδῆτε ὅτι ταῦτα ἀληθῆ ἐστι, μάρτυρας ὑμῖν παρέξομαι. πρῶτον μὲν τοὺς μεμισθωμένας παρ' ἐμοῦ τὸ σφηττοῖ ἔπειτα τῷ κικυννοῖ τοὺς γείτονας, οἳ ἴσασιν ἡμᾶς ἤδη ἀμφισβητοῦντας. ἔτι δὲ τούς τε πέρυσιν ἄρξαντας, πρὸς οὓς αἱ δίκαι ἐλέχθησαν, καὶ τοὺς νῦν ναυτοδίκας. ἀναγνωσθήσονται δὲ ὑμῖν καὶ αὗται αἱ ὑπογραφαί. ἐκ τούτων γὰρ μάλιστα γνώσεσθε, ὅτι οὔτε νεωστὶ ταῦτα τὰ χρήματα ἀξιοῦμεν ἡμέτερα εἶναι, οὔτε νυνὶ τῷ δημοσίῳ πλειόνων ἀμφισβητοῦμεν, ἢ τῷ ἔμπροσθεν χρόνῳ τοῖς ἰδιώταις. καί μοι κάλει μάρτυρας.

μάρτυρες. Ὅτι μὲν ὦ ἄνδρες δικασταὶ, οὐ παρὰ τὸ δίκαιον ἀξιῶ μοι ψηφίσασθαι τὸ διαδίκασμα, ἀλλ' αὐτῇ τῇ πόλει πολλὰ τῶν ἐμαυτοῦ ἀφεὶς, ταῦτα ἀξιῶ μοι ἀποδοθῆναι, ἀποδέδεικται. ἤδη δέ μοι δοκεῖ δίκαιον καὶ δεηθῆναι ὑμῶν τε καὶ τῶν συνδίκων ἐναντίον ὑμῶν.

Λυσίου, περὶ τῆς δημεύσεως τοῦ νικίου ἀδελφοῦ, ἐπίλογος.

Νθυμήθητε τοίνυν ὦ ἄνδρες δικασταὶ, οἵ τινες ὄντες πολῖται καὶ αὐτοὶ καὶ ὧν προσήκοντες ἀδικούμενοι ἀξιοῦμεν ἐλεεῖσθαι ὑφ' ὑμῶν, καὶ
ε τῶν δικαίων τυγχάνειν. οὐ γὰρ μόνον περὶ τῆς οὐσίας ἀγωνιζόμεθα, ἀλλὰ καὶ περὶ τῆς πολιτείας, εἰ χρὴ δημοκρατουμένης τῆς πόλεως ἡμῖν μετεῖναι. πρῶτον μὲν περὶ νικίου τοῦ ἡμετέρου θείου ἀναμνήσθητε. ἐκεῖνος γὰρ ὅσα μὲν τῇ ἑαυτοῦ γνώμῃ χρώμενος, ὑπὲρ τοῦ πλήθους τοῦ ὑμετέρου ἔπραξε, πάντα χρῦ φανήσεται. πολλῶν μὲν ἰδίᾳ ἀγαθῶν αἴτιος τῇ πόλει γεγενημένος. πλεῖστα δὲ καὶ μέγιστα κακὰ τοὺς πολεμίους εἰργασμένος. ὅσα δὲ οὐ βουλόμενος ἀλλ' ἄκων ἠναγκάσθη ποιῆσαι, τῶν μὲν κακῶν, οὐκ ἐλάχιστον αὐτὸς μετέσχε μέρος. τὴν δ' αἰτίαν τῆς συμφορᾶς, οἱ πείσαντες ὑμᾶς δικαίως ἂν ἔχοιεν. ἐπεὶ τήν γε πρὸς ὑμᾶς εὔνοιαν, καὶ τὴν ἀρετὴν αὐτοῦ ἐν ταῖς εὐτυχίαις ταῖς ὑμετέραις, καὶ ταῖς δυστυχίαις ταῖς τῶν ἐχθρῶν, ἐπέδειξε. στρατηγῶν γὰρ, πολλὰς μὲν πόλεις εἷλε. πολλὰ δὲ καὶ καλὰ κατὰ τῶν πολεμίων ἔστησε τρόπαια. ὧν καθ' ἓν ἕκαστον, πολὺ ἂν ἔργον εἴη λέγειν.

Εὐκράτης τοίνυν ἀδελφὸς μὲν ὢν ἐκείνου, πατὴρ δὲ ἐμὸς, ἤδη τῆς τελευταίας ναυμαχίας γεγενημένης, φανερὰν ἐπεδείξατο τὴν εὔνοιαν, ἣν εἶχε περὶ τὸ πλῆθος τὸ ὑμέτερον. ἡττημένων γὰρ ἐν ναυμαχίᾳ, στρατηγὸς ὑφ' ὑμῶν ᾑρημένος καὶ παρακαλούμενος. μετέχειν τῆς ὀλιγαρχίας ὑπὸ τῶν συμβουλευόντων τῷ πλήθει, οὐκ ἠθέλησεν αὐτοῖς πείθεσθαι. ἐν τοιούτῳ καιρῷ ληφθεὶς, ἐν ᾧ οἱ πλεῖστοι τῶν ἀνθρώπων καὶ μεβάλλονται πρὸς τὰ παρόντα καὶ ταῖς τύχαις εἴκουσι δυστυχοῦντος τοῦ δήμου. οὐκ ἀπελαυνόμενος τῆς πολιτείας, οὐδ' ἰδίας ἔχθρας ὑπαρχούσης πρὸς τοὺς ἄρξειν μέλλοντας. ἀλλ' ἐξὸν αὐτῷ καὶ τῶν τριάκοντα γενέσθαι, καὶ μηδενὸς ἔλαττον δύνασθαι, μᾶλλον εἵλετο πράττων ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἀπολέσθαι, ἢ ἐπιδεῖν τείχη καθαιρούμενα, καὶ τὰς ναῦς τοῖς πολεμίοις παραδιδομένας. καὶ τὸ ὑμέτερον

πλῆθος καταδεδουλωμένον. καὶ οὐ πολλῷ χρόνῳ ὕστερον, νικήρατος ἀνεψιὸς ὢν ἐμὸς, καὶ υἱὸς νικίου, εὔνους ὢν τῷ ὑμετέρῳ πλήθει, συλληφθεὶς ὑπὸ τῶν τριάκοντα ἀπέθανεν. οὔτε γένει, οὔτε οὐσίᾳ οὔθ᾽ ἡλικίᾳ δοκῶν, ἀνάξιος εἶναι τῆς πολιτείας μετασχεῖν. ἀλλὰ τοιαῦτα ἐνόμιζε τὰ ὑπάρχοντα αὐτῷ πρὸς τὸ ὑμέτερον πλῆθος εἶναι, καὶ διὰ τοὺς προγόνους, καὶ αὐτὸν, ὥστε οὐκ ἄν ποθ᾽ ἑτέρας ἐπιθυμῆσαι πολιτείας. συνῄδεσαν γὰρ ἅπασιν αὐτοῖς ὑπὸ τῆς πολιτείας τιμωμένοις. καὶ πολλαχοῦ μὲν ὑπὲρ ὑμῶν κεκινδυνευκόσι. μεγάλας δ᾽ εἰσφορὰς εἰσενηνοχόσι, καὶ λελειτουργηκόσι κάλλιστα. καὶ τῶν ἄλλων οὐδενὸς πώποτ᾽ ἀποστᾶσιν, ὧν ἡ πόλις αὐτοῖς προσέταξεν. ἀλλὰ προθύμως λειτουργοῦσι. καίτοι τίνες ἂν ἡμῶν εἶησαν δυστυχέστεροι. εἰ ἐν μὲν τῇ ὀλιγαρχίᾳ ἀποθνήσκοιμεν, εὖνοι ὄντες τῷ πλήθει. ἐν δὲ τῇ δημοκρατίᾳ, ὡς κακοὶ ὄντες τῷ πλήθει, ἀποστεροίμεθα τῶν ὄντων. Καὶ μὲν δὴ ὦ ἄνδρες δικασταὶ, καὶ διόγνητος διαβληθεὶς μὲν ὑπὸ τῶν συκοφαντῶν, φεύγων ᾤχετο. μετ᾽ ὀλίγων δὲ τῶν ἐκπεπτωκότων οὔτ᾽ ἐπὶ τὴν πόλιν ἐστρατεύσατο, οὔτ᾽ εἰς δεκέλειαν ἀφίκετο. οὐδ᾽ ἔστιν ὅτου κακοῦ αἴτιος, οὔτε φυγὼν, οὔτε κατελθὼν, τῷ ὑμετέρῳ πλήθει γεγένηται, ἀλλ᾽ εἰς τοῦτ᾽ ἀρετῆς ἦλθεν, ὥστε μᾶλλον ὀργίζεσθαι τοῖς εἰς ὑμᾶς ἡμαρτηκόσιν, ἢ τοῖς αὐτῷ τοῦ κατελθεῖν αἰτίοις γεγενημένοις. καὶ ἀρχὴν μὲν οὐδεμίαν ἦρξεν ἐν τῇ ὀλιγαρχίᾳ. ἐπειδὴ δὲ τάχιστα ἦλθον εἰς τὴν ἀκαδημίαν λακεδαιμόνιοι καὶ παυσανίας, λαβὼν τοὺς νικηράτου καὶ ἡμᾶς παῖδας ὄντας, ἐκεῖνον μὲν κατέθηκεν ἐπὶ τοῖς γόνασι τοῖς παυσανίου. ἡμᾶς δὲ παραστησάμενος, ἔλεγε πρὸς ἐκεῖνον καὶ τοὺς ἄλλους τοὺς παρόντας, ὅσα ἦμεν πεπονθότες, καὶ οἵαις τύχαις κεχρημένοι. καὶ ἠξίου παυσανίαν βοηθῆσαι. καὶ διὰ τὴν φιλίαν, καὶ διὰ τὴν ξενίαν τὴν ὑπάρχουσαν. καὶ τιμωρὸν γενέσθαι, τῶν εἰς ὑμᾶς ἡμαρτηκότων. ὅθεν παυσανίας ἤρξατο εὔνους εἶναι τῷ δήμῳ παράδειγμα ποιούμενος πρὸς τοὺς ἄλλους λακεδαιμονίους, τὰς ἡμετέρας συμφορὰς τῆς τῶν τριάκοντα πονηρίας. δῆλον γὰρ ἅπασι τοῖς ἐλθοῦσι πελοποννησίων ἐγεγένητο, ὅτι οὐ τοὺς πονηροτάτους τῶν πολιτῶν ἀπέκτεινον, ἀλλ᾽ οἷς μάλιστα προσῆκεν. καὶ διὰ γένος, καὶ διὰ πλοῦτον, καὶ διὰ τὴν ἄλλην ἀρετὴν τιμᾶσθαι. οὕτω δ᾽ ἠλεούμεθα καὶ πᾶσι δεινὰ ἐδοκοῦμεν πεπονθέναι, ὥστε παυσανίας τὰ μὲν παρὰ τῶν τριάκοντα ξένια οὐκ ἠθέλησε λαβεῖν. τὰ δὲ παρ᾽ ἡμῶν, ἐδέξατο. καίτοι δεινὸν ὦ ἄνδρες δικασταὶ, ὑπὸ μὲν τῶν πολεμίων παῖδας ἡμᾶς ὄντας ἐλεεῖσθαι, οἳ τῇ ὀλιγαρχίᾳ βοηθήσοντες ἦλθον. ὑπὸ δ᾽ ὑμῶν ὦ ἄνδρες δικασταὶ, τοιούτους γεγενημένους, τῶν ὄντων ἀποστερεῖσθαι. ὧν οἱ πατέρες ὑπὲρ τῆς δημοκρατίας ἀπέθανον. εὖ δ᾽ οἶδ᾽ ὦ ἄνδρες δικασταὶ, ὅτι περὶ πλείστου ἂν ποιήσαιτο πολίαρχος ἐξεῖναι τὸν ἀγῶνα κατορθῶσαι. ἡγούμενος αὐτῷ καλὴν εἶναι τὴν ἀπόδειξιν, καὶ πρὸς τοὺς πολίτας καὶ τοὺς ξένους. ὅτι ἀθήνησι τοσοῦτον δύναται, ὥσθ᾽ ὑμᾶς τοὺς αὐτοὺς, περὶ ὧν ὅρκους ὀμωμόκατε, ὑμῖν αὐτοῖς τὰ ἐναντία ποιεῖν ψηφίζεσθαι. πάντες γὰρ εἴσονται, ὅτι τότε μὲν χιλίαις δραχμαῖς ἐζημιώσατε, τὸν βουλόμενον τὴν ἡμετέραν γῆν δημοσίαν ποιῆσαι. νυνὶ δὲ κελεύων δημεῦσαι, νενίκηκε. καὶ περὶ τούτων δὲ ἀμφοτέρων ἀθηναῖοι παρανόμων φεύγοντες, τοῦ αὐτοῦ ἀνδρὸς τἀναντία σφίσιν αὐτοῖς ἐψηφίσαντο. πάνυ γὰρ αἰσχρὸν, εἰ ἃ μὲν λακεδαιμονίοις συνέθεσθε, βεβαιώσετε. ἃ δὲ αὐτοὶ ἐψηφίσασθε, οὕτω ῥᾳδίως διαλύσετε. καὶ τὰς μὲν πρὸς ἐκείνους συνθήκας, κυρίας ποιήσεσθε, καὶ τοῖς ἄλλοις ἕλλησιν ὀργίζοισθε. εἴ τις λακεδαιμονίους ὑμῶν περὶ πλείονος ποιεῖται, ὑμεῖς δ᾽ αὐτοὶ φανήσεσθε πιστότερον πρὸς ἐκείνους, ἢ πρὸς ὑμᾶς αὐτοὺς διακείμενοι. Ἄξιον δὲ μάλιστα φθονῆσαι, ὅτι οὕτως ἤδη οἱ τὰ τῆς πόλεως πράττοντες διάκεινται, ὥστ᾽ οὐχ ὅτι ἂν τῇ πόλει βέλτιστον ᾖ, τοῦτ᾽ οἱ ῥήτορες λέγουσιν, ἀλλ᾽ ἀφ᾽ ὧν ἂν αὐτοὶ κερδαίνειν μέλλωσι, ταῦτα ὑμεῖς ψηφίζεσθε. καὶ εἰ μὲν τῷ ὑμετέρῳ πλήθει συνέφερε, τοὺς μὲν ἔχειν τὰ αὑτῶν. τῶν δὲ, ἀδίκως δεδημεῦσθαι τὴν οὐσίαν, εἰκότως ἠμελεῖτε τῶν ὑφ᾽ ἡμῶν λεγομένων. νυνὶ γὰρ πάντες ἂν ὁμολογήσαιτε, ὁμόνοιαν μέγιστον ἀγαθὸν εἶναι τῇ πόλει. στάσιν δὲ, πάντων κακῶν αἰτίαν. διαφέρεσθαι δὲ πρὸς ἀλλήλους ἐκ τῶν τοιούτων μάλιστ᾽, ἂν οἱ μὲν τῶν ἀλλοτρίων

ἐπιθυμῶσιν. οἱ δ' αἰτίων ὄντων ἐκπίπτωσι. καὶ ταῦθ' ὑμεῖς ἔγνωτε, κατεληλυθότες, ὀρθῶς βουλευόμενοι· ἔτι γὰρ ἐμέμνησθε τῶν γεγενημένων συμφορῶν. καὶ τοῖς θεοῖς εἰς ὁμόνοιαν εὔχεσθε καταστῆναι τὴν πόλιν μᾶλλον, ἢ διὰ τιμωρίας τῶν παρεληλυθότων ζητούμενοι, τὴν μὲν πόλιν στασιάσαι, τοὺς δὲ λέγοντας, ταχέως πλουτῆσαι. καίτοι πολὺ ἂν συγγνώμη μνησικακεῖν κατεληλυθόσιν, ἔτι τῆς ὀργῆς οὔσης προσφάτου, ἢ τοσούτῳ χρόνῳ ὕστερον διὰ τιμωρίας τῶν παρεληλυθότων σφατίσθαι ὑπὸ τοιούτων πεισθέντας, οἳ ἐν ἄστει μείναντες, αὐτὴν ὑμῖν οἴονται διδόναι πίστιν τῆς αὐτῶν εὐνοίας ἑτέρους κακῶς ποιοῦντες, ἀλλ' οὐ σφᾶς αὐτοὺς χρηστοὺς παρέχοντες. καὶ νυνὶ τῶν τῆς πόλεως εὐτυχιῶν ἀπολαύοντες, ἀλλ' οὐ πρότερον τῶν ὑμετέρων κινδύνων μετέχοντες. καὶ εἰ μὲν ἑωρᾶτε ὦ ἄνδρες δικασταὶ σωζόμενα τῇ πόλει τὰ ὑπὸ τούτων δημευόμενα, συγγνώμην ἂν εἴχομεν· νῦν δ' ἐπίστασθε, ὅτι τὰ μὲν αὐτῶν ὑπὸ τούτων ἀφανίζεται. τὰ δὲ πολλοῦ ἄξια ὄντα, ὀλίγου πιπράσκεται. ἂν δέ μοι πείθησθε, οὐκ ἐλάττω ἀπ' αὐτῶν ὑμεῖς ὠφεληθήσεσθε, ἢ ἡμεῖς οἱ κεκτημένοι. ἐπεὶ καὶ νυνὶ Διόμνησος, καὶ ἐγὼ, καὶ ὁ ἀδελφὸς, ἐκ μιᾶς οἰκίας τρεῖς ὄντες τριηραρχοῦμεν. καὶ ὅταν ἡ πόλις δέηται χρημάτων, ἀπὸ τούτων ὑμῖν εἰσφέρομεν. ὡς οὖν ἡμῶν ταύτῃ τῇ γνώμῃ χρωμένων, καὶ τῶν προγόνων τῶν ἡμετέρων τοιούτων γεγενημένων, φείσασθε ἡμῶν. οὐδὲν γὰρ ἂν ἡμᾶς κωλύει ὦ ἄνδρες δικασταὶ ἀθλιωτάτους εἶναι. διὰ μὲν τῶν τριάκοντα, ὀρφανοὺς καταλειφθέντας· ἐν δὲ τῇ δημοκρατίᾳ, τῶν ὄντων ἐστερημένους, οἷς ἡ τύχη παρέδωκεν, ὥστ' ἔτι ἡμᾶς παῖδας ὄντας διὰ τὴν Παυσανίου σκηνὴν ἐλθόντας βοηθῆσαι τῷ πλήθει. καὶ τοιούτων ἡμῖν ὑπαρχόντων, εἰς τίνας ἂν ἐβουλήθημεν δικαστὰς καταφυγεῖν, οὐκ εἰς τοὺς οὕτω πολιτευομένους ὑπὲρ τῆς πολιτείας ἧς καὶ ὁ πατὴρ καὶ οἱ προσήκοντες ἡμῖν ἀπέθανον; νῦν τοίνυν ταύτην ἂν θ' ἁπάντων ἀπαιτοῦμεν ὑμᾶς τὴν χάριν μὴ περιιδεῖν ἡμᾶς ἀπόρως διατεθέντας. μηδ' ἐνδεεῖς τῶν ἐπιτηδείων γεγενημένους. μὴ δὲ τὴν τῶν προγόνων εὐδαιμονίαν καταλῦσαι, ἀλλὰ πολὺ μᾶλλον παράδειγμα ποιῆσαι τοῖς βουλομένοις τὴν πόλιν εὖ ποιεῖν. οἵων ὑμῶν ἐν τοῖς κινδύνοις τεύξονται. οὐκ ἔχω ὦ ἄνδρες δικασταὶ οὕς τινας δεησομένους ὑπὲρ ἡμῶν ἀναβιβάσωμαι. τῶν γὰρ προσηκόντων, οἱ μὲν ἄνδρας ἀγαθοὺς αὐτοὺς παρασχόντες, καὶ μεγάλην τὴν πόλιν ποιοῦντες, ἐν τῷ πολέμῳ τεθνᾶσιν. οἱ δ' ὑπὲρ τῆς δημοκρατίας, καὶ τῆς ὑμετέρας ἐλευθερίας, ὑπὸ τῶν τριάκοντα κώνειον πίοντες. ὥστε τῆς ἐρημίας τῆς ἡμετέρας αἴτιοι γεγόνασιν, αἵ τε τῶν προσηκόντων ἀρεταί, καὶ αἱ τῆς πόλεως συμφοραί. ὧν ἄξιον ὑμᾶς ἐνθυμηθέντας προθύμως ἡμῖν βοηθῆσαι, ἡγησαμένους τούτους, ἂν ἐν δημοκρατίᾳ δικαίως εὖ πάσχωσιν ὑφ' ὑμῶν, οἳ ὑπὲρ ἐν ὀλιγαρχίᾳ τῶν συμφορῶν μετέσχον μέρος. ἀξιῶ δὲ καὶ τούτους τοὺς συνδίκους, εὔνους ἡμῖν εἶναι. ἐκείνου τοῦ χρόνου μνησθέντας, ὅτ' ἐκ τῆς πατρίδος ἐκπεπτωκότες, καὶ τὰς οὐσίας ἀπολωλεκότες, ἄνδρας ἀρίστους ἐνομίζετ' εἶναι τοὺς ὑπὲρ ὑμῶν ἀποθνήσκοντας. καὶ τοῖς θεοῖς εὔχεσθε δυνηθῆναι χάριν τοῖς ἐξ ἐκείνων ἀποδοῦναι. Ημεῖς τοίνυν υἱεῖς ὄντες, καὶ συγγενεῖς τῶν ὑπὲρ τῆς ἐλευθερίας προκεκινδυνευκότων, ἀπαιτοῦμεν ὑμᾶς νυνὶ ταύτην τὴν χάριν, καὶ ἀξιοῦμεν μὴ ἀδίκως ἡμᾶς ἀπολέσαι, ἀλλὰ πολὺ μᾶλλον βοηθεῖν τοῖς τῶν αὐτῶν μετασχοῦσι συμφορῶν. Εγὼ μὲν οὖν καὶ δέομαι, καὶ ἀντιβολῶ, καὶ ἱκετεύω, καὶ τούτου παρ' ὑμῶν τυγχάνειν ἀξιῶ. οὐ γὰρ περὶ μικρῶν κινδυνεύομεν, ἀλλὰ περὶ τῶν ὄντων ἁπάντων.

Λυσίου, ὑπὲρ τῶν ἀριστοφάνους χρημάτων, πρὸς τὸ δημόσιον.

Ο λλήν μοι ἀπορίαν παρέχει ὁ ἀγὼν οὑτοσὶ ὦ ἄνδρες δικασταί, ὅταν ἐνθυ-
π μηθῶ, ὅτι ἂν ἐγὼ μὲν μὴ νῦν εὖ εἴπω, οὐ μόνον ἐγὼ, ἀλλὰ καὶ ὁ πατὴρ δόξει ἄδικος εἶναι, καὶ τῶν ὄντων ἁπάντων στερήσομαι. ἀνάγκη οὖν εἰ καὶ μὴ δεινὸς πρὸς ταῦτα πέφυκα, βοηθεῖν τῷ πατρὶ καὶ ἐμαυτῷ οὕτως, ὅπως ἂν δύνωμαι. Τὴν μὲν οὖν παρασκευὴν καὶ προθυμίαν τῶν ἐχθρῶν ὁρᾶτε, καὶ

οὐδὲν δεῖ

οὐδὲν δεῖ περὶ τούτων λέγειν· τὴν δ' ἐμὴν ἀπειρίαν πάντες ἴσασιν, ὅσοι ἐμὲ γιγνώσκουσιν. αἰτήσομαι οὖν ὑμᾶς δίκαια καὶ ῥᾴδια χαρίσασθαι· ἄνευ ὀργῆς καὶ ἡμῶν ἀκοῦσαι, ὥσπερ τῶν κατηγόρων. ἀνάγκη γὰρ τὸν ἀπολογούμενον, κἂν ἐξ ἴσου ἀκροᾶσθε, ἔλαττον ἔχειν. οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύοντες αὐτοὶ ἄνευ κινδύνων ὄντες, τὴν κατηγορίαν ἐποιήσαντο. ἡμεῖς δ' ἀγωνιζόμεθα, μετὰ δέους καὶ διαβολῆς, καὶ κινδύνου μεγίστου. εἰκὸς οὖν ὑμᾶς εὔνοιαν πλείω ἔχειν τοῖς ἀπολογουμένοις. οἶμαι γὰρ πάντας ὑμᾶς εἰδέναι ὅτι πολλοὶ ἤδη πολλὰ καὶ δεινὰ κατηγορήσαντες, παραχρῆμα ἐξηλέγχθησαν ψευδόμενοι οὕτω φανερῶς, ὥστε ὑπὸ πάντων τῶν παραγενομένων μισηθέντες ἀπελθεῖν. οἱ δ' αὖ μαρτυρήσαντες τὰ ψευδῆ, καὶ ἀδίκως ἀπολέσαντες ἀνθρώπους, ἑάλωσαν ἡνίκ' οὐδὲν ἦν πλέον τοῖς πεπονθόσιν. ὅτ' οὖν τοιαῦτα πολλὰ γεγένηται, ὡς ἐγὼ ἀκούω, εἰκὸς ὑμᾶς ὦ ἄνδρες δικασταὶ, μήπω τοὺς τῶν κατηγόρων λόγους ἡγεῖσθαι πιστοὺς, πρὶν ἂν καὶ ἡμεῖς εἴπωμεν. ἀκούω γὰρ ἔγωγε, καὶ ὑμῶν, καὶ τοὺς πολλοὺς οἶμαι εἰδέναι, ὅτι πάντων δεινότατόν ἐστι διαβολή. μάλιστα δὲ τοῦτο ἔχοι ἄν τις ἰδεῖν, ὅταν πολλοὶ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ εἰς ἀγῶνα καταστῶσιν· ὡς γὰρ ἐπὶ τὸ πολὺ, οἱ τελευταῖοι κρινόμενοι σώζονται. πεπαυμένοι γὰρ τῆς ὀργῆς αὐτῶν ἀκροᾶσθε, καὶ τοὺς ἐλέγχους ἤδη θέλοντες ἀποδέχεσθε. ἐνθυμεῖσθε οὖν ὅτι νικόφημος καὶ ἀριστοφάνης ἀκρίτω ἀπέθανον, πρὶν παραγενέσθαι τινὰ αὐτοῖς ἐλεγχομένοις ὡς ἠδίκουν. οὐδεὶς γὰρ οὐδ' εἶδεν ἐκείνους μετὰ τὴν σύλληψιν· οὐδὲ γὰρ θάψαι τὰ σώματα αὐτῶν ἀπέδοσαν. ἀλλ' οὕτω δεινὴ συμφορὰ γεγένηται, ὥστε πρὸς τοῖς ἄλλοις καὶ τούτου ἐστέρηνται. ἀλλὰ ταῦτα μὲν ἐάσω· οὐδὲν γὰρ ἂν περαίνοιμι. πολὺ δὲ ἀθλιώτεροι δοκοῦσί μοι οἱ παῖδες οἱ ἀριστοφάνους. οὐδένα γὰρ οὔτε ἰδίᾳ, οὔτε δημοσίᾳ ἠδικηκότες, οὐ μόνον τὰ πατρῷα ἀπολωλέκασι παρὰ τοὺς νόμους τοὺς ὑμετέρους, ἀλλὰ καὶ ἡ ὑπόλοιπος ἐλπὶς ἦν ἀπὸ τῆς τοῦ πάππου ἐκτραφῆναι, οὕτω δεινῶς κεκινδύνευκεν. ἔτι δ' ἡμεῖς ἐστερημένοι μὲν κηδεστῶν, ἐστερημένοι δὲ τῆς προικὸς, παιδάρια δὲ τρία ἠναγκασμένοι τρέφειν, προσέτι συκοφαντούμεθα, καὶ κινδυνεύομεν περὶ ὧν οἱ πρόγονοι ἡμῖν κατέλιπον, κτησάμενοι ἐκ τοῦ δικαίου. καίτοι ὦ ἄνδρες δικασταὶ, ὁ ἐμὸς πατὴρ ἐν ἅπαντι τῷ βίῳ πλείω εἰς τὴν πόλιν ἀνάλωσεν, ἢ εἰς αὑτὸν καὶ τοὺς οἰκείους. διπλάσια δὲ ἢ νῦν ἐστὶν ἡμῖν, ὡς ἐγὼ λογιζομένῳ αὐτῷ πολλάκις παρεγενόμην. μὴ οὖν προκαταγινώσκετε ἀδικίαν τοῦ εἰς αὑτὸν μὲν μικρὰ δαπανῶντος, ὑμῖν δὲ πολλὰ καθ' ἕκαστον τὸν ἐνιαυτόν· ἀλλ' ὅσοι καὶ τὰ πατρῷα, καὶ ἄν τι ποθὲν λάβωσιν, ἐς τὰς αἰσχίστας ἡδονὰς εἰθισμένοι εἰσὶν ἀναλίσκειν. χαλεπὸν μὲν οὖν ὦ ἄνδρες δικασταὶ ἀπολογεῖσθαι πρὸς δόξαν ἣν ἔνιοι ἔχουσι περὶ τῆς νικοφήμου οὐσίας, καὶ σπάνιν ἀργυρίου, ἣ νῦν ἐστιν ἐν τῇ πόλει, καὶ τοῦ ἀγῶνος πρὸς τὸ δημόσιον ὄντος. ὅμως δὲ καὶ τούτων οὕτω παρόντων, ῥᾳδίως γνώσεσθε ὅτι οὐκ ἀληθῆ ἐστι τὰ κατηγορημένα. δέομαι δ' ὑμῶν πάσῃ τέχνῃ καὶ μηχανῇ μετ' εὐνοίας ἀκροασαμένους ἡμῶν διατελοῦς, ὅ τι ἂν ὑμῖν ἄριστον καὶ εὐορκότατον νομίζηται εἶναι, τοῦτο ψηφίσασθαι. πρῶτον μὲν οὖν, ᾧ τρόπῳ κηδεσταὶ ἡμῖν ἐγένοντο, διδάξω ὑμᾶς. στρατηγῶν γὰρ κόνων περὶ πελοπόννησον, τριηραρχήσαντι τῷ ἐμῷ πατρὶ, πάλαι φίλος γεγενημένος, ἐδεήθη δοῦναι τὴν ἀδελφὴν αἰτοῦντι τῷ υἱῷ τῷ νικοφήμου. ὁ δὲ ὁρῶν αὐτοὺς ὑπ' ἐκείνου τε πεπιστευμένους, γεγονότας τε ἐπιεικεῖς τῇ πόλει, ἔν τε τῷ τότε χρόνῳ ἀρέσκοντας, ἐπείσθη δοῦναι, οὐκ εἰδὼς τὴν ἐσομένην διαβολὴν, ἀλλ' ὅτε καὶ ὑμῶν ὅστις οὖν ἂν ἐκείνοις ἠξίωσε κηδεστὴς γενέσθαι. ἐπεὶ ὅτι γε οὐ χρημάτων ἕνεκα, ῥᾴδιον γνῶναι ἐκ τοῦ βίου παντὸς, καὶ τῶν ἔργων τῶν τοῦ πατρός. ἐκεῖνος γὰρ ὅτ' ἦν ἐν τῇ ἡλικίᾳ, παρὸν μετὰ πολλῶν χρημάτων γῆμαι ἄλλην, τὴν ἐμὴν μητέρα ἔλαβεν οὐδὲν ἐπιφερομένην· ὅτι δὲ ξενοφῶντος ἦν θυγάτηρ τοῦ εὐριπίδου υἱέος, ὃς οὐ μόνον ἰδίᾳ χρηστὸς ἐδόκει εἶναι, ἀλλὰ καὶ στρατηγεῖν αὐτὸν ἠξιώσατε, ὡς ἐγὼ ἀκούω. τὰς τοίνυν ἐμὰς ἀδελφὰς ἐθελόντων τινῶν λαβεῖν ἀπροίκους πάνυ πλουσίων, οὐκ ἔδωκεν, ὅτι ἐδόκουν κάκιον γεγονέναι. ἀλλὰ τὴν μὲν φιλομήλῳ τῷ παιανιεῖ, ὃν οἱ πολλοὶ βελτίονα ἡγοῦνται εἶναι, ἢ πλουσιώτερον. τὴν δὲ, πένητι

γεγενημένῳ, οὐ μετὰ κακίαν. ἀδελφιδῷ δὲ φαίδρῳ ὄντι μυῤῥινουσίῳ ἐπιδοὺς τετταράκοντα μνᾶς, καὶ ἀριστοφάνει τὸ ἴσον, πρὸς δὲ τούτοις. ἐμοὶ πολλὴν ἐξὸν πάνυ προῖκα λαβεῖν, ἐλάττω συνεβούλευσεν. ὥστε εὖ εἰδέναι ὅτι κηδεσταῖς χρήσομαι κοσμίοις, καὶ σώφροσι. καὶ νῦν ἔχω γυναῖκα τὴν κριτοδήμου θυγατέρα τοῦ ἀλωπεκῆθεν. ὃς ὑπὸ λακεδαιμονίων ἀπέθανεν, ὅτε ἡ ναυμαχία ἐγένετο ἐν ἑλλησπόντῳ. καίτοι ὦ ἄνδρες δικασταὶ ὅστις αὐτός τε ἄνευ χρημάτων ἔγημε, ταῖν θυγατέροιν πολὺ ἀργύριον ἐπέδωκε, τῷ τε υἱῷ ὀλίγην προῖκα ἔλαβε, πῶς οὐκ εἰκὸς περὶ τούτου πιστεύειν, ὡς οὐχ ἕνεκα χρημάτων τούτοις κηδεστὴς ἐγένετο. Ἀλλὰ μὴν ὅ, γε ἀριστοφάνης ἤδη ἔχων τὴν γυναῖκα, ὅτι πολλοῖς ἂν μᾶλλον ἐχρῆτο, ἢ τῷ ἐμῷ πατρὶ ῥᾴδιον γνῶναι. ἥ τε γὰρ ἡλικία πολὺ διάφορος. ἥ, τε φύσις ἔτι πλέον. ἐκείνῳ μὲν γὰρ ἦν τὰ ἑαυτοῦ πράττειν. ἀριστοφάνης δὲ οὐ μόνον τῶν ἰδίων, ἀλλὰ καὶ τῶν κοινῶν ἐβούλετο ἐπιμελεῖσθαι. καὶ εἴ τι ἦν αὐτῷ ἀργύριον ἀνήλωσεν ἐπιθυμῶν τιμᾶσθαι. γνώσεσθε δὲ ὅτι ἀληθῆ λέγω, ἐξ αὐτῶν ὧν ἐκεῖνος ἔπραττε. πρῶτον μὲν βουλομένου κόνωνος πέμπειν τινὰ εἰς σικελίαν, ᾤχετο ὑποστὰς μετὰ εὐνόμου καὶ λυσίου φίλου ὄντος καὶ ξένου, τὸ πλῆθος τὸ ὑμέτερον πλεῖστα ἀγαθὰ πεποιηκότος ὡς ἐγὼ ἀκήκοα τῶν ἐν πειραιεῖ τῶν παραγενομένων. ἦσαν δ' ἐλπίδες τοῦ πλοῦ πεῖσαι διονύσιον κηδεστὴν μὲν γενέσθαι εὐαγόρᾳ. πολέμιον δὲ λακεδαιμονίοις. φίλον δὲ καὶ σύμμαχον, τῇ πόλει τῇ ὑμετέρᾳ. καὶ ταῦτ' ἔπραττον πολλῶν κινδύνων ὑπαρχόντων πρὸς τὴν θάλατταν καὶ τοὺς πολεμίους. καὶ ἔπεισαν διονύσιον μὴ πέμψαι τριήρεις ἃς τότε παρεσκευάσατο λακεδαιμονίοις. μετὰ δὲ ταῦτα ἐπειδὴ οἱ πρέσβεις ἧκον ἐκ κύπρου ἐπὶ τὴν βοήθειαν, οὐδὲν ἐνέλιπε προθυμίας σπεύδων. ὑμεῖς δὲ τριήρεις αὐτοῖς ἔδοτε, καὶ τἆλλα ἐψηφίσασθε. ἀργυρίου δ' εἰς τὸν ἀπόστολον ἠπόρουν. ὀλίγα μὲν γὰρ ἦλθον ἔχοντες χρήματα. πολλῶν δὲ προσεδεήθησαν. οὐ γὰρ μόνον εἰς τὰς ναῦς, ἀλλὰ καὶ πελταστὰς ἐμισθώσαντο, καὶ ὅπλα ἐπρίαντο. ἀριστοφάνης δ' οὖν τῶν χρημάτων, τὰ μὲν πλεῖστα, αὐτὸς παρέσχεν. ἐπειδὴ δὲ οὐχ ἱκανὰ ἦν, τοὺς φίλους ἔπειθε δεόμενος καὶ ἐγγυώμενος καὶ τοῦ ἀδελφοῦ τοῦ ὁμοπατρίου ἀποκειμένας παρ' αὐτῷ τετταράκοντα μνᾶς εἰπὼν, κατεχρήσατο. τῇ δὲ προτεραίᾳ ἢ ἀνήγετο, εἰσελθὼν εἰς τὸν πατέρα τὸν ἐμὸν, ἐκέλευσε χρῆσαι ὅ, τι εἴη ἀργύριον. προσδεῖν γὰρ ἔφη πρὸς τὸν μισθὸν τοῖς πελτασταῖς. ἦσαν δ' ἡμῖν ἔνδον ἑπτὰ μναῖ. ὁ δὲ καὶ ταύτας λαβὼν, κατεχρήσατο. τίνα γὰρ οἴεσθε ὦ ἄνδρες δικασταὶ, φιλότιμον μὲν ὄντα. ἐπιστολῶν δὲ ἡκουσῶν αὐτῷ παρὰ τοῦ πατρὸς, μηδὲν ἀπορήσειν ἐκ κύπρου. ᾑρημένον δὲ πρεσβευτὴν καὶ μέλλοντα πλεῖν ὡς εὐαγόραν ὑπολείπεσθαι ἄν τι τῶν ὄντων. ἀλλ' οὐχ ὅσον ἦν δυνατὸς πάντα παρασχόντα χαρίσασθαι ἐκείνῳ τε, καὶ κομίσασθαι μὴ ἐλάττω. ὡς τοίνυν ταῦτ' ἐστὶν ἀληθῆ, κάλει μοι εὔνομον. μάρτυρες. τῶν μὲν μαρτύρων ἀκούετε. οὐ μόνον ὅτι ἔχρησαν τὸ ἐκείνου δεηθέντος, ἀλλὰ καὶ ὅτι ἀπειλήφασιν. ἐκομίσθη γὰρ αὐτοῖς ἐπὶ τῆς τριήρους. ῥᾴδιον μὲν οὖν ἐκ τῶν εἰρημένων γνῶναι, ὅτι τοιούτων καιρῶν συμπεσόντων, οὐδενὸς ἂν ἐφείσατο τῶν ἑαυτοῦ. ὃ δὲ μέγιστον τεκμήριον, δῆμος γὰρ ὁ πυριλάμπους τριηραρχῶν εἰς κύπρον, ἐδεήθη μου προσελθεῖν αὐτῷ λέγων, ὅτι ἔλαβε σύμβολον, παρὰ βασιλέως τοῦ μεγάλου φιάλην μὲν χρυσῆν, ὡς ἀριστοφάνην λαβεῖν ἑκκαίδεκα μνᾶς ἐπ' αὐτῇ, ἃς ἔχοι ἀναλίσκειν εἰς τὰς τριηραρχίας. ἐπειδὴ δὲ εἰς κύπρον ἀφίκοιτο λύσασθαι, ἀποδοὺς εἴκοσι μνᾶς. πολλῶν γὰρ ἀγαθῶν, καὶ ἄλλων χρημάτων εὐπορήσειν διὰ τὸ σύμβολον ἐν πάσῃ τῇ ἠπείρῳ. ἀριστοφάνης τοίνυν ἀκούων μὲν ταῦτα δήμου, δεομένου δ' ἐμοῦ, μέλλων δ' ἄξειν χρυσίον. τέτταρας δὲ μνᾶς τόκον λήψεσθαι, οὐκ ἔφη εἶναι. ἀλλ' ὤμνυε καὶ προσδεδανεῖσθαι τοῖς ξένοις ἄλλοθεν. ἐπεὶ ἥδιστ' ἂν ἀνθρώπων, ἄγειν τε εὐθὺς ἐκεῖνο τὸ σύμβολον, καὶ χαρίσασθαι ἡμῖν ἃ ἐδεόμεθα. ὡς δὲ ταῦτ' ἐστὶν ἀληθῆ, μάρτυρας ὑμῖν παρέξομαι. μάρτυρες.

Ὅτι μὲν τοίνυν οὐ κατέλιπεν ἀριστοφάνης ἀργύριον, οὐδὲ χρυσίον, ῥᾴδιον γνῶναι ἐκ τῶν εἰρημένων καὶ μεμαρτυρημένων. χαλκώματα δὲ σύμμικτα οὐ

οὐ πολλὰ ἐκέκτητο· ἀλλὰ καὶ ὅτ᾽ εἱστία τοὺς παρ᾽ εὐαγόρου πρεσβεύοντας, αἰτησάμενος ἐχρήσατο. ἃ δὲ κατέλιπεν, ἀναγνώσεται ὑμῖν. Ἴσως οὖν τισιν ὑμῶν ὦ ἄνδρες δικασταὶ δοκεῖ ὀλίγα εἶναι. ἀλλ᾽ ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι πρὶν νικοφήμῳ καὶ ἀριστοφάνει πρὶν τὴν ναυμαχίαν νικῆσαι γῆ μὲν οὐκ ἦν, ἀλλ᾽ ἢ χωρίδιον μικρὸν ῥαμνοῦντι. ἐγένετο δὲ ναυμαχία ἐπ᾽ εὐβούλου ἄρχοντος ἐν οὖν τέτταρσιν ἢ πέντε ἔτεσι, πρότερον μὴ ὑπαρχούσης οὐσίας. χαλεπὸν ὦ ἄνδρες δικασταί, τραγῳδοῖς τε δὶς χορηγῆσαι ὑπὲρ αὑτοῦ τε καὶ τοῦ πατρός, καὶ τρία ἔτη συνεχῶς τριηραρχῆσαι· εἰσφοράς τε πολλὰς εἰσενηνοχέναι· οἰκίαν τε πεντήκοντα μνῶν πρίασθαι· γῆς τε πλέον, ἢ τριακόσια πλέθρα κτήσασθαι. ἔτι δὲ πρὸς τούτοις οἴεσθαι χρῆναι ἔπιπλα πολλὰ καταλελοιπέναι. ἀλλ᾽ οὐδὲ οἱ πάλαι πλούσιοι δοκοῦντες εἶναι, ἄξιον λόγου ἔχοιεν ἐξενεγκεῖν. ἐνίοτε γὰρ οὐκ ἔστιν οὐδ᾽ ἐάν τις πάνυ ἐπιθυμῇ πρίασθαι τοιαῦτα, κτησάμενος εἰς τὸν λοιπὸν χρόνον ἡδονὴν ἂν παρέχοι. ἀλλὰ τόδε σκοπεῖτε τῶν ἄλλων ὅσων ἐδημεύσατε χρήματα, οὐχ ὅπως σκεύη ἀπέδοσθε, ἀλλὰ καὶ αἱ θύραι ἀπὸ τῶν οἰκημάτων ἀπεσπάσθησαν. ἡμεῖς δὲ ἤδη δεδημευμένων καὶ ἐξεληλυθυίας τῆς ἐμῆς ἀδελφῆς, φύλακας κατεστήσαμεν τῇ ἐρήμῃ οἰκίᾳ· ἵνα μήτε θυρώματα, μήτε ἀγγεῖα, μήτε ἄλλο μηδὲν ἀπόλοιτο. ἔπιπλα δὲ ἀποφαίνομεν πλείω, ἢ χιλίων δραχμῶν· ὅσα οὐδενὸς πώποτ᾽ ἐλάβετε. πρὸς δὲ τούτοις, καὶ πρότερον πρὸς τοὺς συνδίκους, καὶ νῦν ἐθέλομεν πίστιν δοῦναι. ἥτις ἐστὶ μεγίστη τοῖς ἀνθρώποις, μὴ ἔχειν τῶν ἀριστοφάνους χρημάτων. ὀφείλεσθαι δὲ τὴν προῖκα τῆς ἀδελφῆς καὶ ἑπτὰ μνᾶς, ἃς ᾤχετο λαβὼν παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ. πῶς ἂν οὖν εἶεν ἄνθρωποι ἀθλιώτεροι, ἢ εἰ τὰ σφέτερ᾽ αὐτῶν ἀπολωλεκότες δοκοῖεν, τὰ κείνων ἔχειν. Ὃ δὲ πάντων δεινότατον τὴν ἀδελφὴν ὑποδέξασθαι παιδία ἔχουσαν πολλά, καὶ ταῦτα τρέφειν, μηδ᾽ αὐτοὺς ἔχοντας μηδέν, ἐὰν ὑμεῖς τὰ ὄντ᾽ ἀφέλησθε. Φέρε πρὸς θεῶν ὀλυμπίων, οὕτω γὰρ σκοπεῖτε ὦ δικασταί, εἴ τις ὑμῶν ἔτυχε δοὺς τιμοθέῳ τῷ κόνωνος τὴν θυγατέρα, ἢ τὴν ἀδελφὴν καὶ ἐκείνου ἀποδημήσαντος καὶ ἐν διαβολῇ γενομένου ἐδημεύθη ἡ οὐσία, καὶ μὴ ἐγένετο τῇ πόλει πραθέντων ἁπάντων τέτταρα τάλαντα ἀργυρίου, διὰ τοῦτο ἠξιοῦτε τοὺς ἐκείνου καὶ τοὺς προσήκοντας ἀπολέσθαι, ὅτι ἐδὲ πολλοστὸν μέρος τῆς δόξης τῆς παρ᾽ ὑμῖν ἐφάνη τὰ χρήματα, ἀλλὰ μὴν τοῦτό γε πάντες ἐπίστασθε. κόνωνα μὲν ἄρχοντα, νικόφημον δὲ ποιοῦντα, ὅτι ἐκεῖνος προστάττοι. τῶν οὖν ὠφελειῶν κόνωνα εἰκὸς πολλοστὸν μέρος ἄλλῳ τινὶ μεταδιδόναι. ὥστ᾽ εἰ οἴονται πολλὰ γενέσθαι νικοφήμῳ, ὁμολογήσειαν, τὰ κόνωνος εἶναι πλείονα, ἢ δεκαπλάσια. ἔτι δὲ φαίνονται οὐδὲν πώποτε διενεχθέντες, ὥστ᾽ εἰκὸς καὶ περὶ τῶν χρημάτων ταῦτα γνῶναι. ἱκανὰ μὲν ἐνθάδε τῷ υἱεῖ, ἑκάτερον καταλιπεῖν, τὰ δὲ ἄλλα παρ᾽ αὑτοῖς ἔχειν. ἦν γὰρ κόνωνι μὲν υἱὸς ἐν κύπρῳ, καὶ γυνή· νικοφήμῳ δέ, γυνὴ καὶ θυγάτηρ. ἡγοῦντο δὲ καὶ τὰ ἐκεῖ ὁμοίως σφίσιν εἶναι σᾶ ὥσπερ καὶ τὰ ἐνθάδε. πρὸς δὲ τούτοις ἐνθυμεῖσθε, ὅτι καὶ εἴ τις μὴ κτησάμενος, ἀλλὰ παρὰ τοῦ πατρὸς παραλαβὼν τοῖς παισὶ διένεμεν, οὐκ ἐλάχιστα ἂν αὑτῷ ὑπέλιπε. βούλονται γὰρ πάντες ὑπὸ τῶν παίδων θεραπεύεσθαι ἔχοντες χρήματα μᾶλλον, ἢ ἐκείνων δεῖσθαι ἀποροῦντες. Νῦν τοίνυν εἰ δημεύσετε τὰ τοῦ τιμοθέου, ὃ μὴ γένοιτο εἰ μή τι μέλλει μέγα ἀγαθὸν ἔσεσθαι τῇ πόλει· ἐλάττω δ᾽ ἐὰν ἐξ αὐτῶν λάβοι τὴν ἐκ τῶν ἀριστοφάνους γεγένηται, τούτου ἕνεκα ἠξιοῦτε τοὺς ἀναγκαίους τοὺς ἐκείνου τὰ σφέτερ᾽ αὐτῶν ἀπολέσαι. ἀλλ᾽ οὐκ εἰκὸς ὦ ἄνδρες δικασταί. ὁ γὰρ κόνωνος θάνατος καὶ αἱ διαθῆκαι ἃς διέθετο ἐν κύπρῳ, σαφῶς ἐδήλωσαν ὅτι πολλοστὸν μέρος ἦν τὰ χρήματα, ὧν ὑμεῖς προσεδοκᾶτε. τῇ μὲν γὰρ ἀθηνᾷ καθιέρωσεν εἰς ἀναθήματα· καὶ τῷ ἀπόλλωνι εἰς δελφούς, πεντακισχιλίους στατῆρας· τῷ δὲ ἀδελφιδῷ τῷ ἑαυτοῦ ὃς ἐφύλαττεν αὐτῷ καὶ ἐταμίευε πάντα τὰ ἐν κύπρῳ, ἔδωκεν ὡς μυρίας δραχμάς· τῷ δὲ ἀδελφῷ τρία τάλαντα· τὰ δὲ λοιπά, τῷ υἱεῖ κατέλιπε τάλαντα ἑπτακαίδεκα. τούτων δὲ κεφάλαιόν τι γίγνεται περὶ τετταράκοντα τάλαντα. καὶ οὐδὲν οἷόν τε εἰπεῖν, ὅτι διηρπάσθη, ἢ ὡς οὐ δικαίως ἀπεφάνθη. αὐτὸς γὰρ ἐν τῇ νόσῳ ὤν, εὖ φρονῶν διέθετο, καί μοι

κάλει τούτων μάρτυρας. ΜΑΡΤΥΡΕΣ. Ἀλλὰ μὴν ὅστις οἴεται, ὦ ἄνδρες δικασταί, πρὶν ἀμφότερα δῆλα γενέσθαι, πολλοστὸν μέρος τὰ νικοφήμου τῶν κόνωνος χρημάτων φανήσεσθαι εἶναι. ἀριστοφάνης τοίνυν, γῆν μὲν καὶ οὐσίαν ἐκτήσατο πλέον ἢ πέντε ταλάντων, καὶ ἐχορήγησε δὲ ὑπὲρ αὑτοῦ καὶ τοῦ πατρὸς πεντακισχιλίας δραχμάς. τριηραρχῶν δὲ ἀνήλωσεν ὀγδοήκοντα μνᾶς. εἰσενήνεκται δὲ ὑπὲρ ἀμφοτέρων οὐκ ἔλαττον μνῶν τετταράκοντα. εἰς δὲ τὸν ἐν σικελίᾳ πλοῦν ἀνήλωσεν ἑκατὸν μνᾶς. εἰς δὲ τὸν ἀπόστολον τῶν τριήρων ὅτε οἱ κύπριοι ἦλθον, καὶ ἔδοτε αὐτοῖς τὰς δέκα μνᾶς. καὶ τῶν πελταστῶν τὴν μίσθωσιν, καὶ τῶν ὅπλων τὴν ὠνήν, παρέσχε τρισμυρίους δραχμάς. καὶ τούτων κεφάλαιον πάντων γίγνεται, μικροῦ λείποντος πεντεκαίδεκα τάλαντα. ὥστε οὐκ ἂν εἰκότως ἡμᾶς αἰτιᾶσθε, ἐπειδὴ τῶν κόνωνος, τῶν ὁμολογουμένων δικαίως ἀποφανθῆναι ὑπ᾽ αὐτοῦ ἐκείνου πολλαπλασίων δοκούντων εἶναι, πλέον ἢ τρίτον μέρος φαίνεται τὰ ἀριστοφάνους. καὶ οὐ προσλογιζόμεθα ὅσα αὐτὸς ἐν κύπρῳ εἶχε νικόφημος, οὔσης αὐτῷ ἐκεῖ γυναικὸς καὶ θυγατρός. ἐγὼ μὲν οὖν ἀξιῶ, ὦ ἄνδρες δικασταί, οὕτω πολλὰ καὶ μεγάλα τεκμήρια παρεχομένους, ἡμᾶς ἀπολέσθαι ἀδίκως. ἀκήκοα γὰρ ἔγωγε καὶ τοῦ πατρὸς καὶ ἄλλων πρεσβυτέρων, ὅτι οὐ νῦν μόνον, ἀλλὰ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ, πολλῶν ἐψεύσθητε τῆς οὐσίας. καὶ ζῶντες μὲν πλουτεῖν ἐδόκουν. ἀποθανόντες δέ, πολὺ παρὰ τὴν δόξαν τὴν ὑμετέραν ἐφάνη. αὐτίκα ἰσχομάχῳ ἕως ἔζη, πάντες ᾤοντο εἶναι πλεῖν, ἢ ἑβδομήκοντα τάλαντα ὡς ἐγὼ ἀκούω. ἐνεμέσθη δὲ τῷ υἱεῖ, οὐ δέκα τάλαντα ἑκατέρῳ ἀποθανόντος. στεφάνῳ δὲ τῷ θάλλου ἐλέγετο εἶναι πλέον ἢ πεντήκοντα ταλάντων. ἀποθανόντος δέ, ἡ οὐσία ἐφάνη τε οὐδὲ δέκα τάλαντα. ὁ τοίνυν νικίου οἶκος προσεδοκᾶτο εἶναι οὐκ ἔλαττον, ἢ ἑκατὸν ταλάντων· καὶ τούτων τὰ πολλά, ἔνδον ἦν. νικήρατος δ᾽ ὅτ᾽ ἀπέθνησκεν ἀργύριον μὲν ἢ χρυσίον, οὐδ᾽ αὐτὸς ἔφη καταλείπειν οὐδέν. ἀλλὰ τὴν οὐσίαν ἣν κατέλιπε τῷ υἱεῖ, οὐ πλείονος ἀξία ἐστίν, ἢ τεττάρων καὶ δέκα ταλάντων. καλλίας τοίνυν ὁ ἱππονίκου ὅτε νεωστὶ ἐτεθνήκει ὁ πατήρ, ὃς πλεῖστα τῶν ἑλλήνων ἐδόκει κεκτῆσθαι, καὶ ὥς φασι διακοσίων ταλάντων ἐτιμήσατο αὐτοῦ ὁ πάππος, τό τε τούτου τοίνυν τίμημα οὐδὲ δυοῖν ταλάντοιν ἐστί. κλεοφῶντα δὲ πάντες ἴστε ὅτι πολλὰ ἔτη διεχείρισε τὰ τῆς πόλεως πάντα, καὶ προσεδοκᾶτο πάνυ πολλὰ ἐκ τῆς ἀρχῆς ἔχειν. ἀποθανόντος δ᾽ αὐτοῦ, οὐδαμοῦ δῆλα τὰ χρήματα. ἀλλὰ καὶ οἱ προσήκοντες καὶ οἱ κηδεσταὶ παρ᾽ οἷς κατέλιπεν, ὁμολογουμένως πένητές εἰσι. φαινόμεθα καὶ τῶν ἀρχαιοπλούτων πολλοὶ ἐψευσμένοι, καὶ τῶν νεωστὶ εὐδόξων γεγενημένων. αἴτιον δέ μοι δοκεῖ εἶναι ὅτι ῥᾳδίως τινὲς τολμῶσι λέγειν ὡς ὁ δεῖνα ἔχει τάλαντα πολλὰ ἐκ τῆς ἀρχῆς. καὶ ὅσα μὲν περὶ τεθνεῶτος λέγουσιν, οὐ πάνυ θαυμάζω. οὐ γὰρ ὑπό γε ἐκείνων ἐξελεγχθεῖεν ἄν, ἀλλ᾽ ὅσα ζώντων ἐπιχειροῦσι καταψεύδεσθαι. αὐτοὶ γὰρ ἔναγχος ἠκούετε ἐν τῇ ἐκκλησίᾳ ὡς διότιμος ἔχει τάλαντα τετταράκοντα πλείω ὅσα αὐτὸς ὡμολόγει παρὰ τῶν ναυκλήρων, καὶ ἐμπόρων, καὶ ταῦτα ἐπειδὴ ἦλθεν ἐκείνου ἀπογραφομένου καὶ χαλεπῶς φέροντος, ὅτι ἀπὼν διεβάλλετο, οὐδεὶς ἐξήλεγξε. δεομένης δὲ τῆς πόλεως χρημάτων, ἐθέλοντος δὲ ἐκείνου λογίσασθαι. ἐνθυμεῖσθε τοίνυν οἷον ἂν ἐγένετο, εἰ ἀθηναίων ἁπάντων ἀκηκοότων, ὅτι τετταράκοντα τάλαντα ἔχοι διότιμος, εἶτα εἰ ἔπαθέ τι πρὶν καταπλεῦσαι δεῦρο. εἶτα οἱ προσήκοντες ἂν αὐτοῦ, ἐν κινδύνῳ ἦσαν τῷ μεγίστῳ. εἰ ἔδει αὐτοὺς πρὸς τοσαύτην διαβολὴν ἀπολογεῖσθαι, μὴ εἰδότας μηδὲν τῶν πεπραγμένων. αἴτιοι οὖν εἰσι, καὶ ὑμῖν πολλῶν ἤδη ψευσθῆναι, καὶ ἰδίᾳ ἀδίκως τινὰς ῥᾳδίως ἀπολέσθαι οἱ τολμῶντες ψεύδεσθαι καὶ συκοφαντεῖν ἀνθρώπους ἐπιθυμοῦντες. ἔπειτ᾽ οἴομαι ὑμᾶς εἰδέναι, ὅτι ἀλκιβιάδης, τέτταρα ἢ πέντε ἔτη ἐφεξῆς ἐστρατήγει ἐπικρατῶν, καὶ νενικηκὼς λακεδαιμονίους. καὶ διπλάσια ἐκείνῳ ἠξίουν αἱ πόλεις διδόναι, ἢ ἄλλῳ τινὶ τῶν στρατηγῶν. ὥστ᾽ ᾤοντο εἶναί τινες αὐτῷ πλέον, ἢ ἑκατὸν τάλαντα. ὁ δ᾽ ἀποθανών, ἐδήλωσεν ὅτι οὐκ ἀληθῆ ταῦτ᾽ ἦν. ἐλάττω γὰρ οὐσίαν κατέλιπε τοῖς παισίν, ἢ αὐτὸς παρὰ τῶν ἐπιτροπευσάντων παρέλαβεν.

ὅτι

Ὅτι μὲν οὖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ τοιαῦτα ἐγίγνετο, ῥᾴδιον γνῶναι. φασὶ δὲ καὶ τοὺς ἀρίστους καὶ σοφωτάτους, μάλιστα ἐθέλειν μεταγινώσκειν. εἰ οὖν δοκοῦμεν εἰκότα λέγειν, καὶ ἱκανὰ τεκμήρια παρέχεσθαι ὦ ἄνδρες δικασταί, πάσῃ τέχνῃ καὶ μηχανῇ, ἐλεήσατε· ὡς ἡμεῖς τῆς μὲν διαβολῆς οὕτω μεγάλης οὔσης, ἀεὶ προσεδοκῶμεν κρατήσειν μετὰ τοῦ ἀληθοῦς. ὑμῶν δὲ μηδενὶ τρόπῳ ἐθελησάντων πεισθῆναι, οὐδ' ἐλπὶς οὐδεμία σωτηρίας ἐδόκει ἡμῖν εἶναι, ἀλλὰ πρὸς θεῶν ὀλυμπίων ὦ ἄνδρες δικασταί βούλεσθε ἡμᾶς δικαίως σῶσαι, ἢ μᾶλλον ἀδίκως ἀπολέσθαι· καὶ πιστεύετε τούτοις ἀληθῆ λέγειν, οἳ ἂν καὶ σιωπῶντες ἐν ἅπαντι τῷ βίῳ παρέχουσι σώφρονας σφᾶς αὐτοὺς καὶ δικαίους. Περὶ μὲν οὖν αὐτῆς τῆς γραφῆς, καὶ ὃν τρόπῳ κηδεσταὶ ἡμῖν ἐγένοντο, καὶ ὅτι οὐκ ἐξήρκει τὰ ἐκείνου εἰς τὸν ἔκπλουν, ἀλλὰ καὶ ὡς ἄλλοθεν προσεδανείσατο, ἀκηκόατε, καὶ μεμαρτύρηται ὑμῖν. περὶ δ' ἐμαυτοῦ βραχέα βούλομαι ὑμῖν εἰπεῖν. ἐγὼ γὰρ ἔτη γεγονὼς ἤδη τριάκοντα, οὐδὲ τῷ πατρὶ οὐδὲν πώποτε ἀντεῖπον, οὔτε τῶν πολιτῶν οὐδείς μοι ἐνεκάλεσεν. ἐγγύς τε οἰκῶν τῆς ἀγορᾶς, οὐδὲ πρὸς δικαστηρίῳ, οὐδὲ πρὸς βουλευτηρίῳ ὤφθην οὐδὲ πώποτε, πρὶν ταύτην τὴν συμφορὰν γενέσθαι. περὶ μὲν οὖν ἐμαυτοῦ τοσαῦτα λέγω. περὶ δὲ τοῦ πατρὸς, ἐπειδὴ ὡς ἀδικοῦντος αἱ κατηγορίαι γεγένηνται, συγγνώμην ἔχετε· ἐὰν λέγω ἃ ἀνήλωσεν εἰς τὴν πόλιν καὶ εἰς τοὺς φίλους, οὐ γὰρ φιλοτιμίας ἕνεκεν, ἀλλὰ τεκμήριον ποιούμενος, ὅτι οὐ τοῦ αὐτοῦ ἐστιν ἀνδρὸς ἄνευ ἀνάγκης τε πολλὰ ἀναλίσκειν, καὶ μετὰ κινδύνου τοῦ μεγίστου ἐπιθυμῆσαι, ἔχειν τι τῶν κοινῶν. εἰσὶ δέ τινες οἳ προαναλίσκοντες, οὐ μόνον τούτου ἕνεκεν, ἀλλ' ἵνα ἄρχειν ὑφ' ὑμῶν ἀξιωθέντες, διπλάσια κομίσωνται. ὁ τοίνυν ἐμὸς πατὴρ ἄρχειν μὲν οὐδὲ πώποτε ἐπεθύμησε. τὰς δὲ χορηγίας ἁπάσας κεχορήγηκε. τετριηράρχηκε δὲ ἑπτάκις. εἰσφορὰς δὲ πολλὰς καὶ μεγάλας εἰσενήνοχεν. ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς καὶ καθ' ἑκάστην ἀναγνώσεται, ἀκούετε ὦ ἄνδρες δικασταὶ τὸ πλῆθος. πεντήκοντα γὰρ ἔτη ἐστὶν ὅσα ὁ πατὴρ αὐτοῖς χρήμασι, καὶ τῷ σώματι τῇ πόλει ἐλειτούργει. ἐν οὖν τοσούτῳ χρόνῳ δοκοῦ τοῖς τι ἐξ ἀρχῆς ἔχειν, οὐδεμίαν εἰκὸς δαπάνην πεφευγέναι. ὅμως δὲ καὶ μάρτυρας ὑμῖν παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Τούτων συμπάντων κεφάλαιόν ἐστιν, ἐννέα τάλαντα, καὶ δισχίλιαι δραχμαί. ἔτι τοίνυν καὶ ἰδίᾳ τισὶ τῶν πολιτῶν ἀποροῦσι, συνεξέδωκε θυγατέρας καὶ ἀδελφάς, τοὺς δ', ἐλύσατο ἐκ τῶν πολεμίων· τοῖς δ', εἰς ταφὴν παρεῖχεν ἀργύριον. καὶ ταῦτ' ἐποίει ἡγούμενος εἶναι ἀνδρὸς ἀγαθοῦ ὠφελεῖν τοὺς φίλους, καὶ εἰ μηδεὶς μέλλοι εἴσεσθαι. νῦν δὲ πρέπον ἐστὶ καὶ ὑμᾶς ἀκοῦσαί μου. καί μοι κάλει τὸν, καὶ τόν. ΜΑΡΤΥΡΕΣ. Τῶν μὲν οὖν μαρτύρων ἀκηκόατε. ἐνθυμεῖσθε δὲ ὅτι ὀλίγον μὲν χρόνον, δύναιτ' ἄν τις πλάσασθαι τὸν τρόπον τὸν αὑτοῦ. ἐν ἑβδομήκοντα δὲ ἔτεσιν οὐδ' ἂν εἷς λάθοι, πονηρὸς ὤν. τῷ τοίνυν πατρὶ τῷ ἐμῷ ἄλλα μὲν ἄν τις ἔχοι ἐπικαλέσαι ἴσως. εἰς χρήματα δέ, οὐδεὶς οὐδὲ τῶν ἐχθρῶν ἐτόλμησε πώποτε. οὔκουν ἄξιον τοῖς τῶν κατηγόρων λόγοις πιστεῦσαι μᾶλλον, ἢ τοῖς ἔργοις ἃ ἔπραξεν ἐν ἅπαντι τῷ βίῳ καὶ τῷ χρόνῳ, ὃν νῦν εἰς σαφέστατον ἔλεγχον τοῦ ἀληθοῦς νομίσατε. εἰ γὰρ μὴ ἦν τοιοῦτος, οὐκ ἂν ἐκ πολλῶν ὀλίγα κατέλιπεν. ἐπεὶ εἰ νῦν γ' ἐξαπατηθείητε ὑπὸ τούτων, καὶ δημεύσαιτε ἡμῶν τὴν οὐσίαν, οὐδὲ δύο τάλαντα λάβοιτ' ἄν. ὥστε οὐ μόνον πρὸς δόξαν, ἀλλὰ καὶ εἰς χρημάτων λόγον, λυσιτελοῖ μᾶλλον ὑμῖν ἀποψηφίσασθαι. πολὺ γὰρ πλείω ὠφεληθήσεσθε, ἂν ἡμεῖς ἔχωμεν. σκοπεῖτε δὲ ἐκ τοῦ παρεληλυθότος χρόνου ὅσα φαίνεται ἀνηλωμένα εἰς τὴν πόλιν. καὶ νῦν ἀπὸ τῶν ὑπολοίπων τριηραρχῶ μὲν ἐγώ. τριηραρχῶν δὲ ὁ πατὴρ, ἀπέθανεν. πειράσομαι δ' ὥσπερ ἐκεῖνον ἑώρων, ὀλίγα κατὰ μικρὸν παρασκευάσασθαι εἰς τὰς κοινὰς ὠφελείας. ὥστε τῷ γ' ἔργῳ πάλαι ταῦτ' ἐστὶ, καὶ οὔτ' ἐγὼ ἀφῃρημένος ἀδικεῖσθαι οἴομαι, ὑμῖν δὲ πλείους οὕτως αἱ ὠφέλειαι, ἢ εἰ δημεύσετε. πρὸς δὲ τούτοις, ἄξιον ἐνθυμηθῆναι οἵαν φύσιν εἶχεν ὁ πατήρ. ὅσα γὰρ ἔξω τῶν ἀναγκαίων ἐπεθύμησεν ἀναλίσκειν πάντα φανήσεται τοιαῦτα, ὅθεν καὶ τῇ πόλει τιμὴ ἔμελλεν ἔσεσθαι. αὐτίκα ὅτε ἵππευεν, οὐ μόνον ἵππους ἐκτήσατο λαμπρούς, ἀλλὰ καὶ ἀθλητὰς ἐνίκησεν. ἰσθμοῖ, καὶ νεμέᾳ· ὥστε τὴν πόλιν κηρυχθῆναι, καὶ αὐτὸν στεφανωθῆναι. δέομαι οὖν ὑμῶν ὦ ἄνδρες δικασταί, καὶ τούτων καὶ τῶν ἄλλων μεμνημένους ἁπάντων

τῶν εἰρημένων, βοηθεῖν ἡμῖν, καὶ μὴ περιιδεῖν ὑπὸ τῶν ἐχθρῶν ἀναιρεθέντας, καὶ ταῦτα ποιοῦντες, τά τε δίκαια ψηφιεῖσθε, καὶ ὑμῖν αὐτοῖς τὰ συμφέροντα.

Λυσίου, ὑπὲρ πολυστράτου.

Υ μοι δοκεῖ χρῆναι ὀργίζεσθαι ὑμᾶς τῷ ὀνόματι τῷ τῶν τετρακοσίων, ἀλλὰ τοῖς ἔργοις ἐνίων. οἱ μὲν γὰρ ἐπιβουλεύσαντες ἦσαν αὐτῶν. οἱ
β δ' ἵνα μήτε τὴν πόλιν μηδὲν κακὸν ἐργάσαιντο, μήθ' ὑμῶν μηδένα. ἀλλ' εὖνοι ὄντες, εἰσῆλθον εἰς τὸ βουλευτήριον. ὧν εἷς ὢν οὗτος τυγχάνει πολύστρατος. οὗτος γὰρ ᾑρέθη μὲν ὑπὸ τῶν φυλετῶν ὡς χρηστὸς ὢν ἀνὴρ καὶ περὶ τοὺς δημότας καὶ περὶ τὸ πλῆθος τὸ ὑμέτερον. κατηγοροῦσι δὲ αὐτοῦ, ὡς οὐκ εὔνους ἦν τῷ πλήθει τῷ ὑμετέρῳ. αἱρεθεὶς ὑπὸ τῶν φυλετῶν οἳ ἄριστα διαγνοῖεν περὶ σφῶν αὐτῶν, οἱ ποῖοί τινές εἰσιν. οὗτος δὲ τίνος ἂν ἕνεκεν ὀλιγαρχίας ἐπεθύμησε. πότερον ὡς ἡλικίαν ἔχων λέγων τι διαπράττεσθαι παρ' ὑμῖν, ἢ τῷ σώματι πιστεύων ἵνα ὑβρίζοι εἰς τῶν ὑμετέρων τινά. ἀλλ' ὁρᾶτε αὐτοῦ τὴν ἡλικίαν ἣ καὶ τοὺς ἄλλους ἱκανὸς ἀποτρέπειν τούτων. ὅστις μὲν οὖν ἄτιμος ὢν κακόν τι ἐργασάμενος ἐν τῷ πρόσθεν χρόνῳ ἑτέρας πολιτείας ἐπεθύμησε, διὰ τὰ πρόσθεν ἁμαρτήματ' αὐτοῦ ἕνεκ' ἂν ἔπραξε. τούτῳ δὲ τοιοῦτον οὐδὲν ἡμάρτηται, ὥστε αὐτοῦ ἕνεκα μισεῖν τὸ πλῆθος τὸ ὑμέτερον, ἢ τῶν παίδων. ὁ μὲν γὰρ ἐν σικελίᾳ ἦν. οἱ δ' ἐν βοιωτοῖς. ὥστε μὴ δι' τούτων ἕνεκεν, ἑτέρας πολιτείας ἐπιθυμῆσαι διὰ τὰ πρόσθεν ἁμαρτήματα. καὶ κατηγοροῦσι μὲν αὐτοῦ ὡς πολλὰς ἀρχὰς ἦρξεν ἀποδεῖξαι δὲ οὐδεὶς οἷός τέ ἐστιν, ὡς οὐ καλῶς ἦρξεν. ἐγὼ δὲ ἡγοῦμαι, οὐ τούτους ἀδικεῖν μὲν τοῖς πράγμασιν ἐκείνοις, ἀλλ' εἴ τις ὀλίγας ἄρξας ἀρχὰς, μὴ τὰ ἄριστα ἦρξε τῇ πόλει. οὐ γὰρ οἱ καλῶς ἄρχοντες προὔδοσαν τὴν πόλιν, ἀλλ' οἱ μὴ δικαίως. οὗτος δὲ πρῶτον μὲν ἄρξας ἐν ὠρωπῷ, οὔτε προὔδωκε, καὶ ἑτέραν πολιτείαν κατέστησε. τῶν ἄλλων ἁπάντων ὅσοι ἦρχον καταπροδόντων τὰ πράγματα. οἱ δ' οὐχ ὑπέμειναν καταγνόντες σφῶν αὐτῶν ἀδικεῖν. ὁ δὲ ἡγούμενος μηδὲν ἠδικηκέναι, δίκην δίδωσι. καὶ τοὺς μὲν ἀδικοῦντας, οἱ κατήγοροι ἐκκλέπτουσιν ἀργύριον λαμβάνοντες. παρ' ὧν δ' ἂν μὴ κερδαίνωσιν, ἀδικοῦντας ἀποφαίνουσι. καὶ ὁμοίας τὰς κατηγορίας ποιοῦνται. τῶν τε εἰπόντων γνώμην τινὰ ἐν τῇ βουλῇ, καὶ τῶν μή, οὗτος δὲ οὐδὲ γνώμην οὐδεμίαν εἶπε περὶ τοῦ ὑμετέρου πλήθους. ἐγὼ δ' ἡγοῦμαι ἀξίους εἶναι τούτους, μηδὲν πάσχειν ὑφ' ὑμῶν κακόν. εἰ ὑμῖν μὲν εὖνοι ἦσαν, ἐκείνοις δὲ ἀπηχθάνοντο. τῶν γὰρ λεγόντων ἐναντία ἐκείνοις, οἱ μὲν, ἔφευγον. οἱ δὲ, ἀπέθνησκον. ὥστε εἴ τις καὶ ἐβούλετο ἐναντιοῦσθαι ὑπὲρ ὑμῶν, τὸ δέος, καὶ ὁ φόβος τῶν πεπονθότων ἀπέτρεπε πάντας. ὥστε οἱ πολλοὶ πάντα ἐγίγνωσκον αὐτῶν. τοὺς μὲν γὰρ ἐξήλαυνον αὐτῶν, τοὺς δὲ ἀπεκτίννυον. οἳ δὲ ἐκείνων ἔμελλον ἀκροᾶσθαι, καὶ μηδὲν ἐπιβουλεύειν μηδ' ἐξαγγέλλειν, τούτους ἂν καθίσαντο. ὥστε οὐκ ἂν ῥᾳδίως μετέστη ἂν ὑμῖν ἡ πολιτεία. οὕτως ἂν δίκαιοί εἰσιν ὧν ὑμῖν εὖνοι ἦσαν, τούτων δίκην διδόναι. δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ τοῖς εἰποῦσι περὶ τὸ πλῆθος τὸ ὑμέτερον μὴ τὰ ἄριστα ὁ μηδὲν εἰπὼν ταῦτα πείσεται. καὶ ἐν μὲν ἑβδομήκοντα ἔτεσιν, οὐδὲν ἐξήμαρτον εἰς ὑμᾶς, ἐν ὀκτὼ δ' ἡμέραις; καὶ οἱ μὲν τὸν βίον ἅπαντα πονηροὶ ὄντες, χρηστοὶ ἐν τῷ λογιστηρίῳ γεγένηνται πείσαντες τοὺς κατηγόρους, οἳ δ' ἀεὶ ὑμῖν χρηστοὶ ἦσαν, οὗτοι πονηροί. καίτοι αὖ τε ταῖς πρότερον κατηγορίαις τά τε ἄλλα κατηγόρησαν ψευδῆ τοῦ πατρὸς, καὶ συγγενῆ φρυνίχου αὐτοῦ εἶναι ἔφησαν. καίτοι εἴ τις βούλεται, ἐν τῷ λόγῳ τῷ ἐμῷ μαρτυρησάτω, ὡς ἀναγκαῖον ὄντα φρυνίχῳ. ἀλλὰ τι ψευδεῖ κατηγόρῳ. ἀλλὰ μὴν οὐδ' ἐκ παιδείας φίλος ἦν αὐτῷ. ὁ μὲν γὰρ ἐν ἀγρῷ πένης ὢν, ἐποίμαινεν. ὁ δὲ πατὴρ, ἐν τῷ ἄστει ἐπαιδεύετο. καὶ ἐπειδὴ ἀνὴρ ἐγένετο, ὁ μὲν ἐγεώργει. ὁ δ' ἐλθὼν εἰς τὸ ἄστυ, ἐσυκοφάντει. ὥστε μηδὲν ὁμολογεῖν τῷ τρόπῳ τῷ ἀλλήλων. καὶ ὅτ' ἐξέτεινε τῷ δημοσίῳ, οὐκ εἰσήνεγκεν αὐτῷ τὸ ἀργύριον. καίτοι ἐν τοῖς τοιούτοις μάλιστα δηλοῦσιν, οἳ ἂν φίλοι ὦσιν. εἰ δ' ἦν δημότης

δημότης οὐ δίκαιος διὰ τοῦτο βλάπτεσθαι ἄξιός ἐστιν ὁ πατήρ, εἰ καὶ μὴ ὑμεῖς ἀδικεῖτε ὅτι ὑμῶν ἐστι πολίτης. πῶς δ' ἂν γένοιτο δημοτικώτερος, ἢ ὅστις ὑμῶν ψηφισαμένων πεντακισχιλίοις παραδοῦναι τὰ πράγματα καταλογεὺς ὢν, ἐννακισχιλίους κατέλεξεν. ἵνα μηδεὶς αὐτῷ διάφορος εἴη τῶν δημοτῶν. ἀλλ' ἵνα τὸν μὲν βουλόμενον γράφῃ. εἰ δέ τῳ μὴ οἷόν τ' εἴη, χαρίζοιτο. καίτοι οὐχ οἱ ἂν πλείστους πολίτας ποιῶσιν, οὗτοι καταλύουσι τὸν δῆμον, ἀλλ' οἱ ἂν ἐκ πλειόνων ἐλάττους. οὗτος δὲ οὔτε ὀμόσαι ἤθελεν, οὔτε καταλέγειν. ἀλλ' αὐτὸν ἠνάγκαζον ἐπιβολὰς ἐπιβάλλοντες καὶ ζημιοῦντες. ἐπεὶ δὲ ἠναγκάσθη καὶ ὤμοσε τὸν ὅρκον, ὀκτὼ ἡμέρας εἰσελθὼν εἰς τὸ βουλευτήριον, ἐξέπλει εἰς Ἐρέτριαν, καὶ ἐδόκει ἐκεῖ τὴν ψυχὴν οὐ πονηρὸς εἶναι ἐν ταῖς ναυμαχίαις. καὶ τετρωμένος δεῦρ' ἦλθε, καὶ ἤδη μεταπεπτώκει τὰ πράγματα. καὶ οὗτος μὲν οὔτ' εἰπὼν γνώμην οὐδεμίαν, οὔτε πλέον ὀκτὼ ἡμερῶν ἐλθὼν εἰς τὸ βουλευτήριον, ὦφλε χρήματα τοσαῦτα. τῶν δ' εἰπόντων ὑμῖν τἀναντία, καὶ διὰ τέλους ἐν τῷ βουλευτηρίῳ ὄντων, πολλοὶ ἀποπεφεύγασι, καὶ οὐ φθονῶν τούτοις λέγω, ἀλλ' ἡμᾶς ἐλεῶν. οἱ μὲν γὰρ δοκοῦντες ἀδικεῖν, ἐξῃτημένοι εἰσὶν, ὑπὸ τῶν ὑμῖν προθύμων ἐν τοῖς πράγμασι γενομένων. οἱ δ' ἠδικηκότες ἐκπριάμενοι τοὺς κατηγόρους, οὐδὲν ἔδοξαν ἀδικεῖν. πῶς ἂν οὖν οὐκ ἂν δεινὰ πάσχοιμεν. καὶ κατηγοροῦσι μὲν τῶν τετρακοσίων ὅτι ἦσαν κακοί. καίτοι ὑμεῖς αὐτοὶ πεισθέντες ὑπὸ τούτων παρέδοτε τοῖς πεντακισχιλίοις, καὶ οἱ αὐτοὶ τοσοῦτοι ὄντες, ἐπείσθητε. ἵνα ἕκαστον τῶν τετρακοσίων οὐ χρὴ πεισθῆναι; ἀλλ' οὐχ οὗτοι ἀδικοῦσιν. ἀλλ' οἱ ὑμᾶς ἐξηπάτων καὶ κακῶς ἐποίουν. οὗτος δ' ἐν πολλοῖς δηλοῖ ὑμῖν, ὅτι εἴπερ τι νεωτερίζειν ἐβούλετο εἰς τὸ ὑμέτερον πλῆθος, οὐκ ἂν ποτε ἐν ὀκτὼ ἡμέραις εἰσελθὼν εἰς τὸ βουλευτήριον ᾤχετο ἐκπλέων. ἀλλ' εἴποι ἄν τις ὅτι κερδαίνειν ἐπιθυμῶν ἐξέπλευσεν. ὥσπερ ἕτεροι ἥρπαζον καὶ ἔφερον. οὐδεὶς τοίνυν ἂν εἴποι τις ὅπως τῶν ὑμετέρων ἔχει. ἀλλὰ πάντων μᾶλλον κατηγοροῦσιν, ἢ εἰς τὴν ἀρχήν, καὶ οἱ κατήγοροι τότε μὲν οὐδαμῇ εὖνοι ὄντες ἐφαίνοντο τῷ δήμῳ, οὐδὲ ἐβοήθουν. νῦν δὲ ἡνίκα αὐτὸς ἑαυτῷ εὐνοούστατός ἐστιν ὁ δῆμος βοηθοῦσι. τῷ μὲν ὀνόματι ὑμῖν. τῷ δὲ ἔργῳ, σφίσιν αὐτοῖς. καὶ μὴ θαυμάζετε ὦ ἄνδρες δικασταί, ὅτι τοσαῦτα ὦφλε χρήματα. ἐρήμην γὰρ αὐτὸν λαβόντες, αὐτοῦ τε καὶ ἡμῶν κατηγοροῦντες εἷλον. τῷ μὲν γὰρ, οὐδ' εἴ τις εἶχε μαρτυρίαν, εἶχε μαρτυρεῖν διὰ τὸ δέος τὸ τῶν κατηγόρων. τοῖς δὲ, καὶ τὰ ψευδῆ, δεδοικότες ἐμαρτύρουν, ἢ δεινὰ ἄγαν πάθοιμεν ὦ ἄνδρες δικασταί. εἰ τοὺς μὲν οὐχ οἵους τε ὄντας ἐξαρνίους εἶναι, μὴ οὐ χρήματα ἔχειν ὑμῶν, τούτους μὲν ἀφῆτε αὐτοὶ ἐξαιτουμένοι. ἡμῖν δὲ αὐτοῖς τε προθύμοις γεγενημένοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον, καὶ τοῦ πατρὸς οὐδὲν ὑμᾶς ἠδικηκότος οὐ χαριεῖσθε. καὶ εἰ μὲν ξένος τις ἐλθὼν ὑμᾶς, ἢ χρήματα ᾔτει, ἢ εὐεργέτης ἀναγραφῆναι ἠξίου, ἔδοτε ἂν αὐτῷ. ἡμῖν δὲ οὐ δώσετε ὑμᾶς αὐτοὺς ἐπιτίμους ὑμῖν γενέσθαι. εἰ δέ τινες κακόνοι ἐγένοντο εἰς τὰ ὑμέτερα πράγματα, ἢ γνώμην μὴ ἐπιτηδείαν εἶπον, οὐχ οἱ πάντες τούτων αἴτιοί εἰσιν, ἐπεὶ καὶ τοὺς παρόντας ὑμᾶς ἀπελύσατε. οὐδὲ γὰρ εἴ τις τῶν ἐνθάδε, μὴ τὰ ἄριστα λέγων πείθει ὑμᾶς, οὐχ ὑμεῖς ἐστὲ αἴτιοι, ἀλλ' ὁ ἐξαπατῶν ὑμᾶς. ἐκεῖνοι δὲ, σφῶν αὐτῶν προκαταγνόντες ἀδικεῖν οἴχονται, ἵνα μὴ δοῖεν δίκην. καὶ εἴ τινες ἄλλοι ἀδικοῦσιν ἧττον μὲν ἐκείνων, ἀδικοῦσι δὲ, τὸ δέος αὐτοὺς ποιεῖ τό, τε ὑμέτερον καὶ τὸ τῶν κατηγόρων, μὴ ἐπιδημεῖν, ἀλλὰ στρατεύεσθαι. ἵνα ἢ ὑμᾶς πρᾳοτέρους ποιῶσιν, ἢ τούτους πείθωσιν. οὗτος δὲ ὑμῖν δίκην δέδωκεν. οὐδὲν ὑμᾶς ἀδικῶν εὐθὺς μετὰ τὰ πράγματα. ὅτε ὑμεῖς τε μάλιστα ἐμέμνησθε τῶν γενομένων, καὶ οὗτος ἐλεγχθήσεσθαι ἔμελλε πιστεύων αὑτῷ μηδὲν ἡμαρτῆσθαι. ἀλλ' ἀγωνιεῖσθαι εὖ μετὰ τοῦ δικαίου.

ὡς δ' ἦν δημοτικός, ἐγὼ ὑμῖν ἀποδείξω. πρῶτον μὲν γὰρ ὅσων, οὐδὲ μιᾶς στρατιᾶς ἀπελείφθη, ἀλλ' ἐστρατεύετο ὡς συνειδότες ἂν εἴποιεν οἱ δημόται. καὶ ἐξὸν αὐτῷ τὴν οὐσίαν ἀφανῆ καταστήσαντι μηδὲν δὲ ὑμᾶς ὠφελεῖν, εἵλετο μᾶλλον συνειδέναι ὑμᾶς. ἵν' εἰ καὶ βούλοιτο κακὸς εἶναι μὴ ἐξῇ αὐτῷ, ἀλλ' εἰσφέροι τε τὰς εἰσφοράς, καὶ λειτουργοίη, καὶ ἡμᾶς παρεσκεύασεν, ὡς ἂν τῇ πόλει ὠφελιμώτατοι εἶμεν. καὶ ἐμὲ μὲν εἰς Σικελίαν ἐξέπεμψεν. ὑμῖν δ' οὐκ

ἦν ὥστ' εἰδέναι τοὺς ἱππέας, οἷος ἦν τὴν ψυχὴν ἕως τὸ στρατόπεδον σῶν ἦν. ἐπειδὴ δὲ διεφθάρη καὶ ἀπεσώθη εἰς τὴν Κατάνην, ἐληΐζετο ὁρμώμενος, ἐντεῦθεν καὶ τοὺς πολεμίους κακῶς ἐποίουν. ὥστε τῇ θεῷ τε τὰς δεκάτας ἐξαιρεθῆναι πλέον, ἢ τριάκοντα μνᾶς. καὶ τοῖς στρατιώταις εἰς σωτηρίαν ὅσοι ἐν τοῖς πολεμίοις ἦσαν. καὶ ἐπειδὴ Καταναῖοι ἠνάγκαζον ἱππεύειν, ἵππευεν. καὶ οὐδενὸς οὐδ' ἐνταῦθα κινδύνου ἀπελιπόμην ὥστ' εἰδέναι ἅπαντας οἷος ἦν τὴν ψυχήν. ἱππεύων τε καὶ ὁπλιτεύων. ὑμῖν τοὺς μάρτυρας παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Ἀκηκόατε μὲν τῶν μαρτύρων ὦ ἄνδρες δικασταί. οἷος δ' εἰμὶ περὶ τὸ ὑμέτερον πλῆθος, ἐγὼ ὑμῖν ἀποδείξω. ἀφικομένου γὰρ ἐκεῖσε Συρακουσίου ὅρκιον ἔχοντος, καὶ ἑτοίμου ὄντος ὀρκοῦν, καὶ προσιόντος πρὸς ἕκαστον τῶν ἐκεῖ ὄντων, ἀντεῖπεν εὐθὺς αὐτῷ. καὶ ἐλθὼν ὡς Τυδέα, διηγούμην ταῦτα, καὶ συλλογὴν ἐποίει, καὶ λόγοι οὐκ ὀλίγοι ἦσαν. ὧν δ' οὖν ἐγὼ εἶπεν, καλῶ μάρτυρας. ΜΑΡΤΥΡΕΣ. Σκέψασθε δὴ καὶ τοῦ παιδὸς τὴν ἐπιστολήν, ἣν ἔδωκεν ἀποδοῦναι ἐμοί. πότερα τῷ ὑμετέρῳ πλήθει ἀγαθὰ ἦν, ἢ οὔ. τότε γὰρ οἰκεῖα ἀντεγέγραπτο. καὶ ἔτι ὅτι καλῶς ἔχοι τὰ ἐν Σικελίᾳ ἥκειν. καίτοι ταῦτα ὑμῖν συνέφερε καὶ τοῖς ἐκεῖ. ὥστ' εἰ μὴ εὔνους ἦν τῇ πόλει καὶ ὑμῖν, οὐκ ἄν ποτε τοιαῦτα ἐπέστελλεν. ἀλλὰ μὴν καὶ τὸν ἀδελφὸν τὸν νεώτατον, οἷος εἰς ὑμᾶς ἐστιν, ἐγὼ ἀποδείξω. καταδρομῆς γὰρ γενομένης τῶν φυγάδων, οὐ μόνον ἐνθάδε ὅτε οἷοί τ' ἦσαν, κακὸν εἰργάζοντο ἀλλὰ καὶ ἀπὸ τοῦ τείχους ἔφερον καὶ ἦγον ὑμᾶς ἐξελάσας ἐκ τῶν ἄλλων ἱππέων ἕνα, ἀπέκτεινεν. ὧν ὑμῖν αὐτοὺς μάρτυρας τοὺς παραγενομένους παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Τὸν δὲ πρεσβύτατον ἀδελφόν, αὐτοὶ οἱ συστρατευόμενοι ἴσασιν. οἵτινες ἐνθάδε ὄντες ἦτε ἐν Ἑλλησπόντῳ, ὥστε νομίζειν μηδενὸς ἧττον εἶναι ἀνθρώπων τὴν ψυχήν. καί μοι ἀνάβητε δεῦρο. πῶς οὖν οὐ χρὴ χάριν παρ' ὑμῶν ἀπολαμβάνειν, εἰ τοιοῦτοί ἐσμεν, ὧν μὲν ὁ πατὴρ διαβέβληται εἰς ὑμᾶς δικαίως, τούτου δεῖ ἡμᾶς ἕνεκα ἀπολέσθαι. δι' ὧν δὲ πρόθυμοι εἰς τὴν πόλιν γεγενήμεθα, μηδὲ μίαν ὠφέλειαν γενέσθαι; ἀλλ' οὐ δίκαιον. ἀλλ' εἰ διὰ τὴν τούτου διαβολὴν δεῖ ὑμᾶς πάσχειν, δίκαιοί ἐσμεν διὰ τὴν ὑμετέραν προθυμίαν τοῦτόν τε σῶσαι καὶ ἡμᾶς. οὐ γὰρ ἂν ἡμεῖς χρημάτων γε ἕνεκα ἵνα λάβοιμεν, εὖ ὑμᾶς ἐποιοῦμεν. ἀλλ' ἵνα εἴ ποτε κίνδυνος εἴη ἡμῖν, ἐξαιτούμενοι παρ' ὑμῶν, τὴν ἀξίαν χάριν ἀπολάβοιμεν. χρὴ δὲ ὑμᾶς, καὶ τῶν ἄλλων ἕνεκα τοιούτους εἶναι. γιγνώσκοντας ὅτι ἐάν τις πρόθυμος εἰς ὑμᾶς ᾖ, οὐ μόνον ἡμᾶς ὠφελήσεται. ὑμῶν γὰρ καὶ πρὶν δεηθῆναι πεπείρασθε, οἷοι ἐσμὲν εἰς ὑμᾶς. τοὺς δὲ ἄλλους προθυμοτέρους ποιήσετε κατ' ἀξίαν χαριζόμενοι. ὃς ἄν τις ὑμᾶς εὖ ποιῇ, καὶ μηδαμῶς τοῖς λέγουσι βεβαιώσητε λεγόντων πάντων πονηρότατον. λέγεται γὰρ τοὺς κακῶς πεπονθότας μεμνῆσθαι μᾶλλον, ἢ τοὺς εὖ. τίς γὰρ ἔτι θελήσει χρηστὸς εἶναι. εἰ ἡττηθήσονται τῶν κακῶν ὑμᾶς ποιούντων, οἱ εὖ ποιοῦντες. ἔχει δ' ὑμῖν ὦ ἄνδρες δικασταὶ οὕτω. περὶ ἡμῶν γάρ ἐστι ψῆφος ὑμῖν, καὶ νῦν περὶ χρημάτων. ἕως μὲν γὰρ εἰρήνη ἦν, ἡμῖν φανερὰ οὐσία, καὶ ἦν ὁ πατὴρ ἀγαθὸς γεωργός. ἐπειδὴ δὲ εἰσέβαλον οἱ πολέμιοι, πάντων τούτων ἐστερήθημεν. ὥστε αὐτῶν τούτων ἕνεκα πρόθυμοι ἐσμὲν εἰς ὑμᾶς. εἰδότες ὅτι χρήματα μὲν ἡμῖν οὐκ ἔστι πόθεν ἐκτίσομεν. αὐτοὶ δὲ πρόθυμοι ὄντες εἰς ὑμᾶς, ἀξιοῦμεν εὑρίσκεσθαι χάριν. καίτοι ὁρῶμέν γ' ὑμᾶς ὦ ἄνδρες δικασταὶ ἐάν τις παῖδας αὐτοῦ ἀναβιβασάμενος, κλαίῃ καὶ ὀλοφύρηται. τούς τε παῖδας καὶ αὐτὸν εἰ ἀτιμωθήσονται ἐλεοῦντας καὶ ἀφιέντας τὰς τῶν πατέρων ἁμαρτίας, διὰ τοὺς παῖδας οὓς οὔπω ἴστε εἴτε ἀγαθοί, εἴτε κακοὶ ἡβήσαντες γενήσονται. ἡμᾶς δ' ἴστε ὅτι πρόθυμοι γεγενήμεθα εἰς ὑμᾶς, καὶ τὸν πατέρα οὐδὲν ἡμαρτηκότα. ὥστε πολλῷ δικαιότεροί ἐστε ὧν πεπείρασθε τούτοις χαρίσασθαι, ἢ οὓς οὐκ ἴστε ὁποῖοί τινες ἔσονται. πεπόνθαμεν δὲ τοὐναντίον τοῖς ἄλλοις ἀνθρώποις. οἱ μὲν γὰρ ἄλλοι τοὺς παῖδας παραστησάμενοι ἐξαιτοῦνται ὑμᾶς. ἡμεῖς δέ, τὸν πατέρα τουτονὶ καὶ ἡμᾶς ἐξαιτούμεθα. μὴ ἡμᾶς ἀντὶ μὲν ἐπιτίμων, ἀτίμους ποιήσητε. ἀντὶ δὲ πολιτῶν, ἀπόλιδας. ἀλλὰ ἐλεήσατε καὶ τὸν πατέρα γέροντα ὄντα καὶ ἡμᾶς. εἰ δὲ ἡμᾶς ἀδίκως ἀπολεῖτε, πῶς

ἢ οὗτος

εἰ οὗτος ὑμῖν ἐνθάδε συνέσται, εἰ ὑμεῖς ἀλλήλοις ἐν τῷ αὐτῷ ὄντες, ὑμῶν τε ἀνάξιοι καὶ τῆς πόλεως. ἀλλ᾽ ὑμῶν δεόμεθα τρεῖς ὄντες, ἐᾶσαι ἡμᾶς ἔτι προθυμοτέρους γενέσθαι. δεόμεθα οὖν ὑμῶν πρὸς τῶν ὑπαρχόντων ἀγαθῶν ἑκάστῳ ὅτῳ μέν εἰσιν υἱεῖς, τούτων οἶκον ἐλεῆσαι. ὅς τις ἡμῖν ἡλικιώτης τυγχάνει ἢ τῷ πατρὶ, ἐλεήσαντες ἀποψηφίσασθαι, καὶ μὴ ἡμᾶς βουλομένους εὖ ποιεῖν τὴν πόλιν, ὑμεῖς κωλύσητε. δεινὰ δ᾽ ἂν πάθοιμεν, εἰ ὑπὸ τῶν πολεμίων μὲν ἐσώθημεν. οὓς εἰκὸς ἦν διακωλύειν μὴ σώζεσθαι, παρ᾽ ὑμῶν δὲ μηδὲν εὑρησόμεθα τοῦ σωθῆναι.

Λυσίου ἀπολογία δωροδοκίας, ἀπαράσημος.

π

Ερὶ μὲν τῶν κατηγορημένων ὦ ἄνδρες δικασταὶ, ἱκανῶς ὑμῖν ἀποδέδεικται. ἀκοῦσαι δὲ καὶ περὶ τῶν ἄλλων ὑμᾶς ἀξιῶ, ἵν᾽ ἐπίστησθε περὶ ὅτου τινὸς ὄντος ἐμοῦ ψηφιεῖσθε. ἐγὼ γὰρ ἐδοκιμάσθην μὲν ἐπὶ θεοπόμπου ἄρχοντος. καταστὰς δὲ χορηγὸς τραγῳδοῖς, ἀνήλωσα τριάκοντα μνᾶς. καὶ τρίτῳ μηνὶ θαργηλίοις νικήσας ἀνδρικῷ χορῷ δισχιλίας δραχμάς. ἐπὶ δὲ γλαυκίππου ἄρχοντος, εἰς πυρριχιστὰς παναθηναίοις τοῖς μεγάλοις ὀκτακοσίας. ἔτι δ᾽ ἀνδράσι χορηγῶν εἰς διονύσια ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος, ἐνίκησα. καὶ ἀνήλωσα σὺν τῇ τοῦ τρίποδος ἀναθέσει, πεντακισχιλίας δραχμάς. καὶ ἐπὶ διοκλέους παναθηναίοις τοῖς μικροῖς κυκλικῷ χορῷ τριακοσίας. τὸν δὲ μεταξὺ χρόνον, ἐτριηράρχουν ἑπτὰ ἔτη, καὶ ἓξ τάλαντα ἀνήλωσα. καὶ τοσαύτας δαπάνας δαπανώμενος. καὶ καθ᾽ ἡμέραν ὑπὲρ ὑμῶν κινδυνεύων καὶ ἀποδημῶν, ὅμως εἰσφορὰς τὴν μὲν τριάκοντα μνᾶς. τὴν δὲ, τετρακισχιλίας δραχμὰς εἰσενήνοχα. ἐπεὶ δὲ κατέπλευσα ἐπὶ ἀλεξίου ἄρχοντος, εὐθὺς ἐγυμνασιάρχουν εἰς προμήθεια. καὶ ἐνίκων, ἀνηλώσας δώδεκα μνᾶς. καὶ ὕστερον κατέστην χορηγὸς παιδικῷ χορῷ, καὶ ἀνήλωσα πλέον, ἢ πεντεκαίδεκα μνᾶς. ἐπὶ δὲ εὐκλείδου ἄρχοντος κωμῳδοῖς χορηγῶν κηφισοδότῳ, ἐνίκων καὶ ἀνήλωσα σὺν τῇ τῆς σκευῆς ἀναθέσει, ἑκκαίδεκα μνᾶς. καὶ παναθηναίοις τοῖς μικροῖς ἐχορήγουν πυρριχισταῖς ἀγενείοις, καὶ ἀνήλωσα ἑπτὰ μνᾶς. νενίκηκα δὲ τριήρει μὲν ἁμιλλώμενος ἐπὶ σουνίῳ, ἀνηλώσας πεντεκαίδεκα μνᾶς. χωρὶς δὲ ἀρχεθεωρίας καὶ ἀρρηφορίας, καὶ ἄλλα τοιαῦτα εἰς ἃ ἐμοὶ δεδαπάνηται πλέον, ἢ τετταράκοντα μναῖ. καὶ τούτων ὧν κατέλεξα εἰ ἐβουλόμην κατὰ τὰ γεγραμμένα ἐν τῷ νόμῳ λειτουργεῖν, οὐδ᾽ ἂν τὸ τέταρτον μέρος ἀνήλωσα. τὸν δὲ χρόνον ὃν ἐτριηράρχουν, ἡ ναῦς ἄριστά μοι ἔπλευσε παντὸς τοῦ στρατοπέδου. τεκμήριον δὲ τούτου ὑμῖν μέγιστον ἐρῶ. πρῶτον μὲν γὰρ ἀλκιβιάδης, ὃν ἐγὼ περὶ πολλοῦ ἂν ἐποιησάμην μὴ συμπλεῖν μοι οὔτε φίλος ὢν, οὔτε συγγενὴς, οὔτε φυλέτης, ἔπλει ἐπὶ τῆς ἐμῆς νεώς. καίτοι ὑμᾶς οἶμαι εἰδέναι, ὅτι στρατηγὸς ᾧ ἐξῆν ποιεῖν ὅτι ἐβούλετο, οὐκ ἂν ποτε ἀνέβη ἐπ᾽ ἄλλην ναῦν, εἰ μὴ τὴν ἄριστα πλέουσαν, μέλλων αὐτὸς κινδυνεύειν. ἐπειδὴ δ᾽ ἐκεῖνον μὲν ὑμεῖς ἐπαύσατε τῆς ἀρχῆς, τοὺς δὲ μετὰ θρασύλλου δέκα εἵλεσθε, οὗτοι πάντες ἐβούλοντο ἐπὶ τῆς ἐμῆς νεὼς πλεῖν. ἀνέβη μέντοι πολλῶν λοιδοριῶν αὐτοῖς γενομένων, ἀρχέστρατος ὁ φρεάρριος. ἀποθανόντος δὲ τούτου ἐν μιτυλήνῃ, ἐρασινίδης μετ᾽ ἐμοῦ συνέπλει. καίτοι οὕτω παρεσκευασμένην τριήρη, πόσα οἴεσθε ἀνηλωκέναι χρήματα. ἢ πόσα τοὺς πολεμίους εἰργάσθαι κακὰ, ἢ πόσα τὴν πόλιν εὖ πεποιηκέναι. τεκμήριον δὲ τούτου μέγιστον, ὅτε ἐν τῇ τελευταίᾳ ναυμαχίᾳ, αἱ νῆες διεφθάρησαν, οὐδενός μοι συμπλέοντος στρατηγοῦ, ἵνα καὶ τούτου μνησθῶ. ἐπειδὴ δὲ τοῖς τριηράρχοις ὠργίσθητε διὰ τὴν γενομένην συμφορὰν, ἐγὼ τὴν ἐμαυτοῦ ναῦν ἐκόμισα. καὶ τὴν ναυσιμάχου τοῦ φαληρέως ἔσωσα. καὶ ταῦτα οὐκ ἀπὸ τύχης ἐγίγνετο, ἀλλ᾽ ἀπὸ παρασκευῆς τῆς ἐμῆς. εἶχον γὰρ χρήμασι πείσας, κυβερνήτην φαντίαν ἅπαντα τὸν χρόνον, ὃς ἐδόκει τῶν ἑλλήνων ἄριστος εἶναι. παρεσκευασάμην δὲ καὶ τὸ πλήρωμα πρὸς ἐκεῖνον, καὶ τὴν ἄλλην ὑπηρεσίαν ἀκόλουθον. καὶ ταῦθ᾽ ὅτι ἀληθῆ λέγω, πάντες ἐπίστασθε, ὅσοι ἐτυγχάνετε ὄντες

ἐκεῖ τῶν στρατιωτῶν. κάλεσον δὲ καὶ Λυσίμαχον. ΜΑΡΤΥΡΕΣ. Αἱ μὲν τοί-
νυν σωθεῖσαι τῶν νεῶν, διῳκήθησαν· ἐγὼ δ' ὑμῖν δύο ἐκόμισα. τήν τ' ἐμαυτοῦ, καὶ τὴν ναυ-
σιμάχου τριήρη. καὶ οὕτω πολλοὺς κινδύνους ὑπὲρ ὑμῶν κεκινδυνευκὼς, καὶ τοσαῦ-
τα ἀγαθὰ εἰργασμένος τὴν πόλιν, νῦν δέομαι οὐ δωρεὰν ὥσπερ ἕτεροι παρ' ὑμῶν λα-
βεῖν, ἀλλὰ μὴ στερηθῆναι τῶν ἐμαυτοῦ ἡγούμενος, καὶ ὑμῖν αἰσχρὸν εἶναι παρά τε ἑκόν-
τος ἐμοῦ, καὶ παρ' ἄκοντος λαμβάνειν. καὶ οὐ τοσοῦτόν μοι μέλει, εἰ με δεῖ τὰ ὄντα ἀ-
πολέσαι. ἀλλ' οὐκ ἂν δεξαίμην ὑβρισθῆναι· οὐδὲ παρασχεῖν τοῖς διαδυομένοις τὰς λει-
τουργίας, ἐμοὶ μὲν ἀχάριστα εἶναι τὰ εἰς ὑμᾶς ἀνηλωμένα· ἐκείνους δὲ δοκεῖν ὀρθῶς βε-
βουλεῦσθαι· ὅτι ὑμῖν οὐδὲν προεῖνται τῶν σφετέρων αὐτῶν. ἂν οὖν ἐμοὶ πεισθῆτε, τά
τε δίκαια ψηφιεῖσθε, καὶ τὰ λυσιτελοῦντα ὑμῖν αὐτοῖς αἱρήσεσθε. ὁρᾶτε γὰρ ὦ ἄν-
δρες δικασταὶ τὰ προσιόντα τῇ πόλει, ὡς ὀλίγα ἐστί. καὶ ταῦτα ὡς ὑπὸ τῶν ἐφεστη-
κότων ἁρπάζεται. ὥστ' ἄξιον ταύτην ἡγεῖσθαι πρόσοδον βεβαιοτάτην τῇ πόλει τὰς
οὐσίας τῶν θελόντων λειτουργεῖν. ἂν οὖν εὖ βουλεύσησθε, οὐδὲν ἧττον ἐπιμελήσεσθε τῶν
ἡμετέρων χρημάτων, ἢ τῶν ἰδίων τῶν ὑμετέρων αὐτῶν· εἰδότες ὅτι ἕξετε πᾶσι χρῆσθαι
τοῖς ἡμετέροις ὥσπερ καὶ πρότερον. οἶμαι δὲ πάντας ὑμᾶς ἐπίστασθαι ὅτι τῶν ἐμῶν
ἐγὼ, πολὺ βελτίων ὑμῖν ἔσομαι ταμίας, τῶν τὰ τῆς πόλεως ὑμῖν ταμιευόντων. ἐὰν
δέ με πένητα ποιήσητε, καὶ ὑμᾶς αὐτοὺς ἀδικήσετε. ἕτεροι δὲ καὶ ταῦτα διανεμοῦν-
ται ὥσπερ καὶ τἄλλα. ἄξιον δὲ ἐστὶν ἐνθυμηθῆναι, ὅτι πολὺ μᾶλλον ὑμῖν προσήκει τῶν
ὑμετέρων ἐμοὶ διδόναι, ἢ τῶν ἐμῶν ἐμοὶ ἀμφισβητῆσαι· καὶ πένητα γενόμενον ἐλεῆσαι
μᾶλλον, ἢ πλουτοῦντι φθονῆσαι, καὶ τοῖς θεοῖς εὔχεσθαι τοὺς ἄλλους εἶναι τοιούτους
πολίτας· ἵνα τῶν μὲν ἑτέρων ἐπιθυμήσωσι, τὰ δὲ σφέτερα αὐτῶν εἰς ὑμᾶς ἀναλίσκω-
σιν. ἡγοῦμαι δ' ὦ ἄνδρες δικασταὶ καὶ μηδεὶς ὑμῶν ἀχθεσθῇ, πολὺ ἂν δικαιότερον ὑμᾶς
ἀπὸ τῶν ζητητῶν ἀπογραφῆναι τὰ ἐμὰ ἔχειν, ἢ ἐμὲ νυνὶ κινδυνεύειν, ὡς τοῦ δημοσίου
χρήματα ἔχοντα. τοιοῦτον γὰρ ἐμαυτὸν τῇ πόλει παρέχω, ὥστ' ἰδίᾳ μὲν, τῶν, φεί-
δομαι. δημοσίᾳ δ', λειτουργῶν ἥδομαι. καὶ οὐκ ἐπὶ τοῖς περιοῦσι μέγα φρονῶ, ἀλλ' ἐπὶ
τοῖς εἰς ὑμᾶς ἀνηλωμένοις· ἡγούμενος τούτων μὲν αὐτὸς αἴτιος εἶναι. τὴν δ' οὐσίαν ἑτέ-
ρους μοι καταλιπεῖν, καὶ διὰ ταύτην μὲν, ὑπὸ τῶν ἐχθρῶν ἀδίκως συκοφαντεῖσθαι.
δι' ἐκεῖνα δὲ ὑφ' ὑμῶν δικαίως σώζεσθαι. ὥστ' οὐκ ἂν εἰκότως ἕτεροί με ἐξῃτήσαντο παρ'
ὑμῶν, ἀλλὰ καὶ εἴ τις τῶν ἐμῶν φίλων τοιοῦτον ἀγῶνα ἠγωνίζετο, ὑμᾶς ἂν ἠξίουν ἐμοὶ
δοῦναι τὴν χάριν. καὶ εἰ παρ' ἄλλοις ἐκινδύνευον, ὑμᾶς ἂν τοὺς δεομένους ὑπὲρ ἐμοῦ. τοῦ-
τό γε εἰπεῖν ἔχοι τις, ὡς πολλὰς ἀρχὰς ἄρξας ἐκ τῶν ὑμετέρων ὠφέλημαι, ἢ ὡς αἰ-
σχρὰς δίκας δεδίκασμαι, ἢ ὡς αἰσχροῦ τινος αἴτιός εἰμι, ἢ ὡς τὰς τῆς πόλεως συμφο-
ρὰς ἀσμένως εἶδον. ὑπὲρ ἁπάντων δὲ καὶ ἰδίων καὶ δημοσίων, οὕτως ἡγοῦμαί μοι πε-
πολιτεῦσθαι, καὶ ὑμᾶς εἰδέναι· ὥστε οὐδὲν δεῖ με ἀπολογήσασθαι, περὶ αὐτῶν. δέομαι
οὖν ὑμῶν ὦ ἄνδρες δικασταὶ τὴν αὐτὴν νῦν περὶ ἐμοῦ γνώμην ἔχειν, ἥνπερ καὶ ἐν τῷ
τέως χρόνῳ. καὶ μὴ μόνον τῶν δημοσίων λειτουργιῶν μεμνῆσθαι, ἀλλὰ τῶν ἰδίων ἐπι-
τηδευμάτων ἐνθυμεῖσθαι. ἡγουμένους ταύτην εἶναι τὴν λειτουργίαν ἐπιπονωτάτην
διὰ τέλους τὸν πάντα χρόνον κόσμιον εἶναι, καὶ σώφρονα. καὶ μήθ' ὑφ' ἡδονῆς ἡττηθῆ-
ναι, μήθ' ὑπὸ κέρδους ἐπαρθῆναι. ἀλλὰ τοιοῦτον παρασχεῖν ἑαυτὸν, ὡς μηδένα τῶν
πολιτῶν, μήτε μέμψασθαι, μήτε δίκην τολμῆσαι προσκαλέσασθαι. οὔκουν ἄξιον ὦ ἄν-
δρες δικασταὶ πειθομένους κατηγόροις τοιούτοις, ἐμοῦ καταψηφίσασθαι. οἳ περὶ ἀσε-
βείας μὲν ἀγωνιζόμενοι τηλικοῦτοι γεγόνασιν· οὐκ ἂν δυνάμενοι δ' ὑπὲρ τῶν σφετέρων
ἁμαρτημάτων ἀπολογήσασθαι, ἑτέρων κατηγορεῖν τολμῶσι. καὶ ὧν Κινησίας οὕτω δι-
ακείμενος, πλείους στρατείας ἐστράτευται, οὗτοι περὶ τῶν τῆς πόλεως ἀγανακτοῦσι. καὶ
ἐξ ὧν μὲν ἡ πόλις εὐδαίμων ἔσται, οὐ συμβάλλονται. πάντα δὲ ποιοῦσιν, ὅπως ὑμεῖς
τοῖς ἠδικηκόσιν ὀργισθῆτε. οὗτοι μὲν οὖν ὦ ἄνδρες δικασταὶ ἐν τῷ δήμῳ κατέποιουν
ὑμῖν τὰ σφέτερα αὐτῶν ἐπιτηδεύματα. οὐ γὰρ ἂν ἔχοι με. ὅτι τούτου μεῖζον αὐτοῖς
δεξαίμην κακόν. ἐγὼ δ' ὑμῶν δέομαι, καὶ ἱκετεύω, καὶ ἀντιβολῶ, μὴ καταγνῶναι δω-

ῥᾳθυμίαν ἐμοῦ. μηδ' ἡγήσασθαι τοσαῦτα χρήματα εἶναι, ἃ ἐγὼ βουληθείην ἄν τι κακὸν τῇ πόλει γενέσθαι. μαινοίμην γὰρ ὦ ἄνδρες δικασταί, εἰ τὴν μὲν πατρῴαν οὐσίαν φιλοτιμούμενος, εἰς ὑμᾶς ἀναλίσκοιμι. ἐπὶ δὲ τῷ τῆς πόλεως κακῷ, παρὰ τῶν ἄλλων δωροδοκοίην. ἐγὼ μὲν οὖν ὦ ἄνδρες δικασταί οὐκ οἶδ' οὕς τινας ἂν ὑμᾶς ἐβουλήθην περὶ ἐμοῦ δικαστὰς γενέσθαι, εἴπερ χρὴ τοὺς εὖ τι πεπονθότας περὶ τῶν εὖ τι πεποιηκότων, δέχεσθαι τὴν ψῆφον φέρειν. καὶ μὲν δὴ ὦ ἄνδρες δικασταί, ἐπιθυμῶ γὰρ καὶ τούτων μνησθῆναι. οὐδὲ πώποτε λειτουργεῖν ὑπὲρ ὑμῶν δέον, εἰ τοσοῦτον πενεστέρους τοὺς παῖδας καταλείψω. ἀλλὰ πολὺ μᾶλλον εἰ μὴ προθύμως ποιήσω τὰ προσταχθέντα. οὐδ' εἴ ποτε κινδυνεύσειν, ἐν ταῖς ναυμαχίαις μέλλοιμι, οὐδὲ πώποτ' ἠλέησα οὐδ' ἐδάκρυσα. οὐδ' ἐμνήσθην γυναικός, οὐδὲ παίδων τῶν ἐμαυτοῦ. οὐδ' ἡγούμην δεινὸν εἶναι, εἰ τελευτήσας ὑπὲρ τῆς πατρίδος τὸν βίον, ὀρφανούς, καὶ πατρὸς ἀπεστερημένους αὐτοὺς καταλείψω, ἀλλὰ πολὺ μᾶλλον εἰ σωθεὶς αἰσχρῶς ὀνείδη καὶ ἐμαυτῷ καὶ ἐκείνοις περιάψω. ἀνθ' ὧν, ὑμᾶς ἀπαιτῶ νῦν τὴν χάριν, καὶ ἀξιῶ ἐν τοῖς κινδύνοις ἐμοῦ τοιαύτης περὶ ὑμῶν γνώμην ἔχοντος, ὑμᾶς νυνὶ ἐν τῷ θαῤῥαλέῳ ὄντας, ἐμὲ καὶ τοὺς παῖδας τούτους περὶ πολλοῦ ποιήσασθαι. ἡγουμένους ὑμῖν μὲν δεινὸν. ὑμῖν δὲ αἰσχρὸν εἶναι. εἰ ἀναγκασθησόμεθα ἐπὶ τοιαύταις αἰτίαις ἄτιμοι γενέσθαι, ἢ στερηθέντες τῶν ὑπαρχόντων, πένητες εἶναι, καὶ πολλῶν ἐνδεεῖς ὄντες περιιέναι. ἄξια μὲν ὑμῶν αὐτῶν πεπονθότες. ἀνάξια δὲ τῶν εἰς ὑμᾶς ὑπηργμένων. μηδαμῶς ὦ ἄνδρες δικασταί. ἀλλ' ἀποψηφισάμενοι, τοιούτοις ἡμῖν χρῆσθε πολίταις, οἵοις περ ἐν πρόσθεν χρόνῳ.

Λυσίου, κατὰ τῶν σιτοπωλῶν.

Ολλοί μοι προσεληλύθασιν ὦ ἄνδρες δικασταὶ θαυμάζοντες, ὅτι ἐγὼ τῶν σιτοπωλῶν ἐν τῇ βουλῇ κατηγόρουν, καὶ λέγοντες ὅτι ὑμεῖς, εἰ ὡς μάλιστα αὐτοὺς ἀδικεῖν ἡγεῖσθε, οὐδὲν ἧττον καὶ τοὺς περὶ τούτων ποιουμένους λόγους συκοφαντεῖν νομίζετε. ὅθεν οὖν ἠνάγκασμαι κατηγορεῖν αὐτῶν, περὶ τούτων πρῶτον εἰπεῖν βούλομαι. ἐπειδὴ γὰρ οἱ πρυτάνεις ἀπέδοσαν εἰς τὴν βουλὴν περὶ αὐτῶν, οὕτως ὀργίσθησαν αὐτοῖς, ὥστε ἔλεγόν τινες τῶν ῥητόρων, ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι, θανάτῳ ζημιῶσαι. ἡγούμενος δὲ ἐγὼ δεινὸν εἶναι τοιαῦτα ἐθίζεσθαι ποιεῖν τὴν βουλήν, ἀναστὰς εἶπον. ὅτι μοι δοκοίη κρίνειν τοὺς σιτοπώλους κατὰ τὸν νόμον. νομίζων εἰ μέν εἰσιν ἄξια θανάτου εἰργασμένοι, ὑμᾶς οὐδὲν ἧττον ἡμῶν γνώσεσθαι τὰ δίκαια. εἰ δὲ μηδὲν ἀδικοῦσιν, οὐ δεῖν αὐτοὺς ἀκρίτους ἀπολωλέναι. πεισθείσης δὲ τῆς βουλῆς ταῦτα, διαβάλλειν ἐπεχείρουν με λέγοντες, ὡς ἐγὼ σωτηρίας ἕνεκα τῆς τῶν σιτοπωλῶν, τοὺς λόγους τούτους ἐποιούμην. πρὸς μὲν οὖν τὴν βουλήν, ὅτ' ἦν αὐτοῖς ἡ κρίσις ἔργῳ ἀπελογησάμην. τῶν γὰρ ἄλλων ἡσυχίαν ἀγόντων, ἀναστὰς αὐτῶν κατηγόρουν, καὶ πᾶσι φανερὸν ἐποίησα, ὅτι οὐχ ὑπὲρ τούτων ἔλεγον, ἀλλὰ τοῖς νόμοις τοῖς κειμένοις ἐβοήθουν. ἠρξάμην μὲν οὖν τούτου ἕνεκα. δεδιὼς δὲ τὰς αἰτίας, αἰσχρὸν ἡγοῦμαι πρότερον παύσασθαι, πρὶν ἂν ὑμεῖς περὶ αὐτῶν ὅτι ἂν βούλησθε ψηφίσησθε. καὶ πρῶτον μὲν ἀνάβηθι. εἰπὲ σὺ ἐμοὶ μέτοικος εἶ. μετοικεῖς δὲ πότερον, ὡς πεισόμενος τοῖς νόμοις τοῖς τῆς πόλεως, ἢ ὡς ποιήσων ὅτι ἂν βούλῃ. Ὡς πεισόμενος. Ἄλλο τι οὖν ἀξιοῖς, ἢ ἀποθανεῖν, εἴ τι πεποίηκας παρὰ τοὺς νόμους ἐφ' οἷς θάνατος ἡ ζημία;

Ἔγωγε. ἀπόκριναι δή μοι εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι πεντήκοντα φορμῶν, ὧν ὁ νόμος ἐξεῖναι κελεύει; Ἐγὼ τῶν ἀρχόντων κελευόντων συνεπριάμην. Ἂν μὲν τοίνυν ἀποδείξῃ ὦ ἄνδρες δικασταί, ὡς ἔστι νόμος ὃς κελεύει τοὺς σιτοπώλας συνωνεῖσθαι τὸν σῖτον ἂν οἱ ἄρχοντες κελεύωσιν, ἀποψηφίσασθε. εἰ δὲ μή, δίκαιον ὑμᾶς καταψηφίσασθαι. ἡμεῖς γὰρ ὑμῖν παρεσχόμεθα τὸν νόμον. ὃς ἀπαγορεύει μηδένα τῶν ἐν τῇ πόλει σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι. Χρῆν μὲν τοίνυν ὦ

ἄνδρες δικασταὶ ἱκανὴν εἶναι ταύτην κατηγορίαν. ἐπειδὴ οὗτος μὲν ὁμολογεῖ συμπρίασθαι. ὁ δὲ νόμος, ἀπαγορεύων φαίνεται. ὑμεῖς δὲ κατὰ τοὺς νόμους ὀμωμόκατε ψηφιεῖσθαι. ὅμως δ' ἵνα πεισθῆτε ὅτι καὶ κατὰ τῶν ἀρχόντων ψεύδονται, ἀνάγκη καὶ μακρότερον εἰπεῖν περὶ αὐτῶν. ἐπειδὴ γὰρ οὗτοι τὴν αἰτίαν εἰς ἐκείνους ἀνέφερον, παρακαλέσαντες τοὺς ἄρχοντας ἠρώτων μέν. καὶ οἱ μὲν δύο, οὐδὲν ἔφασαν εἰδέναι τοῦ πράγματος. Ἄνυτος δ' ἔλεγεν ὡς τοῦ προτέρου χειμῶνος, ἐπειδὴ τίμιος ἦν ὁ σῖτος, τούτων ὑπερβαλλόντων ἀλλήλους, καὶ πρὸς σφᾶς αὐτοὺς μαχομένων, συμβουλεύσειεν αὐτοῖς παύσασθαι φιλονικοῦσιν. ἡγούμενος συμφέρειν ὑμῖν τοῖς παρὰ τούτων ὠνουμένοις ὡς ἀξιώτατον τούτους πρίασθαι. δεῖν γὰρ αὐτοὺς, ὀβολῷ μόνον πωλεῖν τιμιώτερον. ὡς τοίνυν οὐ συμπριαμένους καταθέσθαι ἐκέλευεν αὐτοὺς, ἀλλὰ μὴ ἀλλήλοις ἀντωνεῖσθαι συνεβούλευσεν, αὐτὸν ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι.

Μάρτυς.

Καὶ ὡς οὗτος μὲν ἐπὶ τῆς προτέρας βουλῆς τούτους εἶπε τοὺς λόγους, οὗτοι δ' ἐπίτηδες συνωνούμενοι φαίνονται. ὅτι μὲν τοίνυν οὐχ ὑπὸ τῶν ἀρχόντων κελευσθέντες συνεπρίαντο τὸν σῖτον, ἀκηκόατε. ἡγοῦμαι δ' ἂν ὡς μάλιστα περὶ τούτων ἀληθῆ λέγωσιν, οὐχ ὑπὲρ αὐτῶν αὐτοὺς ἀπολογήσασθαι, ἀλλὰ τούτων κατηγορήσειν. περὶ γὰρ ὧν εἰσι νόμοι διαρρήδην γεγραμμένοι, πῶς οὐ χρὴ διδόναι δίκην, καὶ τοὺς μὴ πειθομένους, καὶ τοὺς κελεύοντας τούτοις τἀναντία πράττειν. ἀλλὰ γὰρ ὦ ἄνδρες δικασταὶ οἴομαι αὐτοὺς ἐπὶ μὲν τοῦτον τὸν λόγον, οὐ κατελεύσεσθαι. ἴσως δ' ἐροῦσιν ὥσπερ καὶ ἐν τῇ βουλῇ ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ὑμῖν πωλοῖεν. μέγιστον δ' ὑμῖν ἐρῶ καὶ περιφανέστατον τεκμήριον ὅτι ψεύδονται. ἐχρῆν γὰρ αὐτοὺς εἴπερ ὑμῶν ἕνεκα ἔπραττον ταῦτα, φαίνεσθαι τῆς αὐτῆς τιμῆς πολλὰς ἡμέρας πωλοῦντας, ἕως ὁ συνεωνημένος αὐτοὺς ἐπέλιπε. νυνὶ δ' ἐνίοτε τῆς αὐτῆς ἡμέρας ἐπώλουν δραχμῇ τιμιώτερον, ὥσπερ κατὰ μέδιμνον συνωνούμενοι. καὶ τούτων, ὑμᾶς μάρτυρας παρέχομαι. δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ ὅταν μὲν εἰσφορὰν εἰσενεγκεῖν δέῃ, ἣν πάντες εἴσεσθαι μέλλουσιν, οὐκ ἐθέλουσιν, ἀλλὰ πενίαν προφασίζονται. ἐφ' οἷς δὲ θάνατός ἐστιν ἡ ζημία, καὶ λαθεῖν αὐτοῖς συνέφερε ταῦτα ἐπ' εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι. καίτοι πάντες ἐπίστασθε ὅτι τούτοις ἥκιστα προσήκει τοιούτους ποιεῖσθαι λόγους. τἀναντία γὰρ αὐτοῖς καὶ τοῖς ἄλλοις συμφέρει. τότε γὰρ πλεῖστα κερδαίνουσιν, ὅταν κακοῦ τινος ἀπαγγελθέντος τῇ πόλει, τίμιον τὸν σῖτον πωλῶσιν. οὕτω δ' ἄσμενοι τὰς συμφορὰς τὰς ὑμετέρας ὁρῶσιν, ὥστε τὰς μὲν, πρότεροι τῶν ἄλλων πυνθάνονται. τὰς δ' αὐτοὶ λογοποιοῦσιν ἢ τὰς ναῦς ἐφθάρθαι τὰς ἐν τῷ Πόντῳ, ἢ ὑπὸ Λακεδαιμονίων ἐκπλεούσας συνειλῆφθαι, ἢ τὰ ἐμπόρια κεκλεῖσθαι, ἢ τὰς σπονδὰς μέλλειν ἀπορρηθήσεσθαι. καὶ εἰς τοῦτ' ἔχθρας ἐληλύθασιν, ὥστ' ἐν τούτοις τοῖς καιροῖς ἐπιβουλεύουσιν ἡμῖν, ἐν οἷς περ οἱ πολέμιοι ὅταν γὰρ μάλιστα σίτου τυγχάνητε δεόμενοι, ἀναρπάζουσιν οὗτοι καὶ οὐκ ἐθέλουσι πωλεῖν. ἵνα μὴ περὶ τῆς τιμῆς διαφερώμεθα, ἀλλ' ἀγαπῶμεν ἂν ὁποσουτινοσοῦν πριάμενοι παρ' αὐτῶν ἀπέλθωμεν. ὥστ' ἐνίοτε εἰρήνης οὔσης, ὑπὸ τούτων πολιορκούμεθα. οὕτω δὲ πάλαι περὶ τῆς τούτων πανουργίας καὶ κακονοίας ἡ πόλις ἔγνωκεν, ὥστ' ἐπὶ μὲν τοῖς ἄλλοις ὠνίοις ἅπασι, τοὺς ἀγορανόμους φύλακας κατεστήσατε. ἐπὶ δὲ ταύτῃ μόνῃ τῇ τέχνῃ χωρὶς, σιτοφύλακας ἀποκληροῦτε. καὶ πολλάκις ἤδη παρ' ἐκείνων πολιτῶν ὄντων, δίκην τὴν μεγίστην ἐλάβετε, ὅτι οὐχ οἷοί τ' ἦσαν τῆς τούτων πονηρίας ἐπικρατῆσαι. καίτοι τί χρὴ αὐτοὺς τοὺς ἀδικοῦντας ὑφ' ὑμῶν πάσχειν, ὁπότε καὶ τοὺς μὴ δυναμένους φυλάττειν ἀποκτείνετε. ἐνθυμεῖσθαι δὲ χρὴ, ὅτι ἀδύνατόν ἐστιν ὑμῖν ἀποψηφίσασθαι. εἰ γὰρ ἀπογνώσεσθε ὁμολογούντων αὐτῶν ἐπὶ τοὺς ἐμπόρους συνίστασθαι, δόξεθ' ὑμεῖς ἐπιβουλεύειν τοῖς εἰσπλέουσιν. εἰ μὲν γὰρ ἄλλην τινὰ ἀπολογίαν ἐποιοῦντο, οὐδεὶς ἂν εἶχε τοῖς ἀποψηφισαμένοις ἐπιτιμᾶν. ἐφ' ὑμῖν γὰρ ὁποτέροις βούλεσθε πιστεύειν. νῦν δὲ πῶς οὐ δεινὰ ἂν δόξαιτε ποιεῖν, εἰ τοὺς ὁμολογοῦντας παρανομεῖν, ἀζημίους ἀφήσετε. ἀναμνήσθητε δὲ ὦ ἄνδρες δικασταὶ, ὅτι πολλῶν ἤδη ἐχόντων ταύτην τὴν αἰτίαν λαμβάνειν καὶ μαρτυ-

ῥασ' παρεχομένων, θάνατον κατέγνωτε. πιστοτέρους ἡγησάμενοι τοὺς τῶν κατηγόρων λόγους. καίτοι πῶς οὐ θαυμαστὸν εἴη, εἰ περὶ τῶν αὐτῶν ἁμαρτημάτων δικάζοντες, μᾶλλον ἐπιθυμεῖτε παρὰ τῶν ὠνουμένων δίκην λαμβάνειν. καὶ μὴν δὴ ὦ ἄνδρες δικασταὶ, πᾶσιν ἡγοῦμαι φανερὸν εἶναι. ὅτι ὁ περὶ τῶν τοιούτων ἀγὼν κοινότατος τυγχάνει ὢν τοῖς ἐν τῇ πόλει. ὥστε πεύσονται, ἣν τινα γνώμην περὶ αὐτῶν ἔχετε. ἡγούμενοι ἂν μὲν θάνατον αὐτῶν καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι τοὺς λοιπούς. ἂν δ' ἀζημίους ἀφῆτε, πολλὴν ἄδειαν αὐτοῖς ἐψηφισμένοι ἔσεσθε ποιεῖν ὅτι ἂν βούλωνται. χρὴ δὲ ὦ ἄνδρες δικασταὶ, μὴ μόνον τῶν παρεληλυθότων οὕνεκα αὐτοὺς κολάζειν, ἀλλὰ καὶ παραδείγματος οὕνεκα τῶν μελλόντων ἔσεσθαι. οὕτω γὰρ ἔσονται μόγις ἀνεκτοί. Ενθυμεῖσθε δ' ὅτι ἐκ ταύτης τῆς τέχνης, πλεῖστοι περὶ τοῦ σώματός εἰσιν ἠγωνισμένοι. καὶ οὕτω μεγάλα ἐξ αὐτῆς ὠφελοῦνται, ὥστε μᾶλλον αἱροῦνται καθ' ἑκάστην ἡμέραν περὶ τῆς ψυχῆς κινδυνεύειν, ἢ παύσασθαι παρ' ὑμῶν ἀδίκως κερδαίνοντες. καὶ μὴν δὴ οὐδ' ἂν ἀντιβολῶσιν ὑμᾶς, καὶ ἱκετεύωσι, δικαίως ἂν αὐτοὺς ἐλεήσαιτε. ἀλλὰ πολὺ μᾶλλον τῶν τε πολιτῶν οἳ διὰ τὴν τούτων πονηρίαν ἀπέθνησκον, καὶ τοὺς ἐμπόρους ἐφ' οἷς οὗτοι συνέστησαν, οἷς ὑμεῖς χαριεῖσθε, καὶ προθυμοτέρους ποιήσετε, δίκην παρ' αὐτῶν λαμβάνοντες. εἰ δὲ μὴ τὴν αὐτὴν οἴεσθε γνώμην ἕξειν. ἐπειδ' ἂν πύθωνται, ὅτι τῶν καπήλων, οἳ τοῖς ἐκπλέουσιν ὡμολόγησαν ἐπιβουλεύειν, ἀπεψηφίσασθε, οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν. περὶ μὲν γὰρ τῶν ἄλλων τῶν ἀδικούντων ὅτε δικάζονται δεῖ παρὰ τῶν κατηγόρων πυθέσθαι. τὴν δὲ τούτων πονηρίαν, ἅπαντες ἐπίστασθε. ἂν οὖν τούτων καταψηφίσησθε, τά τε δίκαια ποιήσετε. καὶ ἀξιώτερον τὸν σῖτον ὠνήσεσθε. εἰ δὲ μὴ, τιμιώτερον.

Λυσίου κατὰ παγκλέωνος, ὅτι οὐκ ἦν πλαταιεύς.

Πολλὰ μὲν λέγειν ὦ ἄνδρες δικασταὶ περὶ τουτουὶ τοῦ πράγματος, οὔτ' ἂν δυναίμην, οὔτε μοι δοκεῖ δεῖν. ὡς δὲ ὀρθῶς τὴν δίκην ἔλαχον τῷ παγκλέωνι, οὐκ ὄντι πλαταιεῖ, τοῦτο ὑμῖν πειράσομαι ἀποδεῖξαι. ὡς γὰρ ἀδικῶν με πολὺν χρόνον οὐκ ἐπαύετο, ἐλθὼν ἐπὶ τὸ γναφεῖον ἐν ᾧ εἰργάζετο, προσεκαλεσάμην αὐτὸν πρὸς τὸν πολέμαρχον, νομίζων μέτοικον εἶναι. εἰπόντος δὲ τούτου ὅτι πλαταιεὺς εἴη, ἠρόμην ὁπόθεν δημοτεύοιτο. παραινέσαντός τινος τῶν παρόντων προσκαλέσασθαι καὶ πρὸς τὴν φυλὴν ἧς τινος εἶναι σκήπτοιτο. ἐπειδὴ δὲ ἀπεκρίνατο ὅτι δεκελειόθεν, προσκαλεσάμενος αὐτὸν, καὶ πρὸς ἱπποθωντίδι δικάζοντας, ἐλθὼν ἐπὶ τὸ κουρεῖον τὸ παρὰ τοὺς ἑρμᾶς ἵνα οἱ δεκελεῖς προσφοιτῶσιν, ἠρώτων οὕς τε ἐξευρίσκοιμι δεκελέων ἐπυνθανόμην, εἴ τινα γιγνώσκοιεν δεκελειόθεν δημοτευόμενον παγκλέωνα. ἐπειδὴ δὲ οὐδεὶς ἔφασκε γιγνώσκειν αὐτὸν, πυθόμενος ὅτι καὶ ἑτέρας δίκας, τὰς μὲν φεύγοι. τὰς δ' ὠφλήκοι παρὰ τῷ πολεμάρχῳ. ἔλαχον κἀγώ. πρῶτον μὲν οὖν ὑμῖν δεκελέων οὓς ἠρόμην, μάρτυρας παρέξομαι. ἔπειτα δὲ καὶ τῶν ἄλλων τῶν λαχόντων τε δίκας αὐτῷ πρὸς τὸν πολέμαρχον καὶ καταδικασαμένων, ὅσοι τυγχάνουσι παρόντες. καί μοι ἐπίλαβε τὸ ὕδωρ. Μάρτυρες. Εκ μὲν τούτων πεισθεὶς πρὸς τὸν πολέμαρχον, αὐτῷ τὴν δίκην ἔλαχον. ἐπειδὴ δέ μοι αὐτὴν ἀντεγράψατο μὴ εἰσαγώγιμον εἶναι, περὶ πολλοῦ ποιούμενος, μηδενὶ δόξαι ὑβρίζειν βούλεσθαι μᾶλλον, ἢ δίκην λαβεῖν ὧν ἠδικήθην. πρῶτον μὲν εὐθύκριτον, ὃν πρεσβύτατόν τε πλαταιέων ἐγίγνωσκον καὶ μάλιστα ᾤμην εἰδέναι, ἠρόμην εἴ τινα γιγνώσκοι ἱππαρμοδώρου υἱὸν παγκλέωνα πλαταιέα. ἔπειτα δὲ ἐπειδὴ ἐκεῖνος ἀπεκρίνατό μοι ὅτι τὸν ἱππαρμόδωρον μὲν γιγνώσκοι. υἱὸν δὲ ἐκείνῳ οὐδένα, οὔτε παγκλέωνα, οὔτε ἄλλον οὐδένα εἰδείη ὄντα, ἠρώτων δὴ καὶ τῶν ἄλλων ὅσους ᾔδειν πλαταιέας ὄντας. πάντες οὖν ἀγνοοῦντες τὸ ὄνομα αὐτοῦ, ἀκριβέστατα ἂν ἔφασάν με πυθέσθαι, ἐλθόντα εἰς τὸν χλωρὸν τυρὸν τῇ ἔνῃ καὶ νέᾳ. ταύτῃ

ἐπιθυμῶσιν. οἱ δὲ αὐτῶν ὄντων ἐκπίπτωσι. καὶ τοῦθ' ὑμεῖς ἔγνωτε, κατεληλυθότες, ὀρθῶς βουλευόμενοι. ἔτι γὰρ ἐμέμνησθε τῶν γεγενημένων συμφορῶν. καὶ τοῖς θεοῖς εἰς ὁμόνοιαν εὔχεσθε καταστῆναι τὴν πόλιν μᾶλλον, ἢ ἐλθεῖν τιμωρίαν τῶν παρεληλυθότων ἡγούμενοι, τὴν μὲν πόλιν στασιάσαι, τοὺς δὲ λέγοντας, ταχέως τελευτῆσαι. καίτοι πλείων συγγνώμη μνησικακεῖν τοῖς κατεληλυθόσιν, ἔτι τῆς ὀργῆς οὔσης προσφάτου, ἢ τοσούτῳ χρόνῳ ὕστερον ἐλθεῖν τιμωρίαν τῶν παρεληλυθότων πράττεσθαι ἀπὸ τοιούτων πεισθέντας, οἳ ἐν ἄστει μείναντες, αὐτὴν ὑμῖν οἴονται διδόναι πίστιν τῆς αὑτῶν εὐνοίας ἑτέρους κακῶς ποιοῦντες, ἀλλ' οὐ σφᾶς αὐτοὺς χρηστοὺς παρέχοντες. καὶ νυνὶ τῶν τῆς πόλεως εὐτυχιῶν ἀπολαύοντες, ἀλλ' οὐ πρότερον τῶν ὑμετέρων κινδύνων μετέχοντες. καὶ εἰ μὲν ἑωρᾶτε ὦ ἄνδρες δικασταὶ σωζόμενα τῇ πόλει τὰ ἀπὸ τούτων δημευόμενα, συγγνώμην ἂν εἴχομεν. νῦν δ' ἐπίστασθε, ὅτι τὰ μὲν αὐτῶν ὑπὸ τούτων ἀφανίζεται. τὰ δὲ πολλοῦ ἄξια ὄντα, ὀλίγου πιπράσκεται. ἂν δέ μοι πείθησθε, οὐκ ἐλάττω ἀπ' αὐτῶν ὑμεῖς ὠφεληθήσεσθε, ἢ ἡμεῖς οἱ κεκτημένοι. ἐπεὶ καὶ νυνὶ Διόγνητος, καὶ ἐγώ, καὶ ὁ ἀδελφός, ἐκ μιᾶς οἰκίας τρεῖς ὄντες τριηραρχοῦμεν. καὶ ὅταν ἡ πόλις δέηται χρημάτων, ἀπὸ τούτων ὑμῖν εἰσφέρομεν. ὡς οὖν ἡμῶν ταύτῃ τῇ γνώμῃ χρωμένων, καὶ τῶν προγόνων τῶν ἡμετέρων τοιούτων γεγενημένων, φείσασθε ἡμῶν. οὐδὲν γὰρ ἂν ἡμᾶς κωλύει ὦ ἄνδρες δικασταὶ ἀθλιωτάτους εἶναι. ἐπὶ μὲν τῶν τριάκοντα, ὀρφανοὺς καταλειφθέντας. ἐν δὲ τῇ δημοκρατίᾳ, τῶν ὄντων ἐστερημένους, ὡς ἡ τύχη παρέδωκεν, ὥστ' ἔτι ἡμᾶς παῖδας ὄντας ἐπὶ τὴν Παυσανίου σκηνὴν ἐλθόντας βοηθῆσαι τῷ πλήθει. καὶ τοιούτων ἡμῖν ὑπαρχόντων, εἰς τίνας ἂν ἐβουλήθημεν δικαστὰς καταφυγεῖν, οὐκ εἰς τοὺς οὕτω πολιτευομένους ὑπὲρ τῆς πολιτείας ἧς καὶ ὁ πατὴρ καὶ οἱ προσήκοντες ἡμῖν ἀπέθανον; νῦν τοίνυν ταύτην ἀνθ' ἁπάντων ἀπαιτοῦμεν ὑμᾶς τὴν χάριν μὴ περιιδεῖν ἡμᾶς ἀπόρως διατεθέντας. μηδ' ἐνδεεῖς τῶν ἐπιτηδείων γεγενημένους. μὴ δὲ τὴν τῶν προγόνων εὐδαιμονίαν καταλῦσαι, ἀλλὰ πολὺ μᾶλλον παράδειγμα ποιῆσαι τοῖς βουλομένοις τὴν πόλιν εὖ ποιεῖν. οἵων ὑμῶν ἐν τοῖς κινδύνοις τεύξονται. οὐκ ἔχω ὦ ἄνδρες δικασταὶ οὕς τινας δεησομένους ὑπὲρ ἡμῶν ἀναβιβάσωμαι. τῶν γὰρ προσηκόντων, οἱ μὲν ἄνδρας ἀγαθοὺς αὑτοὺς παρασχόντες, καὶ μεγάλην τὴν πόλιν ποιοῦντες, ἐν τῷ πολέμῳ τεθνᾶσιν. οἱ δ' ὑπὲρ τῆς δημοκρατίας, καὶ τῆς ὑμετέρας ἐλευθερίας, ὑπὸ τῶν τριάκοντα κώνειον πιόντες. ὥστε τῆς ἐρημίας τῆς ἡμετέρας αἴτιοι γεγόνασιν, αἵ τε τῶν προσηκόντων ἀρεταί, καὶ αἱ τῆς πόλεως συμφοραί. ὧν ἄξιον ὑμᾶς ἐνθυμηθέντας προθύμως ἡμῖν βοηθῆσαι, ἡγησαμένους τούτους, ἂν ἐν δημοκρατίᾳ δικαίως εὖ πάσχειν ὑφ' ὑμῶν, οἳ ὑπὲρ ἐν ὀλιγαρχίᾳ τῶν συμφορῶν μετέσχον μέρος. ἀξιῶ δὲ καὶ τούτους τοὺς συνδίκους, εὔνους ἡμῖν εἶναι. ἐκείνου τοῦ χρόνου μνησθέντας, ὅτ' ἐκ τῆς πατρίδος ἐκπεπτωκότες, καὶ τὰς οὐσίας ἀπολωλεκότες, ἄνδρας ἀρίστους ἐνομίζετ' εἶναι τοὺς ὑπὲρ ὑμῶν ἀποθνήσκοντας. καὶ τοῖς θεοῖς εὔχεσθε δυνηθῆναι χάριν τοῖς ἐξ ἐκείνων ἀποδοῦναι. Ἡμεῖς τοίνυν υἱεῖς ὄντες, καὶ συγγενεῖς τῶν ὑπὲρ τῆς ἐλευθερίας προκεκινδυνευκότων, ἀπαιτοῦμεν ὑμᾶς νυνὶ ταύτην τὴν χάριν, καὶ ἀξιοῦμεν μὴ ἀδίκως ἡμᾶς ἀπολέσαι, ἀλλὰ πολὺ μᾶλλον βοηθεῖν τοῖς τῶν αὐτῶν μετασχοῦσι συμφορῶν. Ἐγὼ μὲν οὖν καὶ δέομαι, καὶ ἀντιβολῶ, καὶ ἱκετεύω, καὶ τούτου παρ' ὑμῶν τυγχάνειν ἀξιῶ. οὐ γὰρ περὶ μικρῶν κινδυνεύομεν, ἀλλὰ περὶ τῶν ὄντων ἁπάντων.

Λυσίου, ὑπὲρ τῶν ἀριστοφάνους χρημάτων, πρὸς τὸ δημόσιον.

π

Ολλήν μοι ἀπορίαν παρέχει ὁ ἀγὼν οὑτοσὶ ὦ ἄνδρες δικασταί, ὅταν ἐνθυμηθῶ, ὅτι ἂν ἐγὼ μὲν μὴ νῦν εὖ εἴπω, οὐ μόνον ἐγώ, ἀλλὰ καὶ ὁ πατὴρ δόξει ἄδικος εἶναι, καὶ τῶν ὄντων ἁπάντων στερήσομαι. ἀνάγκη οὖν εἰ καὶ μὴ δεινὸς πρὸς ταῦτα πέφυκα, βοηθεῖν τῷ πατρὶ καὶ ἐμαυτῷ οὕτως, ὅπως ἂν δύνωμαι. Τὴν μὲν οὖν παρασκευὴν καὶ προθυμίαν τῶν ἐχθρῶν ὁρᾶτε, καὶ

οὐδὲν δεῖ

οὐδὲν δεῖ περὶ τούτων λέγειν. τὴν δ' ἐμὴν ἀπειρίαν πάντες ἴσασιν, ὅσοι ἐμὲ γιγνώσκουσιν. αἰτήσομαι οὖν ὑμᾶς δίκαια καὶ ῥᾴδια χαρίσασθαι· ἄνευ ὀργῆς καὶ ἡμῶν ἀκοῦσαι, ὥσπερ τῶν κατηγόρων. ἀνάγκη γὰρ τὸν ἀπολογούμενον, κἂν ἐξ ἴσου ἀκροᾶσθε, ἔλαττον ἔχειν. οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύοντες αὐτοὶ ἄνευ κινδύνων ὄντες, τὴν κατηγορίαν ἐποιήσαντο. ἡμεῖς δ' ἀγωνιζόμεθα, μετὰ δέους καὶ διαβολῆς, καὶ κινδύνου μεγίστου. εἰκὸς οὖν ὑμᾶς, εὔνοιαν πλείω ἔχειν τοῖς ἀπολογουμένοις. οἶμαι γὰρ πάντας ὑμᾶς εἰδέναι ὅτι πολλοὶ ἤδη πολλὰ καὶ δεινὰ κατηγορήσαντες, παραχρῆμα ἐξηλέγχθησαν ψευδόμενοι οὕτω φανερῶς, ὥστε ὑπὸ πάντων τῶν παραγενομένων μισηθέντες ἀπελθεῖν. οἱ δ' αὖ μαρτυρήσαντες τὰ ψευδῆ, καὶ ἀδίκως ἀπολέσαντες ἀνθρώπους, ἑάλωσαν ἡνίκα οὐδὲν ἦν πλέον τοῖς πεπονθόσι. Ὅτ' οὖν τοιαῦτα πολλὰ γεγένηται ὡς ἐγὼ ἀκούω, εἰκὸς ὑμᾶς ὦ ἄνδρες δικασταί, μήπω τοὺς τῶν κατηγόρων λόγους ἡγεῖσθαι πιστούς, πρὶν ἂν καὶ ἡμεῖς εἴπωμεν. ἀκούω γὰρ ἔγωγε, καὶ ὑμῶν, καὶ τοὺς ἄλλους οἶμαι εἰδέναι, ὅτι πάντων δεινότατόν ἐστι διαβολή. μάλιστα δὲ τοῦτ' ἔχοι ἄν τις δεινότατον ὅταν πολλοὶ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ εἰς ἀγῶνα καταστῶσιν. ὡς γὰρ ἐπὶ τὸ πολύ, οἱ τελευταῖοι κρινόμενοι σώζονται. πεπαυμένοι γὰρ τῆς ὀργῆς αὐτῶν ἀκροᾶσθε, καὶ τοὺς ἐλέγχους ἤδη θέλοντες ἀποδέχεσθε. ἐνθυμεῖσθε οὖν ὅτι Νικόφημος καὶ Ἀριστοφάνης ἄκριτοι ἀπέθανον, πρὶν παραγενέσθαι τινὰ αὐτοῖς ἐλεγχομένοις ὡς ἠδίκουν. οὐδεὶς γὰρ οὐδ' εἶδεν ἐκείνους μετὰ τὴν σύλληψιν. οὐ γὰρ θάψαι τὰ σώματ' αὐτῶν ἀπέδωκαν. ἀλλ' οὕτω δεινὴ συμφορὰ γεγένηται, ὥστε πρὸς τοῖς ἄλλοις καὶ τούτου ἐστέρηνται. ἀλλὰ ταῦτα μὲν ἐάσω· οὐδὲν γὰρ ἂν περαίνοιμι. πολὺ δὲ ἀθλιώτεροι δοκοῦσί μοι οἱ παῖδες οἱ Ἀριστοφάνους. οὐδένα γὰρ οὔτ' ἰδίᾳ, οὔτε δημοσίᾳ ἠδικηκότες, οὐ μόνον τὰ πατρῷα ἀπολωλέκασι παρὰ τοὺς νόμους τοὺς ὑμετέρους, ἀλλὰ καὶ ἡ ὑπόλοιπος ἐλπὶς ἦν ἀπὸ τοῦ πάππου ἐκτραφῆναι, ἐν οὕτω δεινῷ καθέστηκεν. ἔτι δ' ἡμεῖς ἐστερημένοι μὲν κηδεστῶν, ἐστερημένοι δὲ τῆς προικός, παιδάρια δὲ τρία ἠναγκασμένοι τρέφειν, προσέτι συκοφαντούμεθα, καὶ κινδυνεύομεν περὶ ὧν οἱ πρόγονοι ἡμῖν κατέλιπον, κτησάμενοι ἐκ τοῦ δικαίου. καίτοι ὦ ἄνδρες δικασταί, ὁ ἐμὸς πατὴρ ἐν ἅπαντι τῷ βίῳ πλείω εἰς τὴν πόλιν ἀνήλωσεν, ἢ εἰς αὑτὸν καὶ τοὺς οἰκείους. διπλάσια δὲ ἢ νῦν ἐστιν ἡμῖν, ὡς ἐγὼ λογιζομένῳ αὐτῷ πολλάκις παρεγενόμην. μὴ οὖν προκαταγιγνώσκετε ἀδικίαν τοῦ εἰς αὑτὸν μὲν μικρὰ δαπανῶντος, ὑμῖν δὲ πολλὰ καθ' ἕκαστον τὸν ἐνιαυτόν. ἀλλ' ὅσοι καὶ τὰ πατρῷα, καὶ ἄν τι ποθὲν λάβωσιν, εἰς τὰς αἰσχίστας ἡδονὰς ἐθισμένοι εἰσὶν ἀναλίσκειν. χαλεπὸν μὲν οὖν ὦ ἄνδρες δικασταί ἀπολογεῖσθαι πρὸς δόξαν ἣν ἔνιοι ἔχουσι περὶ τῆς Νικοφήμου οὐσίας, καὶ σπάνιν ἀργυρίου, ἣ νῦν ἐστιν ἐν τῇ πόλει, καὶ τοῦ ἀγῶνος πρὸς τὸ δημόσιον ὄντος. ὅμως δὲ καὶ τούτων ὑπαρχόντων, ῥᾳδίως γνώσεσθε ὅτι οὐκ ἀληθῆ ἐστι τὰ κατηγορημένα. δέομαι δ' ὑμῶν πάσῃ τέχνῃ καὶ μηχανῇ μετ' εὐνοίας ἀκροασαμένων ἡμῶν διὰ τέλους, ὅ,τι ἂν ὑμῖν ἄριστον καὶ εὐορκότατον νομίζεται εἶναι, τοῦτο ψηφίσασθαι. Πρῶτον μὲν οὖν, ᾧ τρόπῳ κηδεσταὶ ἡμῖν ἐγένοντο, διδάξω ὑμᾶς. στρατηγῶν γὰρ Κόνων περὶ Πελοπόννησον, τριηραρχήσαντι τῷ ἐμῷ πατρί, πάλαι φίλος γεγενημένος, ἐδεήθη δοῦναι τὴν ἀδελφὴν αἰτοῦντι τῷ υἱεῖ τῷ Νικοφήμου. ὁ δέ, ὁρῶν αὐτοὺς ὑπ' ἐκείνου τε πεπιστευμένους, γεγονότας τε ἐπιεικεῖς τῇ πόλει, ἔν τε τῷ τότε χρόνῳ ἀρέσκοντας, ἐπείσθη δοῦναι οὐκ εἰδὼς τὴν ἐσομένην διαβολήν· ἄλλως τε καὶ ὑμῶν ὅς τις οὖν ἂν ἐκείνοις ἠξίωσε, κηδεστὴς γενέσθαι. ἐπεὶ ὅτι γε οὐ χρημάτων ἕνεκα, ῥᾴδιον γνῶναι ἐκ τοῦ βίου παντός, καὶ τῶν ἔργων τῶν τοῦ πατρός. ἐκεῖνος γὰρ ὅτ' ἦν ἐν τῇ ἡλικίᾳ παρὸν μετὰ πολλῶν χρημάτων γῆμαι ἄλλην, τὴν ἐμὴν μητέρα ἔλαβεν οὐδὲν ἐπιφερομένην· ὅτι δὲ Ξενοφῶντος ἦν θυγάτηρ τοῦ Εὐριπίδου υἱέος, ὃς οὐ μόνον ἰδίᾳ χρηστὸς ἐδόκει εἶναι, ἀλλὰ καὶ στρατηγεῖν αὐτὸν ἠξιώσατε ὡς ἐγὼ ἀκούω. τὰς τοίνυν ἐμὰς ἀδελφὰς ἐθελόντων τινῶν λαβεῖν ἀπροίκους πάνυ πλουσίων, οὐκ ἔδωκεν· ὅτι ἐδόκουν κάκιον γεγονέναι. ἀλλὰ τὴν μὲν Φιλομήλῳ τῷ Παιανιεῖ, ὃν οἱ πολλοὶ βελτίονα ἡγοῦνται εἶναι, ἢ πλουσιώτερον. τὴν δέ, πένητι

γεγενημένῳ, οὐ διὰ κακίαν. ἀλλ' ἀδελφῷ δὲ Φαίδρῳ ὄντι Μυρρινουσίῳ ἐπιδοὺς τετταράκοντα μνᾶς, καὶ Ἀριστοφάνει τὸ ἴσον. πρὸς δὲ τούτοις, ἐμοὶ πολλὴν ἐξὸν πάνυ προῖκα λαβεῖν, ἐλάττω συνεβούλευσεν. ὥστε εὖ εἰδέναι ὅτι κηδεσταῖς χρήσοιμι κοσμίοις, καὶ σώφροσι. καὶ νῦν ἔχω γυναῖκα τὴν Κριτοδήμου θυγατέρα τοῦ Ἀλωπεκῆθεν. ὃς ὑπὸ Λακεδαιμονίων ἀπέθανεν, ὅτε ἡ ναυμαχία ἐγένετο ἐν Ἑλλησπόντῳ. καίτοι ὦ ἄνδρες δικασταί ὅστις αὐτός τε ἄνευ χρημάτων ἔγημε, τοῖν θυγατέροιν πολὺ ἀργύριον ἐπέδωκε, τῷ τε υἱῷ ὀλίγην προῖκα ἔλαβε, πῶς οὐκ εἰκὸς περὶ τούτου πιστεύειν, ὡς οὐχ ἕνεκα χρημάτων τούτοις κηδεστὴς ἐγένετο. Ἀλλὰ μὴν ὅ, γε Ἀριστοφάνης ἤδη ἔχων τὴν γυναῖκα, ὅτι πολλοῖς ἂν μᾶλλον ἐχρῆτο, ἢ τῷ ἐμῷ πατρὶ ῥᾴδιον γνῶναι. ἥ τε γὰρ ἡλικία πολὺ διάφορος. ἥ, τε φύσις ἔτι πλέον. ἐκείνῳ μὲν γὰρ ἦν τὰ ἑαυτοῦ πράττειν. Ἀριστοφάνης δὲ οὐ μόνον τῶν ἰδίων, ἀλλὰ καὶ τῶν κοινῶν ἐβούλετο ἐπιμελεῖσθαι. καὶ εἴ τι ἦν αὐτῷ ἀργύριον ἀνήλωσεν ἐπιθυμῶν τιμᾶσθαι. γνώσεσθε δὲ ὅτι ἀληθῆ λέγω, ἐξ αὐτῶν ὧν ἐκεῖνος ἔπραττε. πρῶτον μὲν βουλομένου Κόνωνος πέμπειν τινὰ εἰς Σικελίαν, ᾤχετο ὑποστὰς μετὰ Εὐνόμου καὶ Λυσίου φίλου ὄντος καὶ ξένου, τὸ πλῆθος τὸ ὑμέτερον πλεῖστα ἀγαθὰ πεποιηκότος ὡς ἐγὼ ἀκήκοα τῶν ἐν Πειραιεῖ τῶν παραγενομένων. ἦσαν δὲ ἐλπίδες τοῦ πλοῦ πεῖσαι Διονύσιον κηδεστὴν μὲν γενέσθαι Εὐαγόρᾳ. πολέμιον δὲ Λακεδαιμονίοις. φίλον δὲ καὶ σύμμαχον, τῇ πόλει τῇ ὑμετέρᾳ. καὶ ταῦτ' ἔπραττον πολλῶν κινδύνων ὑπαρχόντων πρὸς τὴν θάλασσαν καὶ τοὺς πολεμίους. καὶ ἔπεισαν Διονύσιον μὴ πέμψαι τριήρεις ἃς τότε παρεσκευάσατο Λακεδαιμονίοις. μετὰ δὲ ταῦτα ἐπειδὴ οἱ πρέσβεις ἧκον ἐκ Κύπρου ἐπὶ τὴν βοήθειαν, οὐδὲν ἔλλιπε προθυμίας σπεύδων. ὑμεῖς δὲ τριήρεις αὐτοῖς ἔδοτε, καὶ τἄλλα ἐψηφίσασθε. ἀργυρίου δ' εἰς τὸν ἀπόστολον ἠπόρουν. ὀλίγα μὲν γὰρ ἦλθον ἔχοντες χρήματα. πολλῶν δὲ προσεδεήθησαν. οὐ γὰρ μόνον εἰς τὰς ναῦς, ἀλλὰ καὶ πελταστὰς ἐμισθώσαντο, καὶ ὅπλα ἐπρίαντο. Ἀριστοφάνης δ' οὖν τῶν χρημάτων, τὰ μὲν πλεῖστα, αὐτὸς παρέσχεν. ἐπειδὴ δὲ οὐχ ἱκανὰ ἦν, τοὺς φίλους ἔπειθε δεόμενος καὶ ἐγγυώμενος καὶ τοῦ ἀδελφοῦ τοῦ ὁμοπατρίου ἀποκειμένας παρ' αὐτῷ τετταράκοντα μνᾶς εἰπὼν, κατεχρήσατο. τῇ δὲ προτεραίᾳ ᾗ ἀνήγετο, εἰσελθὼν εἰς τὸν πατέρα τὸν ἐμὸν, ἐκέλευσε χρῆσαι ὅ, τι εἴη ἀργύριον. προσδεῖν γὰρ ἔφη πρὸς τὸν μισθὸν τοῖς πελτασταῖς. ἦσαν δ' ἡμῖν ἔνδον ἑπτὰ μναῖ. ὁ δὲ καὶ ταύτας λαβὼν, κατεχρήσατο. τίνα γὰρ οἴεσθε ὦ ἄνδρες δικασταί, φιλότιμον μὲν ὄντα. ἐπιστολῶν δὲ ἡκόντων αὐτῷ παρὰ τοῦ πατρὸς, μηδὲν ἀπορήσειν ἐκ Κύπρου. ᾑρημένον δὲ πρεσβευτὴν καὶ μέλλοντα πλεῖν ὡς Εὐαγόραν ὑπολείπεσθαι ἄν τι τῶν ὄντων. ἀλλ' οὐκ εἶχον ἦν δυνατὸς πάντα παρασχόντα χαρίσασθαι ἐκείνῳ τε, καὶ κομίσασθαι μὴ ἐλάττω. ὡς τοίνυν ταῦτ' ἐστὶν ἀληθῆ, κάλει μοι Εὔνομον. μάρτυρες. τῶν μὲν μαρτύρων ἀκούετε. οὐ μόνον ὅτι ἐχρήσαντο ἐκείνου δεηθέντος, ἀλλὰ καὶ ὅτι ἀπειλήφασιν. ἐκομίσθη γὰρ αὐτοῖς ἐπὶ τῆς τριήρους. ῥᾴδιον μὲν οὖν ἐκ τῶν εἰρημένων γνῶναι, ὅτι τοιούτων καιρῶν συμπεσόντων, οὐδενὸς ἂν ἐφείσατο τῶν ἑαυτοῦ. ὃ δὲ μέγιστον τεκμήριον, Δῆμος γὰρ ὁ Πυριλάμπους τριηραρχῶν εἰς Κύπρον, ἐδεήθη μου προσελθεῖν αὐτῷ λέγων, ὅτι ἔλαβε σύμβολον, παρὰ βασιλέως τοῦ μεγάλου φιάλης μὲν χρυσῆς, ὡς Ἀριστοφάνην λαβεῖν ἑκκαίδεκα μνᾶς ἐπ' αὐτῇ, ἃς ἔχοι ἀναλίσκειν εἰς τὰς τριηραρχίας. ἐπειδὴ δὲ εἰς Κύπρον ἀφίκοιτο λύσασθαι, ἀποδοὺς εἴκοσι μνᾶς. πολλῶν γὰρ ἀγαθῶν, καὶ ἄλλων χρημάτων εὐπορήσειν διὰ τὸ σύμβολον ἐν πάσῃ τῇ ἠπείρῳ. Ἀριστοφάνης τοίνυν ἀκούων μὲν ταῦτα Δήμου, δεομένου δὲ ἐμοῦ, μέλλων δ' ἄξειν χρυσίον. τέτταρας δὲ μνᾶς τόκον λήψεσθαι, οὐκ ἔφη εἶναι. ἀλλ' ὤμνυε καὶ προσδεδανεῖσθαι τοῖς ξένοις ἄλλοθεν. ἐπειδὴ ἥδιστ' ἀνθρώπων, ἄγειν τε εὐθὺς ἐκεῖνο τὸ σύμβολον, καὶ χαρίσασθαι ἡμῖν ἀφιόμεθα. ὡς δὲ ταῦτ' ἐστὶν ἀληθῆ, μάρτυρας ὑμῖν παρέξομαι. μάρτυρες.

Ὅτι μὲν τοίνυν οὐ κατέλιπεν Ἀριστοφάνης ἀργύριον, οὐδὲ χρυσίον, ῥᾴδιον γνῶναι ἐκ τῶν εἰρημένων καὶ μεμαρτυρημένων. χαλκώματα δὲ σύμμικτα οὐ

οὐ πολλὰ

οὐ πολλὰ ἐκέκτητο. ἀλλὰ καὶ ὅθ' εἱστία τοὺς παρ' Εὐαγόρου πρεσβεύοντας, αἰτησάμενος ἐχρήσατο. ἃ δὲ κατέλιπεν, ἀναγνώσεται ὑμῖν. Ἴσως οὖν ἐνίοις ὑμῶν ὦ ἄνδρες δικασταὶ δοκεῖ ὀλίγα εἶναι. ἀλλ' ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι πρὶν Νικοφήμῳ καὶ Ἀριστοφάνει πρὶν τὴν ναυμαχίαν νικῆσαι γῆ μὲν οὐκ ἦν, ἀλλ' ἢ χωρίδιον μικρὸν Ῥαμνοῦντι. ἐγένετο δὲ ἡ ναυμαχία ἐπ' Εὐβούλου ἄρχοντος. ἐν οὖν τέτταρσιν ἢ πέντε ἔτεσι, πρότερον μὴ ὑπαρχούσης οὐσίας, χαλεπὸν ὦ ἄνδρες δικασταί, τραγῳδοῖς τε διαχορηγῆσαι ὑπὲρ αὑτοῦ τε καὶ τοῦ πατρὸς, καὶ τρία ἔτη συνεχῶς τριηραρχῆσαι, εἰσφοράς τε πολλὰς εἰσενηνοχέναι, οἰκίαν τε πεντήκοντα μνῶν πρίασθαι, γῆς τε πλέον ἢ τριακόσια πλέθρα κτήσασθαι. ἔτι δὲ πρὸς τούτοις οἴεσθε χρῆναι ἔπιπλα πολλὰ καταλελοιπέναι. ἀλλ' οὐδ' οἱ πάλαι πλούσιοι δοκοῦντες εἶναι, ἄξιον λόγου ἔχοιεν ἐξενεγκεῖν. ἐνίοτε γὰρ οὐκ ἔστιν οὐδ' ἐάν τις πάνυ ἐπιθυμῇ πρίασθαι τοιαῦτα, κτησάμενος εἰς τὸν λοιπὸν χρόνον ἡδονὴν ἂν παρέχοι. ἀλλὰ τόδε σκοπεῖτε· τῶν ἄλλων ὅσων ἐδημεύσατε χρήματα, οὐχ ὅπως σκεύη ἀπέδοσθε, ἀλλὰ καὶ αἱ θύραι ἀπὸ τῶν οἰκημάτων ἀπεσπάσθησαν. ἡμεῖς δὲ ἤδη δεδημευμένων καὶ ἐξεληλυθυίας τῆς ἐμῆς ἀδελφῆς, φύλακας κατεστήσαμεν τῇ ἐμῇ οἰκίᾳ· ἵνα μήτε θυρώματα, μήτε ἀγγεῖα, μήτε ἄλλο μηδὲν ἀπόλοιτο. ἔπιπλα δὲ ἀπεφαίνομεν πλείω, ἢ χιλίων δραχμῶν· ὅσα οὐδενὸς πώποτ' ἐλάβετε. πρὸς δὲ τούτοις, καὶ πρότερον πρὸς τοὺς συνδίκους, καὶ νῦν ἐθέλομεν πίστιν δοῦναι. ἥτις ἐστὶ μεγίστη τοῖς ἀνθρώποις, μὴ ἔχειν τῶν Ἀριστοφάνους χρημάτων. ὀφείλεσθαι δὲ τὴν προῖκα τῆς ἀδελφῆς καὶ ἑπτὰ μνᾶς, ἃς ᾤχετο λαβὼν παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ. πῶς ἂν οὖν εἶεν ἄνθρωποι ἀθλιώτεροι, ἢ εἰ τὰ σφέτερ' αὐτῶν ἀπολωλεκότες δοκοῖεν, τὰ ἐκείνων ἔχειν. Ὃ δὲ πάντων δεινότατον τὴν ἀδελφὴν ὑποδέξασθαι παιδία ἔχουσαν πολλὰ, καὶ ταῦτα τρέφειν, μηδ' αὐτοὺς ἔχοντας μηδὲν, ἐὰν ὑμεῖς τὰ ὄντ' ἀφέλησθε. Φέρε πρὸς θεῶν Ὀλυμπίων, οὕτω γὰρ σκοπεῖτε ὦ δικασταί, εἴ τις ὑμῶν ἔτυχε δοὺς Τιμοθέῳ τῷ Κόνωνος τὴν θυγατέρα, ἢ τὴν ἀδελφὴν καὶ ἐκείνου ἀποδημήσαντος καὶ ἐν διαβολῇ γενομένου ἐδημεύθη ἡ οὐσία, καὶ μὴ ἐγένετο τῇ πόλει πραθέντων ἁπάντων τέτταρα τάλαντα ἀργυρίου, διὰ τοῦτο ἠξιοῦτε τοὺς ἐκείνου καὶ τοὺς προσήκοντας ἀπολέσθαι, ὅτι οὐδὲ πολλοστὸν μέρος τῆς δόξης τῆς παρ' ὑμῖν ἐφάνη τὰ χρήματα, ἀλλὰ μὴν τοῦτό γε πάντες ἐπίστασθε. Κόνωνα μὲν ἄρχοντα, Νικόφημον δὲ ποιοῦντα, ὅτι ἐκεῖνος προστάττοι. τῶν οὖν ὠφελειῶν Κόνωνα εἰκὸς πολλοστὸν μέρος ἄλλῳ τινὶ μεταδιδόναι. ὥστ' εἰ οἴονται πολλὰ γενέσθαι Νικοφήμῳ, ὁμολογήσειαν, τὰ Κόνωνος εἶναι πλείονα, ἢ δεκαπλάσια. ἔτι δὲ φαίνονται οὐδὲν πώποτε διενεχθέντες, ὥστ' εἰκὸς καὶ περὶ τῶν χρημάτων ταὐτὰ γνῶναι. ἱκανὰ μὲν ἐνθάδε τῷ υἱεῖ ἑκάτερον καταλιπεῖν, τὰ δὲ ἄλλα παρ' αὐτοῖς ἔχειν. ἦν γὰρ Κόνωνι μὲν υἱὸς ἐν Κύπρῳ καὶ γυνή. Νικοφήμῳ δὲ, γυνὴ καὶ θυγάτηρ. ἡγοῦντο δὲ καὶ τὰ ἐκεῖ ὁμοίως σφίσιν εἶναι ἴσα ὥσπερ καὶ τὰ ἐνθάδε. πρὸς δὲ τούτοις ἐνθυμεῖσθε, ὅτι καὶ εἴ τις μὴ κτησάμενος, ἀλλὰ παρὰ τοῦ πατρὸς παραλαβὼν τοῖς παισὶ διένεμεν, οὐκ ἐλάχιστα ἂν αὑτῷ ὑπέλιπε. βούλονται γὰρ πάντες ὑπὸ τῶν παίδων θεραπεύεσθαι ἔχοντες χρήματα μᾶλλον, ἢ ἐκείνων δεῖσθαι ἀποροῦντες. Νῦν τοίνυν εἰ δημεύσετε τὰ τοῦ Τιμοθέου, ὃ μὴ γένοιτο εἰ μή τι μέλλει μέγα ἀγαθὸν ἔσεσθαι τῇ πόλει. ἐλάττω δὲ ἐξ αὐτῶν λάβοιτε ἢ ἐκ τῶν Ἀριστοφάνους γεγένηται, τούτου ἕνεκα ἠξιοῦτε τοὺς ἀναγκαίους τοὺς ἐκείνου τὰ σφέτερ' αὐτῶν ἀπολέσαι. ἀλλ' οὐκ εἰκὸς ὦ ἄνδρες δικασταί. ὁ γὰρ Κόνωνος θάνατος καὶ αἱ διαθῆκαι ἃς διέθετο ἐν Κύπρῳ, σαφῶς ἐδήλωσαν, ὅτι πολλοστὸν μέρος ἦν τὰ χρήματα, ὧν ὑμεῖς προσεδοκᾶτε. τῇ μὲν γὰρ Ἀθηνᾷ καθιέρωσεν εἰς ἀναθήματα. καὶ τῷ Ἀπόλλωνι εἰς Δελφοὺς, πεντακισχιλίους στατῆρας. τῷ δὲ ἀδελφῷ τῷ ἑαυτοῦ ὃς ἐφύλαττεν αὐτῷ καὶ ἐταμίευε πάντα τὰ ἐν Κύπρῳ, ἔδωκεν ὡς μυρίας δραχμάς. τῷ δὲ ἀδελφῷ τρία τάλαντα. τὰ δὲ λοιπὰ, τῷ υἱεῖ κατέλιπε τάλαντα ἑπτακαίδεκα. τούτων δὲ κεφάλαιον γίγνεται περὶ τετταράκοντα τάλαντα. καὶ οὐδενὶ οἷόν τε εἰπεῖν, ὅτι διηρπάσθη, ἢ ὡς οὐ δικαίως ἀπεφάνθη. αὐτὸς γὰρ ἐν τῇ νόσῳ ὢν, εὖ φρονῶν διέθετο, καί μοι

καλεῖ τούτων μάρτυρας. ΜΑΡΤΥΡΕΣ. Ἀλλὰ μὴν ὅτι γ' οὖν ὦ ἄνδρες δικασταὶ πρὶν ἀμφότερα δῆλα γενέσθαι, πολλοστὸν μέρος τὰ Νικοφήμου τῶν Κόνωνος χρημάτων ᾠήθησαν εἶναι. Ἀριστοφάνης τοίνυν, γῆν μὲν καὶ οἰκίαν ἐκτήσατο πλέον ἢ πέντε ταλάντων, καὶ ἐχορήγησε δὲ ὑπὲρ αὐτοῦ καὶ τοῦ πατρὸς πεντακισχιλίας δραχμάς. τριηραρχῶν δὲ ἀνήλωσεν ὀγδοήκοντα μνᾶς. εἰσενήνεκται δὲ ὑπὲρ ἀμφοτέρων οὐκ ἔλαττον μνῶν τετταράκοντα. εἰς δὲ τὸν ἐν Σικελίᾳ πλοῦν ἀνήλωσεν ἑκατὸν μνᾶς. εἰς δὲ τὸν ἀπόστολον τῶν τριήρων ὅτε οἱ Κύπριοι ἦλθον, καὶ ἔδωκε αὐτοῖς τὰς δέκα μνᾶς, καὶ τῶν πελταστῶν τὴν μίσθωσιν, καὶ τῶν ὅπλων τὴν ὠνήν, παρέσχε τρισμυρίας δραχμάς. καὶ τούτων κεφάλαιον πάντων γίγνεται, μικροῦ λείποντος πεντεκαίδεκα τάλαντα. ὥστε οὐκ ἂν εἰκότως ἡμᾶς αἰτιᾶσθαι ἐπειδὴ τῶν Κόνωνος, τῶν ὁμολογουμένων δικαίως ἀποφανθῆναι ὑπ' αὐτοῦ ἐκείνου πολλαπλασίων δοκούντων εἶναι πλέον ἢ τρίτον μέρος φαίνεται τὰ Ἀριστοφάνους. καὶ οὐ προσλογιζόμεθα ὅσα αὐτὸς ἐν Κύπρῳ ἔσχε Νικόφημος, οὔσης αὐτῷ ἐκεῖ γυναικὸς καὶ θυγατρός. ἐγὼ μὲν οὐκ ἀξιῶ ὦ ἄνδρες δικασταὶ οὕτω πολλὰ καὶ μεγάλα τεκμήρια παρεχομένους, ἡμᾶς ἀπολέσθαι ἀδίκως. ἀκήκοα γὰρ ἔγωγε καὶ τοῦ πατρὸς καὶ ἄλλων πρεσβυτέρων, ὅτι οὐ νῦν μόνον, ἀλλὰ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ, πολλῶν ἐψεύσθητε τῆς οὐσίας, οἳ ζῶντες μὲν πλουτεῖν ἐδόκουν. ἀποθανόντες δὲ, πολὺ παρὰ τὴν δόξαν τὴν ὑμετέραν ἐφάνησαν. αὐτίκα Ἰσχομάχῳ ἕως ἔζη, πάντες ᾤοντο εἶναι πλεῖν ἢ ἑβδομήκοντα τάλαντα ὡς ἐγὼ ἀκούω. ἐνεμήθη δὲ τῷ υἱεῖ, οὐδὲ δέκα τάλαντα ἑκατέρῳ ἀποθανόντος. Στεφάνῳ δὲ τῷ Θάλλου ἐλέγετο εἶναι πλέον ἢ πεντήκοντα ταλάντων. ἀποθανόντος δ', ἡ οὐσία ἐφάνη τε ἕνδεκα τάλαντα. ὁ τοίνυν Νικίου οἶκος προσεδοκᾶτο εἶναι οὐκ ἔλαττον, ἢ ἑκατὸν ταλάντων, καὶ τούτων τὰ πολλὰ, ἔνδον ἦν. Νικήρατος δ' ὅτ' ἀπέθνησκεν ἀργύριον μὲν ἢ χρυσίον, οὐδ' αὐτὸς ἔφη καταλείπειν οὐδέν. ἀλλὰ τὴν οὐσίαν ἣν κατέλιπε τῷ υἱεῖ, οὐ πλείονος ἀξία ἐστὶν, ἢ τεττάρων καὶ δέκα ταλάντων. Καλλίας τοίνυν ὁ Ἱππονίκου ὅτε νεωστὶ ἐτεθνήκει ὁ πατήρ, ὃς πλεῖστα τῶν Ἑλλήνων ἐδόκει κεκτῆσθαι, καὶ ὥς φασι διακοσίων ταλάντων ἐτιμήσατο αὐτοῦ ὁ πάππος, τό γε τούτου νῦν τίμημα οὐδὲ δυοῖν ταλάντοιν ἐστί. Κλεοφῶντα δὲ πάντες ἴστε ὅτι πολλὰ ἔτη διεχείρισε τὰ τῆς πόλεως πάντα, καὶ προσεδοκᾶτο πάνυ πολλὰ ἐκ τῆς ἀρχῆς ἔχειν. ἀποθανόντος δ' αὐτοῦ, οὐδαμοῦ δῆλα τὰ χρήματα. ἀλλὰ καὶ οἱ προσήκοντες καὶ οἱ κηδεσταί παρ' οἷς κατέλιπεν, ὁμολογουμένως πένητές εἰσι. φαινόμεθα καὶ τῶν ἀρχαιοπλούτων πολλοῖ ἐψευσμένοι, καὶ τῶν νεωστὶ ἐνδόξων γεγενημένων. αἴτιον δέ μοι δοκεῖ εἶναι ὅτι ῥᾳδίως τινὲς τολμῶσι λέγειν ὡς ὁ δεῖνα ἔχει τάλαντα πολλὰ ἐκ τῆς ἀρχῆς. καὶ ὅσα μὲν περὶ τεθνεῶτος λέγουσιν, οὐ πάνυ θαυμάζω. οὐ γὰρ ὑπό γε ἐκείνων ἐξελεγχθεῖεν ἄν, ἀλλ' ὅσα ζώντων ἐπιχειροῦσι καταψεύδεσθαι. αὐτοὶ γοῦν ἔναγχος ἠκούετε ἐν τῇ ἐκκλησίᾳ ὡς Διότιμος ἔχει τάλαντα τετταράκοντα πλείω ὅσα αὐτὸς ὡμολόγει παρὰ τῶν ναυκλήρων, καὶ ἐμπόρων, καὶ ταῦτα ἐπειδὴ ἦλθεν ἐκείνου ἀπογραφομένου καὶ χαλεπῶς φέροντος, ὅτι ἀπὼν διεβάλλετο, οὐδεὶς ἐξήλεγξε. δεομένης δὲ τῆς πόλεως χρημάτων, ἐθέλοντος δὲ ἐκείνου λογίζεσθαι. ἐνθυμεῖσθε τοίνυν οἷον ἂν ἐγένετο, εἰ Ἀθηναίων ἁπάντων ἀκηκοότων, ὅτι τετταράκοντα τάλαντα ἔχοι Διότιμος, εἶτα εἰ ἔπαθέ τι πρὶν καταπλεῦσαι δεῦρο. εἶτα οἱ προσήκοντες ἂν αὐτοῦ, ἐν κινδύνῳ ἦσαν τῷ μεγίστῳ. εἰ ἔδει αὐτοὺς πρὸς τοσαύτην διαβολὴν ἀπολογεῖσθαι, μὴ εἰδότας μηδὲν τῶν πεπραγμένων. αἴτιοι οὖν εἰσι, καὶ ὑμεῖς πολλῶν ἤδη ἐψεῦσθαι, καὶ ἰδίᾳ ἀδίκως τέ τινας ῥᾳδίως ἀπολέσθαι οἱ τολμῶντες ψεύδεσθαι καὶ συκοφαντεῖν ἀνθρώπους ἐπιθυμοῦντες. ἔπειτ' οἴομαι ὑμᾶς εἰδέναι, ὅτι Ἀλκιβιάδης, τέτταρα ἢ πέντε ἔτη ἐφεξῆς ἐστρατήγει ἐπικρατῶν, καὶ νενικηκὼς Λακεδαιμονίους. καὶ διπλάσια ἐκείνῳ ἠξίουν αἱ πόλεις διδόναι, ἢ ἄλλῳ τινὶ τῶν στρατηγῶν. ὥστ' ᾤοντο εἶναί τινες αὐτῷ πλέον, ἢ ἑκατὸν τάλαντα. ὁ δ' ἀποθανὼν, ἐδήλωσεν ὅτι οὐκ ἀληθῆ τοῦτ' ἦν. ἐλάττω γὰρ οὐσίαν κατέλιπε τοῖς παισὶν, ἢ αὐτὸς παρὰ τῶν ἐπιτροπευσάντων παρέλαβεν.

ὅτι

Ὅτι μὲν οὖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ τοιαῦτα ἐγίγνετο, ῥᾴδιον γνῶναι. φασὶ δὲ καὶ τοὺς ἀρίστους καὶ σοφωτάτους, μάλιστα ἐθέλειν μεταγιγνώσκειν. εἰ οὖν δοκοῦμεν εἰκότα λέγειν, καὶ ἱκανὰ τεκμήρια παρέχεσθαι ὦ ἄνδρες δικασταί, πάσῃ τέχνῃ καὶ μηχανῇ, ἐλεήσατε. ὡς ἡμεῖς τῆς μὲν διαβολῆς οὕτω μεγάλης οὔσης, ἀεὶ προσεδοκῶμεν κρατήσειν μετὰ τοῦ ἀληθοῦς. ὑμῶν δὲ μηδενὶ τρόπῳ ἐθελησάντων πεισθῆναι, οὐδ᾽ ἐλπὶς οὐδεμία σωτηρίας ἐδόκει ἡμῖν εἶναι. ἀλλὰ πρὸς θεῶν ὀλυμπίων ὦ ἄνδρες δικασταὶ βούλεσθε ἡμᾶς δικαίως σῶσαι, ἢ μᾶλλον ἀδίκως ἀπολέσθαι. καὶ πιστεύετε τούτοις ἀληθῆ λέγειν, οἳ ἂν καὶ σιωπῶντες ἐν ἅπαντι τῷ βίῳ παρέχουσι σώφρονας σφᾶς αὐτοὺς καὶ δικαίους. Περὶ μὲν οὖν αὐτῆς τῆς γραφῆς, καὶ ᾧ τρόπῳ κηδεσταὶ ἡμῖν ἐγένοντο, καὶ ὅτι οὐκ ἐξήρκει τὰ ἐκείνου εἰς τὸν ἔκπλουν, ἀλλὰ καὶ ὡς ἄλλοθεν προσεδανείσατο, ἀκηκόατε, καὶ μεμαρτύρηται ὑμῖν. περὶ δ᾽ ἐμαυτοῦ βραχέα βούλομαι ὑμῖν εἰπεῖν. ἐγὼ γὰρ ἔτη γεγονὼς ἤδη τριάκοντα, οὐδὲ τῷ πατρὶ οὐδὲν πώποτε ἀντεῖπον, οὔτε τῶν πολιτῶν οὐδείς μοι ἐνεκάλεσεν. ἐγγύς τε οἰκῶν τῆς ἀγορᾶς, οὐδὲ πρὸς δικαστηρίῳ, οὐδὲ πρὸς βουλευτηρίῳ ὤφθην οὐδὲ πώποτε, πρὶν ταύτην τὴν συμφορὰν γενέσθαι. περὶ μὲν οὖν ἐμαυτοῦ τοσαῦτα λέγω. περὶ δὲ τοῦ πατρὸς, ἐπειδὴ ὥσπερ ἀδικοῦντος αἱ κατηγορίαι γεγένηνται, συγγνώμην ἔχετε. ἐὰν λέγω ἃ ἀνήλωσεν εἰς τὴν πόλιν καὶ εἰς τοὺς φίλους, οὐ γὰρ φιλοτιμίας ἕνεκεν, ἀλλὰ τεκμήριον ποιούμενος, ὅτι οὐ τοῦ αὐτοῦ ἐστιν ἀνδρὸς ἄνευ ἀνάγκης τε πολλὰ ἀναλίσκειν. καὶ μετὰ κινδύνου τοῦ μεγίστου ἐπιθυμῆσαι, ἔχειν τι τῶν κοινῶν. εἰσὶ δέ τινες οἱ προαναλίσκοντες, οὐ μόνον τούτου ἕνεκεν, ἀλλ᾽ ἵνα ἄρχειν ὑφ᾽ ὑμῶν ἀξιωθέντες, διπλάσια κομίσωνται. ὁ τοίνυν ἐμὸς πατὴρ ἄρχειν μὲν οὐδὲ πώποτε ἐπεθύμησε. τὰς δὲ χορηγίας ἁπάσας κεχορήγηκε. τετριηράρχηκε δὲ ἑπτάκις. εἰσφορὰς δὲ πολλὰς καὶ μεγάλας εἰσενήνοχεν. ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς καὶ καθ᾽ ἑκάστην ἀναγνώσεται, ἀκούετε ὦ ἄνδρες δικασταὶ τὸ πλῆθος. πεντήκοντα γὰρ ἔτη ἐστὶν ὅσα ὑπὲρ αὐτοῖς χρήμασι, καὶ τῷ σώματι τῇ πόλει ἐλειτούργει. ἐν οὖν τοσούτῳ χρόνῳ δοκοῦν τοῖς τι ἐξ ἀρχῆς ἔχειν, οὐδὲ μίαν εἰκὸς δαπάνην πεφευγέναι. ὅμως δὲ καὶ μάρτυρας ὑμῖν παρέξομαι. Μάρτυρες. Τούτων συμπάντων κεφάλαιόν ἐστιν, ἐννέα τάλαντα, καὶ δισχίλιαι δραχμαί. ἔτι τοίνυν καὶ ἰδίᾳ τισὶ τῶν πολιτῶν ἀπορουσι, συνεξέδωκε θυγατέρας καὶ ἀδελφάς, τοὺς δ᾽, ἐλύσατο ἐκ τῶν πολεμίων. τοῖς δ᾽, εἰς ταφὴν παρεῖχεν ἀργύριον. καὶ ταῦτ᾽ ἐποίει ἡγούμενος εἶναι ἀνδρὸς ἀγαθοῦ ὠφελεῖν τοὺς φίλους, καὶ εἰ μηδεὶς μέλλοι εἴσεσθαι. νῦν δὲ πρέπον ἐστὶ καὶ ὑμᾶς ἀκοῦσαί μου, καί μοι κάλει τὸν, καὶ τόν. Μάρτυρες. Τῶν μὲν οὖν μαρτύρων ἀκηκόατε. ἐνθυμεῖσθε δὲ ὅτι ὀλίγον μὲν χρόνον, δύναιτ᾽ ἄν τις πλάσασθαι τὸν τρόπον τὸν αὑτοῦ. ἐν ἑβδομήκοντα δὲ ἔτεσιν οὐδ᾽ ἂν εἷς λάθοι, πονηρὸς ὤν. τῷ τοίνυν πατρὶ τῷ ἐμῷ ἄλλα μὲν ἄν τις ἔχοι ἐπικαλέσαι ἴσως. εἰς χρήματα δὲ, οὐδεὶς οὐδὲ τῶν ἐχθρῶν ἐτόλμησε πώποτε. οὔκουν ἄξιον τοῖς τῶν κατηγόρων λόγοις πιστεῦσαι μᾶλλον, ἢ τοῖς ἔργοις ἃ ἐπράχθη ἐν ἅπαντι τῷ βίῳ καὶ τῷ χρόνῳ, ὃν ὑμεῖς σαφέστατον ἔλεγχον τοῦ ἀληθοῦς νομίσατε. εἰ γὰρ μὴ ἦν τοιοῦτος, οὐκ ἂν ἐκ πολλῶν ὀλίγα κατέλιπεν. ἐπεὶ εἰ νῦν γ᾽ ἐξαπατηθείητε ὑπὸ τούτων, καὶ δημεύσαιτε ἡμῶν τὴν οὐσίαν, οὐδὲ δύο τάλαντα λάβοιτ᾽ ἄν. ὥστε οὐ μόνον πρὸς δόξαν, ἀλλὰ καὶ εἰς χρημάτων λόγον, λυσιτελοῖ μᾶλλον ὑμῖν ἀποψηφίσασθαι. πολὺ γὰρ πλείω ὠφεληθήσεσθε, ἂν ἡμεῖς ἔχωμεν. σκοπεῖτε δὲ ἐκ τοῦ παρεληλυθότος χρόνου ὅσα φαίνεται ἀνηλωμένα εἰς τὴν πόλιν. καὶ νῦν ἀπὸ τῶν ὑπολοίπων τριηραρχῶ μὲν ἐγώ. τριηραρχῶν δὲ ὁ πατὴρ, ἀπέθανεν. πειράσομαι δ᾽ ὥσπερ ἐκεῖνον ἑώρων ὀλίγα κατὰ μικρὸν παρασκευάσασθαι εἰς τὰς κοινὰς ὠφελείας. ὥστε τῷ γ᾽ ἔργῳ πάλαι ταῦτ᾽ ἐστὶ κοινά. καὶ οὔτ᾽ ἐγὼ ἀφῃρημένος ἀδικεῖσθαι οἴομαι, ὑμῖν δὲ πλείους οὕτως αἱ ὠφέλειαι ἢ εἰ δημεύσαιτε. πρὸς δὲ τούτοις, ἄξιον ἐνθυμηθῆναι οἵαν φύσιν εἶχεν ὁ πατήρ. ὅσα γὰρ ἔξω τῶν ἀναγκαίων ἐπεθύμησεν ἀναλίσκειν, πάντα φανήσεται τοιαῦτα, ὅθεν καὶ τῇ πόλει τιμὴ ἔμελλεν ἔσεσθαι. αὐτίκα ὅτε ἵππευεν, οὐ μόνον ἵππους ἐκτήσατο λαμπρούς, ἀλλὰ καὶ ἀθλητὰς οἷς ἐνίκησεν ἰσθμοῖ, καὶ νεμέᾳ. ὥστε τὴν πόλιν κηρυχθῆναι, καὶ αὐτὸν στεφανωθῆναι. δέομαι οὖν ὑμῶν ὦ ἄνδρες δικασταί, καὶ τούτων καὶ τῶν ἄλλων μεμνημένους ἁπάντων

τῶν εἰρημένων, βοηθεῖν ἡμῖν, καὶ μὴ περιιδεῖν ὑπὸ τῶν ἐχθρῶν ἀναιρεθέντας, καὶ ταῦτα ποιοῦντες, τά τε δίκαια ψηφιεῖσθε, καὶ ὑμῖν αὐτοῖς τὰ συμφέροντα.

Λυσίου, ὑπὲρ Πολυστράτου.

Ου μοι δοκεῖ χρῆναι ὀργίζεσθαι ὑμᾶς τῷ ὀνόματι τῷ τῶν τετρακοσίων, ἀλλὰ τοῖς ἔργοις ἐνίων. οἱ μὲν γὰρ ἐπιβουλεύσαντες ἦσαν αὐτῶν· οἱ
β
δ' ἵνα μήτε τὴν πόλιν μηδὲν κακὸν ἐργάσωνται, μήθ' ὑμῶν μηδείς, ἀλλ' εὖνοι ὄντες, εἰσῆλθον εἰς τὸ βουλευτήριον· ὧν εἷς ὢν οὑτοσὶ τυγχάνει Πολύστρατος. οὗτος γὰρ ᾑρέθη μὲν ὑπὸ τῶν φυλετῶν ὡς χρηστὸς ὢν ἀνὴρ καὶ περὶ τοὺς δημότας καὶ περὶ τὸ πλῆθος τὸ ὑμέτερον. κατηγοροῦσι δὲ αὐτοῦ, ὡς οὐκ εὔνους ἦν τῷ πλήθει τῷ ὑμετέρῳ, αἱρεθεὶς ὑπὸ τῶν φυλετῶν, οἳ ἄριστα διαγνοῖεν περὶ σφῶν αὐτῶν, οἵτινές εἰσιν. οὗτος δὲ τίνος ἂν ἕνεκεν ὀλιγαρχίας ἐπιθυμήσειε. πότερον ὡς ἡλικίαν ἔχων λέγων τι διαπράξεσθαι παρ' ὑμῖν, ἢ τῷ σώματι πιστεύων ἵνα ὑβρίζοι εἴς τινα τῶν ὑμετέρων τινά. ἀλλ' ὁρᾶτε αὐτοῦ τὴν ἡλικίαν ἣ καὶ τοὺς ἄλλους ἱκανὴ ἀποτρέπειν τούτων. ὅστις μὲν οὖν ἄτιμος ὢν κακόν τι ἐργασάμενος ἐν τῷ πρόσθεν χρόνῳ ἑτέρας πολιτείας ἐπιθυμεῖ, διὰ τὰ πρόσθεν ἁμαρτήματ' αὐτοῦ ἕνεκα ἂν ἔπραττε. τούτῳ δὲ τοιοῦτον οὐδὲν ἡμάρτηται, ὥστε αὐτοῦ ἕνεκα μισεῖν τὸ πλῆθος τὸ ὑμέτερον, ἢ τῶν παίδων. ὁ μὲν γὰρ ἐν Σικελίᾳ ἦν. οἱ δ' ἐν Βοιωτοῖς. ὥστε μὴ δὲ τούτων ἕνεκεν, ἑτέρας πολιτείας ἐπιθυμῆσαι διὰ τὰ πρόσθεν ἁμαρτήματα. καὶ κατηγοροῦσι μὲν αὐτοῦ ὡς πολλὰς ἀρχὰς ἦρξε. ἀποδεῖξαι δὲ οὐδεὶς οἷός τε ἐστίν, ὡς οὐ καλῶς ἦρξεν. ἐγὼ δὲ ἡγοῦμαι, οὐ τούτους ἀδικεῖν μὲν τοῖς πράγμασιν ἐκείνοις, ἀλλ' εἴ τις ὀλίγας ἄρξας ἀρχὰς, μὴ τὰ ἄριστα ἦρξε τῇ πόλει. οὐ γὰρ οἱ καλῶς ἄρχοντες προὔδοσαν τὴν πόλιν, ἀλλ' οἱ μὴ δικαίως. οὗτος δὲ πρῶτον μὲν ἄρξας ἐν Ὠρωπῷ, οὔτε προὔδωκε, καὶ ἑτέραν πολιτείαν κατέστησε. τῶν ἄλλων ἁπάντων ὅσοι ἦρχον καταπροδόντων τὰ πράγματα. οἱ δ' οὐχ ὑπέμειναν καταγνόντες σφῶν αὐτῶν ἀδικεῖν. ὁ δὲ ἡγούμενος μηδὲν ἠδικηκέναι, δίκην δίδωσι. καὶ τοὺς μὲν ἀδικοῦντας, οἱ κατήγοροι ἐκκλέπτουσιν ἀργύριον λαμβάνοντες. παρ' ὧν δ' ἂν μὴ κερδαίνωσιν, ἀδικοῦντας ἀποφαίνουσι. καὶ ὁμοίας τὰς κατηγορίας ποιοῦνται. τῶν τε εἰπόντων γνώμην τινὰ ἐν τῇ βουλῇ, καὶ τῶν μή, οὗτος δὲ οὐδὲ γνώμην οὐδεμίαν εἶπε περὶ τοῦ ὑμετέρου πλήθους. ἐγὼ δ' ἡγοῦμαι ἀξίους εἶναι τούτους, μηδὲν πάσχειν ὑφ' ὑμῶν κακόν. εἰ ὑμῖν μὲν εὖνοι ἦσαν, ἐκείνοις δὲ ἀπηχθάνοντο. τῶν γὰρ λεγόντων ἐναντία ἐκείνοις, οἱ μὲν, ἔφευγον. οἱ δὲ, ἀπέθνησκον. ὥστε εἴ τις καὶ ἐβούλετο ἐναντιοῦσθαι ὑπὲρ ὑμῶν, τὸ δέος, καὶ ὁ φόβος τῶν πεπονθότων ἀπέτρεπε πάντας. ὥστε οἱ πολλοὶ πάντα ἐγίγνωσκον αὐτῶν. τοὺς μὲν γὰρ ἐξήλαυνον αὐτῶν, τοὺς δὲ ἀπεκτίννυον. οἳ δὲ ἐκείνων ἔμελλον ἀκροᾶσθαι, καὶ μηδὲν ἐπιβουλεύειν μηδὲ ἐξαγγέλλειν, τούτους ἂν καθίσαντο. ὥστε οὐκ ἂν ῥᾳδίως μετέστη ἂν ὑμῖν ἡ πολιτεία. οὔκουν δίκαιοί εἰσιν ὧν ὑμῖν εὖνοι ἦσαν, τούτων δίκην διδόναι. δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ τοῖς ἐξαμαρτοῦσι περὶ τὸ πλῆθος τὸ ὑμέτερον μὴ τὰ ἄριστα ὁ μηδὲ εἰπὼν ταῦτα πείσεται. καὶ ἐν μὲν ἑβδομήκοντα ἔτεσιν, οὐδὲν ἐξήμαρτον εἰς ὑμᾶς, ἐν ὀκτὼ δ' ἡμέραις; καὶ οἱ μὲν τὸν βίον ἅπαντα πονηροὶ ὄντες, χρηστοὶ ἐν τῷ λογιστηρίῳ γεγένηνται πείσαντες τοὺς κατηγόρους, οἳ δ' ἀεὶ ὑμῖν χρηστοὶ ἦσαν, οὗτοι πονηροί. καίτοι οὗτοι τὰς πρότερον κατηγορίας τά τε ἄλλα κατηγόρησαν ψευδῆ τοῦ πατρὸς, καὶ συνδικοῦν φρυνίχου αὐτοῦ εἶναι ἔφησαν. καί τοι εἴ τις βούλεται, ἐν τῷ λόγῳ τῷ ἐμῷ μαρτυρησάτω, ὡς ἀναγκαῖον ὄντα φρυνίχῳ. ἀλλὰ τί ψευδεῖ κατηγόρῳ. ἀλλὰ μὴν οὐ ἐκ παιδείας φίλος ἦν αὐτῷ. ὁ μὲν γὰρ ἐν ἀγρῷ πένης ὢν, ἐποίμαινεν. ὁ δὲ πατὴρ, ἐν τῷ ἄστει ἐπαιδεύετο. καὶ ἐπειδὴ ἀνὴρ ἐγένετο, ὁ μὲν ἐγεώργει. ὁ δ' ἐλθὼν εἰς τὸ ἄστυ, ἐσυκοφάντει. ὥστε μηδὲν ὁμολογεῖν τῷ τρόπῳ τῷ ἀλλήλων. καὶ ὅτ' ἐξέτεινε τῷ δημοσίῳ, οὐκ εἰσήνεγκεν αὐτῷ τὸ ἀργύριον. καίτοι ἐν τοῖς τοιούτοις μάλιστα δηλοῦσιν, οἳ ἂν φίλοι ὦσιν. εἰ δὲ ἦν

δημότης

δημότης οὐ δίκαιος διὰ τοῦτον βλάπτεσθαι. ἄξιός ἐστιν ὁ πατήρ, εἰ καὶ μὴ ὑμεῖς ἀδικεῖτε ὅτι ὑμῶν ἐστι πολίτης. πῶς δ' ἂν γένοιτο δημοτικώτερος, ἢ ὅστις ὑμῶν ψηφισαμένων πεντακισχιλίοις παραδοῦναι τὰ πράγματα καταλογεὺς ὤν, ἐννακισχιλίους κατέλεξεν. ἵνα μηδεὶς αὐτῷ διάφορος εἴη τῶν δημοτῶν. ἀλλ' ἵνα τὸν μὲν βουλόμενον γράφῃ. εἰ δέ τῳ μὴ οἷόν τ' εἴη, χαρίζοιτο. καίτοι οὐχ οἱ ἂν πλείους πολίτας ποιῶσιν, οὗτοι καταλύουσι τὸν δῆμον, ἀλλ' οἱ ἂν ἐκ πλειόνων ἐλάττους. οὗτος δὲ οὔτε ὀμόσαι ἤθελεν, οὔτε καταλέγειν. ἀλλ' αὐτὸν ἠνάγκαζον ἐπιβολὰς ἐπιβάλλοντες καὶ ζημιοῦντες. ἐπειδὴ δὲ ἠναγκάσθη καὶ ὤμοσε τὸν ὅρκον, ὀκτὼ ἡμέρας εἰσελθὼν εἰς τὸ βουλευτήριον, ἐξέπλει εἰς Ἐρέτριαν, καὶ ἐδόκει ἐκεῖ τὴν ψυχὴν οὐ πονηρὸς εἶναι ἐν ταῖς ναυμαχίαις. καὶ τετρωμένος δεῦρ' ἦλθε, καὶ ἤδη μετεπεπτώκει τὰ πράγματα. καὶ οὗτος μὲν οὔτ' εἰπὼν γνώμην οὐδεμίαν, οὔτε πλέον ὀκτὼ ἡμερῶν ἐλθὼν εἰς τὸ βουλευτήριον, ὦφλε χρήματα τοσαῦτα. τῶν δ' εἰπόντων ὑμῖν τἀναντία, καὶ διὰ τέλους ἐν τῷ βουλευτηρίῳ ὄντων, πολλοὶ ἀποπεφεύγασι, καὶ οὐ φθονῶν τούτοις λέγω, ἀλλ' ἡμᾶς ἐλεῶν. οἱ μὲν γὰρ δοκοῦντες ἀδικεῖν, ἐξῃτημένοι εἰσὶν ὑπὸ τῶν ὑμῖν προθύμων ἐν τοῖς πράγμασι γενομένων. οἱ δ' ἠδικηκότες ἐκπριάμενοι τοὺς κατηγόρους, οὐδὲν ἔδοξαν ἀδικεῖν. πῶς οὖν οὐκ ἂν δεινὰ πάσχοιμεν; καὶ κατηγοροῦσι μὲν τῶν τετρακοσίων ὅτι ἦσαν κακοί. καίτοι ὑμεῖς αὐτοὶ πεισθέντες ὑπὸ τούτων παρέδοτε τοῖς πεντακισχιλίοις, καὶ οἱ αὐτοὶ τοσοῦτοι ὄντες, ἐπείσθητε. ἵνα ἕκαστον τῶν τετρακοσίων οὐ χρῆν πεισθῆναι; ἀλλ' οὐχ οὗτοι ἀδικοῦσιν, ἀλλ' οἱ ὑμᾶς ἐξηπάτων καὶ κακῶς ἐποίουν. οὗτος δ' ἐν πολλοῖς δηλοῖ ὑμῖν, ὅτι εἴπερ τι νεωτερίζειν ἐβούλετο εἰς τὸ ὑμέτερον πλῆθος, οὐκ ἄν ποτε ἐν ὀκτὼ ἡμέραις εἰσελθὼν εἰς τὸ βουλευτήριον ᾤχετο ἐκπλέων. ἀλλ' εἴποι ἄν τις ὅτι κερδαίνειν ἐπιθυμῶν ἐξέπλευσεν, ὥσπερ οἱ ἄλλοι ἥρπαζον καὶ ἔφερον. οὐδεὶς τοίνυν ἂν εἴποι τις ὅπως τῶν ὑμετέρων ἔχει. ἀλλὰ πάντων μᾶλλον κατηγοροῦσιν, ἢ εἰς τὴν ἀρχήν, καὶ οἱ κατήγοροι τότε μὲν οὐδαμῇ εὖνοι ὄντες ἐφαίνοντο τῷ δήμῳ, οὐδ' ἐβοήθουν. νῦν δὲ ἡνίκα αὐτὸς ἑκὼν τῷ εὐνούστατός ἐστιν ὁ δῆμος, βοηθοῦσι. τῷ μὲν ὀνόματι ὑμῖν, τῷ δὲ ἔργῳ, σφίσιν αὐτοῖς. καὶ μὴ θαυμάζετε ὦ ἄνδρες δικασταί, ὅτι τοσαῦτα ὦφλε χρήματα. ἔρημον γὰρ αὐτὸν λαβόντες, αὐτοῦ τε καὶ ἡμῶν κατηγοροῦντες εἷλον. τῷ μὲν γάρ, οὐδ' εἴ τις εἶχε μαρτυρίαν, εἶχε μαρτυρεῖν διὰ τὸ δέος τὸ τῶν κατηγόρων. τοῖς δέ, καὶ τὰ ψευδῆ, δεδιότες ἐμαρτύρουν. ἦ δεινὰ ἂν πάθοιμεν ὦ ἄνδρες δικασταί, εἰ τοὺς μὲν οὐχ οἵους τε ὄντας ἐξαρνοὺς εἶναι, μὴ οὐ χρήματα ἔχειν ὑμῶν, τούτους δὲ ἀφῆτε, αὐτοὶ ἐξαιτουμένων. ἡμῖν δὲ αὐτοῖς τε προθύμοις γεγενημένοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον, καὶ τοῦ πατρὸς οὐδὲν ὑμᾶς ἠδικηκότος οὐ χαριεῖσθε. καὶ εἰ μὲν ξένος τις ἐλθὼν ὑμᾶς, ἢ χρήματα ᾔτει, ἢ εὐεργέτης ἀναγραφῆναι ἠξίου, ἔδοτε ἂν αὐτῷ. ἡμῖν δὲ οὐ δώσετε ἡμᾶς αὐτοὺς ἐπιτίμους ὑμῖν γενέσθαι. εἰ δέ τινες κακόνοι ἐγένοντο εἰς τὰ ὑμέτερα πράγματα, ἢ γνώμην μὴ ἐπὶ τὰ βέλτιστα εἶπον, οὐχ οἱ πάντες τούτων αἴτιοί εἰσιν, ἐπεὶ καὶ τοὺς παρόντας ὑμεῖς ἀπελύσατε. οὐδὲ γὰρ εἴ τις τῶν ἐνθάδε μὴ τὰ ἄριστα λέγων πείθει ὑμᾶς, οὐχ ὑμεῖς ἐστε αἴτιοι, ἀλλ' ὁ ἐξαπατῶν ὑμᾶς. ἐκεῖνοι δὲ σφῶν αὐτῶν προκαταγνόντες ἀδικεῖν οἴχονται, ἵνα μὴ δοῖεν δίκην. καὶ εἴ τινες ἄλλοι ἀδικοῦσιν, ἧττον μὲν ἐκείνων, ἀδικοῦσι δέ, τὸ δέος αὐτοὺς ποιεῖ τό τε ὑμέτερον καὶ τὸ τῶν κατηγόρων, μὴ ἐπιδημεῖν, ἀλλὰ στρατεύεσθαι, ἵνα ἢ ὑμᾶς πρᾳοτέρους ποιῶσιν, ἢ τούτους πείθωσιν. οὗτος δὲ ὑμῖν δίκην δέδωκεν. οὐδὲν ὑμᾶς ἀδικῶν εὐθὺς μετὰ τὰ πράγματα, ὅτε ὑμεῖς τε μάλιστα ἐμέμνησθε τῶν γενομένων, καὶ οὗτος ἐλεγχθήσεσθαι ἔμελλε, πιστεύων αὑτῷ μηδὲν ἡμαρτῆσθαι, ἀλλ' ἀγωνιεῖσθαι εὖ μετὰ τοῦ δικαίου.

ως δ' ἦν δημοτικός, ἐγὼ ὑμῖν ἀποδείξω. πρῶτον μὲν γὰρ ὅσων, οὐδὲ μιᾶς στρατιᾶς ἀπελείφθη, ἀλλ' ἐστρατεύετο ὡς συνειδότες ἂν εἴποιεν οἱ δημόται. καὶ ἐξὸν αὐτῷ τὴν οὐσίαν ἀφανῆ καταστήσαντι μηδὲν δὲ ὑμᾶς ὠφελεῖν, εἵλετο μᾶλλον συνειδέναι ὑμᾶς, ἵν' εἰ καὶ βούλοιτο κακὸς εἶναι, μὴ ἐξῆν αὐτῷ, ἀλλ' εἰσφέροι τε τὰς εἰσφοράς, καὶ λειτουργοίη, καὶ ἡμᾶς παρεσκεύασεν, ὡς ἂν τῇ πόλει ὠφελιμώτατοι εἶημεν. καὶ ἐμὲ μὲν εἰς Σικελίαν ἐξέπεμψεν. ὑμῖν δ' οὐκ

ἦν ὥστ' ἀπολέσαι τοὺς ἱππέας, οἷος ἦν τὴν ψυχὴν ἕως τὸ στρατόπεδον σώζειν ἦν. ἐπειδὴ δὲ διεφθάρη καὶ ἀπεσώθη εἰς τὴν Κατάνην, ἐλπιζόμενος ὁρμώμενος, ἐντεῦθεν καὶ τοὺς πολεμίους κακῶς ἐποίουν. ὥστε τῇ θεῷ τε τὰς δεκάτας ἐξαιρεθῆναι πλέον, ἢ τριάκοντα μνᾶς. καὶ τοῖς στρατιώταις εἰς σωτηρίαν ὅσοι ἐν τοῖς πολεμίοις ἦσαν. καὶ ἐπειδὴ Καταναῖοι ἠνάγκαζον ἱππεύειν, ἵππευεν. καὶ οὐδενὸς οὐδ' ἐνταῦθα κινδύνου ἀπελιπόμην ὥστ' εἰδέναι ἅπαντας οἷος ἦν τὴν ψυχὴν, ἱππεύων τε καὶ ὁπλιτεύων. ὑμῖν τοὺς μάρτυρας παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Ἀκηκόατε μὲν τῶν μαρτύρων ὦ ἄνδρες δικασταί. οἷος δ' εἰμὶ περὶ τὸ ὑμέτερον πλῆθος, ἐγὼ ὑμῖν ἀποδείξω. ἀφικομένου γὰρ ἐκεῖσε Συρακουσίου ὅρκιον ἔχοντος, καὶ ἑτοίμου ὄντος ὁρκοῦν, καὶ προσιόντος πρὸς ἕνα ἕκαστον τῶν ἐκεῖ ὄντων, ἀντεῖπεν εὐθὺς αὐτῷ. καὶ ἐλθὼν ὡς Τυδέα, διηγούμην ταῦτα, καὶ συλλογὴν ἐποίει, καὶ λόγοι οὐκ ὀλίγοι ἦσαν. ὧν δ' οὖν ἐγὼ εἶπεν, καλῶ μάρτυρας. ΜΑΡΤΥΡΕΣ. Σκέψασθε δὴ καὶ τοῦ παιδὸς τὴν ἐπιστολὴν, ἣν ἔδωκεν ἀποδοῦναι ἐμοί. πότερα τῷ ὑμετέρῳ πλήθει ἀγαθὰ ἦν, ἢ οὔ. τότε γὰρ οἰκεῖα ἀπεγέγραπτο. καὶ ἔτι ὅτι καλῶς ἔχοι τὰ ἐν Σικελίᾳ ἥκειν. καίτοι ταῦτα ὑμῖν συνέφερε καὶ τοῖς ἐκεῖ. ὥστ' εἰ μὴ εὔνους ἦν τῇ πόλει καὶ ὑμῖν, οὐκ ἄν ποτε τοιαῦτα ἐπέστελλον. ἀλλὰ μὴν καὶ τὸν ἀδελφὸν τὸν νεώτατον, οἷος εἰς ὑμᾶς ἐστιν, ἐγὼ ἀποδείξω. καταδρομῆς γὰρ γενομένης τῶν φυγάδων, οὐ μόνον ἐνθάδε ὅτε οἷοί τ' ἦσαν, κακὸν εἰργάζοντο ἀλλὰ καὶ ἀπὸ τοῦ τείχους ἔφερον καὶ ἦγον ὑμᾶς ἐξελάσας ἐκ τῶν ἄλλων ἱππέων οὖν, ἀπέκτεινεν. ὧν ὑμῖν αὐτοὺς μάρτυρας τοὺς παραγενομένους παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Τὸν δὲ πρεσβύτατον ἀδελφὸν, αὐτοὶ οἱ συστρατευόμενοι ἴσασιν. οἵτινες ἐνθάδε ὄντες ἦτε ἐν Ἑλλησπόντῳ, ὥστε νομίζειν μηδενὸς ἧττον εἶναι ἀνθρώπων τὴν ψυχήν. καί μοι ἀνάβητε δεῦρο. πῶς οὖν οὐ χρὴ χάριν παρ' ὑμῶν ἀπολαμβάνειν, εἰ τοιοῦτοί ἐσμεν, ὧν μὲν ὁ πατὴρ διαβέβληται εἰς ὑμᾶς δικαίως, τούτων δεῖ ἡμᾶς ἕνεκα ἀπολέσθαι. δι' ὧν δὲ πρόθυμοι εἰς τὴν πόλιν γεγενήμεθα, μὴ δὲ μίαν ὠφέλειαν γενέσθαι; ἀλλ' οὐ δίκαιον. ἀλλ' εἰ διὰ τὴν τούτου διαβολὴν δεῖ ὑμᾶς πάσχειν, δίκαιοί ἐσμὲν διὰ τὴν ὑμετέραν προθυμίαν τοῦτόν τε σῶσαι καὶ ἡμᾶς. οὐ γὰρ ἂν ἡμεῖς χρημάτων γε ἕνεκα ἵνα λάβοιμεν, εὖ ὑμᾶς ἐποιοῦμεν. ἀλλ' ἵνα εἴ ποτε κίνδυνος εἴη ἡμῖν, ἐξαιτούμενοι παρ' ὑμῶν, τὴν ἀξίαν χάριν ἀπολάβοιμεν. χρὴ δὲ ὑμᾶς, καὶ τῶν ἄλλων ἕνεκα τοιούτους εἶναι, γιγνώσκοντας ὅτι ἐάν τις πρόθυμος εἰς ὑμᾶς ᾖ, οὐ μόνον ἡμᾶς ὠφελήσεται. ὑμῶν γὰρ καὶ πρὶν δεηθῆναι πεπείρασθε, οἷοι ἐσμὲν εἰς ὑμᾶς. τοὺς δὲ ἄλλους προθυμοτέρους ποιήσετε κατ' ἀξίαν χαριζόμενοι. ὅς ἄν τις ὑμᾶς εὖ ποιῇ, καὶ μηδαμῶς τοῖς λέγουσι βεβαιώσητε λεγόντων πάντων πονηρότατον. λέγεται γὰρ τοὺς κακῶς πεπονθότας μεμνῆσθαι μᾶλλον, ἢ τοὺς εὖ. τίς γὰρ ἔτι θελήσει χρηστὸς εἶναι. εἰ ἡττηθήσονται τῶν κακῶν ὑμᾶς ποιούντων, οἱ εὖ ποιοῦντες. ἔχει δ' ὑμῖν ὦ ἄνδρες δικασταὶ οὕτω. περὶ ἡμῶν γὰρ ἔστι ψῆφος ὑμῖν, καὶ οὐ περὶ χρημάτων. ἕως μὲν γὰρ εἰρήνη ἦν, ἡμῖν φανερὰ οὐσία, καὶ ἦν ὁ πατὴρ ἀγαθὸς γεωργός. ἐπειδὴ δὲ εἰσέβαλον οἱ πολέμιοι, πάντων τούτων ἐστερήθημεν. ὥστε αὐτῶν τούτων ἕνεκα πρόθυμοι ἐσμὲν εἰς ὑμᾶς. εἰδότες ὅτι χρήματα μὲν ἡμῖν οὐκ εἴη πόθεν ἐκτίσομεν. αὐτοὶ δὲ πρόθυμοι ὄντες εἰς ὑμᾶς, ἀξιοῦμεν εὑρίσκεσθαι χάριν. καίτοι ὁρῶμέν γ' ὑμᾶς ὦ ἄνδρες δικασταὶ ἐάν τις παῖδας αὑτοῦ ἀναβιβασάμενος, κλαίῃ καὶ ὀλοφύρηται. τούς τε παῖδας καὶ αὐτὸν εἰ ἀτιμωθήσονται ἐλεοῦντας καὶ ἀφιέντας τὰς τῶν πατέρων ἁμαρτίας, διὰ τοὺς παῖδας οὓς οὔπω ἴστε εἴτε ἀγαθοὶ, εἴτε κακοὶ ἡβήσαντες γενήσονται. ἡμᾶς δ' ἴστε ὅτι πρόθυμοι γεγενήμεθα εἰς ὑμᾶς, καὶ τὸν πατέρα οὐδὲν ἡμαρτηκότα. ὥστε πολλῷ δικαιότεροι ἐστὲ ὧν πεπείρασθε τούτοις χαρίσασθαι, ἢ οὓς οὐκ ἴστε ὁποῖοί τινες ἔσονται. πεπόνθαμεν δὲ τοὐναντίον τοῖς ἄλλοις ἀνθρώποις. οἱ μὲν γὰρ ἄλλοι τοὺς παῖδας παραστησάμενοι ἐξαιτοῦνται ὑμᾶς. ἡμεῖς δὲ, τὸν πατέρα τουτονὶ καὶ ἡμᾶς ἐξαιτούμεθα. μὴ ἡμᾶς ἀντὶ μὲν ἐπιτίμων, ἀτίμους ποιήσητε. ἀντὶ δὲ πολιτῶν, ἀπόλιδας. ἀλλ' ἐλεήσατε καὶ τὸν πατέρα γέροντα ὄντα καὶ ἡμᾶς. εἰ δὲ ἡμᾶς ἀδίκως ἀπολεῖτε, πῶς

ἢ οὗτος

ἢ οὗτος ἡμῖν ἰδίᾳ συνέσται, ἢ ὑμεῖς ἀλλήλοις ἐν τῷ αὐτῷ ὄντες, ὑμῶν τε ἀνάξιοι καὶ τῆς πόλεως. ἀλλ' ὑμῶν δεόμεθα τρεῖς ὄντες, ἐᾶσαι ἡμᾶς ἔτι προθυμοτέρους γενέσθαι. δεόμεθα οὖν ὑμῶν πρὸς τῶν ὑπαρχόντων ἀγαθῶν ἑκάστῳ ὅτῳ μέν εἰσιν υἱεῖς, τούτων οἶκον ἐλεῆσαι. ὅς τις ἡμῖν ἡλικιώτης τυγχάνει ἢ τῷ πατρί, ἐλεήσαντας ἀποψηφίσασθαι, καὶ μὴ ἡμᾶς βουλομένους εὖ ποιεῖν τὴν πόλιν, ὑμεῖς κωλύσητε. δεινὰ δ' ἂν πάθοιμεν, εἰ ὑπὸ τῶν πολεμίων μὲν ἐσώθημεν. οὓς εἰκὸς ἦν διακωλύειν μὴ σώζεσθαι, παρ' ὑμῶν δὲ μηδὲν εὑρησόμεθα τοῦ σωθῆναι.

Λυσίου ἀπολογία δωροδοκίας, ἀπαράσημος.

π ερὶ μὲν τῶν κατηγορημένων ὦ ἄνδρες δικασταί, ἱκανῶς ὑμῖν ἀποδέδεικται. ἀκοῦσαι δὲ καὶ περὶ τῶν ἄλλων ὑμᾶς ἀξιῶ, ἵν' ἐπίστησθε περὶ ὅτου τινὸς ὄντος ἐμοῦ ψηφιεῖσθε. ἐγὼ γὰρ ἐδοκιμάσθην μὲν ἐπὶ Θεοπόμπου ἄρχοντος. καταστὰς δὲ χορηγὸς τραγῳδοῖς, ἀνήλωσα τριάκοντα μνᾶς. καὶ τρίτῳ μηνὶ Θαργηλίοις νικήσας ἀνδρικῷ χορῷ δισχιλίας δραχμάς. ἐπὶ δὲ Γλαυκίππου ἄρχοντος, εἰς πυρριχιστὰς Παναθηναίοις τοῖς μεγάλοις ὀκτακοσίας. ἔτι δ' ἀνδράσι χορηγῶν εἰς Διονύσια ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος, ἐνίκησα. καὶ ἀνήλωσα σὺν τῇ τοῦ τρίποδος ἀναθέσει, πεντακισχιλίας δραχμάς. καὶ ἐπὶ Διοκλέους Παναθηναίοις τοῖς μικροῖς κυκλικῷ χορῷ τριακοσίας. τὸν δὲ μεταξὺ χρόνον, ἐτριηράρχουν ἑπτὰ ἔτη, καὶ ἓξ τάλαντα ἀνήλωσα. καὶ τοσαύτας δαπάνας δαπανώμενος. καὶ καθ' ἡμέραν ὑπὲρ ὑμῶν κινδυνεύων καὶ ἀποδημῶν, ὅμως εἰσφορὰς τὴν μὲν τριάκοντα μνᾶς. τὴν δὲ, τετρακισχιλίας δραχμὰς εἰσενήνοχα. ἐπεὶ δὲ κατέπλευσα ἐπὶ Ἀλεξίου ἄρχοντος, εὐθὺς ἐγυμνασιάρχουν εἰς Προμήθεια. καὶ ἐνίκων, ἀναλώσας δώδεκα μνᾶς. καὶ ὕστερον κατέστην χορηγὸς παιδικῷ χορῷ, καὶ ἀνήλωσα πλέον, ἢ πεντεκαίδεκα μνᾶς. ἐπὶ δὲ Εὐκλείδου ἄρχοντος κωμῳδοῖς χορηγῶν Κηφισοδώρῳ, ἐνίκων καὶ ἀνήλωσα σὺν τῇ τῆς σκευῆς ἀναθέσει, ἑκκαίδεκα μνᾶς. καὶ Παναθηναίοις τοῖς μικροῖς ἐχορήγουν πυρριχισταῖς ἀγενείοις, καὶ ἀνήλωσα ἑπτὰ μνᾶς. νενίκηκα δὲ τριήρει μὲν ἁμιλλώμενος ἐπὶ Σουνίῳ, ἀναλώσας πεντεκαίδεκα μνᾶς. χωρὶς δὲ ἀρχεθεωρίας καὶ ἀρρηφορίας, καὶ ἄλλα τοιαῦτα εἰς ἃ ἐμοὶ δεδαπάνηται πλέον, ἢ τριάκοντα μναῖ. καὶ τούτων ὧν κατέλεξα εἰ ἐβουλόμην κατὰ τὰ γεγραμμένα ἐν τῷ νόμῳ λειτουργεῖν, οὐδ' ἂν τὸ τέταρτον μέρος ἀνήλωσα. τὸν δὲ χρόνον ὃν ἐτριηράρχουν, ἡ ναῦς ἄριστά μοι ἔπλει παντὸς τοῦ στρατοπέδου. τεκμήριον δὲ τούτου ὑμῖν μέγιστον ἐρῶ. πρῶτον μὲν γὰρ Ἀλκιβιάδης, ὃν ἐγὼ περὶ πολλοῦ ἂν ἐποιησάμην μὴ συμπλεῖν μοι οὔτε φίλος ὢν, οὔτε συγγενὴς, οὔτε φυλέτης, ἔπλει ἐπὶ τῆς ἐμῆς νεώς. καίτοι ὑμᾶς οἶμαι εἰδέναι, ὅτι στρατηγὸς ὢν ἐξῆν ποιεῖν ὅτι ἐβούλετο, οὐκ ἂν ποτε ἀνέβη ἐπ' ἄλλην ναῦν, εἰ μὴ τὴν ἄριστα πλέουσαν, μέλλων αὐτὸς κινδυνεύειν. ἐπειδὴ δ' ἐκεῖνον μὲν ὑμεῖς ἐπαύσατε τῆς ἀρχῆς, τοὺς δὲ μετὰ Θρασύλλου δέκα εἵλεσθε, οὗτοι πάντες ἐβούλοντο ἐπὶ τῆς ἐμῆς νεὼς πλεῖν. ἀνέβη μέντοι πολλῶν λοιδοριῶν αὐτοῖς γενομένων, Ἀρχέστρατος ὁ Φρεάρριος. ἀποθανόντος δὲ τούτου ἐν Μυτιλήνῃ, Ἐρασινίδης μετ' ἐμοῦ συνέπλει. καίτοι οὕτω παρεσκευασμένην τριήρη, πόσα οἴεσθε ἀνηλωκέναι χρήματα. ἢ πόσα τοὺς πολεμίους εἰργάσθαι κακὰ, ἢ πόσα τὴν πόλιν εὖ πεποιηκέναι. τεκμήριον δὲ τούτου μέγιστον, ὅτε ἐν τῇ τελευταίᾳ ναυμαχίᾳ, αἱ νῆες διεφθάρησαν, οὐδενός μοι συμπλέοντος στρατηγοῦ, ἵνα καὶ τούτου μνησθῶ. ἐπειδὴ δὲ τοῖς τριηράρχοις ὠργίσθητε διὰ τὴν γενομένην συμφορὰν, ἐγὼ τὴν ἐμαυτοῦ ναῦν ἐκόμισα. καὶ τὴν Ναυσιμάχου τοῦ Φαληρέως ἔσωσα. καὶ ταῦτα οὐκ ἀπὸ τύχης ἐγίγνετο, ἀλλ' ἀπὸ παρασκευῆς τῆς ἐμῆς. εἶχον γὰρ χρήμασι πείσας, κυβερνήτην Φαντίαν ἅπαντα τὸν χρόνον, ὃς ἐδόκει τῶν Ἑλλήνων ἄριστος εἶναι. παρεσκευασάμην δὲ καὶ τὸ πλήρωμα πρὸς ἐκεῖνον, καὶ τὴν ἄλλην ὑπηρεσίαν ἀκόλουθον. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, πάντες ἐπίστασθε, ὅσοι ἐτυγχάνετε ὄντες

δωροδοκίαν ἐμοῦ· μηδ' ἡγεῖσθαι τοσαῦτα χρήματα εἶναι, ἃ ἐγὼ βουληθείην ἂν ἐπὶ κακῷ τῇ πόλει γενέσθαι. μαινοίμην γὰρ ἂν ὦ ἄνδρες δικασταί, εἰ τὴν μὲν πατρῴαν οὐσίαν φιλοτιμούμενος, εἰς ὑμᾶς ἀναλίσκοιμι· ἐπὶ δὲ τῷ τῆς πόλεως κακῷ, παρὰ τῶν ἄλλων δωροδοκοίην. ἐγὼ μὲν οὖν ὦ ἄνδρες δικασταί οὐκ οἶδ' οὕστινας ἢ ὑμᾶς ἐβουλήθην περὶ ἐμοῦ δικαστὰς γενέσθαι, ἅπερ χρὴ τοὺς εὖ πεπονθότας περὶ τῶν εὖ πεποιηκότων, εὔχεσθαι τὴν ψῆφον φέρειν. καὶ μὲν δὴ ὦ ἄνδρες δικασταί, ἐπιθυμῶ γὰρ καὶ τούτων μνησθῆναι· οὐδὲ πώποτε λειτουργεῖν ὑπὲρ ὑμῶν δέον, εἰ τοσοῦτον πενεστέρους τοὺς παῖδας καταλείψω· ἀλλὰ πολὺ μᾶλλον εἰ μὴ προθύμως ποιήσω τὰ προσταχθέντα. οὐδ' εἴ ποτε κινδυνεύσειν, ἐν ταῖς ναυμαχίαις μέλλοιμι, οὐδὲ πώποτ' ἠλέησα οὐδ' ἐδάκρυσα· οὐδ' ἐμνήσθην γυναικός, οὐδὲ παίδων τῶν ἐμαυτοῦ· οὐδ' ἡγούμην δεινὸν εἶναι, εἰ τελευτήσας ὑπὲρ τῆς πατρίδος τὸν βίον, ὀρφανούς, καὶ πατρὸς ἀπεστερημένους αὐτοὺς καταλείψω, ἀλλὰ πολὺ μᾶλλον εἰ σωθεὶς αἰσχρῶς ὀνείδη καὶ ἐμαυτῷ καὶ ἐκείνοις περιάψω. ἀνθ' ὧν, ὑμᾶς ἀπαιτῶ νῦν τὴν χάριν, καὶ ἀξιῶ ἐν τοῖς κινδύνοις ἐμοῦ τοιαύτης περὶ ὑμῶν γνώμην ἔχοντος, ὑμᾶς νυνὶ ἐν τῷ ἀσφαλεῖ ὄντας, ἐμὲ καὶ τοὺς παῖδας τούτους περὶ πολλοῦ ποιήσασθαι, ἡγουμένους ὑμῖν μὲν δεινόν· ὑμῖν δὲ αἰσχρὸν εἶναι. εἰ ἀναγκασθησόμεθα ἐπὶ τοιαύταις αἰτίαις ἄτιμοι γενέσθαι, ἢ στερηθέντες τῶν ὑπαρχόντων, πένητες εἶναι, καὶ πολλῶν ἐνδεεῖς ὄντες περιιέναι. ἄξια μὲν ὑμῶν αὐτῶν πεπονθότες· ἀνάξια δὲ τῶν εἰς ὑμᾶς ὑπηργμένων. μηδαμῶς ὦ ἄνδρες δικασταί. ἀλλ' ἀποψηφισάμενοι, τοιούτοις ἡμῖν χρῆσθε πολίταις, οἵοις περ ἐν πρόσθεν χρόνῳ.

Λυσίου, κατὰ τῶν σιτοπωλῶν.

Πολλοί μοι προσεληλύθασιν ὦ ἄνδρες δικασταί θαυμάζοντες, ὅτι ἐγὼ τῶν σιτοπωλῶν ἐν τῇ βουλῇ κατηγόρουν, καὶ λέγοντες ὅτι ὑμεῖς, εἰ ὡς μάλιστα αὐτοὺς ἀδικεῖν ἡγεῖσθε, οὐδὲν ἧττον καὶ τοὺς περὶ τούτων ποιουμένους λόγους συκοφαντεῖν νομίζετε. ὅθεν οὖν ἠνάγκασμαι κατηγορεῖν αὐτῶν, περὶ τούτων πρῶτον εἰπεῖν βούλομαι. ἐπειδὴ γὰρ οἱ πρυτάνεις ἀπέδοσαν εἰς τὴν βουλὴν περὶ αὐτῶν, οὕτως ὠργίσθησαν αὐτοῖς, ὥστε ἔλεγόν τινες τῶν ῥητόρων, ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι, θανάτῳ ζημιῶσαι. ἡγούμενος δὲ ἐγὼ δεινὸν εἶναι τοιαῦτα ἐθίζεσθαι ποιεῖν τὴν βουλήν, ἀναστὰς εἶπον· ὅτι μοι δοκοίη κρίνειν τοὺς σιτοπώλους κατὰ τὸν νόμον, νομίζων εἰ μέν εἰσιν ἄξια θανάτου εἰργασμένοι, ὑμᾶς οὐδὲν ἧττον ἡμῶν γνώσεσθαι τὰ δίκαια· εἰ δὲ μηδὲν ἀδικοῦσιν, οὐ δεῖν αὐτοὺς ἀκρίτους ἀπολωλέναι. πεισθείσης δὲ τῆς βουλῆς ταῦτα, διαβάλλειν ἐπεχείρουν με λέγοντες, ὡς ἐγὼ σωτηρίας ἕνεκα τῆς τῶν σιτοπωλῶν, τοὺς λόγους τούτους ἐποιούμην. πρὸς μὲν οὖν τὴν βουλήν, ὅτ' ἦν αὐτοῖς ἡ κρίσις, ἔργῳ ἀπελογησάμην. τῶν γὰρ ἄλλων ἡσυχίαν ἀγόντων, ἀναστὰς αὐτῶν κατηγόρουν, καὶ πᾶσι φανερὸν ἐποίησα, ὅτι οὐχ ὑπὲρ τούτων ἔλεγον, ἀλλὰ τοῖς νόμοις τοῖς κειμένοις ἐβοήθουν. ἠρξάμην μὲν οὖν τούτων ἕνεκα. δεδιὼς δὲ τὰς αἰτίας, αἰσχρὸν ἡγοῦμαι πρότερον παύσασθαι, πρὶν ἂν ὑμεῖς περὶ αὐτῶν ὅτι ἂν βούλησθε ψηφίσησθε. καὶ πρῶτον μὲν ἀνάβηθι. εἰπὲ σὺ ἐμοὶ μέτοικος εἶ. μετοικεῖς δὲ πότερον, ὡς πεισόμενος τοῖς νόμοις τοῖς τῆς πόλεως, ἢ ὡς ποιήσων ὅτι ἂν βούλῃ. Ως πεισόμενος. Ἄλλο τι οὖν ἀξιοῖς, ἢ ἀποθανεῖν, εἴ τι πεποίηκας παρὰ τοὺς νόμους ἐφ' οἷς θάνατος ἡ ζημία;

Εγωγ' ἀπόκριναι δή μοι εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι πεντήκοντα φορμῶν, ὧν ὁ νόμος ἐξεῖναι κελεύει; Ἐγὼ τῶν ἀρχόντων κελευόντων συνεπριάμην. Ἂν μὲν τοίνυν ἀποδείξῃ ὦ ἄνδρες δικασταί, ὡς ἔστι νόμος ὃς κελεύει τοὺς σιτοπώλας συνωνεῖσθαι τὸν σῖτον ἂν οἱ ἄρχοντες κελεύωσιν, ἀποψηφίσασθε. εἰ δὲ μή, δίκαιον ὑμᾶς καταψηφίσασθαι. ἡμεῖς γὰρ ὑμῖν παρεσχόμεθα τὸν νόμον· ὃς ἀπαγορεύει μηδένα τῶν ἐν τῇ πόλει σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι. Χρῆν μὲν τοίνυν ὦ

ἄνδρες δικασταὶ ἱκανὴν εἶναι ταύτην κατηγορίαν. ἐπειδὴ οὗτος μὲν ὁμολογεῖ συμπρίασθαι. ὁ δὲ νόμος, ἀπαγορεύων φαίνεται. ὑμεῖς δὲ κατὰ τοὺς νόμους ὀμωμόκατε ψηφιεῖσθαι. ὅμως δ' ἵνα πεισθῆτε ὅτι καὶ κατὰ τῶν ἀρχόντων ψεύδονται, ἀνάγκη καὶ μακρότερον εἰπεῖν περὶ αὐτῶν. ἐπειδὴ γὰρ οὗτοι τὴν αἰτίαν εἰς ἐκείνους ἀνέφερον, παρακαλέσαντες τοὺς ἄρχοντας ἠρώτων μέν. καὶ οἱ μὲν δύο, οὐδὲν ἔφασαν εἰδέναι τοῦ πράγματος. Ἄνυτος δ' ἔλεγεν ὡς τοῦ προτέρου χειμῶνος, ἐπειδὴ τίμιος ἦν ὁ σῖτος, τούτων ὑπερβαλόντων ἀλλήλους, καὶ πρὸς σφᾶς αὐτοὺς μαχομένων, συμβουλεύσειεν αὐτοῖς παύσασθαι φιλονεικοῦσιν. ἡγούμενος συμφέρειν ὑμῖν τοῖς παρὰ τούτων ὠνουμένοις ὡς ἀξιώτατον τούτους πρίασθαι. δεῖν γὰρ αὐτοὺς, ὀβολῷ μόνον πωλεῖν τιμιώτερον. ὡς τοίνυν οὐ συμπριαμένους καταθέσθαι ἐκέλευεν αὐτοὺς, ἀλλὰ μὴ ἀλλήλοις ἀντωνεῖσθαι συνεβούλευεν, αὐτὸν ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι. ΜΑΡΤΥΣ.

Καὶ ὡς οὗτος μὲν ἐπὶ τῆς προτέρας βουλῆς τούτους εἶπε τοὺς λόγους, οὗτοι δ' ἐπὶ τῆσδε συνωνούμενοι φαίνονται. ὅτι μὲν τοίνυν οὐχ ὑπὸ τῶν ἀρχόντων κελευσθέντες συνεπρίαντο τὸν σῖτον, ἀκηκόατε. ἡγοῦμαι δ' ἂν ὡς μάλιστα περὶ τούτων ἀληθῆ λέγωσιν, οὐχ ὑπὲρ αὐτῶν αὐτοὺς ἀπολογήσεσθαι, ἀλλὰ τούτων κατηγορήσειν. περὶ γὰρ ὧν εἰσὶ νόμοι διαρρήδην γεγραμμένοι, πῶς οὐ χρὴ διδόναι δίκην, καὶ τοὺς μὴ πειθομένους, καὶ τοὺς κελεύοντας τούτοις τἀναντία πράττειν ἀλλὰ γὰρ ὦ ἄνδρες δικασταὶ οἴομαι αὐτοὺς ἐπὶ μὲν τοῦτον τὸν λόγον, οὐ τρέψεσθαι. ἴσως δ' ἐροῦσιν ὥσπερ καὶ ἐν τῇ βουλῇ ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ὑμῖν πωλοῖεν. μέγιστον δ' ὑμῖν ἐρῶ καὶ περιφανέστατον τεκμήριον ὅτι ψεύδονται. ἐχρῆν γὰρ αὐτοὺς εἰ περὶ ὑμῶν ἕνεκα ἔπραττον ταῦτα, φαίνεσθαι τῆς αὐτῆς τιμῆς πολλὰς ἡμέρας πωλοῦντας, ἕως ὁ συνεωνημένος αὐτοὺς ἐπέλιπε. νυνὶ δ' ἐνίοτε τῆς αὐτῆς ἡμέρας ἐπώλουν δραχμῇ τιμιώτερον, ὥσπερ κατὰ μέδιμνον συνωνούμενοι. καὶ τούτων, ὑμᾶς μάρτυρας παρέχομαι. δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ ὅταν μὲν εἰσφορὰν εἰσενεγκεῖν δέῃ, ἣν πάντες εἴσεσθαι μέλλουσιν, οὐκ ἐθέλουσιν, ἀλλὰ πενίαν προφασίζονται. ἐφ' οἷς δὲ θάνατός ἐστιν ἡ ζημία, καὶ λαθεῖν αὐτοῖς συνέφερε ταῦτα ἐπ' εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι. καίτοι πάντες ἐπίστασθε ὅτι τούτοις ἥκιστα προσήκει τοιούτους ποιεῖσθαι λόγους. τἀναντία γὰρ αὐτοῖς καὶ τοῖς ἄλλοις συμφέρει. τότε γὰρ πλεῖστα κερδαίνουσιν, ὅταν κακοῦ τινος ἀπαγγελθέντος τῇ πόλει, τίμιον τὸν σῖτον πωλῶσιν. οὕτω δ' ἄσμενοι τὰς συμφορὰς τὰς ὑμετέρας ὁρῶσιν, ὥστε τὰς μὲν, πρότεροι τῶν ἄλλων πυνθάνονται. τὰς δ' αὐτοὶ λογοποιοῦσιν ἢ τὰς ναῦς διεφθάρθαι τὰς ἐν τῷ Πόντῳ, ἢ ὑπὸ Λακεδαιμονίων ἐκπλεούσας συνειλῆφθαι, ἢ τὰ ἐμπόρια κεκλεῖσθαι, ἢ τὰς σπονδὰς μέλλειν ἀπορρηθήσεσθαι. καὶ εἰς τοῦτ' ἔχθρας ἐληλύθασιν, ὥστ' ἐν τοῖς αὐτοῖς καιροῖς ἐπιβουλεύουσιν ὑμῖν, ἐν οἷσπερ οἱ πολέμιοι ὅταν γὰρ μάλιστα σίτου τυγχάνητε δεόμενοι, ἀναρπάζουσιν οὗτοι καὶ οὐκ ἐθέλουσι πωλεῖν. ἵνα μὴ περὶ τῆς τιμῆς διαφερώμεθα, ἀλλ' ἀγαπῶμεν ἂν ὁποσουτινοσοῦν πριάμενοι παρ' αὐτῶν ἀπέλθωμεν. ὥστ' ἐνίοτε εἰρήνης οὔσης, ὑπὸ τούτων πολιορκούμεθα. οὕτω δὲ πάλαι περὶ τῆς τούτων πανουργίας καὶ κακονοίας ἡ πόλις ἔγνωκεν, ὥστ' ἐπὶ μὲν τοῖς ἄλλοις ὠνίοις ἅπασι, τοὺς ἀγορανόμους φύλακας κατεστήσατε. ἐπὶ δὲ ταύτῃ μόνῃ τῇ τέχνῃ χωρὶς σιτοφύλακας ἀποκληροῦτε. καὶ πολλάκις ἤδη παρ' ἐκείνων πολιτῶν ὄντων, δίκην τὴν μεγίστην ἐλάβετε, ὅτι οὐχ οἷοί τ' ἦσαν τῆς τούτων πονηρίας ἐπικρατῆσαι. καίτοι τί χρὴ αὐτοὺς τοὺς ἀδικοῦντας ὑφ' ὑμῶν πάσχειν, ὁπότε καὶ τοὺς μὴ δυναμένους φυλάττειν ἀποκτείνετε. ἐνθυμεῖσθαι δὲ χρὴ, ὅτι ἀδύνατον ὑμῖν ἐστιν ἀποψηφίσασθαι. εἰ γὰρ ἀπογνώσεσθε ὁμολογούντων αὐτῶν ἐπὶ τοὺς ἐμπόρους συνίστασθαι, δόξεθ' ὑμεῖς ἐπιβουλεύειν τοῖς εἰσπλέουσιν. εἰ μὲν γὰρ ἄλλην τινὰ ἀπολογίαν ἐποιοῦντο, οὐδεὶς ἂν εἶχε τοῖς ἀποψηφισαμένοις ἐπιτιμᾶν. ἐφ' ὑμῖν γὰρ ὁποτέροις βούλεσθε πιστεύειν. νῦν δὲ πῶς οὐ δεινὰ ἂν δόξαιτε ποιεῖν, εἰ τοὺς ὁμολογοῦντας παρανομεῖν, ἀζημίους ἀφήσετε. ἀναμνήσθητε δὲ ὦ ἄνδρες δικασταὶ, ὅτι πολλῶν ἤδη ἐχόντων ταύτην τὴν αἰτίαν λαμβάνειν καὶ μάρτυ-

ρας παρεχομένων, θάνατον καταγνῶτε. πιστοτέρους ἡγησάμενοι τοὺς τῶν κατηγόρων
λόγους. καί τοι πῶς οὐ θαυμαστὸν εἴη, εἰ περὶ τῶν αὐτῶν ἁμαρτημάτων δικάζοντες,
μᾶλλον ἐπιθυμεῖτε παρὰ τῶν ἀρνουμένων δίκην λαμβάνειν. καὶ μὲν δὴ ὦ ἄνδρες δι-
κασταὶ, πᾶσιν ἡγοῦμαι φανερὸν εἶναι. ὅτι οἱ περὶ τῶν τοιούτων ἀγῶνες κοινότατοι τυγ-
χάνουσιν ὄντες τοῖς ἐν τῇ πόλει. ὥστε πεύσονται, ἥν τινα γνώμην περὶ αὐτῶν ἔχετε.
ἡγούμενοι ἂν μὲν θάνατον αὐτῶν καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι τοὺς λοιπούς. ἂν δ᾽ ἀ-
ζημίους ἀφῆτε, πολλὴν ἄδειαν αὐτοῖς ἐψηφισμένοι ἔσεσθε ποιεῖν ὅτι ἂν βούλωνται.
χρὴ δὲ ὦ ἄνδρες δικασταὶ, μὴ μόνον τῶν παρεληλυθότων οὕνεκα αὐτοὺς κολάζειν, ἀλ-
λὰ καὶ παραδείγματος οὕνεκα τῶν μελλόντων ἔσεσθαι. οὕτω γὰρ ἔσονται μόγις ἀνε-
κτοί. Ἐνθυμεῖσθε δ᾽ ὅτι ἐκ ταύτης τῆς τέχνης, πλεῖστοι περὶ τοῦ σώματός εἰσιν
ἠγωνισμένοι. καὶ οὕτω μεγάλα ἐξ αὐτῆς ὠφελοῦνται, ὥστε μᾶλλον αἱροῦνται καθ᾽
ἑκάστην ἡμέραν περὶ τῆς ψυχῆς κινδυνεύειν, ἢ παύσασθαι παρ᾽ ὑμῶν ἀδίκως κερ-
δαίνοντες. καὶ μὲν δὴ οὐδ᾽ ἂν ἀντιβολῶσιν ὑμᾶς, καὶ ἱκετεύωσι, δικαίως ἂν αὐτοὺς ἐ-
λεήσαιτε. ἀλλὰ πολὺ μᾶλλον τῶν τε πολιτῶν οἳ διὰ τὴν τούτων πονηρίαν ἀπέθνησκον,
καὶ τοὺς ἐμπόρους ἐφ᾽ οὓς οὗτοι συνέστησαν, οἷς ὑμεῖς χαριεῖσθε, καὶ προθυμοτέρους ποιή-
σετε, δίκην παρὰ αὐτῶν λαμβάνοντες. εἰ δὲ μὴ τὴν αὐτὴν οἴεσθε γνώμην ἕξειν. ἐπειδὰν
πύθωνται, ὅτι τῶν καπήλων, οἳ τοῖς ἐκπλέουσιν ὡμολόγησαν ἐπιβουλεύειν, ἀπεψηφί-
σασθε, οὐκ οἶδ᾽ ὅτι δεῖ πλείω λέγειν. περὶ μὲν γὰρ τῶν ἄλλων τῶν ἀδικούντων ὅτε δι-
κάζονται δεῖ παρὰ τῶν κατηγόρων πυθέσθαι. τὴν δὲ τούτων πονηρίαν, ἅπαντες ἐπί-
στασθε. ἂν οὖν τούτων καταψηφίσησθε, τά τε δίκαια ποιήσετε. καὶ ἀξιώτερον τὸν σῖτον
ὠνήσεσθε. εἰ δὲ μὴ, τιμιώτερον.

Λυσίου κατὰ παγκλέωνος, ὅτι οὐκ ἦν πλαταιεύς.

Πολλὰ μὲν λέγειν ὦ ἄνδρες δικασταὶ περὶ τουτουῒ τοῦ πράγματος, οὔ-
τ᾽ ἂν δυναίμην, οὔτε μοι δοκεῖ δεῖν. ὡς δὲ ὀρθῶς τὴν δίκην ἔλαχον τοῦ-
τῳ παγκλέωνι, οὐκ ὄντι πλαταιεῖ, τοῦτο ὑμῖν πειράσομαι ἀποδεῖ-
ξαι. ὡς γὰρ ἀδικῶν με πολὺν χρόνον οὐκ ἐπαύετο, ἐλθὼν ἐπὶ τὸ γνα-
φεῖον ἐν ᾧ εἰργάζετο, προσεκαλεσάμην αὐτὸν πρὸς τὸν πολέμαρ-
χον, νομίζων μέτοικον εἶναι. εἰπόντος δὲ τούτου ὅτι πλαταιεὺς εἴη, ἠρόμην ὁπόθεν δη-
μοτεύοιτο. παραινέσαντός τινος τῶν παρόντων προσκαλέσασθαι καὶ πρὸς τὴν φυ-
λὴν ἧς τινος εἶναι σκήπτοιτο. ἐπειδὴ δὲ ἀπεκρίνατο ὅτι δεκελεόθεν, προσκαλεσά-
μενος αὐτὸν, καὶ πρὸς τοὺς τῇ ἱπποθωντίδι δικάζοντας, ἐλθὼν ἐπὶ τὸ κουρεῖον τὸ παρὰ τοὺς
ἑρμᾶς ἵνα οἱ δεκελεῖς προσφοιτῶσιν, ἠρώτων οὕς τε ἐξευρίσκοιμι δεκελέων ἐπυνθανό-
μην, εἴ τινα γιγνώσκοιεν δεκελεόθεν δημοτευόμενον παγκλέωνα. ἐπειδὴ δὲ οὐδεὶς ἔ-
φασκεν γιγνώσκειν αὐτὸν, πυθόμενος ὅτι καὶ ἑτέρας δίκας, τὰς μὲν φεύγοι. τὰς δ᾽ ὠφλή-
κοι παρὰ τῷ πολεμάρχῳ, ἔλαχον καὶ ἐγώ. πρῶτον μὲν οὖν ὑμῖν δεκελέων οὓς ἠρόμην, μάρ-
τυρας παρέξομαι. ἔπειτα δὲ καὶ τῶν ἄλλων τῶν λαχόντων τὰς δίκας αὐτῷ πρὸς τὸν
πολέμαρχον καὶ καταδικασαμένων, ὅσοι τυγχάνουσι παρόντες. καί μοι ἐπίλαβε τὸ
ὕδωρ. Μάρτυρες. Ἐκ μὲν τούτων πεισθεὶς πρὸς τὸν πολέμαρχον, αὐτῷ
τὴν δίκην ἔλαχον. ἐπειδὴ δέ μοι αὐτὴν ἀντεγράψατο μὴ εἰσαγώγιμον εἶναι, περὶ πολ-
λοῦ ποιούμενος, μηδενὶ δόξαι ὑβρίζειν βούλεσθαι μᾶλλον, ἢ δίκην λαβεῖν ὧν ἠδικήθην.
πρῶτον μὲν εὐθύκριτον, ὃν πρεσβύτατόν τε πλαταιέων ἐγίγνωσκον, καὶ μάλιστα ᾠό-
μην εἰδέναι, ἠρόμην εἴ τινα γιγνώσκοι ἱππαρμοδώρου υἱὸν παγκλέωνα πλαταιέα. ἔ-
πειτα δὲ ἐπειδὴ ἐκεῖνος ἀπεκρίνατό μοι ὅτι τὸν ἱππαρμόδωρον μὲν γιγνώσκοι. υἱὸν δὲ
ἐκείνῳ οὐδένα, οὔτε παγκλέωνα, οὔτε ἄλλον οὐδένα εἰδείη ὄντα, ἠρώτων δὴ καὶ τῶν ἄλ-
λων ὅσους ᾔδειν πλαταιέας ὄντας. πάντες οὖν ἀγνοοῦντες τὸ ὄνομα αὐτοῦ, ἀκριβέ-
στατα ἂν ἔφασάν με πυθέσθαι, ἐλθόντα εἰς τὸν χλωρὸν τυρὸν τῇ ἔνῃ καὶ νέᾳ. ταύτῃ

γὰρ τῇ ἡμέρᾳ τοῦ μηνὸς ἑκάστου ἐκεῖσε συλλέγεσθαι τοὺς Πλαταιέας. ἐλθὼν οὖν εἰς τὸν τυρὸν ταύτῃ τῇ ἡμέρᾳ ἐπυνθανόμην αὐτῶν, εἴ τινα γιγνώσκοιεν Παγκλέωνα πολίτην σφέτερον. καὶ οἱ μὲν ἄλλοι οὐκ ἔφασαν γιγνώσκειν· εἷς δέ τις εἶπεν, ὅτι τῶν μὲν πολιτῶν οὐδενὶ εἰδείη τοῦτο ὂν τὸ ὄνομα, δοῦλον μέντοι ἔφη ἑαυτοῦ ἀφεστῶτα εἶναι Παγκλέωνα· τήν τε ἡλικίαν λέγων τὴν τούτου, καὶ τὴν τέχνην ᾗ οὗτος χρῆται. ταῦτ' οὖν ὡς ἀληθῆ λέγω, τόν τε Εὐθύκριτον ὃν πρῶτον ἠρόμην καὶ τῶν ἄλλων Πλαταιέων ὅσοις προσῆλθον· καὶ τὸν, ὃς ἔφη δεσπότης τούτου εἶναι, μάρτυρας παρέξομαι, καί μοι ἐπίλαβε τὸ ὕδωρ. μάρτυρες. Ἡμέραις τοίνυν μετὰ ταῦτα οὐ πολλαῖς ὕστερον, ἰδὼν ἀγόμενον τουτονὶ Παγκλέωνα ὑπὸ Νικομήδους ὃς ἐμαρτύρησεν αὐτοῦ δεσπότης εἶναι, προσῆλθον. βουλόμενος εἰδέναι ὁποῖόν τι περὶ αὐτοῦ πραχθήσοιτο, τότε μὲν οὖν ἐπειδὴ ἐπαύσαντο μαχόμενοι, εἶπόν τινες τῶν τούτῳ παρόντων, ὅτι εἴη αὐτῷ ἀδελφός, ὃς ἐξαιρήσοιτο αὐτὸν εἰς ἐλευθερίαν. ἐπὶ τούτοις ἐγγυησάμενοι παρέξειν εἰς ἀγορὰν, ᾤχοντο ἀπιόντες. τῇ δ' ὑστεραίᾳ τῆς τε ἀντιγραφῆς ἕνεκα ταυτησί, καὶ αὐτῆς τῆς δίκης, ἔδοξέ μοι χρῆναι μάρτυρας λαβόντι παραγενέσθαι. ἵν' εἰδείην τόν τ' ἐξαιρησόμενον αὐτὸν, καὶ ὅτι λέγων ἀφαιρήσοιτο. ἐφ' οἷς μὲν οὖν ἐξηγγυήθη, οὔτε ἀδελφὸς, οὔτε ἄλλος οὐδεὶς ἦλθε. γυνὴ δὲ φάσκουσα αὐτῆς αὐτὸν εἶναι δοῦλον, ἀμφισβητοῦσα τῷ Νικομήδει, καὶ οὐκ ἔφη ἐάσειν αὐτὸν ἄγειν. ὅσα μὲν οὖν αὐτόθι ἐρρήθη, πολλοῦ ἂν εἴη μοι λόγου διηγεῖσθαι. εἰς τοῦτο δὲ βιαιότητος ἦλθον οἵ τε παρόντες τούτῳ καὶ αὐτὸς οὗτος, ὥστε ἐθέλοντος μὲν τοῦ Νικομήδους, ἐθελούσης δὲ τῆς γυναικὸς ἀφεῖναι, εἴ τις ἢ εἰς ἐλευθερίαν τοῦτον ἄγοι ἢ φάσκων ἑαυτοῦ δοῦλον εἶναι, τούτων οὐδὲν ποιήσαντες, ἀφελόμενοι ᾤχοντο. ὡς οὖν τῇ τε προτεραίᾳ ἐπὶ τούτοις ἐξηγγυήθη, καὶ τότε βίᾳ ᾤχοντο ἀφελόμενοι αὐτὸν, μάρτυρας παρέξομαι ὑμῖν. καί μοι ἐπίλαβε τὸ ὕδωρ. ῥᾴδιον τοίνυν εἰδέναι, ὅτι οὐδ' αὐτὸς Παγκλέων νομίζει ἑαυτὸν μὴ ὅτι Πλαταιέα εἶναι, ἀλλ' οὐδ' ἐλεύθερον. ὅστις γὰρ ἐβουλήθη βίᾳ ἀφαιρεθεὶς ἐνόχους καταστῆσαι τοὺς ἑαυτοῦ ἐπιτηδείους τοῖς βιαίοις μᾶλλον, ἢ κατὰ τοὺς νόμους εἰς τὴν ἐλευθερίαν ἐξαιρεθεὶς δίκην λαβεῖν παρὰ τῶν ἀγόντων αὐτὸν, οὐδενὶ χαλεπὸν γνῶναι ὅτι εὖ εἰδὼς ἑαυτὸν ὄντα δοῦλον, ἔδεισεν ἐγγυητὰς καταστήσας περὶ τοῦ σώματος ἀγωνίσασθαι. ὅτι μὲν οὖν Πλαταιεὺς εἶναι πολλοῦ δεῖ, οἶμαι ὑμᾶς ἐκ τούτων σχεδόν τι γιγνώσκειν· ὅτι δὲ οὐδ' οὗτος ὃς ἄριστα οἶδε τὰ αὑτοῦ, ἡγήσατο δόξαι ἂν ὑμῖν εἶναι Πλαταιεὺς, ἐξ ὧν ἔπραξε ῥᾳδίως μαθήσεσθε. ἐν τῇ ἀντωμοσίᾳ γὰρ τῆς δίκης ἣν αὐτῷ ἔλαχεν Ἀριστόδικος οὑτοσὶ, ἀμφισβητῶν μὴ πρὸς τὸν πολέμαρχον εἶναι οἱ τὰς δίκας, διεμαρτυρήθη μὴ Πλαταιεὺς εἶναι. ἐπισκηψάμενος δὲ τῷ μάρτυρι οὐκ ἐπεξῆλθεν, ἀλλ' εἴασε καταδικάσασθαι αὐτὸν τὸν Ἀριστόδικον. ἐπειδὴ ὑπερήμερος ἐγένετο, ἐξέτισε τὴν δίκην καθ' ὅ τι ἔπεισε, καὶ τούτων ὡς ἀληθῆ λέγω, μάρτυρας ἐγὼ παρέξομαι ὑμῖν, καί μοι ἐπίλαβε τὸ ὕδωρ. μάρτυρες. Πρὶν τοίνυν ταῦτα ὁμολογηθῆναι αὐτῷ, δείσας τὸν Ἀριστόδικον, μεταστὰς ἐντεῦθεν Θήβησι μετῴκει. καί τοι οἶμαι εἰδέναι ὑμᾶς, ὅτι εἴπερ ἦν Πλαταιεὺς, πανταχοῦ μᾶλλον, ἢ Θήβησιν ἦν εἰκὸς αὐτὸν μετοικῆσαι. ὡς οὖν ᾤκει πολὺν χρόνον, τούτων ὑμῖν μάρτυρας παρέξομαι, καί μοι ἐπίβαλε τὸ ὕδωρ. μάρτυρες. Ἐξαρκεῖν μοι νομίζω τὰ εἰρημένα ὦ ἄνδρες δικασταί, ἐὰν γὰρ διαμνημονεύητε, οἶδ' ὅτι τά τε δίκαια καὶ τἀληθῆ ψηφιεῖσθε, καὶ ἃ ἐγὼ ὑμῶν δέομαι.

Πρὸς τὴν εἰσαγγελίαν περὶ τοῦ μὴ δίδοσθαι τῷ ἀδυνάτῳ ἀργύριον.

Ολλοῦ δέω χάριν ἔχειν ὦ βουλὴ τῷ κατηγόρῳ, ὅτι μοι παρεσκεύασε τὸν ἀγῶνα τουτονί, πρότερον οὐκ ἔχοντι πρόφασιν, ἐφ' ἧς τοῦ βίου λόγον δοίην, νυνὶ διὰ τοῦτον εἴληφα. καὶ πειράσομαι τῷ λόγῳ τοῦτον μὲν ἐπιδεῖξαι ψευδόμενον, ἐμαυτὸν δὲ βεβιωκότα μέχρι τῆς ἡμέρας, ἔπαινον μᾶλλον ἄξιον ἢ φθόνου· δι-

γὰρ οὐδὲν ἄλλο μοι δοκεῖ παρασκευάσαι τόνδε μοι τὸν κίνδυνον οὗτος, ἢ διὰ φθόνον. καίτοι ὅς τις τούτοις φθονεῖ, οὓς οἱ ἄλλοι ἐλεοῦσι, τίνος ἂν ὑμῖν ὁ τοιοῦτος ἀπέχεσθαι δοκεῖ πονηρίας. εἰ μὲν γὰρ ἕνεκα χρημάτων, συκοφαντεῖ, εἰ δ' ὡς ἐχθρὸν ἑαυτοῦ με τιμωρεῖται, ψεύδεται. διὰ γὰρ τὴν πονηρίαν αὐτοῦ, οὔτε φίλῳ οὔτε ἐχθρῷ πώποτε ἐχρησάμην αὐτῷ. ἤδη τοίνυν ὦ βουλὴ δῆλός ἐστι φθονῶν. ὅτι τοιαύτῃ κεχρημένος συμφορᾷ, τούτου βελτίων εἰμὶ πολίτης. καὶ γὰρ οἶμαι δεῖν ὦ βουλὴ τὰ τοῦ σώματος δυστυχήματα τοῖς τῆς ψυχῆς ἐπιτηδεύμασιν ἰᾶσθαι καλῶς. εἰ γὰρ ἐξ ἴσου τῇ συμφορᾷ καὶ τὴν διάνοιαν ἕξω, καὶ τὸν ἄλλον βίον διάξω, τί τούτου διοίσω; περὶ μὲν οὖν τούτων, τοσαῦτά μοι εἰρήσθω. ὑπὲρ ὧν δέ μοι προσήκει λέγειν, ὡς ἂν οἷόν τε διὰ βραχυτάτων ἐρῶ. φησὶ γὰρ ὁ κατήγορος οὐ δικαίως με λαμβάνειν τὸ παρὰ τῆς πόλεως ἀργύριον. καὶ γὰρ τῷ σώματι δύνασθαι καὶ οὐκ εἶναι τῶν ἀδυνάτων. καὶ τέχνην ἐπίστασθαι τοιαύτην, ὥστε καὶ ἄνευ τοῦ διδομένου τούτου ζῆν. καὶ τεκμηρίοις χρῆται τῆς μὲν τοῦ σώματος ῥώμης, ὅτι ἐπὶ τοὺς ἵππους ἀναβαίνω. τῆς δ' ἐν τῇ τέχνῃ εὐπορίας, ὅτι δύναμαι συνεῖναι δυναμένοις ἀνθρώποις ἀναλίσκειν. τὴν μὲν οὖν ἐκ τῆς τέχνης εὐπορίαν, καὶ τὸν ἄλλον τὸν ἐμὸν βίον οἷος τυγχάνω, πάντας ὑμᾶς οἴομαι γιγνώσκειν. ὅμως δὲ κἀγὼ διὰ βραχέων ἐρῶ.

Ἐμοὶ γὰρ ὁ μὲν πατὴρ κατέλιπεν οὐδέν, τὴν δὲ μητέρα τελευτήσασαν, πέπαυμαι τρέφων τρίτον ἔτος τουτί. παῖδες δέ μοι οὔπω εἰσίν, οἵ με θεραπεύσουσι. τέχνην δὲ κέκτημαι, βραχέα δυναμένην ὠφελεῖν, ἣν αὐτὸς μὲν ἤδη χαλεπῶς ἐργάζομαι. τὸν διαδεξόμενον δ' αὐτήν, οὔπω δύναμαι κτήσασθαι. πρόσοδος δέ μοι οὐκ ἔστιν ἄλλη, πλὴν ταύτης. ἣν ἂν ἀφέλησθέ με, κινδυνεύσαιμ' ἂν ὑπὸ τῇ δυσχερεστάτῃ γενέσθαι τύχῃ. μὴ τοίνυν ἐπειδή γε ἔστιν ὦ βουλή, σῶσαί με δικαίως, ἀπολέσητε ἀδίκως. μηδὲ ἃ νεωτέρῳ καὶ μᾶλλον ἐρρωμένῳ ὄντι ἔδοτε, πρεσβύτερον καὶ ἀσθενέστερον γιγνόμενον ἀφέλησθε. μηδὲ πρότερον καὶ περὶ τοὺς οὐδὲν ἔχοντας κακὸν ἐλεημονέστατοι δοκοῦντες εἶναι, νυνὶ διὰ τοῦτον, καὶ τοὺς τοῖς ἐχθροῖς ἐλεεινοὺς ὄντας, ἀγρίως ἀποδέξησθε. μηδ' ἐμὲ τολμήσαντες ἀδικῆσαι, καὶ τοὺς ἄλλους τοὺς ὁμοίως ἐμοὶ διακειμένους ἀθυμῆσαι ποιήσητε. καὶ γὰρ ἂν ἄτοπον εἴη ὦ βουλή, εἰ ὅτε μὲν ἁπλῆ μοι ἦν ἡ συμφορά, τότε μὲν φαινοίμην λαμβάνων τὸ ἀργύριον τοῦτο. νῦν δ' ἐπειδὴ καὶ γῆρας καὶ νόσοι, καὶ τὰ τούτοις ἑπόμενα κακὰ προσγίγνεταί μοι, τότε ἀφαιρεθείην. δοκεῖ δέ μοι τῆς πενίας τῆς ἐμῆς τὸ μέγεθος, ὁ κατήγορος ἂν ἐπιδεῖξαι σαφέστατα μόνος ἀνθρώπων. εἰ γὰρ ἐγὼ κατασταθεὶς χορηγὸς τραγῳδοῖς προσκαλεσαίμην αὐτὸν εἰς ἀντίδοσιν, δεκάκις ἂν ἕλοιτο χορηγῆσαι μᾶλλον, ἢ ἀντιδοῦναι ἅπαξ. καὶ πῶς οὐ δεινόν ἐστι νῦν μὲν κατηγορεῖν ὡς διὰ πολλὴν εὐπορίαν ἐξ ἴσου δύναμαι συνεῖναι τοῖς πλουσιωτάτοις. εἰ δὲ ὧν ἐγὼ λέγω τύχοι γενόμενον εἶναι τοιοῦτον καὶ ἔτι πονηρότερον. περὶ δὲ τῆς ἐμῆς ἱππικῆς ἧς οὗτος ἐτόλμησε μνησθῆναι πρὸς ὑμᾶς, οὔτε τὴν τύχην δείσας, οὔτε ὑμᾶς αἰσχυνθείς, οὐ πολὺς ὁ λόγος. ἐγὼ γὰρ ὦ βουλὴ πάντας τοὺς ἔχοντάς τι δυστύχημα τοῦτο ζητεῖν καὶ τοῦτο φιλοσοφεῖν, ὅπως ὡς ἀλυπότατα μεταχειριοῦνται τὸ συμβεβηκὸς πάθος, ὧν εἷς ἐγὼ καὶ περιπεπτωκὼς τοιαύτῃ συμφορᾷ, ταύτην ἐμαυτῷ ῥᾳστώνην ἐξηῦρον εἰς τὰς ὁδοὺς τὰς μακροτέρας τῶν ἀναγκαίων. ὃ δὲ μέγιστον ὦ βουλὴ τεκμήριον, ὅτι διὰ τὴν συμφοράν, ἀλλ' οὐ διὰ τὴν ὕβριν, ὡς οὗτός φησιν ἐπὶ τοὺς ἵππους ἀναβαίνω, ῥᾴδιόν ἐστι μαθεῖν. εἰ γὰρ ἐκεκτήμην οὐσίαν, ἐπ' ἀστράβης ἂν ὠχούμην. ἀλλ' οὐκ ἐπὶ τοὺς ἀλλοτρίους ἵππους ἀνέβαινον. νυνὶ δ' ἐπειδὴ τοιοῦτον οὐ δύναμαι κτήσασθαι, τοῖς ἀλλοτρίοις ἵπποις ἀναγκάζομαι χρῆσθαι πολλάκις. καίτοι πῶς οὐκ ἄτοπόν ἐστιν ὦ βουλή, τοῦτον αὐτὸν εἰ μὲν ἐπ' ἀστράβης ὠχούμενον ἑώρα με σιωπᾶν, τί γὰρ ἂν καὶ ἔλεγεν. ὅτι δὲ ἐπὶ τοὺς ᾐτημένους ἵππους ἀναβαίνω, πειρᾶσθαι πείθειν ὑμᾶς ὡς δυνατός εἰμι. καὶ ὅτι μὲν δυοῖν βακτηρίαιν χρῶμαι, τῶν ἄλλων μιᾷ χρωμένων, μὴ κατηγορεῖν ὡς καὶ τοῦτο τῶν δυναμένων ἐστίν. ὅτι δ' ἐπὶ τοὺς ἵππους ἀναβαίνω τεκμηρίῳ χρῆσθαι πρὸς ὑμᾶς ὡς εἰμὶ τῶν δυναμένων. οἷς ἐγὼ διὰ τὴν αὐτὴν αἰτίαν ἀμφοτέροις χρῶμαι. τοσοῦτον δὲ διενήνοχεν ἀναισχυν-

τία τῶν ἁπάντων ἀνθρώπων, ὥστε ὑμᾶς πειρᾶται πείθειν τοσούτους ὄντας εἷς ὤν, ὡς οὐκ εἰμὶ τῶν ἀδυνάτων ἐγώ. καίτοι εἰ τοῦτο πείσει τινὰς ὑμῶν ὦ βουλή, τί με κωλύει κληροῦσθαι τῶν ἐννέα ἀρχόντων· καὶ ὑμᾶς ἐμοῦ μὲν ἀφελέσθαι τὸν ὀβολὸν ὡς ὑγιαίνοντος· τούτῳ δὲ ψηφίσασθαι πάντας ὡς ἀναπήρῳ. οὐ γὰρ δή που τὸν αὐτὸν ὑμεῖς μὲν ὡς δυνάμενον ἀφαιρήσεσθε τὸ διδόμενον. οἱ δέ, ὡς ἀδύνατον ὄντα, κληροῦσθαι κωλύσουσιν. ἀλλὰ γὰρ οὔτε ὑμεῖς τούτῳ τὴν αὐτὴν ἔχετε γνώμην, οὔθ' οὗτος εὖ ποιῶν. ὁ μὲν γὰρ ὥσπερ ἐπικλήρου τῆς συμφορᾶς οὔσης, ἀμφισβητήσων ἥκει, καὶ πειρᾶται πείθειν ὑμᾶς, ὡς οὐκ εἰμὶ τοιοῦτος, οἷον ὑμεῖς ὁρᾶτε πάντες. ὑμεῖς δὲ ὃ τῶν εὖ φρονούντων ἔργον ἐστὶ μᾶλλον πιστεύσατε τοῖς ὑμετέροις αὐτῶν ὀφθαλμοῖς, ἢ τοῖς τούτου λόγοις. λέγει δ' ὡς ὑβριστής εἰμι, καὶ βίαιος, καὶ λίαν ἀσελγῶς διακείμενος. ὥσπερ εἰ φοβερῶς ὀνομάσαι μέλλων, ἀληθῆ λέγει· ἀλλ' οὐκ ἂν πάνυ πρᾴως. ὡς μὴν δὲ ψεύσηται ταῦτα ποιήσων· ἐγὼ δ' ὑμᾶς ὦ βουλὴ σαφῶς οἶμαι δεῖν διαγινώσκειν. οἷς τ' ἐγχωρεῖ τῶν ἀνθρώπων ὑβρισταῖς εἶναι, καὶ οἷς οὐ προσήκει. οὐ γὰρ τοὺς πενομένους καὶ λίαν ἀπόρως διακειμένους ὑβρίζειν εἰκός· ἀλλὰ τοὺς πολλῷ πλείω τῶν ἀναγκαίων κεκτημένους. οὐδὲ τοὺς ἀδυνάτους τοῖς σώμασιν ὄντας, ἀλλὰ τοὺς μάλιστα πιστεύοντας ταῖς αὐτῶν ῥώμαις. οὐδὲ τοὺς ἤδη προβεβηκότας τῇ ἡλικίᾳ, ἀλλὰ τοὺς ἔτι νέους, καὶ νέαις ταῖς διανοίαις χρωμένους. οἱ μὲν γὰρ πλούσιοι τοῖς χρήμασιν ἐξωνοῦνται τοὺς κινδύνους. οἱ δὲ πένητες, ὑπὸ τῆς παρούσης ἀπορίας σωφρονεῖν ἀναγκάζονται. καὶ οἱ μὲν νέοι συγγνώμης ἀξιοῦνται τυγχάνειν παρὰ τῶν πρεσβυτέρων· τοῖς δ' ἑτέροις ἐξαμαρτάνουσιν, ὁμοίως ἐπιτιμῶσιν ἀμφότεροι, καὶ τοῖς μὲν ἰσχυροῖς ἐγχωρεῖ μηδὲν αὐτοῖς πάσχουσιν, οὓς ἂν βουληθῶσιν ὑβρίζειν. τοῖς δὲ ἀσθενέσιν, οὐκ ἔστιν οὔτε ὑβριζομένοις ἀμύνεσθαι, τοὺς ὑπάρξαντας· οὔτε ὑβρίζειν βουλομένοις περιγίγνεσθαι τῶν ἀδικουμένων. ὥστε μοι δοκεῖ ὁ κατήγορος, εἰπεῖν περὶ τῆς ἐμῆς ὕβρεως, οὐ σπουδάζων, ἀλλὰ παίζων. οὐδ' ὑμᾶς πεῖσαι βουλόμενος, ὡς εἰμὶ τοιοῦτος· ἀλλ' ἐμὲ κωμῳδεῖν βουλόμενος, ὥσπερ τι καλὸν ποιῶν.

Ἔτι δὲ καὶ συλλέγεσθαί φησιν ἀνθρώπους ὡς ἐμὲ πονηροὺς καὶ πολλούς, οἳ τὰ μὲν ἑαυτῶν ἀνηλώκασι· τοῖς δὲ τὰ σφέτερα σῴζειν βουλομένοις, ἐπιβουλεύουσιν. ὑμεῖς δὲ ἐνθυμήθητε πάντες ὅτι ταῦτα λέγων, οὐδὲν ἐμοῦ κατηγορεῖ μᾶλλον, ἢ τῶν ἄλλων ὅσοι τέχνας ἔχουσιν· οὐδὲ τῶν ὡς ἐμὲ εἰσιόντων μᾶλλον, ἢ τῶν ὡς τοὺς ἄλλους δημιουργούς. ἕκαστος γὰρ ὑμῶν εἴθισται προσφοιτᾶν· ὁ μέν, πρὸς μυροπώλιον· οἱ δέ, πρὸς κουρεῖον· ὁ δέ, πρὸς σκυτοτομεῖον· ὁ δ' ὅποι ἂν τύχῃ· καὶ πλεῖστοι μὲν ὡς ἐγγυτάτω τῆς ἀγορᾶς κατεσκευασμένους, ἐλάχιστοι δὲ ὡς οὐ πλεῖστον ἀπέχοντας αὐτῆς. ὥστ' εἴ τις ὑμῶν πονηρίαν καταγνώσεται τῶν ὡς ἐμὲ εἰσιόντων, δῆλον ὅτι καὶ τῶν παρὰ τοῖς ἄλλοις διατριβόντων· εἰ δὲ κἀκείνων, ἁπάντων Ἀθηναίων. ἅπαντες γὰρ εἴθισθε προσφοιτᾶν καὶ διατρίβειν ἁμοῦ γέ που. ἀλλὰ γὰρ οὐκ οἶδ' ὅτι δεῖ λίαν με ἀκριβῶς ἀπολογούμενον πρὸς ἓν ἕκαστον ὑμῖν, τῶν εἰρημένων ἐνοχλεῖν πλείω χρόνον. εἰ γὰρ ὑπὲρ τῶν μεγίστων εἴρηκα, τί δεῖ περὶ τῶν ὁμοίως τούτῳ φαύλων σπουδάζειν. ἐγὼ δ' ὑμῶν ὦ βουλὴ δέομαι πάντων τὴν αὐτὴν ἔχειν περὶ ἐμοῦ διάνοιαν, ἥνπερ καὶ πρότερον. μὴ δ' οὗ μόνου μεταλαβεῖν ἔδωκεν ἡ τύχη μοι τῶν ἐν τῇ πατρίδι, τούτου διὰ τουτονὶ ἀποστερήσητέ με· μηδ' ἃ πάλαι κοινῇ πάντες ἔδοτέ μοι, νῦν οὗτος εἷς ὢν πείσῃ πάλιν ὑμᾶς ἀφελέσθαι. ἐπειδὴ γὰρ ὦ βουλὴ τῶν μεγίστων ἀρχῶν ὁ δαίμων ἀπεστέρησεν ἡμᾶς, ἡ πόλις ἡμῖν ἐψηφίσατο τοῦτο τὸ ἀργύριον, ἡγουμένη κοινὰς εἶναι τὰς τύχας τοῖς ἅπασι καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν. πῶς οὖν οὐκ ἂν δικαιότατος εἴην, εἰ τῶν μὲν καλλίστων καὶ μεγίστων διὰ τὴν συμφορὰν ἀπεστερημένος εἴην· ἃ δ' ἡ πόλις ἔδωκε προνοηθεῖσα τῶν οὕτως διακειμένων, διὰ τὸν κατήγορον ἀφαιρεθείην. μηδαμῶς ὦ βουλὴ ταύτῃ θέσθε τὴν ψῆφον. διά τι γὰρ ἂν καὶ τύχοιμι τοιούτων ὑμῶν, πότερον ὅτι δι' ἐμέ τις εἰς ἀγῶνα πώποτε καταστάς, ἀπώλεσε τὴν οὐσίαν· ἀλλ' οὐδ' ἂν εἷς ἀποδείξειεν. ἀλλ' ὅτι πολυπράγμων εἰμὶ καὶ θρασὺς καὶ φιλαπεχθήμων; ἀλλ' οὐ τοιαύταις ἀφορμαῖς τοῦ βίου πρὸς τὰ τοιαῦτα τυγχάνω χρώμενος. ἀλλ' ὅτι λίαν ὑβριστὴς καὶ βίαιος; οὐδ' ἂν

ος; οὐδ' ἂν αὐτὸς φήσειεν. εἰ μὴ βούλοιτο καὶ νῦν ψεύδεσθαι τοῖς ἄλλοις ὁμοίως. ἀλλ' ὅτι ἐπὶ τῶν τριάκοντα γενόμενος ἐν δυνάμει, κακῶς ἐποίησα πολλοὺς τῶν πολιτῶν; ἀλλὰ μετὰ τοῦ ὑμετέρου πλήθους ἔφυγον εἰς χαλκίδα τὴν ἐπ' εὐρίπῳ. καὶ ἐξόν μοι μετ' ἐκείνων ἀδεῶς πολιτεύεσθαι, μεθ' ὑμῶν εἱλόμην κινδυνεύειν ἀπελθών.

Μὴ τοίνυν ὦ βουλὴ μηδὲν ἡμαρτηκὼς, ὁμοίως ὑμῶν τύχοιμι τοῖς πολλὰ ἠδικηκόσιν. ἀλλὰ τὴν αὐτὴν ψῆφον, θέσθε περὶ ἐμοῦ ταῖς ἄλλαις βουλαῖς. ἀναμνησθέντες, ὅτι οὔτε χρήματα διαχειρίσας τῆς πόλεως δίδωμι λόγον αὐτῶν, οὔτε ἀρχὴν ἄρξας οὐδεμίαν εὐθύνας ὑπέχω νῦν αὐτῆς. ἀλλὰ περὶ ὀβολοῦ μόνον ποιοῦμαι τοὺς λόγους. καὶ οὕτως ὑμεῖς μὲν τὰ δίκαια γνώσεσθε πάντες. ἐγὼ δὲ τούτων ὑμῶν τυχὼν ἕξω τὴν χάριν. οὗτος δὲ τοῦ λοιποῦ μαθήσεται μὴ τοῖς ἀσθενεστέροις ἐπιβουλεύειν, ἀλλὰ τῶν ὁμοίων αὐτῷ περιγίνεσθαι,

Λυσίου, δήμου καταλύσεως ἀπολογία.

υ

μὲν πολλὴν συγγνώμην ἔχω, ὦ ἄνδρες δικασταί, ἀκούουσι τοιούτων λόγων καὶ ἀναμιμνησκομένοις τῶν γεγενημένων, ὁμοίως ἅπασιν ὀργίζεσθαι τοῖς ἐν ἄστει μείνασι. τῶν δὲ κατηγόρων θαυμάζω, οἳ ἀμελοῦντες τῶν οἰκείων, τῶν ἀλλοτρίων ἐπιμελοῦνται. οἳ σαφῶς εἰδότες τοὺς μηδὲν ἀδικοῦντας, καὶ τοὺς πολλὰ ἐξημαρτηκότας, ζητοῦσι κερδαίνειν, ἢ ὑμᾶς πείθειν περὶ ἁπάντων ἡμῶν τὴν γνώμην ταύτην ἔχειν. εἰ μὲν οὖν οἴονται ἃ ὑπὸ τῶν τριάκοντα γεγένηται τῇ πόλει, ἐμοῦ κατηγορηκέναι, ἀδυνάτους αὐτοὺς ἡγοῦμαι λέγειν. οὐδὲ γὰρ πολλοστὸν μέρος τῶν ἐκείνοις πεπραγμένων εἰρήκασιν. εἰ δὲ ὡς ἐμοί τι προσῆκον περὶ αὐτῶν ποιοῦνται τοὺς λόγους ἀποδεῖξαι, τούτους μὲν ἅπαντας ψευδομένους, ἐμαυτὸν δὲ τοιοῦτον ὄντα οἷος περ ἂν τῶν ἐκ πειραιῶς βέλτιστος ἐν ἄστει μείνας ἐγένετο. δέομαι δ' ὑμῶν ὦ ἄνδρες δικασταί, μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς συκοφάνταις. τούτων μὲν γὰρ ἔργον ἐστί, καὶ τοὺς μηδὲν ἡμαρτηκότας, εἰς αἰτίαν καθιστάναι. ἐκ τούτων γὰρ ἂν μάλιστα χρηματίζειν. τὸ ὑμέτερον δὲ τοῖς μηδὲν ἀδικοῦσιν ἐξ ἴσου τῆς πολιτείας μεταδιδόναι. οὕτω γὰρ ἂν τοῖς καθεστηκόσι πράγμασι, πλείστους συμμάχους ἔχοιτε. ἀξιῶ δὲ ὦ ἄνδρες δικασταί. ἐὰν ἀποφανῶ συμφορᾶς μὲν μηδεμιᾶς αἴτιος γεγενημένος, πολλὰ δὲ κἀγαθὰ εἰργασμένος τὴν πόλιν καὶ τῷ σώματι καὶ τοῖς χρήμασι, ταῦτα γοῦν μοι παρ' ὑμῶν ὑπάρχειν. ὧν οὐ μόνον τοὺς εὖ πεποιηκότας, ἀλλὰ καὶ τοὺς μηδὲν ἀδικοῦντας τυγχάνειν δίκαιόν ἐστι. μέγα μὲν οὖν ἡγοῦμαι τεκμήριον εἶναι, ὅτι εἴπερ ἐδύναντο οἱ κατήγοροι ἰδίᾳ με ἀδικοῦντα ἐξελέγξαι, οὐκ ἂν τὰ τῶν τριάκοντα ἁμαρτήματα ἐμοῦ κατηγόρουν. οὐδ' ἂν ᾤοντο χρῆναι ὑπὲρ τῶν ἐκείνοις πεπραγμένων ἑτέρους διαβάλλειν. ἀλλ' αὐτοὺς τοὺς ἀδικοῦντας τιμωρεῖσθαι. νῦν δὲ νομίζουσι τὴν πρὸς ἐκείνους ὀργὴν ἱκανὴν εἶναι. καὶ τοὺς μηδὲν κακὸν εἰργασμένους ἀπολέσαι. ἐγὼ δὲ οὐχ ἡγοῦμαι δίκαιον εἶναι, οὔτε εἴ τινες τῇ πόλει πολλῶν ἀγαθῶν αἴτιοι γεγένηνται, ἄλλους τινὰς ὑπὲρ τούτων τιμὴν ἢ χάριν κομίσασθαι παρ' ὑμῶν. οὔτ' εἴ τινες πολλὰ κακὰ εἰργασμένοι εἰσὶν, εἰκότως ἂν δι' ἐκείνους τοὺς μηδὲν ἀδικοῦντας, ὀνείδους καὶ διαβολῆς τυγχάνειν. ἱκανοὶ γὰρ οἱ ὑπάρχοντες ἐχθροὶ τῇ πόλει καὶ μέγα κέρδος νομίζοντες εἶναι, τοὺς ἀδίκως ἐν ταῖς διαβολαῖς καθεστηκότας. πειράσομαι δ' ὑμᾶς διδάξαι. οὓς ἡγοῦμαι τῶν πολιτῶν προσήκειν ὀλιγαρχίας ἐπιθυμεῖν, καὶ δημοκρατίας. ἐκ τούτου γὰρ καὶ ὑμεῖς γνώσεσθε κἀγὼ περὶ ἐμαυτοῦ τὴν ἀπολογίαν ποιήσομαι. ἀποφαίνων ὡς οὔτε ἐξ ὧν ἐν δημοκρατίᾳ. οὔτε ἐξ ὧν ἐν ὀλιγαρχίᾳ πεποίηκα οὐδέν μοι προσῆκον κακόνουν εἶναι τῷ πλήθει τῷ ὑμετέρῳ. πρῶτον μὲν οὖν ἐνθυμηθῆναι χρὴ, ὅτι οὐδείς ἐστιν ἀνθρώπων φύσει οὔτε ὀλιγαρχικὸς, οὔτε δημοκρατικός. ἀλλ' ἥτις ἂν ἑκάστῳ πολιτεία μὴ συμφέρῃ, ταύτην προθυμεῖται καθιστάναι. ὥστε οὐκ ἐλάχιστον ἐν ὑμῖν ἐστι μέρος ὡς πλείστους ἐπιθυμεῖν τῶν παρόντων

ναι πραγμάτων. καὶ ταῦτα ὅτι οὕτως ἔχει, οὐ χαλεπῶς ἐκ τῶν πρότερον γεγενημένων μαθεῖν. σκέψασθε γὰρ ὦ ἄνδρες δικασταὶ τοὺς προστάντας ἀμφοτέρων τῶν πολιτειῶν ὁσάκις δὴ μετεβάλοντο. οὐ φρύνιχος μὲν καὶ πείσανδρος καὶ οἱ μετ' ἐκείνων δημαγωγοί, ἐπειδὴ πολλὰ εἰς ὑμᾶς ἐξήμαρτον, τὰς περὶ τούτων δείσαντες τιμωρίας, τὴν προτέραν ὀλιγαρχίαν κατέστησαν; πολλοὶ δὲ τῶν τετρακοσίων μετὰ τῶν ἐκ πειραιῶς συγκατῆλθον, ἔνιοι δὲ τῶν ἐκείνους ἐκβαλόντων, αὐτοὶ αὖθις τῶν τριάκοντα ἐγένοντο. εἰσὶ δὲ οἵτινες τῶν ἐλευσινάδε ἀπογραψαμένων, ἐξελθόντες μεθ' ὑμῶν ἐπολιόρκουν τοὺς μεθ' αὑτῶν. οὔκουν χαλεπὸν γνῶναι ὦ ἄνδρες δικασταί, ὅτι οὐ περὶ πολιτείας εἰσὶν αἱ πρὸς ἀλλήλους διαφοραί· ἀλλὰ περὶ τῶν ἰδίων συμφερόντων ἑκάστῳ. ὑμᾶς οὖν χρὴ ἐκ τούτων δοκιμάζειν τοὺς πολίτας, σκοποῦντας μὲν ὅπως ἦσαν ἐν τῇ δημοκρατίᾳ πεπολιτευμένοι· ζητοῦντας δὲ εἴ τις αὐτοῖς ἐγίνετο ὠφέλεια τῶν πραγμάτων μεταπεσόντων. οὕτω γὰρ ἂν δικαιοτάτην κρίσιν περὶ αὐτῶν ποιεῖσθε. ἐγὼ τοίνυν ἡγοῦμαι ὅσοι μὲν ἐν τῇ δημοκρατίᾳ ἄτιμοι ἦσαν εὐθύνας δεδωκότες, ἢ τῶν ὄντων ἀπεστερημένοι ἢ ἄλλῃ τινὶ συμφορᾷ τοιαύτῃ κεχρημένοι, προσήκειν αὐτοῖς ἑτέρας ἐπιθυμεῖν πολιτείας· ἐλπίζοντας τὴν μεταβολὴν ὠφέλειάν τινα αὐτοῖς ἔσεσθαι. ὅσοι δὲ τὸν δῆμον πολλὰ καὶ ἀγαθὰ εἰργασμένοι εἰσί, κακὸν δὲ μηδὲν πώποτε, ὀφείλεται δὲ αὐτοῖς χάριν κομίσασθαι παρ' ὑμῶν μᾶλλον, ἢ δοῦναι δίκην τῶν πεπραγμένων, οὐκ ἄξιον τὰς τούτων ὑποδέχεσθαι διαβολάς. οὐδ' ἂν πάντες οἱ τὰ τῆς πόλεως πράττοντες, ὀλιγαρχικοὺς αὐτοὺς φάσκωσιν εἶναι. ἐμοὶ τοίνυν ὦ ἄνδρες δικασταί, οὔτ' ἰδίᾳ, οὔτε δημοσίᾳ συμφορὰ ἐν ἐκείνῳ τῷ χρόνῳ, οὐδεμία πώποτε ἐγένετο. ἀνθ' ἧστινος ἂν προθυμούμενος τῶν παρόντων κακῶν ἀπαλλαγῆναι, ἑτέρων ἐπεθύμουν πραγμάτων. τετριηράρχηκα μὲν γὰρ πεντάκις, καὶ τετράκις νεναυμάχηκα, καὶ εἰσφορὰς ἐν τῷ πολέμῳ πολλὰς εἰσενήνοχα, καὶ τἆλλα λελειτούργηκα οὐδενὸς χεῖρον τῶν πολιτῶν. καίτοι διὰ τοῦτο πλείω τῶν ὑπὸ τῆς πόλεως προστεταγμένων ἐδαπανώμην, ἵνα καὶ βελτίων ὑφ' ὑμῶν νομιζοίμην, καὶ εἴ πού μοί τις συμφορὰ γένοιτο, ἄμεινον ἀγωνιζοίμην. ὧν ἐν τῇ ὀλιγαρχίᾳ ἁπάντων ἀπεστερούμην. οὐ γὰρ τοὺς τῷ πλήθει ἀγαθοῦ τινος αἰτίους γεγενημένους, χάριτος παρ' αὐτῶν ἠξίουν τυγχάνειν. ἀλλὰ τοὺς πλεῖστα κακὰ ὑμᾶς εἰργασμένους εἰς τὰς τιμὰς καθίστασαν. ὡς ταύτην παρ' ἡμῶν πίστιν εἰληφότες. ἃ χρὴ πάντας ἐνθυμουμένους, μὴ τοῖς τούτων λόγοις πιστεύειν, ἀλλὰ καὶ ἐκ τῶν ἔργων σκοπεῖν ἃ ἑκάστῳ τυγχάνει πεπραγμένα. ἐγὼ γὰρ ὦ ἄνδρες δικασταί οὔτε τῶν τετρακοσίων ἐγενόμην, ἢ τῶν κατηγόρων ὁ βουλόμενος παρελθὼν ἐλεγξάτω. οὐ τοίνυν οὐδ' ἐπειδὴ οἱ τριάκοντα κατέστησαν οὐδείς με ἀποδείξει, οὔτε βουλεύσαντα, οὔτε ἀρχὴν οὐδεμίαν ἄρξαντα. καίτοι εἰ μὲν ἐξόν μοι ἄρχειν μὴ ἐβουλόμην, ὑφ' ὑμῶν νυνὶ τιμᾶσθαι δίκαιός εἰμι. εἰ δὲ οἱ τότε δυνάμενοι μὴ ἠξίουν μοι μεταδιδόναι τῶν πραγμάτων, πῶς ἂν φανερώτερον ἢ οὕτω ψευδομένους ἀποδείξαιμι τοὺς κατηγόρους. ἔτι τοίνυν ὦ ἄνδρες δικασταί, καὶ ἐκ τῶν ἄλλων τῶν ἐμοὶ πεπραγμένων ἄξιον σκέψασθαι. ἐγὼ γὰρ τοιοῦτον ἐμαυτὸν ἐν ταῖς τῆς πόλεως συμφοραῖς παρέσχον, ὥστε εἰ πάντες τὴν αὐτὴν γνώμην ἔσχον ἐμοί, μηδένα ἂν ὑμῶν, μηδεμιᾷ χρῆσθαι συμφορᾷ. ὑπ' ἐμοῦ γὰρ ἐν τῇ ὀλιγαρχίᾳ οὔτε ἐπαχθεὶς οὐδεὶς φανήσεται, οὔτε τῶν ἐχθρῶν οὐδεὶς τετιμωρημένος, οὔτε τῶν φίλων εὖ πεπονθώς. καὶ τοῦτο μὲν οὐκ ἄξιον θαυμάζειν. εὖ μὲν γὰρ ποιεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ, χαλεπὸν ἦν. ἐξαμαρτάνειν δὲ τῷ βουλομένῳ, ῥᾴδιον. οὐ τοίνυν οὐδεὶς τὸν κατάλογον ἀθηναίων καταλέξας οὐδένα φανήσομαι. οὐ δὲ δίαιταν καταδιαιτησάμενος οὐδενός. οὐ δὲ πλουσιώτερος ἐκ τῶν ὑμετέρων γεγονὼς συμφορῶν. καίτοι εἰ τοῖς τῶν γεγενημένων κακῶν αἰτίοις ὀργίζεσθε, εἰκὸς καὶ τοὺς μηδὲν ἡμαρτηκότας βελτίους ὑφ' ὑμῶν νομίζεσθαι.

Καὶ μὲν δὴ ὦ ἄνδρες δικασταί, μεγίστην ἡγοῦμαι περὶ ἐμαυτοῦ τῇ δημοκρατίᾳ πίστιν δεδωκέναι. ὅστις γὰρ τότε οὐδὲν ἐξήμαρτον, οὕτω πολλῆς δεδομένης ἐξουσίας, ἦ που νῦν σφόδρα προθυμηθήσομαι χρηστὸς εἶναι. εὖ εἰδὼς ὅτι ἐὰν ἀδικῶ, παραχρῆμα δώσω δίκην. ἀλλὰ γὰρ τοιαύτην διατελοῦς γνώμην ἔχω· ἐπ-

τεί

τῇ ἐν ὀλιγαρχίᾳ μὲν, μὴ ἐπιθυμεῖν τῶν ἀλλοτρίων· ἐν δημοκρατίᾳ δὲ, τὰ ὄντα προθύμως εἰς ὑμᾶς ἀναλίσκειν. ἡγοῦμαι δὲ ὦ ἄνδρες δικασταὶ οὐκ ἂν δικαίως ὑμᾶς μισεῖν τοὺς ἐν τῇ ὀλιγαρχίᾳ μηδὲν πεπονθότας κακόν· ἐξὸν ὀργίζεσθαι τοῖς εἰς τὸ πλῆθος ἐξημαρτηκόσιν. οὐδὲ τοὺς μὴ φυγόντας ἐχθροὺς νομίζειν, ἀλλὰ τοὺς ὑμᾶς ἐκβαλόντας. οὐδὲ τοὺς προθυμουμένους τὰ ἑαυτῶν σῶσαι, ἀλλὰ τοὺς τὰ τῶν ἄλλων ἀφῃρημένους. οὐδὲ οἳ τῆς σφετέρας αὐτῶν σωτηρίας ἕνεκα ἔμειναν ἐν τῷ ἄστει. ἀλλ᾽ οἳ ἑτέρους ἀπολέσαι βουλόμενοι, μετέσχον τῶν πραγμάτων. εἰ δὲ οἴεσθε χρῆναι οὓς ἐκεῖνοι παρέλιπον ἀδικοῦντες ὑμᾶς ἀπολέσαι, οὐδεὶς τῶν πολιτῶν ἀπολειφθήσεται. σκοπεῖν δὲ χρὴ καὶ ἐκ τῶνδε ὦ ἄνδρες δικασταί, πάντες γὰρ ἐπίστασθε ὅτι ἐν τῇ προτέρᾳ δημοκρατίᾳ τῶν τὰ τῆς πόλεως πραττόντων, πολλοὶ μὲν τὰ δημόσια ἔκλεπτον. ἔνιοι δ᾽ ἐπὶ τοῖς ὑμετέροις ἐδωροδόκουν. οἱ δὲ συκοφαντοῦντες, τοὺς συμμάχους ἀφίστασαν. καὶ εἰ μὲν οἱ τριάκοντα τούτους μόνους ἐτιμωροῦντο, ἄνδρας ἀγαθοὺς καὶ ὑμεῖς ἂν αὐτοὺς ἡγεῖσθε. νῦν δὲ ὅτι ὑπὲρ τῶν ἐκείνοις ἡμαρτημένων, τὸ πλῆθος κακῶς ποιεῖν ἠξίουν, ἠγανακτεῖτε. ἡγούμενοι δεινὸν εἶναι τὰ τῶν ὀλίγων ἀδικήματα, πάσῃ τῇ πόλει κοινὰ γίγνεσθαι. οὐ τοίνυν ἄξιον χρῆσθαι τούτοις, οἷς ἐκείνους ἑωρᾶτε ἐξαμαρτάνοντας. οὐδὲ ἃ πάσχοντες ἀδικεῖσθαι ἐνομίζετε πάσχειν, ὅταν ἑτέρους ποιῆτε, δίκαια ἡγεῖσθε. ἀλλὰ τὴν αὐτὴν κατελθόντες περὶ αὑτῶν γνώμην ἔχετε, ἥνπερ φεύγοντες περὶ ὑμῶν αὐτῶν εἴχετε. ἐκ τούτων γὰρ καὶ ὁμόνοιαν πλείστην ποιήσετε, καὶ ἡ πόλις ἔσται μεγίστη. καὶ τοῖς ἐχθροῖς ἀνιαρότατα ψηφιεῖσθε. ἐνθυμηθῆναι δὲ χρὴ ὦ ἄνδρες δικασταὶ, καὶ τῶν ἐπὶ τῶν τριάκοντα γεγενημένων, ἵνα τὰ τῶν ἐχθρῶν ἁμαρτήματα, ἄμεινον ὑμᾶς ποιήσῃ περὶ τῶν ὑμετέρων αὐτῶν βουλεύσασθαι. ὅτε μὲν γὰρ ἀκούοιτε τοὺς ἐν ἄστει τὴν αὐτὴν γνώμην ἔχειν, μικρὰς ἐλπίδας εἴχετε τῆς καθόδου, ἡγούμενοι τὴν ὑμετέραν ὁμόνοιαν μέγιστον κακὸν εἶναι τῇ ὑμετέρᾳ φυγῇ. ἐπειδὴ δὲ πυνθάνοισθε τοὺς μὲν τρισχιλίους στασιάζοντας ἐκ τοῦ ἄστεος, τοὺς ἄλλους δὲ πολίτας ἐκκεκηρυγμένους, τοὺς δὲ τριάκοντα μὴ τὴν αὐτὴν γνώμην ἔχοντας, πλείους ὄντας τοὺς ὑπὲρ ὑμῶν δεδιότας, ἢ τοὺς ὑμῖν πολεμοῦντας, τότ᾽ ἤδη καὶ κατιέναι προσεδοκᾶτε, καὶ παρὰ τῶν ἐχθρῶν λήψεσθαι δίκην. ταῦτα γὰρ τοῖς θεοῖς εὔχεσθε ἅπερ ἐκείνους ἑωρᾶτε ποιοῦντας. ἡγούμενοι διὰ τὴν τῶν τριάκοντα πονηρίαν πολὺ μᾶλλον σωθήσεσθαι, ἢ διὰ τὴν τῶν φευγόντων δύναμιν κατιέναι. χρὴ τοίνυν ὦ ἄνδρες δικασταὶ, τοῖς πρότερον γεγενημένοις παραδείγμασι χρωμένους, βουλεύεσθαι περὶ τῶν μελλόντων ἔσεσθαι. καὶ τούτους ἡγεῖσθαι δημοτικωτάτους, οἵτινες ὁμονοεῖν ὑμᾶς βουλόμενοι τοῖς ὅρκοις, καὶ ταῖς συνθήκαις ἐμμένουσι. νομίζοντες καὶ τῆς πόλεως ταύτην ἱκανωτάτην εἶναι σωτηρίαν, καὶ τῶν ἐχθρῶν μεγίστην τιμωρίαν. οὐδὲν γὰρ ἂν αὐτοῖς χαλεπώτερον τούτων, ἢ πυνθάνεσθαι μὲν ὑμᾶς μετέχοντας τῶν πραγμάτων, αἰσθάνεσθαι δὲ οὕτω διακειμένους τοὺς πολίτας, ὥσπερ μηδενὸς ἐγκλήματος πρὸς ἀλλήλους γεγενημένου. χρὴ δὲ εἰδέναι ὦ ἄνδρες δικασταὶ, ὅτι οἱ φεύγοντες, τῶν ἄλλων πολιτῶν ὡς πλείστους καὶ διαβεβλῆσθαι καὶ ἠτιμῶσθαι βούλονται. ἐλπίζοντες τοὺς ὑφ᾽ ὑμῶν ἀδικουμένους, ἑαυτοῖς ἔσεσθαι συμμάχους. τοὺς δὲ συκοφάντας εὐδοκιμεῖν βούλοιντ᾽ ἂν παρ᾽ ὑμῖν, καὶ μέγα δύνασθαι ἐν τῇ πόλει. τὴν γὰρ τούτων πονηρίαν, ἑαυτῶν ἡγοῦνται σωτηρίαν. ἄξιον δὲ μνησθῆναι τῶν μετὰ τοὺς τετρακοσίους πραγμάτων. εὖ γὰρ εἴσεσθε ὅτι ἃ μὲν οὗτοι συμβουλεύουσιν, οὐδεπώποτε ὑμῖν ἐλυσιτέλησεν. ἃ δ᾽ ἐγὼ παραινῶ, ἀμφοτέραις ταῖς πολιτείαις συμφέρει. ἴστε γὰρ Ἐπιγένην καὶ Δημοφάνην, καὶ Κλεισθένην ἰδίᾳ μὲν καρπωσαμένους τὰς τῆς πόλεως συμφοράς, δημοσίᾳ δὲ ὄντας μεγίστων κακῶν αἰτίους. ἐνίων γὰρ ἔπεισαν ὑμᾶς ἀκρίτων θάνατον καταψηφίσασθαι. πολλῶν δὲ ἀδίκως δημεῦσαι τὰς οὐσίας. τοὺς δ᾽ ἐξελάσαι, καὶ ἀτιμῶσαι τῶν πολιτῶν. τοιοῦτοι γὰρ ἦσαν, ὥστε τοὺς μὲν ἡμαρτηκότας, ἀργύριον λαμβάνοντες ἀφιέναι. τοὺς δὲ μηδὲν ἠδικηκότας εἰς ὑμᾶς εἰσιόντες ἀπολλύναι. καὶ οὐ πρότερον ἐπαύσαντο, ἕως τὴν μὲν πόλιν εἰς στάσεις καὶ τὰς μεγίστας συμφορὰς κατέστησαν.

αὐτοὶ δ' ἐκ πενήτων πλούσιοι ἐγένοντο· ὑμεῖς δὲ οὕτω διετέθητε, τοὺς μὲν φεύγοντας κατεδέξασθε· τοὺς δ' ἀτίμους, ἐπιτίμους ἐποιήσατε· τοῖς δ' ἄλλοις περὶ ὁμονοίας ὅρκους ὤμνυτε. τελευτῶντες δὲ, ἥδιον ἂν τοὺς ἐν τῇ δημοκρατίᾳ συκοφαντοῦντας ἐτιμωρήσασθε, ἢ τοὺς ἄρξαντας ἐν τῇ ὀλιγαρχίᾳ, καὶ εἰκότως ὦ ἄνδρες δικασταί. πᾶσι γὰρ ἤδη φανερόν ἐστιν, ὅτι διὰ τοὺς μὲν ἀδίκως πολιτευομένους ἐν τῇ ὀλιγαρχίᾳ, δημοκρατία γίνεται· διὰ δὲ τοὺς ἐν τῇ δημοκρατίᾳ συκοφαντοῦντας, ὀλιγαρχία δὶς κατέστη. ὥστε οὐκ ἄξιον τούτοις πολλάκις χρῆσθαι συμβούλοις, οἷς οὐδὲ ἅπαξ ἐλυσιτέλησε πεισθῆναι. σκέψασθαι δὲ χρὴ ὅτι καὶ τῶν ἐκ πειραιέως οἱ μεγίστην δόξαν ἔχοντες, καὶ μάλιστα κεκινδυνευκότες, καὶ πλεῖστα ὑμᾶς ἀγαθὰ εἰργασμένοι, πολλάκις ἤδη τῷ ὑμετέρῳ πλήθει διεκελεύσαντο τοῖς ὅρκοις, καὶ ταῖς συνθήκαις ἐμμένειν. ἡγούμενοι ταύτην δημοκρατίας εἶναι φυλακήν. τοῖς μὲν γὰρ ἐξ ἄστεος ὑπὲρ τῶν παρεληλυθότων ἄδειαν ποιήσειν. τοῖς δ' ἐκ πειραιέως, οὕτω πλεῖστον χρόνον τὴν πολιτείαν παραμεῖναι. οἷς ὑμεῖς πολὺ ἂν δικαιότερον πιστεύοιτε, ἢ τούτοις. οἳ φεύγοντες μὲν δι' ἑτέρους ἐσώθησαν. κατελθόντες δὲ, συκοφαντεῖν ἐπιχειροῦσιν. ἡγοῦμαι δὲ ὦ ἄνδρες δικασταὶ τοὺς μὲν τὴν αὐτὴν γνώμην ἔχοντας ἐμοὶ τῶν ἐν ἄστει μεινάντων φανεροὺς γεγενῆσθαι καὶ ἐν ὀλιγαρχίᾳ καὶ ἐν δημοκρατίᾳ, ὁποῖοί τινές εἰσι πολῖται. τούτων δ' ἄξιον θαυμάζειν, ὅτι ἂν ἐποίησαν. εἴ τις ασε τῶν τριάκοντα γενέσθαι. οἳ νῦν δημοκρατίας οὔσης, ταὐτὰ ἐκείνοις πράττουσι, καὶ ταχέως μὲν ἐκ πενήτων πλούσιοι γεγένηνται. πολλὰς δὲ ἀρχὰς ἄρχοντες, οὐδεμιᾶς εὐθύνην διδόασιν. ἀλλ' ἀντὶ μὲν ὁμονοίας, ὑποψίαν πρὸς ἀλλήλους πεποιήκασιν. ἀντὶ δὲ εἰρήνης, πόλεμον κατηγγέλκασιν. διὰ τούτους δὲ, ἄπιστοι τοῖς Ἕλλησι γεγενήμεθα. καὶ τοσούτων κακῶν, καὶ ἑτέρων πολλῶν ὄντες αἴτιοι, καὶ οὐδὲν διαφέροντες τῶν τριάκοντα. πλὴν ὅτι ἐκεῖνοι μὲν ὀλιγαρχίας οὔσης ἐπεθύμουν ὧνπερ οὗτοι. οὗτοι δὲ καὶ δημοκρατίας τῶν αὐτῶν ὧνπερ ἐκεῖνοι, ὁμοίως οἴονται χρῆναι οὕτω ῥᾳδίως ὃν ἂν βούλωνται κακῶς ποιεῖν. ὥσπερ τῶν μὲν ἄλλων ἀδικούντων, ἄριστοι δὲ ἄνδρες αὐτοὶ γεγενημένοι. καὶ τούτων μὲν οὐκ ἄξιον θαυμάζειν. ὑμῶν δὲ ὅτι οἴεσθε μὲν δημοκρατίαν εἶναι. γίγνεται δὲ ὅ,τι ἂν οὗτοι βούλωνται. καὶ δίκην διδόασιν οὐχ οἱ τὸ ὑμέτερον πλῆθος ἀδικοῦντες, ἀλλ' οἱ τὰ σφέτερα αὐτῶν μὴ διδόντες, καὶ δέξαιντ' ἂν μικρὰν εἶναι τὴν πόλιν μᾶλλον, ἢ δι' ἄλλους μεγάλην καὶ ἐλευθέραν. ἡγούμενοι νῦν μὲν διὰ τοὺς ἐκ πειραιέως κινδύνους αὐτοῖς ἐξεῖναι ποιεῖν, ὅτι ἂν βούλωνται. ἐὰν δ' ὕστερον ὑμῖν δι' ἑτέρου σωτηρία γένηται, τούτους μὲν ἐπιλύσεσθαι. ἐκείνους δὲ μεῖζον δυνήσεσθαι. ὥστε τὸ αὐτὸ πάντες ἐμποδών εἰσιν. ἐάν τι δι' ἄλλων ἀγαθὸν ὑμῖν φαίνηται, τοῦτο μὲν οὐ χαλεπὸν τῷ βουλομένῳ κατηγορῆσαι. αὐτοί τε γὰρ οὐκ ἐπιθυμοῦσι λανθάνειν. ἀλλ' αἰσχύνονται μὴ δοκοῦντες εἶναι πονηροί. ὑμεῖς δὲ τὰ μὲν αὐτοὶ ὁρᾶτε. τὰ δ' ἑτέρων πολλῶν ἀκούετε. ἡμεῖς δὲ ὦ ἄνδρες δικασταὶ, δίκαιον μὲν ἡγούμεθ' εἶναι πρὸς πάντας ὑμᾶς τοὺς πολίτας ταῖς συνθήκαις καὶ τοῖς ὅρκοις ἐμμένειν. ὅμως δὲ ὅταν μὲν ἴδωμεν τοὺς τῶν κακῶν αἰτίους δίκην διδόντας τῶν τότε περὶ ἡμᾶς γενομένων μεμνημένοι, συγγνώμην ἔχομεν. ὅταν δὲ φανεροὶ γένησθε τοὺς μηδὲν αἰτίους ἐξ ἴσου τοῖς ἀδικοῦσι τιμωρούμενοι. τῇ αὐτῇ ψήφῳ πάντας εἰς

λείπει τὸ τέλος τοῦ προκειμένου λόγου, καὶ
ἡ ἀρχὴ τοῦ περὶ τῆς Εὐάνδρου δοκιμασίας.

ἡγούμενος ἀκριβῆ νῦν τὴν δοκιμασίαν αὐτοὺς διὰ τὸν χρόνον ποιήσασθαι. ἐπεὶ συνίσασι πολλὰ καὶ δεινὰ εἰς αὑτοὺς ἐξημαρτηκὼς ὧν ἐπιλελῆσθαι, καὶ οὐδ' ἀναμνησθήσεσθαι ἐνίους αὐτῶν νομίζεις. ὃ δὴ ἀγωνιῶ καὶ ἀγανακτῶ. εἰ ταύτῃ τῇ ἐλπίδι εἰς ὑμᾶς ἥκει πιστεύων. ὥσπερ ἄλλων μὲν τινῶν ὄντων τῶν ἠδικημένων, ἑτέρων δὲ τῶν ταῦτα διαψηφιουμένων. ἀλλ' οὐκ ἀμφότερα τῶν

αὐτῶν

αὐτῶν καὶ πεπονθότων, καὶ ἀκουσομένων. αἴτιοι δὲ τούτων ὑμεῖς ἐστέ. οὐ γὰρ ἐνθυμεῖ-
σθε ὅτι οὗτοι μὲν ὅτε ἡ πόλις ὑπὸ τῶν λακεδαιμονίων ἤρχετο, οὐδὲ τῆς αὐτῆς δου-
λείας ὑμῖν μεταδοῦναι ἠξίωσαν, ἀλλὰ καὶ τῆς πόλεως ἐξήλασαν. ὑμεῖς δὲ ἐλευθέ-
ραν αὐτὴν ποιήσαντες, οὐ μόνον τῆς ἐλευθερίας αὐτοῖς, ἀλλὰ καὶ τοῦ δικάζειν, καὶ
τοῦ ἐκκλησιάζειν περὶ τῶν κοινῶν μετέδοτε. ὥστε εἰκότως ὑμῶν ταύτην τὴν εὐήθειαν
οὗτοι γιγνώσκουσιν, ὧν εἷς οὐκ ἀγαπᾷ εἴ τις αὐτὸν ἐᾷ τούτων μετέχειν. ἀλλὰ καὶ πρὶν
ἐκείνων δοῦναι δίκην, πάλιν ἄρχειν ἀξιοῖ. καὶ νυνὶ αὐτὸν ἀκηκόαμεν, ὑπὲρ ὧν αὐτοῦ
κατηγοροῦμεν, διὰ βραχέων ἀπολογήσεσθαι, ἐπισύροντα τὰ πράγματα. καὶ δια-
κλέπτοντα τῇ ἀπολογίᾳ, τὴν κατηγορίαν. λέξειν δὲ ὡς πολλὰ εἰς τὴν πόλιν ἀνηλώ-
κασι. καὶ φιλοτίμως λελειτουργήκασι. καὶ νίκας πολλὰς καὶ καλὰς ἐν δημοκρα-
τίᾳ νενικήκασι. καὶ ὅτι αὐτὸς κόσμιός ἐστι, καὶ οὐχ ὁρᾶται ποιῶν, ἃ ἕτεροι ἐνταῦθα
τολμῶσιν, ἀλλὰ τὰ ἑαυτοῦ πράττειν ἀξιοῖ. ἐγὼ δὲ πρὸς τούτους τοὺς λόγους, οὐ χαλε-
πὸν οἶμαι ἀντειπεῖν. πρὸς μὲν τὰς λειτουργίας, ὅτι κρεῖττον ἦν ὁ πατὴρ αὐτοῦ μὴ
λειτουργήσας, ἢ τοσαῦτα τῶν ἑαυτοῦ ἀνηλώσας. διὰ γὰρ ταῦτα πιστευθεὶς ὑπὸ τοῦ
δήμου, κατέλυσε τὴν δημοκρατίαν. ὥστ' εἶναι ταῦτα τὰ ἔργα ἀειμνηστότερα, ἢ τὰ ἐκ
τῶν λειτουργιῶν αὐτῷ ἀναθήματα. πρὸς δὲ τὴν ἡσυχιότητα τὴν τούτου, ὅτι οὐ νῦν δεῖ
αὐτὸν ἐξετάζειν εἰ σώφρων ἐστὶν ὅτ' αὐτὸν οὐκ ἔξεστιν ἀσελγαίνειν. ἀλλ' ἐκεῖνον τὸν χρό-
νον σκοπεῖν, ἐν ᾧ ἐξὸν ὁποτέρως ἐβούλετο ζῆν, εἵλετο παρανόμως πολιτεύεσθαι. τοῦ
μὲν γὰρ νῦν μηδὲν ἐξαμαρτάνειν οἱ κωλύσαντες αἴτιοι. τῶν δὲ τότε γενομένων, ὁ τούτου
τρόπος, καὶ οἱ τούτῳ ἐπιτρέπειν ἀξιοῦντες. ὥστε ἂν ἐκ τούτων δοκιμάζεσθαι ἀξιοῖ, ταῦ-
τα χρὴ ὑπολαμβάνειν μὴ εὐήθεις αὐτῷ εἶναι δοκῆτε. ἂν δὲ καὶ ἐνθάδε τοιόνδε λόγον φά-
πωνται ὡς ὁ χρόνος οὐκ ἐγχωρεῖ ἄλλον ἀποκληρῶσαι, ἀλλὰ ἀνάγκη ἐὰν αὐτὸν ἀπο-
δοκιμάσητε, ἄθυτα τὰ πάτρια ἱερὰ γίγνεσθαι. τόδ' ἐνθυμήθητε, ὅτι πάλαι ὁ χρό-
νος ἤδη παρελήλυθεν. ἡ γὰρ αὔριον ἡμέρα, μόνη λοιπὴ τοῦ ἐνιαυτοῦ ἐστιν. ἐν δὲ ταύτῃ
τῷ διὶ τῷ σωτῆρι θυσία γίγνεται. δικαστήριον δὲ παρὰ τοὺς νόμους δυνατὸν πληρω-
θῆναι. εἰ δὲ ταῦτα πάνθ' οὕτως ὥστε γενέσθαι διαπέπρακται, τί προσδοκῆσαι δεῖ δο-
κιμασθέντ' αὐτὸν ποιήσειν, εἰ τὴν ἀξιοῦσαν ἀρχὴν πέπεικεν αὐτοῦ ἕνεκα παρανομῆ-
σαι. ἆρ' ἂν ὀλίγα τοιαῦτα ἐν τῷ ἐνιαυτῷ διαπράξασθαι; ἐγὼ μὲν γὰρ οὐκ ἂν οἶμαι.
ἔστι δ' ὑμῖν οὐ τοῦτο μόνον σκεπτέον. ἀλλὰ καὶ πότερον εὐσεβέστερον, τὸν βασιλέα καὶ τοὺς
συνάρχοντας τὰ ὑπὲρ τοῦ μέλλοντος ἄρξειν ἱερὰ θῦσαι, ὡς καὶ πρότερον ἤδη γεγέ-
νηται. ἢ τοῦτον ὃν οὐδὲ καθαρὸν εἶναι τὰς χεῖρας οἱ εἰδότες μεμαρτυρήκασι καὶ ἕτε-
ρον, ὑμεῖς ὠμόσατε εἰς τὴν ἀρχὴν ἀδοκίμαστον καταστήσειν, ἢ δοκιμάσαντες τὸν ἄξιον
τῆς ἀρχῆς στεφανώσειν. ταῦτα γὰρ σκοπεῖσθε κἀκεῖνο ἐνθυμεῖσθε, ὅτι ὁ θεὶς τὸν περὶ
τῶν δικαστῶν νόμον, οὐχ ἥκιστα περὶ τῶν ἐν ὀλιγαρχίᾳ ἀρξάντων ἕνεκα ἔθηκεν, ἡγού-
μενος δεινὸν εἶναι. εἰ δι' οὓς ἡ δημοκρατία κατελύετο, οὗτοι ἐν αὐτῇ τῇ πολιτείᾳ πά-
λιν ἄρξουσι. καὶ κύριοι γενήσονται τῶν νόμων, καὶ τῆς πόλεως. ἣν πρότερον προ-
λαβόντες, οὕτως αἰσχρῶς καὶ δεινῶς ἐλωβήσαντο. ὥστ' οὐκ ἄξιον τὴν δοκιμασίαν ὀλι-
γώρως ἔχειν. οὐδὲ μικρὸν ἡγουμένους τὸ πρᾶγμα, μὴ φροντίζειν αὐτῆς, ἀλλὰ φυλάτ-
τειν. ὡς ἐν τῷ ἕκαστον δικαίως ἄρχειν, ἥ τε πολιτεία καὶ τὸ ἄλλο πλῆθος τὸ ὑμέτε-
ρον σώζεται. εἰ μὲν βουλεύσειν νυνὶ ἐδοκιμάζετε. καὶ ὡς ἱππευκότος αὐτοῦ ἐπὶ τῶν
τριάκοντα ἅρμα ἐν ταῖς σανίσιν ἐγέγραπτο, καὶ ἄνευ κατηγόρου ἂν αὐτὸν ἀπεδο-
κιμάζετε. νῦν δὲ ὅτε μὴ μόνον ἱππευκώς, μὴ δὲ βεβουλευκώς. ἀλλὰ καὶ εἰς τὸ πλῆ-
θος ἐξημαρτηκὼς φαίνεται, οὐκ ἂν ἄτοπον ποιήσαιτε. εἰ μὴ τὴν αὐτὴν γνώμην ἔ-
χοντες περὶ αὐτοῦ φανεῖσθε, καὶ μηδὲν δὴ βουλεύειν γε δοκιμασθεὶς πεντακοσιοστὸς
ὢν, μετὰ τῶν ἄλλων ἐνιαυτὸν ἂν μόνον ἐβούλευσε. ὥστε καὶ εἴ τι ἐν τούτῳ τῷ χρό-
νῳ ἐξαμαρτάνειν ἐβούλετο, ῥᾳδίως ἂν ὑπὸ τῶν ἄλλων ἐκωλύετο. ταύτης δὲ τῆς ἀρ-
χῆς ἀξιοῖ μόνος αὐτὸς καθ' αὑτὸν ἄρχειν, καὶ μετὰ τῆς ἐν ἀρείῳ πάγῳ βουλῆς, τὸν ἅπαν-
τα χρόνον τῶν μεγίστων κύριος γενέσθαι. ὥστε ὑμῖν καθήκει περὶ ταύτης τῆς ἀρχῆς

ἀκριβεστέραν τὴν δοκιμασίαν, ἢ περὶ τῶν ἄλλων ἀρχῶν ποιεῖσθαι. εἰ δὲ μὴ πῶς οἴεσθε τὸ ἄλλο πλῆθος τῶν πολιτῶν διακείσεσθαι, ὅταν αἴσθωνται ὃν προσῆκε δίκας τῶν ἡμαρτημένων διδόναι, τοῦτον ὑφ' ὑμῶν τοιαύτης ἀρχῆς ἠξιωμένον, καὶ φόνου δίκας δικάζοντα· ὃν ἔδει αὐτὸν ὑπὸ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς κρίνεσθαι. καὶ πρὸς τούτοις ἰδόντες ἐστεφανωμένον καὶ ἐπικλήρων καὶ ὀρφανῶν κύριον γεγενημένον· ὧν ἐνίοις αὐτὸς ὢν τοι οὗτος τῆς ὀρφανίας αἴτιος γεγένηται. ἆρ' οὖν οἴεσθε αὐτοὺς χαλεπῶς διακεῖσθαι, καὶ ὑμᾶς αὐτῶν αἰτίους ἡγήσεσθαι, ὅταν γνῶνται ἐν ἐκείνοις τοῖς χρόνοις, ἐν οἷς αὐτῶν πολλοὶ εἰς τὸ δεσμωτήριον ἀπήγοντο, καὶ ἄκριτοι ὑπὸ τούτων ἀπώλλυντο καὶ φεύγειν τὴν σφετέραν αὐτῶν ἠναγκάζοντο; κἀκεῖνο προσενθυμηθῶσιν. ὅτι ὁ αὐτὸς οὗτος ἀνὴρ Θρασύβουλος αἴτιος γεγένηται Λεωδάμαντί τε ἀποδοκιμασθῆναι· καὶ τοῦτον δοκιμασθῆναι· τῷ μὲν κατήγορος γενόμενος, ὑπὲρ τούτου δὲ ἀπολογήσασθαι. παρασκευασάμενος ὅπως πρὸς τὴν πόλιν διακεῖσθαι. καὶ τοσούτων αἴτιος αὐτῇ κακῶν γεγένηται, ἢ πειθόμενοι πῶς ἂν οἴεσθε διαβληθῆναι. ὅτε μὲν γὰρ ὑμᾶς ᾤοντο ὀργισθέντας Λεωδάμαντα ἀποδοκιμάσαι τε· ἐὰν δὲ αὐτὸν δοκιμάσητε, εὖ εἴσονται, ὅτι οὐ δικαίᾳ γνώμῃ περὶ αὐτῶν κέχρησθε. ἔστι δὲ τούτοις μὲν πρὸς ὑμᾶς ἀγών· ὑμῖν δὲ πρὸς ἅπασαν τὴν πόλιν. ἢ σκοπεῖν νυνὶ τίνα ὑμεῖς γνώμην περὶ αὐτῆς ἕξετε. καὶ μηδεὶς ὑμῶν ἡγείσθω με Λεωδάμαντι χαριζόμενον, κατηγορεῖν Εὐάνδρου, ὅτι φίλος ὢν τυγχάνει· ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῆς πόλεως προνοούμενον. ῥᾴδιον δ' ἐξ αὐτοῦ τοῦ πράγματος μαθεῖν, Λεωδάμαντι γὰρ συμφέρει τοῦτον δοκιμασθῆναι. ὅπως γὰρ ὑμεῖς μάλιστα διαβληθήσεσθε, καὶ δόξετε ἀντὶ δημοτικῶν ἀνθρώπων, ὀλιγαρχικοὺς εἰς τὰς ἀρχὰς καθιστάναι· ὑμῖν δὲ τόνδε ἀποδοκιμάσαι. δόξετε γὰρ κἀκεῖνον δικαίως ἂν ἀποδοκιμάσαι. ἐὰν δὲ μὴ δὲ τόνδε, οὐδ' ἐκεῖνον δικαίως. καίτοι γε αὐτὸν ἀκούω λέξειν, ὡς οὐ περὶ αὐτοῦ μόνου ἡ δοκιμασία ἐστίν· ἀλλὰ περὶ πάντων τῶν ἐν ἄστει μεινάντων· καὶ τοὺς ὅρκους καὶ τὰς συνθήκας ὑμᾶς ὑπομνήσειν· ὡς ἐκ τούτων προσληψόμενον αὐτὸν δοκιμαστὰς τοὺς ἐν ἄστει μείναντας. ἐγὼ δ' ὑπὲρ τοῦ πλήθους βραχέα πρὸς αὐτὸν εἰπεῖν βούλομαι· ὅτι ὁ δῆμος οὐ τὴν αὐτὴν γνώμην ἔχει περὶ πάντων τῶν ἐν ἄστει μεινάντων, ἀλλὰ περὶ μὲν τῶν τοιαῦτα ἐξαμαρτανόντων, οἵαν ἐγώ φημι δεῖν, περὶ τῶν ἄλλων τὴν ἐναντίαν. τεκμήριον δέ, οὐ γὰρ ἐλάττους τούτων ἡ πόλις τετίμηκε τῶν ἐπὶ Φυλὴν ἐλθόντων, καὶ τὸν Πειραιᾶ καταλαβόντων. εἰκότως· τοὺς μὲν γὰρ ἴσασιν ὁποῖοί τινες ἐν δημοκρατίᾳ μένη γεγένηνται. ὁποῖοι δ' ἄν τινες ἐν ὀλιγαρχίᾳ γένοιντο, οὔπω πεῖραν εἰλήφασι. παρὰ δὲ τούτων ἑκατέρας τῆς πολιτείας ἱκανὴν βάσανον ἔχουσιν· ὥστ' εἰκότως πιστεύειν, καὶ ἡγοῦνταί γε διὰ μὲν τοὺς τοιούτους συλληφθέντας, τότε ἀποθανεῖν. διὰ δὲ τοὺς ἄλλους τοὺς συλληφθέντας, ἐκφεύγειν. ἐπεὶ εἴ γε τὴν αὐτὴν γνώμην ἅπαντες εἶχον, οὔτ' ἂν φυγή, οὔτ' ἂν κάθοδος, οὔτ' ἄλλο οὐδὲν τῶν γεγενημένων τῇ πόλει συνέβη· ἀλλὰ καὶ τὸ ἄλογον δοκεῖ εἶναι παράπασιν ὅπως ποτὲ πολλοὶ ὄντες, ὑπ' ὀλίγων τῶν ἐν Πειραιεῖ ἡττήθησαν· ὥσθ' ἡμῖν οὐδαμόθεν ἄλλοθεν, ἢ ἐκ τῆς τούτων προνοίας γεγένηται. οὗτοι γὰρ εἵλοντο μετὰ τῶν κατελθόντων πολιτεύεσθαι μᾶλλον, ἢ μετὰ τῶν τριάκοντα Λακεδαιμονίοις δουλεύειν. τοιγάρτοι ἀντὶ τούτων αὐτοὺς ὁ δῆμος ταῖς μεγίσταις τιμαῖς τετίμηκεν· ἱππαρχεῖν, καὶ στρατηγεῖν, καὶ πρεσβεύειν ὑπὲρ αὐτῆς αἱρούμενοι, καὶ οὐδέ ποτε αὐτοῖς μετεμέλησε, καὶ διὰ μέν γε τοὺς πολλοὺς ἐξαμαρτόντας τὰς δοκιμασίας εἶναι ἐψηφίσαντο. διὰ δὲ τοὺς μηδὲν τοιοῦτον πράξαντας, τὰς συνθήκας ἐποιήσαντο τοιαύτας, οἵας ἐγὼ ὑπὲρ τοῦ δήμου ἀποκρίνομαι. ὑμέτερον δὴ ἔργον ἐστὶν ὦ ἄνδρες βουλευταί. σκέψασθε ποτέρῳ ἂν πειθόμενοι περὶ τῆς δοκιμασίας ταύτης, ἄμεινον βουλεύσεσθε. πότερον ἐμοὶ ἢ Θρασυβούλῳ, ὃς αὐτῷ ἀπολογήσεται. περὶ μὲν οὖν ἐμοῦ ἢ τοῦ πατρὸς ἢ τῶν προγόνων, οὐδεὶς οὗτος εἰπεῖν ἕξει εἰς μισοδημίαν. οὔτε γὰρ ὡς ὀλιγαρχίας μετέσχον, ὕστερον γὰρ τῶν χρόνων τούτων, ἀνὴρ εἶναι ἐδοκιμάσθην, οὔθ' ὡς πατήρ. πρὸ γὰρ τῶν στάσεων πολὺ ἐν Σικελίᾳ ἄρχων ἐτελεύτησεν. οὐδ' ὡς οἱ πρόγονοι ὑπὸ τοῖς τυράννοις ἐγένοντο. στασιάζοντες γὰρ πρὸς αὐτοὺς τὸν ἅπαντα χρόνον, διετέλεσαν. ἀλλὰ μὲν δὴ οὐδὲ τὴν οὐσίαν ἡμᾶς ἐν τῷ πολέμῳ φήσει κτήσασθαι. εἰς δὲ τὴν πόλιν, οὐδὲν ἀνηλωκέναι πάντα.

πάντα γὰρ τοὐναντίον. ἐν εἰρήνῃ μὲν ὀγδοηκοντατάλαντος ἡμῶν ὁ οἶκος ἐγένετο. εἰς δὲ τὴν τῆς πόλεως σωτηρίαν, ἐν τῷ πολέμῳ ἅπας ἀνηλώθη. ἐγὼ δὲ τοσαῦτα τούτου τεία ἔξω εἰπεῖν τηλικαῦτα τὸ μέγεθος, ὥστ' ἄξιον εἶναι ἕκαστον ἔργον θανάτου. πρῶτον μὲν ὅτι τὴν ἐν Βοιωτοῖς πολιτείαν, χρήματα λαβὼν μετέστησε. καὶ τῆς συμμαχίας ἡμᾶς ταύτης ἀπεστέρησεν. ἔπειτα ὅτι τὰς ναῦς προὔδωκε, καὶ τὴν πόλιν περὶ σωτηρίας βουλεύεσθαι πεποίηκεν. ἔπειτα ὅτι παρὰ τῶν αἰχμαλώτων οὓς αὐτὸς ἀπώλεσε, τριάκοντα μνᾶς ἐσυκοφάντησεν. ὃ φάσκων αὐτοὺς λύσασθαι, εἰ μὴ τοῦτο αὐτῷ παρὰ σφῶν αὐτῶν παράσχοιεν. συνειδότες οὖν ἡμῶν ἑκατέρων τὸν βίον, πρὸς ταῦτα βουλεύεσθε ὁποτέρῳ χρὴ πιστεύειν περὶ τῆς Διοδώρου δοκιμασίας, καὶ οὕτως οὐκ ἐξαμαρτήσεσθε.

Λυσίου, κατὰ Ἐπικράτους καὶ τῶν συμπρεσβευτῶν, ὡς Θεόδωρος.

Κατηγόρηται μὲν ὦ ἄνδρες Ἀθηναῖοι Ἐπικράτους ἱκανά, καὶ τῶν συμπρεσβευτῶν. ἐνθυμεῖσθαι δὲ χρή, ὅτι πολλάκις ἠκούσατε τούτων λεγόντων ὁπότε βούλοιντό τινα ἀδίκως ἀπολέσαι, ὅτι εἰ μὴ καταψηφιεῖσθε ὧν αὐτοὶ κελεύουσιν, ὑπολείψει ὑμᾶς ἡ μισθοφορά. καὶ νῦν οὐδὲν ἧττον τοσοῦτον ἐνδεῖ, ὥστε τὸ μὲν πλῆθος καὶ ἡ αἰσχύνη ἡ διὰ τούτων, ὑμῖν γίγνεται. ἡ δ' ὠφέλεια τούτοις. πεπείρασται γάρ, ὅτι ὁπότε αὖ οὗτοι καὶ οἱ τούτων λόγοι δοκῶσιν αἴτιοι εἶναι, ψηφιεῖσθαι ὑμᾶς παρὰ τὸ δίκαιον, ῥᾳδίως παρὰ τῶν ἀδικούντων χρήματα λαμβάνουσι. καίτοι τίνα χρὴ ἐλπίδα ἔχειν σωτηρίας. ὁπόταν ἐν χρήμασιν ᾖ καὶ σωθῆναι τῇ πόλει καὶ μή. ταῦτα δὲ οὗτοι φύλακες ὑφ' ὑμῶν καταστάντες οἱ τῶν ἀδικούντων κολασταὶ κλέπτωσί τε καὶ καταδωροδοκῶσι. καὶ οὐ νῦν πρῶτον ὤφθησαν ἀδικοῦντες, ἀλλὰ καὶ πρότερον ἤδη δώρων ἐκρίθησαν. καὶ ὑμῖν ἔχω ἐπιμελέσαι. ὅτι τοῦ αὐτοῦ ἀδικήματος, ὀνομάσαντος μὲν κατεψηφίσασθε. τούτου δὲ ἀπεψηφίσασθε τοῦ ἀνδρὸς ἁπάντων κατηγορούντων, καὶ τῶν αὐτῶν καταμαρτυρούντων, οἳ οὐχ ἑτέρων ἤκουσαν. αὐτοὶ δὲ ἦσαν οἱ περὶ τῶν χρημάτων καὶ τῶν δώρων πρὸς τούτους πράττοντες. καίτοι πάντες ἅπαντες ἐπίστασθε, ὅτι οὐχ ὅταν τοὺς μὴ δυναμένους λέγειν κολάζητε, τότε ἔσται παράδειγμα τοῦ μὴ ὑμᾶς ἀδικεῖν. ἀλλ' ὁπόταν παρὰ τῶν δυναμένων δίκην λαμβάνητε, τοὺς πάντας παύσονται ἐπιχειροῦντες εἰς ὑμᾶς ἐξαμαρτάνειν. νῦν δ' ἀσφαλῶς αὐτοῖς ἔχει τὰ ὑμέτερα κλέπτειν. ἂν μὲν γὰρ λάθωσιν, ἀδεῶς αὐτοῖς ἔξουσι χρῆσθαι. ἂν δὲ ὀφθῶσιν, ἢ μέρει τῶν ἀδικημάτων τὸν κίνδυνον ἐξεπρίαντο. ἢ εἰς ἀγῶνα καταστάντες, τῇ αὐτῶν δυνάμει ἐσώθησαν. νῦν τοίνυν ὦ ἄνδρες δικασταὶ παράδειγμα ποιήσατε τοῖς ἄλλοις δικαίοις εἶναι παρὰ τούτων δίκην λαβόντες. ἥκουσι δὲ πάντες οἱ τὰ τῆς πόλεως πράττοντες οὐχ ἡμῶν ἀκροασόμενοι, ἀλλ' ὑμᾶς εἰσόμενοι, ἣν τινα γνώμην περὶ τῶν ἀδικούντων ἕξετε. ὥστ' εἰ μὲν ἀποψηφιεῖσθε τούτων, οὐδὲν δεινὸν δόξει αὐτοῖς εἶναι ὑμᾶς ἐξαπατήσαντας ἐκ τῶν ὑμετέρων ὠφελεῖσθαι. ἐὰν δὲ καταψηφισάμενοι θανάτου, τιμήσητε τῇ αὐτῇ ψήφῳ, τούς τε ἄλλους κοσμιωτέρους ποιήσετε, ἢ νῦν εἰσι, καὶ παρὰ τούτων δίκην εἰληφότες ἔσεσθε. ἡγοῦμαι δ' ὦ ἄνδρες Ἀθηναῖοι οὐδ' εἰ μὴ προθέντες αὐτοὺς εἰς κρίσιν, ἢ ἀπολογουμένων μὴ ἐθελήσαντες ἀκοῦσαι, καὶ καταψηφισάμενοι τῶν ἐσχάτων τιμήσαιτε. οὐκ ἂν ἀκρίτους αὐτοὺς ἀπολωλέναι, ἀλλὰ τὴν προσήκουσαν δίκην δεδωκέναι. οὐ γὰρ οὗτοι ἄκριτοί εἰσι περὶ ὧν ἂν ὑμεῖς εἰδότες τὰ πραχθέντα, ψηφίσησθε. ἀλλ' εἴ τινες ἂν ὑπὸ τῶν ἐχθρῶν διαβληθέντες περὶ ὧν ὑμεῖς μὴ ἴστε, ἀκροάσεως μὴ τύχωσι. τούτων δέ, τὰ μὲν πράγματα κατηγορεῖ. ἡμεῖς δὲ καταμαρτυροῦμεν. καὶ οὐ γὰρ δέδοικα, ὡς ἐὰν ἀκροᾶσθε αὐτῶν ἀποψηφιεῖσθε. ἀλλ' οὐκ ἂν ἡγοῦμαι αὐτοὺς δίκην ἀξίαν δεδωκέναι. εἰ ἀκροασάμενοι αὐτῶν καταψηφίσαισθε. πῶς γάρ ὦ ἄνδρες δικασταὶ δὶς οὐ δὲ ταῦτα καὶ ὑμῖν συμφέρει, οὗτοι μὲν γὰρ ἐν τῷ πολέμῳ ἐκ πενήτων, πλούσιοι γεγόνασιν ἐκ τῶν ὑμετέρων. ὑμεῖς δὲ διὰ τούτους πένητες. καίτοι οὐ ταῦτα ἀγαθῶν δη-

μα πάντων ἔδει τὰ ὑμέτερα ἐν ταῖς ὑμετέραις συμφοραῖς λαμβάνειν, ἀλλὰ τὰ ἑαυτῶν ὑμῖν διδόναι. καὶ γάρ τοι εἰς τοσοῦτον ἥκομεν, ὥστε οἱ πρότερον ἐν τῇ εἰρήνῃ οὐδὲ σφᾶς αὐτοὺς ἐδύναντο τρέφειν, νῦν ὑμῖν εἰσφορὰς εἰσφέρουσι, καὶ χορηγοῦσι, καὶ οἰκίας μεγάλας οἰκοῦσι. καίτοι ἑτέροις ὑμῶν ἔδει ὅτε τὰ πατρῷα κεκτημένοις, ταῦτα ποιοῦσιν ἐφθονεῖτε. νῦν δ' οὕτως ἡ πόλις διάκειται, ὥστε οὐκέτι ὧν οὗτοι κλέπτουσιν ὀργίζεσθε, ἀλλ' ὧν αὐτοὶ λαμβάνετε χάριν ἴστε· ὥσπερ ὑμεῖς τὰ τούτων μισθοφοροῦντες, ἀλλ' οὐ τούτων τὰ ὑμέτερα κλεπτόντων. τὸ δὲ πάντων ὑπερφυέστατον, ὅτι ἐν μὲν τοῖς ἰδίοις ἀδικούμενοι δακρύουσι, καὶ ἐλεεινοί εἰσιν. ἐν δὲ τοῖς δημοσίοις, οἱ μὲν ἀδικοῦντες ἐλεεινοί· ὑμεῖς δ' οἱ ἀδικούμενοι, ἐλεεῖτε. καὶ νῦν ἴσως ποιήσουσιν ἅπερ καὶ πρότερον ἦσαν εἰθισμένοι, καὶ δημόται, καὶ φίλοι κλαίοντες ἐξαιτεῖσθαι αὐτοὺς παρ' ὑμῶν. ἐγὼ δ' οὕτως ἀξιῶ γίνεσθαι. εἰ μὲν ἀδικεῖν τούτους μηδὲν νομίζουσιν, ἀποδείξαντες ὡς ψευδῆ τὰ κατηγορημένα, οὕτω πείθειν ὑμᾶς ἀποψηφίσασθαι. εἰ δὲ νομίσαντες ἀδικεῖν, αἰτήσονται δηλονότι τοῖς ἀδικοῦσιν εὐνούστεροί εἰσιν, ἢ ὑμῖν τοῖς ἀδικουμένοις. ὥστε οὐ χάριτος ἄξιοι τυχεῖν, ἀλλὰ τιμωρίας ὁπόταν ὑμεῖς δύνησθε. ἔτι δὲ τοὺς αὐτοὺς ἡγεῖσθαι χρὴ καὶ τῶν κατηγόρων σφόδρα δεήσεσθαι, νομίζοντας πολὺ ἂν θᾶττον παρ' ὑμῶν ὀλίγων ὄντων ταύτην τὴν χάριν λαμβάνειν, ἢ παρ' ὑμῶν. ἔτι δὲ ῥᾷον ἄλλους τινὰς τὰ ὑμέτερα καταχαρίζεσθαι, ἢ ὑμᾶς αὐτούς γε. ἡμεῖς μὲν τοίνυν οὐκ ἠθελήσαμεν προδοῦναι. ἀξιοῦμεν δὲ μηδ' ὑμᾶς ἐνθυμουμένους, ὅτι σφόδρ' ἂν ἡμῖν ὀργίζεσθε καὶ ἐτιμωρεῖσθε ὅπου περιεπίπτομεν ὡς εἰκὸς τοὺς ἀδικοῦντας, εἰ ὑμεῖς παρὰ τούτων ἢ χρήματα λαβόντες, ἢ ἄλλῳ τινὶ τρόπῳ διηλλάγημεν. καίτοι εἰ τοῖς μὴ δικαίως ἐπεξιοῦσιν ὀργίζεσθε, ἦπου σφόδρα χρὴ αὐτοὺς τοὺς ἀδικοῦντας τιμωρεῖσθαι. νῦν τοίνυν ὦ ἄνδρες δικασταὶ καταψηφισάμενοι Ἐπικράτους, τὴν ἀξίαν τιμωρήσατε. καὶ μὴ ὥσπερ ἐν τῷ τέως χρόνῳ εἰθισμένοι ἐστε, ἐπειδὰν καταψηφισάμενοι ἐξελέγξητε τοὺς ἀδικοῦντας, ἐν τῷ τιμήματι ἀζημίους ἀφίετε. ἔχθραν οὐ δίκην παρὰ τῶν ἀδικούντων λαμβάνοντες, ὥσπερ τοῦ ὀνείδους. ἀλλ' οὐ τῆς ζημίας αὐτοῖς μέλλον, εὖ εἰδότες, ὅτι ἐν μὲν τῇ ψήφῳ οὐδὲν ἄλλο ποιεῖτε, ἢ ὀνειδίζετε τοῖς ἀδικοῦσιν. ἐν δὲ τῷ τιμήματι, τιμωρεῖσθε τοὺς ἐξαμαρτάνοντας.

Λυσίου, κατὰ Ἐργοκλέους ἐπίλογος.

τ

Ἀ μὲν κατηγορημένα οὕτως ἐστὶ πολλὰ καὶ δεινὰ ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε οὐκ ἄν μοι δοκεῖ δύνασθαι Ἐργοκλῆς, ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων αὐτῷ, πολλάκις ἀποθανών, δοῦναι δίκην ἀξίαν τῷ ὑμετέρῳ πλήθει. καὶ γὰρ πόλεις προδεδωκὼς φαίνεται, καὶ προξένους, καὶ πολίτας ὑμετέρους ἠδικηκώς. καὶ ἐκ πένητος, ἐκ τῶν ὑμετέρων πλούσιος γεγενημένος. καίτοι πῶς αὐτοῖς χρὴ συγγνώμην ἔχειν, ὅταν ὁρᾶτε τὰς μὲν ναῦς ὧν ἦρχον οὗτοι δι' ἀπορίαν χρημάτων καταλυομένας, καὶ ἐκ πολλῶν ὀλίγας γινομένας· τούτους δὲ πένητας καὶ ἀπόρους ἐκπλεύσαντας, οὕτω ταχέως πλείστην τῶν πολιτῶν οὐσίαν κεκτημένους. ὑμέτερον τοίνυν ἔργον ἐστὶν ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς τοιούτοις ὀργίζεσθαι. καὶ γὰρ δὴ δεινὸν ἂν εἴη, εἰ νῦν μὲν οὕτως αὐτοὶ πιεζόμενοι ταῖς εἰσφοραῖς, συγγνώμην τοῖς κλέπτουσι καὶ τοῖς δωροδοκοῦσιν ἔχοιτε. ἐν δὲ τῷ τέως χρόνῳ καὶ τῶν οἴκων τῶν ὑμετέρων μεγάλων ὄντων, καὶ τῶν δημοσίων προσόδων μεγάλων οὐσῶν, θανάτῳ ἐκολάζετε τοὺς τῶν ὑμετέρων ἐπιθυμοῦντας. οἶμαι δ' ἔγωγε πάντας ὑμᾶς ὁμολογῆσαι, εἰ ὑμῖν Θρασύβουλος ἐπηγγέλλετο τριήρεις ἔχων ἐκπλεύσεσθαι, καὶ ταύτας παλαιὰς ἀντὶ καινῶν παραδώσειν, καὶ τοὺς μὲν κινδύνους, ὑμετέρους ἔσεσθαι. τὰς δ' ὠφελείας, τῶν αὐτοῦ φίλων· καὶ ὑμᾶς μὲν διὰ τὰς εἰσφορὰς πενεστέρους ἀποδείξειν· Ἐργοκλέα δὲ καὶ τοὺς κόλακας τοὺς αὐτοῦ πλουσιωτάτους τῶν πολιτῶν ποιήσειν, οὐδένα ἂν ὑμῶν ἐπιτρέψαι τὰς ναῦς ἐκεῖνον ἔχοντα ἐκπλεῦσαι. ἄλλως τε, ἐπειδὴ καὶ τάχιστα ὑμεῖς ἐψηφίσασθε τὰ χρήματα ἀπογράψαι, τὰ ἐκ τῶν

πόλεων

πόλεων εἰλημμένα, καὶ τοὺς ἄρχοντας τοὺς μετ' ἐκείνου καταπλεῖν ἐψηφίσασθε δώσοντας, Ἐργοκλῆς ἔλεγεν ὡς ἤδη συκοφαντεῖτε καὶ τῶν ἀρχαίων νόμων ἐπιθυμεῖτε· καὶ Θρασυβούλῳ συνεβούλευε Βυζάντιον καταλαβεῖν, καὶ τὰς ναῦς ἔχειν, καὶ τὴν Σεύθου θυγατέρα γαμεῖν· ἵνα αὐτῶν ἐκκόψῃς ἔφη τὰς συκοφαντίας· ποιήσεις γὰρ αὐτοὺς οὐκ ἐπιβουλεύοντάς σοι καθῆσθαι, καὶ τοῖς σοῖς φίλοις, ἀλλὰ περὶ αὑτῶν δεδιέναι. οὗτοι ὦ ἄνδρες Ἀθηναῖοι ἐπειδὴ τάχιστα ἐπλούτησαν καὶ τῶν ὑμετέρων ἀπέλαυσαν ἀλλοτρίους τῆς πόλεως αὑτοὺς ἡγήσαντο. ἅμα γὰρ πλουτοῦσι, καὶ ὑμᾶς μισοῦσι. καὶ οὐκέτι ὡς ἀρξόμενοι παρασκευάζονται· ἀλλ' ὡς ὑμῶν ἄρξοντες, καὶ δεδιότες ὑπὲρ ὧν ἀφῄρηνται ἕτοιμοί εἰσι· καὶ χωρία καταλαμβάνειν, καὶ ὀλιγαρχίαν καθιστάναι, καὶ πάντα πράττειν ὅπως ὑμεῖς ἐν τοῖς δεινοτάτοις κινδύνοις καθ' ἑκάστην ἡμέραν ἔσεσθε. οὕτω γὰρ ἡγοῦνται οὐκέτι τοῖς σφετέροις αὐτῶν ἁμαρτήμασι τὸν νοῦν ὑμᾶς προσέξειν, ἀλλ' ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς πόλεως ὀρρωδοῦντας, ἡσυχίαν πρὸς τούτοις ἕξειν. Θρασύβουλος μὲν οὖν ὦ ἄνδρες Ἀθηναῖοι οὐδὲν γὰρ δεῖ περὶ αὐτοῦ πλείω λέγειν, καλῶς ἐποίησεν οὕτω τελευτήσας τὸν βίον· οὐ γὰρ ἔδει αὐτὸν, οὔτε ζῆν τοιούτοις ἔργοις ἐπιβουλεύοντα, οὔθ' ὑφ' ὑμῶν ἀποθανεῖν ἤδη τι δοκοῦντα ὑμᾶς ἀγαθὸν πεποιηκέναι, ἀλλὰ τοιούτῳ τρόπῳ τῆς πόλεως ἀπαλλαγῆναι. ὁρῶ δ' αὐτοὺς διὰ τὴν πρώην ἐκκλησίαν οὐκέτι φειδομένους τῶν χρημάτων, ἀλλ' ὠνουμένους τὰς αὑτῶν ψυχάς· καὶ παρὰ τῶν λεγόντων καὶ παρὰ τῶν ἐχθρῶν, καὶ παρὰ τῶν πρυτάνεων. καὶ πολλοὺς Ἀθηναίων ἀργυρίῳ διαφθείρειν· ὑπὲρ ὧν ὑμῖν ἄξιόν ἐστιν ἀπολογήσασθαι, παρὰ τούτου νυνὶ δίκην λαβοῦσι· καὶ πᾶσιν ἀνθρώποις ἐπιδεῖξαι ὅτι οὐκ ἔστι τοσαῦτα χρήματα ὧν ὑμεῖς ἡττήσεσθε, ὥστε μὴ τιμωρεῖσθαι τοὺς ἀδικοῦντας· ἐνθυμεῖσθαι γὰρ ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐκ Ἐργοκλῆς μόνος κρίνεται, ἀλλὰ καὶ ἡ πόλις ὅλη· νυνὶ γὰρ τοῖς ἄρχουσι τοῖς ὑμετέροις ἐπιδείξετε, πότερον χρὴ δικαίους εἶναι· καὶ ὡς πλεῖστα τῶν ὑμετέρων ὑφελομένους τῷ αὐτῷ τρόπῳ τὴν σωτηρίαν παρασκευάζεσθαι, ὥσπερ οὗτοι νυνὶ πειρῶνται. καίτοι εὖ εἰδέναι χρὴ ὦ ἄνδρες δικασταὶ, ὅστις ἐν τοσαύτῃ ἀπορίᾳ τῶν ὑμετέρων πραγμάτων, ἢ πόλεις προδίδωσιν, ἢ χρήματα κλέπτειν ἢ δωροδοκεῖν ἀξιοῖ, οὗτος καὶ τὰ τείχη καὶ τὰς ναῦς τοῖς πολεμίοις παραδίδωσι, καὶ ὀλιγαρχίαν ἐκ δημοκρατίας καθίστησιν· ὥστ' οὐκ ἄξιον ὑμῖν τῆς τούτων παρασκευῆς ἡττῆσθαι. ἀλλὰ παράδειγμα πᾶσιν ἀνθρώποις ποιῆσαι, καὶ μήτε κέρδος, μήτε ἔλεον, μήτ' ἄλλο μηδὲν περὶ πλείονος ποιήσασθαι τῆς τούτων τιμωρίας. οἶμαι δ' Ἐργοκλέα ὦ ἄνδρες Ἀθηναῖοι, περὶ μὲν Ἁλικαρνασσοῦ, καὶ περὶ τῆς ἀρχῆς, καὶ περὶ τῶν αὐτῷ πεπραγμένων, οὐκ ἐπιχειρήσειν ἀπολογεῖσθαι· ἐρεῖν δὲ ὡς ἀπὸ Φυλῆς κατῆλθε, καὶ ὡς δημοτικός ἐστι, καὶ ὡς τῶν κινδύνων τῶν ὑμετέρων μετέσχεν. ἐγὼ δὲ ὦ ἄνδρες Ἀθηναῖοι οὐ τοιαύτην γνώμην ἔχω περὶ τῶν τοιούτων· ἀλλ' ὅσοι μὲν ἐλευθερίας, καὶ τοῦ δικαίου ἐπιθυμοῦντες, καὶ τοὺς νόμους ἰσχύειν βουλόμενοι, καὶ τοὺς ἀδικοῦντας μισοῦντες τῶν ὑμετέρων κινδύνων μετέσχον, οὐ πονηροὺς εἶναι πολίτας· οὐδὲ ἀδίκως τούτοις φημὶ ἂν εἰς ὑπόλογον τὴν ἐκείνων φυγήν· ὅσοι δὲ κατελθόντες ἐν δημοκρατίᾳ, τὸ μὲν ὑμέτερον πλῆθος ἀδικοῦσι, τοὺς δὲ ἰδίους οἴκους ἐκ τῶν ὑμετέρων μεγάλους ποιοῦσι, πολὺ μᾶλλον αὐτοῖς προσήκει ὀργίζεσθαι, ἢ τοῖς τριάκοντα. οἱ μὲν γὰρ ἐπὶ τοῦτ' ἐχειροτονήθησαν, ἵνα κακῶς εἴ τι δύναιντο, ὑμᾶς ποιήσαιεν· τούτους δ' ὑμᾶς αὐτοὺς ἐπετρέψατε ὡς μεγάλην καὶ ἐλευθέραν τὴν πόλιν ποιήσωσιν· ὧν ὑμῖν οὐδὲν ἀποβέβηκεν· ἀλλὰ τὸ ἐπὶ τούτοις εἶναι, ἐν τοῖς δεινοτάτοις κινδύνοις καθεστήκατε. ὥστε πολὺ ἂν δικαιότερον ὑμᾶς αὐτοὺς ἢ τούτους ἐλεοῖτε, καὶ τοὺς ὑμετέρους παῖδας καὶ γυναῖκας· ὅτι ὑπὸ τοιούτων ἀνδρῶν λυμαίνεσθε. ὅταν γὰρ ἡγησόμεθα σωτηρίας ἀντειλῆφθαι, δεινότερα ὑπὸ τῶν ὑμετέρων ἀρχόντων πάσχομεν, ἢ ὑπὸ τῶν πολεμίων. καίτοι πάντες ἐπίστασθε ὅτι οὐδεμία ἐλπὶς σωτηρίας ὑμῖν δυστυχήσασιν· ὥστε ἄξιον ὑμᾶς παρακελευσαμένους ὑμῖν αὐτοῖς, παρὰ τούτου νυνὶ τὴν μεγίστην δίκην λαβεῖν, καὶ τοῖς ἄλλοις Ἕλλησιν ἐπιδεῖξαι ὡς τοὺς ἀδικοῦντας τιμωρεῖσθε, καὶ τοὺς ὑμετέρους ἄρχοντας

βελτίους ποιήσετε. Ἐγὼ μὲν οὖν ταῦθ' ὑμῖν παρακελεύομαι· ὑμᾶς δὲ χρὴ εἰδέναι, ὅτι ἂν μὲν ἐμοὶ πεισθῆτε, περὶ αὐτῶν βουλεύσεσθε. εἰ δὲ μὴ, χείροσι τοῖς ἄλλοις πολίταις χρήσεσθε. ἔτι δὲ ὦ ἄνδρες ἀθηναῖοι, ἂν αὐτῶν ἀποψηφίσησθε, οὐδεμίαν ὑμῖν εἴσονται χάριν· ἀλλὰ τοῖς ἀνηλωμένοις καὶ τοῖς χρήμασιν οἷς ὑφῄρηνται· ὥστε τὴν μὲν ἔχθραν ὑμῖν αὐτοῖς καταλείψετε· τῆς δὲ σωτηρίας, ἐκείνοις εἴσονται χάριν. καὶ μὲν δὴ ὦ ἄνδρες ἀθηναῖοι καὶ ἁλικαρνασεῖς, καὶ οἱ ἄλλοι οἱ ὑπὸ τούτων ἠδικημένοι, ἂν μὲν παρὰ τούτων τὴν μεγίστην δίκην λάβητε, νομιοῦσιν ὑπὸ τούτων μὲν ἀπολωλέναι· ὑμᾶς δὲ αὐτοῖς βεβοηθηκέναι, ἐὰν δὲ τούτους σώσητε, ἡγήσονται καὶ ὑμᾶς ὁμογνώμονας γεγονέναι τοῖς αὐτοὺς προδεδωκόσιν· ὥστ' ἄξιον τούτων ἁπάντων ἐνθυμηθέντας, ἅμα τοῖς τε φίλοις τοῖς ὑμετέροις ἀποδοῦναι χάριν· καὶ παρὰ τῶν ἀδικούντων τὴν δίκην λαβεῖν.

Λυσίου, κατὰ Φιλοκράτους ἐπίλογος.

ὁ

ού ἀπὼν οὗτος ὦ ἄνδρες δικασταὶ ἐρημότερος γεγένηται, ἢ ἐγὼ προσεδόκων. πολλοὶ γὰρ ἦσαν οἱ ἀπειλοῦντες, καὶ οἱ φάσκοντες φιλοκράτους κατηγορήσειν, ὧν οὐδεὶς νυνὶ φαίνεται. ὃ κἀμοὶ δοκεῖ οὐδενὸς ἔλαττον εἶναι τεκμήριον τῆς ἀπογραφῆς· ὅτι ἀληθὴς οὖσα τυγχάνει· εἰ γὰρ μὴ πολλὰ τῶν ἐργοκλέους εἶχε χρημάτων, οὐκ ἂν οὗτος οἷός τ' ἦν ἀπαλλάξαι τοὺς κατηγόρους. ἐγὼ δὲ ὦ ἄνδρες δικασταὶ, πάντας ὑμᾶς ἡγοῦμαι εἰδέναι ὅτι ἐργοκλέους διὰ τοῦτο ὑμεῖς θάνατον κατεχειροτονήσατε, ὅτι κακῶς διαθεὶς τὰ τῆς πόλεως, πλέον ἢ τριάκοντα ταλάντων οὐσίαν ἐκτήσατο. καὶ τούτων τῶν χρημάτων, οὐδὲν ἐν τῇ πόλει φαίνεται· καίτοι ποῦ χρὴ τραπέσθαι, ἢ πῆ ζητῆσαι τὰ χρήματα· εἰ γὰρ παρὰ τοῖς κηδεσταῖς καὶ οἷς ἐκεῖνος οἰκειότατ' ἀνθρώπων ἐχρῆτο μὴ φανήσεται, χαλεπῶς παρὰ τοῖς ἐχθροῖς εὑρεθήσεται· τίνα δὲ ἐργοκλῆς περὶ πλείονος φιλοκράτους ἐποιεῖτο, ἢ πρὸς τίν' ἀνθρώπων διέκειτο οἰκειότερον. οὐ τῶν μὲν ὑμετέρων πολιτῶν αὐτὸν ἐξήγαγε. τῶν δ' αὑτοῦ χρημάτων ταμίαν ἐποίησε. καὶ τὸ τελευταῖον τριήραρχον αὐτὸν κατέστησε. καίτοι δεινὸν, εἰ οἱ μὲν τὰς οὐσίας ἔχοντες ὀλοφύρονται τριηραρχοῦντες. οὗτος δὲ οὐδὲν πρότερον κεκτημένος, ἐν ἐκείνῳ τῷ χρόνῳ ἐθελοντὴς ὑπέστη ταύτην τὴν λειτουργίαν· οὔκουν δὴ οὐχ ὡς ζημιωθησόμενον αὐτὸν τριήραρχον κατέστησεν, ἀλλ' ὡς ὠφεληθησόμενον, καὶ φυλάξοντα τὰ αὐτοῦ χρήματα, οὐκ ἔχων ὅτῳ χρὴ μᾶλλον τούτου πιστεῦσαι. ἡγοῦμαι δὲ ὦ ἄνδρες δικασταὶ φιλοκράτει δύο εἶναι καὶ μόνας ἀπολογίας. προσήκειν γὰρ αὐτῷ ἀποδεῖξαι, ἢ ἑτέρους ἔχοντας τὰ ἐργοκλέους χρήματα. ἢ ἀδίκως ἀπολωλότα ἐκεῖνον, καὶ οὐδὲν ὑφῃρημένον τῶν ὑμετέρων, οὐδὲ δεδωροδοκηκότα. εἰ δὲ τούτων μηδέτερον ποιήσει, δέδοκται καταψηφίζεσθαι, καὶ μὴ τοῖς μὲν παρὰ τῶν ἄλλων λαμβάνουσιν, ὀργίζεσθαι. τοῖς δὲ τὰ ὑμέτερ' αὐτῶν ἔχουσι συγγνώμην ἔχειν. τίς δ' οὐκ οἶδεν ἀθηναίων τρία τάλαντα παρὰ ἐργοκλέους μεσεγγυηθέντα, τοῖς λέγουσιν εἰ δύναιντο αὐτὸν σῶσαι καὶ μὴ κατηγορεῖν. οἳ ἐπειδὴ ἑώρων τὴν ὑμετέραν ὀργὴν τιμωρεῖσθαι βουλομένην, ἡσυχίαν ἦγον, καὶ οὐκ ἐτόλμων σφᾶς αὐτοὺς φανεροὺς ποιῆσαι. καὶ τὸ μὲν πρῶτον οὗτος ὁ κομιζόμενος παρ' αὐτῶν τὰ χρήματα, μηνύειν ἔφη τῇ πόλει. ἐπειδὴ δὲ καὶ ταῦτα ἀπείληφε καὶ τῶν ἄλλων τῶν ἐκείνου κύριος γεγένηται, εἰς τοῦτο τόλμης ἐλήλυθεν, ὥστε μάρτυρας παρέχεται. οἳ μαρτυρήσουσιν αὐτῷ, ὡς ἦν ἔχθιστος ἁπάντων ἀνθρώπων ἐργοκλεῖ. καίτοι οἴεσθ' ἂν αὐτὸν ὦ ἄνδρες δικασταὶ εἰς τοῦτο μανίας ἀφικέσθαι, ὥστε θρασυβούλου στρατηγοῦντος καὶ ἐργοκλέους αὐτῷ διαφερομένου, ἐθελοντὴν ὑποστῆναι τριήραρχον; πῶς γὰρ ἂν θᾶττον ἀπώλετο, ἢ πῶς ἂν μᾶλλον ἐπηρεάζετο. περὶ μὲν τούτων ἱκανὰ τὰ εἰρημένα. ἐγὼ δ' ὑμᾶς ἀξιῶ ὑμῖν αὐτοῖς βοηθῆσαι, καὶ πολὺ μᾶλλον τοὺς ἀδικοῦντας τιμωρεῖσθαι, ἢ τοὺς τὰ τῆς πόλεως ἔχοντας ἐλεεινοὺς ἡγεῖσθαι. οὐδὲν γὰρ τῶν αὐτοῦ κα-

τα θήσει, ἀλλὰ τὰ ὑμέτερα ὑμῖν αὐτοῖς ἀποδώσει. καὶ πολλῷ πλείονα αὐτῷ τούτων ὑπολείπεται. καὶ γὰρ ἂν καὶ δεινὸν εἴη ὦ ἄνδρες δικασταί, εἰ τοῖς μὲν μὴ δυναμένοις τὰ σφέτερα αὐτῶν εἰσφέρειν ὀργίζοισθε, καὶ τὰς οὐσίας αὐτῶν ὡς ἀδικούντων δημεύοιτε· τοὺς δὲ τὰ ὑμέτερα αὐτῶν ἔχοντας μὴ τιμωροῖσθε, ἀλλὰ τῶν τε χρημάτων ἀποστεροῖσθε· καὶ τούτους χαλεπωτέρους ἐχθροὺς ἔχοιτε. ἕως γὰρ ἂν τὰ ὑμέτερα ἔχοντες σφίσιν αὐτοῖς ξυνειδῶσιν, οὐδέποτε ὑμῖν παύσονται κακόνοοι ὄντες, νομίζοντες τὰς τῆς πόλεως δυστυχίας μόνας ἀπαλλαγὴν εἶναι τῶν πρὸς αὐτοὺς πραγμάτων. ἡγοῦμαι δ' ὦ ἄνδρες δικασταί, οὐ μόνον περὶ χρημάτων αὐτῷ προσήκειν ἀγωνίζεσθαι, ἀλλὰ καὶ περὶ τοῦ σώματος κινδυνεύειν. καὶ γὰρ ἂν καὶ δεινὸν εἴη, εἰ οἱ μὲν τὰ τῶν ἰδιωτῶν ἀπολλύμενα τοῖς κλέπταις συνειδότες, τοῖς αὐτοῖς ἐνέχοιντο· οὗτος δὲ τὰ τῆς πόλεως Ἐργοκλεῖ συνειδὼς κλέπτοντι, καὶ ἐπὶ τοῖς ὑμετέροις δωροδοκῶν, μὴ τῆς αὐτῆς τιμωρίας τυγχάνοι, ἀλλ' ἆθλα λάβοι τὴν ὑπ' ἐκείνου καταλειφθεῖσαν οὐσίαν, ἀντὶ τῆς αὐτοῦ πονηρίας; ἄξιοι δ' ὑμῖν εἰσιν ὀργῆς ὦ ἄνδρες δικασταί, οὗτοι γὰρ ὅτε Ἐργοκλῆς ἐκρίνετο, οἱ τῷ δήμῳ περιιόντες ἔλεγον ὡς πεντακόσιοι μὲν αὐτοῖς, οἱ ἦσαν ἐκ τοῦ Πειραιέως δεδεκασμένοι· ἑξακόσιοι δὲ καὶ χίλιοι ἐκ τοῦ ἄστεος. μᾶλλον δὲ προσῆκεν οὕτω πιστεύειν τοῖς χρήμασιν, ἢ δεδιέναι τὰ αὐτῶν ἁμαρτήματα. ἐκεῖ μὲν οὖν ἐπιδείξατε αὐτοῖς. ἐὰν δὲ εὖ φρονῆτε, καὶ νυνὶ τοῦτο φανερὸν, πᾶσιν ἀνθρώποις ποιήσετε, ὅτι οὐκ ἔστι τοσαῦτα χρήματα ἃ ὑμᾶς οὓς ἐὰν λαμβάνητε ἀδικοῦντας ἀποτρέψει τιμωρεῖσθαι, καὶ μὴ δὲ μίαν αὐτοῖς ἄδειαν δώσετε τὰ ὑμέτερα αὐτῶν διαρπάζουσι, καὶ κλέπτουσιν. Ἐγὼ μὲν οὖν ταῦτα ὑμῖν παραινῶ· πάντες γὰρ ἐπίστασθε, ὅτι Ἐργοκλῆς χρηματι ούμενος, ἀλλ' οὐ πρὸς ὑμᾶς φιλοτιμούμενος ἐξέπλευσε, καὶ οὐδεὶς ἄλλος ἔχει τὰ χρήματα, ἢ οὗτος. ἐὰν οὖν σωφρονῆτε, τὰ ὑμέτερα αὐτῶν κομιεῖσθε.

Λυσίου, κατὰ Νικομάχου γραμματέως, εὐθυνῶν κατηγορία.

ἤ δη ὦ ἄνδρες δικασταί, τινὲς εἰς κρίσιν καταστάντες, ἀδικεῖν μὲν ἔδοξαν. ἀποφαίνοντες δὲ τὰς τῶν προγόνων ἀρετὰς, καὶ τὰς σφετέρας αὐτῶν εὐεργεσίας, συγγνώμης ἔτυχον παρ' ὑμῶν. ἐπειδὴ τοίνυν καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε ἐάν τι ἀγαθὸν φαίνωνται τὴν πόλιν πεποιηκότες, ἀξιῶ καὶ τῶν κατηγόρων ὑμᾶς ἀκροάσασθαι. ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας πάλαι πονηροὺς ὄντας. ὅτι μὲν τοίνυν ὁ πατὴρ ὁ Νικομάχου δημόσιος ἦν, καὶ οἷα νέος ὢν οὗτος ἐπετήδευσε, καὶ ὅσα ἔτη γεγονὼς εἰς τοὺς φράτορας εἰσήχθη, πολὺ ἂν ἔργον εἴη λέγειν. ἐπειδὴ δὲ τῶν νόμων ἀναγραφεὺς ἐγένετο, τίς οὐκ οἶδεν ὅσα τὴν πόλιν ἐλυμήνατο. προσταχθὲν γὰρ αὐτῷ τεσσάρων μηνῶν ἀναγράψαι τοὺς νόμους τοὺς Σόλωνος, ἀντὶ μὲν Σόλωνος, αὐτὸν νομοθέτην κατέστησεν. ἀντὶ δὲ τεττάρων μηνῶν, ἑξέτη τὴν ἀρχὴν ἐποιήσατο. καθ' ἑκάστην δὲ ἡμέραν ἀργύριον λαμβάνων, τοὺς μὲν ἀνέγραφε. τοὺς δὲ ἐξήλειφεν. εἰς τοῦτο δὲ κατέστημεν, ὥστε ἐκ τῆς τούτου χειρὸς ἐταμιευόμεθα τοὺς νόμους. καὶ οἱ ἀντίδικοι ἐν τοῖς δικαστηρίοις ἐναντίους παρείχοντο. ἀμφότεροι παρὰ Νικομάχου φάσκοντες εἰληφέναι. ἐπιβαλλόντων δὲ τῶν ἀρχόντων ἐπιβολὰς, καὶ εἰσαγόντων εἰς τὸ δικαστήριον, οὐκ ἠθέλησε παραδοῦναι τοὺς νόμους, ἀλλὰ πρότερον ἡ πόλις εἰς τὰς μεγίστας συμφορὰς κατέστη, πρὶν τοῦτον ἀπαλλαγῆναι τῆς ἀρχῆς. καὶ τῶν πεπραγμένων εὐθύνας ὑποσχεῖν. καὶ γάρ τοι ὦ ἄνδρες δικασταί, ἐπειδὴ ἐκείνων δίκην οὐ δέδωκεν, ὁποίαν καὶ νῦν τὴν ἀρχὴν κατεστήσατο. ὅστις πρῶτον μὲν τέτταρα ἔτη ἀνέγραψεν. ἐξὸν αὐτῷ τριάκοντα ἡμερῶν ἀπαλλαγῆναι. ἔπειτα διωρισμένον. ἐξ ὧν ἔδει ἀναγράφειν αὐτὸν ἁπάντων κύριον ἐποιήσατο, καὶ ὅσα χειρίσας μόνος οὗτος τῶν ἀρξάντων εὐθύνας οὐκ ἔδωκεν, ἀλλ' οἱ μὲν ἄλλοι τῆς αὑτῶν ἀρχῆς κατὰ πρυτανείαν λόγον ἀναφέρουσι. σὺ δὲ νικόμαχε, οὐδὲ τεττάρων ἐτῶν ἠξίωσας ἐγγράψαι, ἀλλὰ μόνῳ σοὶ τῶν πολιτῶν ἐξεῖναι νομίζεις ἄρχειν πολὺν χρόνον, καὶ μήτε

εὐθύνας διδόναι, μήτε τοῖς ψηφίσμασι πείθεσθαι, μήτε τῶν νόμων φροντίζειν, ἀλλὰ τὰ μὲν ἐγγράφεις, τὰ δὲ ἐξαλείφεις, καὶ εἰς τοῦτο ὕβρεως ἥκεις, ὥστε σαυτοῦ νομίζεις εἶναι τὰ τῆς πόλεως, αὐτὸς δημόσιος ὤν. ὑμᾶς τοίνυν χρὴ ὦ ἄνδρες δικασταὶ, ἀναμνησθέντας καὶ τῶν προγόνων τῶν νικομάχου. οἵτινες ἦσαν, καὶ οὗτος ὡς ἀχαρίστως ὑμῖν προσενήνεκται παρανομήσας, κολάσαι αὐτόν. καὶ ἐπειδὴ ἑκάστου δίκην οὐκ εἰλήφατε, νῦν ὑπὲρ ἁπάντων τὴν τιμωρίαν ποιήσασθε. Ἴσως δὲ ὦ ἄνδρες δικασταὶ, ἐπειδὰν περὶ αὐτοῦ, μηδὲν δύνηται ἀπολογεῖσθαι, ἐμὲ διαβάλλειν πειράσεται. τότε δὲ περὶ τῶν ἐμῶν τότε ἀξιῶ πιστεύειν ὑμᾶς, ὁπόταν ἀπολογίας ἐμοὶ δοθείσης, μὴ δύνωμαι ψευδόμενον αὐτὸν ἐξελέγξαι. ἐὰν δ' ἄρα ἐπιχειρῇ λέγειν ἅπερ ἐν τῇ βουλῇ ὡς ἐγὼ τῶν τετρακοσίων ἐγενόμην, ἐνθυμεῖσθε τῶν τοιαῦτα λεγόντων ἐκ τῶν τετρακοσίων, πλείους ἢ χίλιοι γενήσονται. καὶ γὰρ τοὺς ἔτι παῖδας ὄντας ἐν ἐκείνῳ τῷ χρόνῳ, καὶ τοὺς ἀποδημοῦντας οἱ διαβάλλειν βουλόμενοι, ταῦτα λοιδοροῦσιν. ἐγὼ δὲ οὕτω πολλοῦ ἐδέησα τῶν τετρακοσίων γενέσθαι, ὥστε οὐδὲ τῶν πεντακισχιλίων κατελέγην. δεινὸν δέ μοι δοκεῖ εἶναι, ὅτι εἰ μὲν περὶ ἰδίων συμβολαίων ἀγωνιζόμενος οὕτω φανερῶς ἐξήλεγχον αὐτὸν ἀδικοῦντα, οὐδ' ἂν αὐτὸς ἠξίωσε τοιαῦτα ἀπολογούμενος ἀποφεύγειν. νυνὶ δὲ περὶ τῶν τῆς πόλεως κρινόμενος, οἴεται χρῆναι ἐμοῦ κατηγορῶν ὑμῖν δοῦναι δίκην. ἔτι δὲ οἶμαι θαυμαστὸν νομίζω νικόμαχον ἑτέροις ἀδίκως μνησικακεῖν ἀξιοῦν. ὃν ἐγὼ ἐπιβουλεύσαντα τῷ πλήθει ἀποδείξω, καί μου ἀκούσατε. δίκαιον γὰρ ὦ ἄνδρες δικασταὶ περὶ τῶν τοιούτων ἀνθρώπων τὰς τοιαύτας κατηγορίας ἀποδέχεσθαι. οἵτινες τότε συγκαταλύσαντες τὸν δῆμον, νυνὶ δημοτικοί φασιν εἶναι. ἐπειδὴ γὰρ ἀπολομένων τῶν νεῶν, ἡ μετάστασις ἐπράττετο κλεοφῶν τὴν βουλὴν ἐλοιδόρει φάσκων συνεστάναι, καὶ οὐ τὰ βέλτιστα βουλεύειν τῇ πόλει. σάτυρος δὲ κηφισιεὺς βουλεύων ἔπεισε τὴν βουλὴν, δήσαντας αὐτὸν παραδοῦναι δικαστηρίῳ. οἱ δὲ, βουλόμενοι αὐτὸν ἀπολέσαι, δεδιότες μὴ οὐκ ἀποκτείνωσιν ἐν τῷ δικαστηρίῳ, πείθουσι νικόμαχον, νόμον ἀποδεῖξαι. ὡς χρὴ καὶ τὴν βουλὴν συνδικάζειν. καὶ ὁ πάντων οὗτος πονηρότατος, οὕτω φανερῶς συνεστασίασεν, ὥστε τῇ ἡμέρᾳ ᾗ ἡ κρίσις ἐγένετο, ἀποδεῖξαι τὸν νόμον. κλεοφῶντος τοίνυν ὦ ἄνδρες δικασταὶ, ἕτερα μὲν ἄν τις ἔχοι κατηγορῆσαι. τοῦτο δὲ παρὰ πάντων ὁμολογεῖται. ὅτι οἱ καταλύοντες τὸν δῆμον ἐκεῖνον ἐβούλοντο μάλιστα τῶν πολιτῶν ἐκποδὼν γενέσθαι. καὶ ὅτι σάτυρος καὶ κλεοφῶν οἱ τῶν τριάκοντα γενόμενοι, οὐχ ὑπὲρ ὑμῶν ὀργιζόμενοι, κλεοφῶντος κατηγόρουν. ἀλλ' ἵνα ἐκεῖνον ἀποκτείναντες αὐτοὶ, ὑμᾶς κακῶς ποιῶσι. καὶ ταῦτα διεπράξαντο διὰ τὸν νόμον, ὃν νικόμαχος ἀπέδειξεν. εἰκὸς τοίνυν ὦ ἄνδρες δικασταὶ, ἐνθυμεῖσθαι καὶ ὁπόσοι ὑμῶν ἐνόμιζον κλεοφῶντα κακὸν πολίτην εἶναι, ὅτι καὶ τῶν ἐν τῇ ὀλιγαρχίᾳ ἀποθανόντων ἴσως τις ἦν πονηρὸς, ἀλλ' ὅμως καὶ διὰ τοὺς τοιούτους ὀργίζεσθαι τοῖς τριάκοντα, ὅτι οὐ τῶν ἀδικημάτων ἕνεκα, ἀλλὰ κατὰ στάσιν αὐτοὺς ἀπέκτειναν. ἐὰν οὖν πρὸς ταῦτα ἀπολογῆται, τοσοῦτον μέμνησθε ὅτι ἐν τοιούτῳ καιρῷ τὸν νόμον ἀπέδειξεν, ἐν ᾧ ἡ πολιτεία μεθίστατο. καὶ τούτοις χαριζόμενος, οἳ τὸν δῆμον κατέλυσαν καὶ ταύτην τὴν βουλὴν συνδικάζειν ἐποίησεν, ἐν ᾗ σάτυρος μὲν καὶ χρέμων μέγιστον ἐδύναντο. στρομβιχίδης δὲ καὶ καλλιάδης καὶ ἕτεροι πολλοὶ καὶ καλοὶ κἀγαθοὶ τῶν πολιτῶν ἀπόλλυντο. καὶ περὶ τούτων οὐδένα ἂν ἐποιησάμην λόγον, εἰ μὴ ᾐσθανόμην αὐτὸν ὡς δημοτικὸν ὄντα πειρασόμενον παρὰ τὸ δίκαιον σώζεσθαι, καὶ τῆς εὐνοίας τῆς εἰς τὸ πλῆθος τεκμηρίῳ χρησόμενον ὅτι ἔφυγεν. ἐγὼ δὲ καὶ ἑτέρους ἂν ἔχοιμι ἐπιδεῖξαι τῶν συγκαταλυσάντων τὸν δῆμον, τοὺς μὲν, ἀποθανόντας. τοὺς δὲ φυγόντας, τε καὶ οὐ μετασχόντας τῆς πολιτείας. ὥστε οὐδὲν εἰκὸς αὐτῷ τοῦτο ὑπὲρ λόγον γενέσθαι. τοῦ μὲν ὑμᾶς φυγεῖν, μέρος τι καὶ οὗτος συνεβάλετο. τοῦ δὲ τοῦτον κατελθεῖν, τὸ πλῆθος τὸ ὑμέτερον αἴτιον ἐγένετο. ἔτι δὲ καὶ δεινὸν, εἰ ὧν μὲν ἄκων ἔπαθε, χάριν αὐτῷ εἴσεσθε, ὧν δ' ἑκὼν ἐξήμαρτε, μηδεμίαν τιμωρίαν ποιήσεσθε. πυνθάνομαι δὲ αὐτὸν λέγειν ὡς ἀσεβῶ καταλύων τὰς θυσίας. ἐγὼ δ' εἰ μὲν νόμους ἐτίθην περὶ τῆς ἀναγραφῆς, ἡγούμην ἂν ἐξεῖ-

καὶ Νικομάχῳ τοιαῦτα εἰπεῖν περὶ ἐμοῦ. νῦν δὲ τοῖς κοινοῖς, καὶ κειμένοις, ἀξιῶ τοῦτον πείθεσθαι. θαυμάζω δὲ εἰ μὴ ἐνθυμεῖται, ὅταν ἐμὲ φάσκῃ ἀσεβεῖν λέγοντα ὡς χρὴ θύειν τὰς θυσίας τὰς ἐκ τῶν κύρβεων καὶ τῶν στηλῶν κατὰ τὰς συγγραφάς, ὅτι καὶ τῆς πόλεως κατηγορεῖ. ταῦτα γὰρ ὑμεῖς ἐψηφίσασθε. ἔπειτα εἰ ταῦτα νομίζεις δεινά, ἦπου σφόδρα ἐκείνους ἡγῇ ἀδικεῖν. οἳ τὰ ἐκ τῶν κύρβεων μόνον ἔθυον. καίτοι ὦ ἄνδρες δικασταί, περὶ εὐσεβείας οὐ παρὰ Νικομάχου δεῖ μανθάνειν. ἀλλ' ἐκ τῶν γεγενημένων σκοπεῖν. οἱ τοίνυν πρόγονοι τὰ ἐκ τῶν κύρβεων θύοντες, μεγίστην καὶ εὐδαιμονεστάτην τῶν Ἑλληνίδων τὴν πόλιν παρέδωσαν. ὥστε ἄξιον ἡμῖν τὰς αὐτὰς ἐκείνοις θυσίας ποιεῖσθαι, καὶ εἰ μηδὲν δι' ἄλλο τῆς τύχης ἕνεκα τῆς ἐξ ἐκείνων τῶν ἱερῶν γεγενημένης. πῶς δ' ἂν τις εὐσεβέστερος γένοιτο ἐμοῦ, ὅστις ἀξιῶ, πρῶτον μὲν κατὰ τὰ πάτρια θύειν. ἔπειτα ἃ μᾶλλον συμφέρει τῇ πόλει. ἔτι δὲ ἃ ὁ δῆμος ἐψηφίσατο. καὶ δυνησόμεθα δαπανᾶν ἐκ τῶν προσιόντων χρημάτων. σὺ δὲ ὦ Νικόμαχε τούτων τἀναντία πεποίηκας. ἀναγράψας γὰρ πλείω τῶν προσταχθέντων, αἴτιος γεγένησαι τὰ προσιόντα χρήματα, εἰς ταῦτα μὲν ἀναλίσκεσθαι. ἐν δὲ ταῖς πατρίοις θυσίαις ἐπιλείπειν. αὐτίκα πέρυσιν ἱερὰ ἄθυτα τριῶν ταλάντων γεγένηται τῶν ἐν ταῖς κύρβεσι γεγραμμένων, καὶ οὐχ οἷόν τε εἰπεῖν ὡς οὐχ ἱκανὰ εἶναι, προσῆλθε τῇ πόλει. εἰ γὰρ οὗτος μὴ πλείω ἀνέγραψεν ἓξ ταλάντοις, εἴς τε τὰς θυσίας τὰς πατρίους ἂν ἐξήρκεσε. καὶ τρία τάλαντα ἂν περιεγένετο τῇ πόλει. περὶ δὲ τῶν εἰρημένων, καὶ μάρτυρας ὑμῖν παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Ἐνθυμεῖσθε τοίνυν ὦ ἄνδρες δικασταί. ὅτι ὅταν μὲν κατὰ τὰς συγγραφὰς ποιῶμεν, ἅπαντα τὰ πάτρια θύεται. ἐπειδὰν δὲ κατὰ τὰς στήλας ἃς οὗτος ἀνέγραψε, πολλὰ τῶν ἱερῶν καταλύεται, καὶ τούτοις ὁ ἱερόσυλος περιτρέχει λέγων. ὡς εὐσέβειαν ἀλλ' οὐκ εὐτέλειαν ἀνέγραψε, καὶ εἰ μὴ ταῦτα ὑμῖν ἀρέσκει, ἐξαλείφειν κελεύει. καὶ ἐκ τούτων οἴεται πείθειν ὡς οὐδὲν ἀδικεῖ. ὃς ἐν δυοῖν μὲν ἔτοιν πλείω ἤδη τοῦ δέοντος, δώδεκα ταλάντοις ἀνήλωσε. παρ' ἕκαστον δὲ τὸν ἐνιαυτὸν ἐπεχείρησεν ἓξ ταλάντοις τὴν πόλιν ζημιῶσαι, καὶ ταῦτα ὁρῶν αὐτὴν ἀποροῦσαν χρημάτων. καὶ Λακεδαιμονίους μὲν ἀπειλοῦντας, ὅταν μὴ ἀποπέμψωμεν αὐτοῖς τὰ χρήματα, Βοιωτοὺς δὲ σκῦλα ποιουμένους. ὅτι οὐ δυνάμεθα δύο τάλαντα ἀποδοῦναι. τοὺς δὲ νεωσοίκους τὰ τείχη περικαταρρέοντας. εἰδὼς δὲ ὅτι ἡ βουλὴ ἡ βουλεύουσα ὅταν μὲν ἔχῃ ἱκανὰ χρήματα εἰς διοίκησιν, οὐδὲν ἐξαμαρτάνει. ὅταν δὲ εἰς ἀπορίαν καταστῇ, ἀναγκάζεται εἰσαγγελίας δέχεσθαι, καὶ δημεύειν τὰ τῶν πολιτῶν καὶ τῶν ῥητόρων, τοῖς πονηρότατα λέγουσι πείθεσθαι. χρὴ τοίνυν ὦ ἄνδρες δικασταί μὴ τοῖς βουλεύουσιν ἑκάστοτε ὀργίζεσθαι, ἀλλὰ τοῖς εἰς τοιαύτας ἀπορίας καθιστᾶσι τὴν πόλιν, προσέχουσι τὸν νοῦν οἱ βουλόμενοι τὰ κοινὰ κλέπτειν, ὅπως Νικόμαχος ἀγωνιεῖται, οἷς ὑμεῖς ἐὰν μὴ τοῦτον τιμωρήσησθε, πολλὴν ἄδειαν ποιήσετε. ἐὰν δὲ καταψηφισάμενοι τῆς ἐσχάτης αὐτὸν τιμωρήσητε τῇ αὐτῇ ψήφῳ, τούς τε ἄλλους βελτίους ποιήσετε, καὶ παρὰ τούτου δίκην εἰληφότες ἔσεσθε. ἐπίστασθε δὲ ὦ ἄνδρες δικασταί. ὅτι παράδειγμα τοῖς ἄλλοις ἔσται μὴ τολμᾶν εἰς ὑμᾶς ἐξαμαρτάνειν. οὐχ ὅταν τοὺς ἀδυνάτους εἰπεῖν κολάζητε, ἀλλ' ὅταν παρὰ τῶν δυναμένων λέγειν δίκην λαμβάνητε. τίς οὖν τῶν ἐν τῇ πόλει ἐπιτηδειότερος Νικομάχου δοῦναι δίκην; τίς ἐλάττω τὴν πόλιν ἀγαθὰ πεποίηκε; ἢ πλείω ἠδίκηκεν; ὃς καὶ τῶν ὁσίων καὶ τῶν ἱερῶν ἀναγραφεὺς γενόμενος, εἰς ἀμφότερα ταῦτα ἡμάρτηκεν. ἀναμνήσθητε δὲ ὅτι πολλοὺς ἤδη τῶν πολιτῶν, ἐπὶ κλοπῇ χρημάτων ἀπεκτείνατε. καίτοι ἐκεῖνοι μὲν τοσοῦτον μόνον ὑμᾶς ἔβλαψαν, ὅσον ἐν τῷ παρόντι, οὗτοι δὲ τῇ τῶν νόμων ἀναγραφῇ, καὶ τὰ τῶν ἱερῶν δῶρα λαμβάνοντες εἰς ἅπαντα τὸν χρόνον τὴν πόλιν ζημιοῦσι. διὰ τί δ' ἂν τις ἀποψηφίσαιτο τούτου. πότερον ὡς ἀνδρὸς ἀγαθοῦ πρὸς τοὺς πολεμίους, καὶ πολλαῖς μάχαις καὶ ναυμαχίαις παραγεγενημένου; ἀλλ' ὅτε ὑμεῖς ἐκινδυνεύετε ἐκπλέοντες, οὗτος αὐτοῦ μένων, τοὺς Σόλωνος νόμους ἐλυμαίνετο. ἀλλ' ὅτι χρήμασι δεδαπάνηκε, καὶ πολλὰς εἰσφορὰς εἰσενήνοχεν; ἀλλ' οὐχ ὅπως ὑμῖν τῶν αὑτοῦ τι ἐπιδέδωκεν, ἀλλὰ καὶ τῶν ὑμετέρων πολλὰ ὑφῄρηται; ἀλλὰ διὰ τοὺς

προγόνους; ἤδη γάρ τινες, καὶ διὰ τοῦτον συγγνώμης ἔτυχον παρ' ὑμῶν. ἀλλὰ τούτῳ γε
προσήκει διὰ μὲν αὑτὸν τεθνάναι, διὰ δὲ τοὺς προγόνους, πεπρᾶσθαι. ἀλλ' ὡς ἐὰν νῦν
αὐτοῦ φείσησθε, αὖθις ἀποδώσει τὰς χάριτας; ὃς οὐδ' ὧν πρότερον μετέλαβε παρ'
ὑμῶν ἀγαθῶν μέμνηται. καίτοι ἀντὶ μὲν δούλου, πολίτης γεγένηται. ἀντὶ δὲ πτωχοῦ,
πλούσιος. ἀντὶ δὲ ὑπογραμματέως, νομοθέτης. ἃ καὶ ὑμῶν ἔχοι ἄν τις κατηγορῆσαι.
ὅτι οἱ μὲν πρόγονοι νομοθέτας ᾑροῦντο. Σόλωνα, καὶ Θεμιστοκλέα, καὶ περικλέα. ἡ-
γούμενοι τοιούτους ἔσεσθαι τοὺς νόμους, οἷοίπερ ἂν ὦσιν οἱ τιθέντες. ὑμεῖς δὲ τισαμενὸν
τὸν μηχανίωνος, καὶ τὸν νικόμαχον, καὶ ἑτέρους ἀνθρώπους ὑπογραμματέας, καὶ τὰς
μὲν ἀρχὰς, ὑπὸ τῶν τοιούτων ἡγεῖσθε διαφθείρεσθαι, αὐτοῖς δὲ τούτοις πιστεύετε. ὃ δὲ
πάντων δεινότατον, ὑπογραμματεῦσαι μὲν, οὐκ ἔξεστι δὶς τὸν αὐτὸν τῇ ἀρχῇ τῇ αὐτῇ.
περὶ δὲ τῶν μεγίστων τοὺς αὐτοὺς ἐᾶτε πολὺν χρόνον κυρίους εἶναι. καὶ τὸ τελευταῖον,
νικόμαχον εἵλεσθε ἀναγράφειν τὰ πάτρια. ᾧ κατὰ πατέρα τῆς πόλεως οὐ προσή-
κει. καὶ ὃν ἔδει ὑπὸ τοῦ δήμου κρίνεσθαι, οὗτος τὸν δῆμον συγκαταλύσας φαίνεται.
νῦν τοίνυν ὑμῖν μεταμελησάτω τῶν πεπραγμένων, καὶ μὴ ὑπὸ τῶν ἀεὶ κακῶς πά-
σχοντες ἀνέχεσθε. μηδὲ ἰδίᾳ μὲν ὀνειδίζετε τοῖς ἀδικοῦσιν. ἐπειδὰν δ' ἐξῇ δίκην παρ'
αὐτῶν λαμβάνειν, ἀποψηφίζεσθε, καὶ περὶ μὲν τούτων ἱκανά μοι τὰ εἰρημένα. περὶ
δὲ τῶν ἐξαιτησομένων, βραχέα πρὸς ὑμᾶς εἰπεῖν βούλομαι. παρεσκευασμένοι τινές εἰ-
σι καὶ τῶν φίλων καὶ τῶν τὰ τῆς πόλεως πραττόντων, δεῖσθαι ὑπὲρ αὐτοῦ ὧν ἐγὼ ἡ-
γοῦμαι οὐδενὶ προσήκειν ὑπὲρ τῶν ἑαυτοῖς πεπραγμένων ἀπολογεῖσθαι πολὺ μᾶλ
λον, ἢ τοὺς ἀδικοῦντας σῴζειν προαιρεῖσθαι. δεινὸν δέ μοι δοκεῖ εἶναι ὦ ἄνδρες δικα-
σταί, εἰ τοῦτον μὲν οὐδεὶς ὄντα, καὶ οὐδὲν ὑπὸ τῆς πόλεως ἠδικημένου, οὐκ ἐπεχείρησαν
δεῖσθαι, ὡς χρὴ παύσασθαι εἰς ὑμᾶς ἐξαμαρτάνοντα. ὑμᾶς δὲ τοσούτους ὄντας καὶ
ἠδικημένους ὑπὸ τούτου ζητήσουσιν, ὡς οὐ χρὴ δίκην παρ' αὐτοῦ λαμβάνειν. χρὴ τοίνυν
ὥσπερ ἂν τούτους ὁρᾶτε προθύμως σῴζοντας τοὺς φίλους, οὕτω καὶ ὑμᾶς τοὺς ἐχθροὺς
τιμωρεῖσθαι, εὖ εἰδότας, ὅτι τούτοις πρώτοις ἄνδρες ἀμείνους δόξετε εἶναι. ἐπὶ ἂν παρὰ
τῶν ἀδικούντων δίκην λαμβάνητε. ἐνθυμεῖσθε δὲ ὅτι οὔτε νικόμαχος, οὔτε τῶν ἐξαιτησο-
μένων οὐδεὶς τοσαῦτα ἀγαθὰ πεποίηκε τὴν πόλιν, ὅσα οὗτος ἠδίκηκεν. ὥστε πολὺ μᾶλ
λον ὑμῖν προσήκει τιμωρεῖσθαι, ἢ τούτοις βοηθεῖν. εὖ δ' εἰδέναι χρὴ τοὺς αὐτοὺς τούτους,
ὅτι πολλὰ δεηθέντες τῶν κατηγόρων, ἡμᾶς μὲν οὐδαμῶς ἔπεισαν. τὴν δὲ ὑμετέραν ψῆ-
φον καταπειράσοντες εἰσεληλύθασιν εἰς τὸ δικαστήριον, καὶ ἐλπίζουσιν ὑμᾶς ἐξαπατή-
σαντες, ἄδειαν εἰς τὸν λοιπὸν χρόνον λήψεσθαι τοῦ ποιεῖν, ὅτι ἂν βούλωνται.

Ημεῖς μὲν τοίνυν οὐκ ἠθελήσαμεν ὑπὸ τούτων ἀξιούμενοι πεισθῆναι. τὸ δὲ αὐτὸ
τοῦτο παρακαλοῦμεν, μὴ πρὸ τῆς κρίσεως μισοπονηρεῖν, ἀλλ' ἐν τῇ κρίσει τιμωρεῖσθαι
τοὺς τὴν ὑμετέραν νομοθεσίαν ἀφανίζοντας. οὕτω γὰρ οἱ νόμοι διοικηθήσονται τὰ κα-
τὰ τὴν πολιτείαν πάντα.

Λυσίου, κατὰ φίλωνος δοκιμασία.

ω

μην μὲν ὦ βουλὴ οὐκ ἄν ποτ' εἰς τοῦτο τόλμης φίλωνα ἀφικέσθαι, ὥσ
τε ἐθελῆσαι ὡς ὑμᾶς ἐλθεῖν δοκιμασθησόμενον. ἐπειδὴ δὲ οὐχ ὅτι μό
νον, ἀλλὰ πολλὰ τολμηρός ἐστιν, ἐγὼ δὲ ὀμόσας εἰσῆλθον εἰς τὸ δικαστή-
ριον τὰ βέλτιστα συμβουλεύειν τῇ πόλει, ἔστι δ' ἐν τῷ ὅρκῳ ἀποφαίνειν
εἴ τις τινὰ οἶδε τῶν λαχόντων ἀνεπιτήδειον ὄντα βουλεύειν, ἐγὼ τὴν
κατὰ τουτονὶ φίλωνος ποιήσομαι κατηγορίαν. οὐ μέντοι γε ἰδίαν ἔχθραν οὐδὲ μίαν
μεταπορευόμενος. οὐδὲ τῷ δύνασθαι καὶ εἰωθέναι λέγειν ἐν ὑμῖν ἐπαρθεὶς, ἀλλὰ τῷ
πλήθει τῶν ἁμαρτημάτων αὐτοῦ πιστεύων, καὶ τοῖς ὅρκοις οἷς ὤμοσα ἐμμένειν ἀξιῶν.
γνώσεσθε μὲν οὖν ὅτι οὐκ ἀπὸ ἴσης παρασκευῆς ἔγωγε τοῦτον ἐλέγξω οἷός ἐστι, καὶ οὗ-
τος ἐπιχειρήσει πονηρὸς εἶναι. ὅμως δὲ εἴ τι ἐλλείποιμι τῷ λόγῳ τῆς κατηγορίας, ἐκ

αὖ δίκαιος ἐστὶν οὗτος διὰ τοῦτο ὠφεληθῆναι, ἀλλὰ μᾶλλον ὅτι ἱκανῶς διδάξαι με, ἐκ τούτων ἀποδοκιμασθῆναι. ἐνδεῶς μὲν γὰρ, διὰ τὴν ἀπειρίαν πάντων τῶν τούτῳ πεπραγμένων. ἱκανῶς δὲ, διὰ τὴν τοῦ αὐτὸν κακὰ εἰρηκὼς ἂν εἴην. ἀξιῶ δὲ καὶ ὑμῶν οἵτινες ἂν νεωτέροι ἐμοῦ ἐπὶ λόγῳ ἀποφθῆναι μείζω ὄντα αὐτοῦ τὰ ἁμαρτήματα. καὶ διὰ ὧν ἂν ἐγὼ ὑπολίπωμαι, πάλιν αὐτὸν περὶ ὧν ἴσασι κατηγορῆσαι Φίλωνος. οὐ γὰρ ἐκ τῶν ὑπ' ἐμοῦ λεγομένων, δεῖ ὑμᾶς περὶ αὐτοῦ ὁποῖός ἐστι σκέψασθαι. ἐγὼ γὰρ οὐκ ἄλλους τινάς φημι δικαίους εἶναι βουλεύειν περὶ ἡμῶν, ἢ τοὺς πρὸς τῷ εἶναι πολίτας, καὶ ἐπιθυμοῦντας τούτου. τούτοις μὲν γὰρ μεγάλα τὰ διαφέροντά ἐστιν εὖ τε πράττειν τὴν πόλιν τήνδε καὶ ἀνεπιτηδείως. διὰ τὸ ἀναγκαῖον σφίσιν αὐτοῖς ἡγεῖσθαι εἶναι μετέχειν τὸ μέρος τῶν δεινῶν, ὥσπερ καὶ τῶν ἀγαθῶν μετέχουσιν. ὅσοι γὰρ οἱ φύσει μὲν πολῖταί εἰσι, γνώμῃ δὲ χρῶνται, ὡς πᾶσα γῆ πατρὶς αὐτοῖς ἐστιν, ἐν ᾗ ἂν τὰ ἐπιτήδεια ἔχωσιν, οὗτοι δῆλοί εἰσιν ὅτι ἂν παρέντες τὸ τῆς πόλεως κοινὸν ἀγαθὸν, ἐπὶ τὸ ἑαυτῶν ἴδιον κέρδος ἔλθοιεν, διὰ τὸ μὴ τὴν πόλιν, ἀλλὰ τὴν οὐσίαν πατρίδα αὐτοῖς ἡγεῖσθαι. ἐγὼ τοίνυν ἀποφανῶ Φίλωνα τουτονὶ περὶ πλείονος ποιησάμενον τὴν ἰδίαν ἀσφάλειαν, ἢ τὸν κοινὸν τῆς πόλεως κίνδυνον, καὶ ἡγησάμενον κρεῖττον εἶναι, αὐτὸν ἀκινδύνως τὸν βίον διάγειν, ἢ τὴν πόλιν σώζειν, ὁμοίως τοῖς ἄλλοις πολίταις κινδυνεύοντα. οὗτος γὰρ ὦ βουλὴ ὅτε ἡ συμφορὰ τῇ πόλει ἦν, ἧς ἐγὼ καθ' ὅσον ἀναγκάζομαι, κατὰ τοῦτο μέμνημαι, ἐκκεκηρυγμένος ἐκ τοῦ ἄστεος ὑπὸ τῶν τριάκοντα μετὰ τοῦ ἄλλου πλήθους τῶν πολιτῶν, τέως μὲν ᾤκει ἐν ἀγρῷ. ἐπειδὴ δὲ οἱ ἀπὸ Φυλῆς κατῆλθον εἰς τὸν πειραιᾶ, καὶ οὐ μόνον οἱ ἐκ τῶν ἀγρῶν, ἀλλὰ καὶ οἱ ἐκ τῆς ὑπερορίας, οἱ μὲν εἰς τὸ ἄστυ, οἱ δ' εἰς τὸν πειραιᾶ συνελέγοντο, καὶ καθ' ὅσον ἕκαστος οἷός τ' ἦν, κατὰ τοσοῦτον ἐβοήθει τῇ πατρίδι, τὰ ἐναντία ἅπασι τοῖς ἄλλοις πολίταις ἐποίησε. συσκευασάμενος γὰρ τὰ ἑαυτοῦ ἐνθάδε εἰς τὴν ὑπερορίαν διῴκησε, καὶ ἐν ὠρωπῷ μετοίκιον κατατιθεὶς, ἐπὶ προστάτου ᾤκει. βουληθεὶς παρ' ἐκείνοις μετοικεῖν μᾶλλον, ἢ μεθ' ἡμῶν πολίτης εἶναι. οὐ τοίνυν οὐδ' ὥσπερ ἔνιοί τινες τῶν πολιτῶν μετεβάλοντο, ἐπειδὴ ἑώρων τοὺς ἀπὸ Φυλῆς ἐν οἷς ἔπραττον εὐτυχοῦντας, οὐδὲ τούτων τι τῶν εὐτυχημάτων ἠξίωσε μετασχεῖν, ἤδη κατειργασμένῳ μᾶλλον ἐλθεῖν βουλόμενος, ἢ συγκατελθὼν κατεργάσασθαι ὅτι τῶν τῇ κοινῇ πολιτείᾳ συμφερόντων. οὐδ' ἦλθεν εἰς τὸν πειραιᾶ, οὐδ' ἔστιν ὅπου ἑαυτὸν ὑμῖν τάξαι παρέσχεν. καίτοι ὅστις εὐτυχοῦντας ὁρῶν ὑμᾶς ἐτόλμα προδιδόναι, τί ποτε ὡς μὴ βουλόμεθά γε πράττοντας ἐποίησεν ἄν. ὅσοι μὲν τοίνυν διὰ συμφορὰς ἰδίας οὐ μετέσχον τῶν τότε γενομένων τῇ πόλει κινδύνων, συγγνώμης τινὸς ἄξιοί εἰσι τυχεῖν. οὐδενὶ γὰρ οὐδὲν ἑκούσιον δυστύχημα γίγνεται. ὅσοι δὲ ταύτῃ γνώμῃ ἔπραξαν, οὐδεμιᾶς συγγνώμης ἄξιοί εἰσιν. οὐ γὰρ διὰ δυστυχίαν, ἀλλὰ δι' ἐπιβουλὴν ἐποίησαν αὐτό. καθέστηκε δὲ τὸ ἔθος δίκαιον πᾶσιν ἀνθρώποις, τῶν αὐτῶν ἀδικημάτων μάλιστα ὀργίζεσθαι τοῖς μάλιστα δυναμένοις μὴ ἀδικεῖν. τοῖς δὲ πένησιν ἢ ἀδυνάτοις τῷ σώματι, συγγνώμην ἔχειν διὰ τὸ ἡγεῖσθαι ἄκοντας αὐτοὺς ἁμαρτάνειν. οὗτος τοίνυν οὐδεμιᾶς συγγνώμης ἄξιός ἐστι τυχεῖν. οὔτε γὰρ τῷ σώματι ἀδύνατος, ἣ πάλαι που ῥεῖ ὡς καὶ ὑμεῖς ὁρᾶτε, οὔτε τῇ οὐσίᾳ ἄπορος λειτουργεῖν ὡς ἐγὼ ἀποδείξω. ὅς τις οὖν ὅσον δυνατὸς ἦν ὠφελεῖν τοσοῦτον κακὸς ἦν, πῶς οὐκ ἂν εἰκότως ὑπὸ πάντων ὑμῶν μισοῖτο. ἀλλὰ μὴν οὐδ' ἀπεχθήσεσθέ γε τῶν πολιτῶν οὐδενὶ, τοῦτον ἀποδοκιμάσαντες, ὅς γ' οὐ τοὺς ἑτέρους, ἀλλ' ἀμφοτέρους φανερός ἐστι προδοὺς, ὥστε μήτε τοῖς ἐν τῷ ἄστει γενομένοις, φίλον προσήκειν εἶναι τοῦτον. οὐ γὰρ ἠξίωσεν ὡς αὐτοὺς ἐλθεῖν κινδυνεύοντας, μήτε τοῖς τὸν πειραιᾶ καταλαβοῦσιν. οὐδὲ γὰρ τούτοις ἠθέλησε συγκατελθεῖν. δὲ καὶ ταῦτα καὶ αὐτὸς γενόμενος. εἰ μέν τι μέρος περίεστι τῶν πολιτῶν, ἐπὶ τῶν αὐτῶν μετέχει τούτῳ πραγμάτων μετ' ἐκείνων ἐάν ποτε ὃ μὴ γένοιτο λάβωσι τὴν πόλιν, βουλεύειν ἀξιοῦντο. ὡς οὖν ᾤκει τε ἐν ὠρωπῷ ἐπὶ προστάτου, καὶ ἐκέκτητο ἱκανὴν οὐσίαν καὶ οὔτ' ἐν τῷ πειραιεῖ, οὔτ' ἐν τῷ ἄστει ἔθετο τὰ ὅπλα ἵνα εἰδῆτε ὅτι ταῦτα πρὸς ὑμᾶς ἀληθῆ λέγω, ἀκούσατε τῶν μαρτύρων. μάρτυρες.

πῶ

Ὑπολείπεται τοίνυν αὐτῷ λέγειν, ὡς τῷ μὲν σώματι δι' ἀσθένειάν τινα γενομένην ἀδύνατος κατέστη βοηθῆσαι εἰς τὸν Πειραιᾶ. ἀπὸ δὲ τῶν ὑπαρχόντων ἐπαγγειλάμενος αὐτὸς ἢ χρήματ' εἰσενεγκεῖν εἰς τὸ πλῆθος τὸ ὑμέτερον, ἢ ὁπλίσαι τινὰς τῶν ἑαυτοῦ δημοτῶν, ὥσπερ καὶ ἄλλοι πολλοὶ τῶν πολιτῶν, αὐτοὶ οὐ δυνάμενοι λῃτουργεῖν τοῖς σώμασιν. ἵνα οὖν μὴ ἐγχωρήσῃ αὐτῷ ψευσαμένῳ ἐξαπατῆσαι, καὶ περὶ τούτων ἤδη σαφῶς ὑμῖν ἀποδείξω. ἐπειδὴ ὕστερον οὐκ ἐξέσται μοι παρελθόντι ἐνθάδ' ἐλέγχειν αὐτόν, καί μοι κάλει αὐτὸν Διότιμον Ἀχαρνέα καὶ τοὺς αἱρεθέντας μετ' αὐτοῦ τοὺς δημότας ὁπλίσαι ἀπὸ τῶν εἰσενεχθέντων χρημάτων. Μαρτυρία, τῶν περὶ Διότιμον.

Οὗτος τοίνυν οὐχ ὅπως ὠφελήσαι τὴν πόλιν ἐν τοιούτῳ καιρῷ, καὶ τοιαύτῃ καταστάσει διενοήθη, ἀλλ' ὅπως τι κερδαίνοι ἀπὸ τῶν ὑμετέρων συμφορῶν παρεσκευάσατο. ὁρμώμενος γὰρ ἐξ Ὠρωποῦ, τοτὲ μὲν αὐτὸς μόνος, τοτὲ δ' ἑτέροις ἡγούμενος, οἷς τὰ ὑμέτερα δυστυχήματα, εὐτυχήματα ἐγένετο, περιιὼν κατὰ τοὺς ἀγροὺς καὶ ἐντυγχάνων τῶν πολιτῶν τοῖς πρεσβυτάτοις, οἳ κατέμειναν ἐν τοῖς δήμοις ὀλίγα μὲν τῶν ἐπιτηδείων ἔχοντες ἀναγκαῖα δὲ, εὖνοι μὲν ὄντες τῷ πλήθει, ἀδύνατοι δὲ ὑπὸ τῆς ἡλικίας βοηθεῖν, τούτους ἀφῃρεῖτο τὰ ὑπάρχοντα, περὶ πλείονος ποιούμενος αὐτὸς μικρὰ κερδαίνειν ἢ ἐκείνους μηδὲν ἀδικεῖν. οἳ νῦν αὐτὸν δι' αὐτὸ τοῦτο οὐχ οἷοί τε εἰσὶν ἐπεξελθεῖν ἅπαντες, διόπερ καὶ τότε ἀδύνατοι τῇ πόλει βοηθεῖν ἦσαν. οὐ μέντοι τοῦτόν γε χρὴ διὰ τὴν ἐκείνων ἀδυναμίαν, δὶς ὠφεληθῆναι, ὅτε τ' ἀφελόμενον ἃ εἶχον. νῦν τε δοκιμασθέντα ὑφ' ὑμῶν, ἀλλὰ κἂν ὅστισοῦν παραγένηται τῶν ἀδικηθέντων μέγα αὐτὸν ἡγήσασθαι δεῖ, καὶ τοῦτον ὑπερμισῆσαι, ὅς τις ἐτόλμησεν οἷς ἕτεροι διδόναι παρ' ἑαυτῶν τι προσηκοῦσι διὰ τὴν ἀπορίαν οἰκτείραντες αὐτοὺς, τούτων ἀφαιρεῖσθαι τὰ ὑπάρχοντα. κάλει μοι τοὺς μάρτυρας. Μάρτυρες. Οὐ τοίνυν ἔγωγε ἤδη ὅτι ὑμᾶς διαφερόντως δεῖ γιγνώσκειν περὶ αὐτοῦ, ἢ οἰκεῖοι γιγνώσκουσι. τοιαῦτα γάρ ἐστιν, ὥστ' εἰ καὶ μηδὲν αὐτῷ ἄλλο ἡμάρτητο, διὰ μόνα ταῦτα ἱκανὸν εἶναι ἀποδοκιμασθῆναι. ἃ μὲν οὖν ζῶσα ἡ μήτηρ αὐτοῦ κατηγόρει, παρήσω. ἐξ ὧν δὲ τελευτῶσα τὸν βίον διεπράξατο, τεκμαιρομένοις ῥᾴδιόν ἐστιν ὑμῖν γνῶναι, ὁποῖός τις ἦν περὶ αὐτήν. ἐκείνη γὰρ τούτῳ μὲν ἠπίστησεν ἀποθανοῦσαν ἑαυτὴν ἐπιτρέψαι. Ἀντιφάνει δὲ οὐδὲν προσήκουσα πιστεύσασα, ἔδωκεν εἰς τὴν ἑαυτῆς ταφὴν τρεῖς μνᾶς ἀργυρίου παραλιποῦσα τοῦτον υἱὸν ὄντα ἑαυτῆς. ἆρα δῆλον ὅτι εὖ ᾔδει αὐτὸν οὐδὲ διὰ τὸ προσήκειν αὐτῷ τὰ δέοντα ἂν ποιήσοντα. καίτοι εἰ μήτηρ ἣ πέφυκε καὶ ἀδικουμένη ὑπὸ τῶν ἑαυτῆς παίδων μάλιστα ἀνέχεσθαι, καὶ μικρὰ ὠφελουμένη μεγάλα ἔχειν ἡγεῖσθαι, διὰ τὸ εὐνοίᾳ μᾶλλον, ἢ ἐλέγχῳ τὰ γιγνόμενα δοκιμάζειν, ἐνόμιζε τοῦτον καὶ ἀπὸ τεθνεώσης φέρειν ἑαυτῆς, τί χρὴ ὑμᾶς περὶ αὐτοῦ διανοηθῆναι. ὅς τις γὰρ περὶ τοὺς ἑαυτοῦ ἀναγκαίους τοιαῦτα ἁμαρτάνει ἁμαρτήματα, τί ἂν περί γε τοὺς ἀλλοτρίους ποιήσειεν. ὡς οὖν καὶ ταῦτ' ἀληθῆ ἐστιν, ἀκούσατε αὐτοῦ λαβόντος τὸ ἀργύριον, καὶ θάψαντος αὐτήν.

Μάρτυς. Τί οὖν βουληθέντες ὑμεῖς τοῦτον δοκιμάσαιτε. πότερον, ὡς οὐχ ἡμαρτηκότα; ἀλλὰ τὰ μέγιστα περὶ τὴν πατρίδα ἠδίκηκεν. ἀλλ' ὡς ἔσται βελτίων; τοιγάρτοι πρότερον βελτίων γενόμενος περὶ τὴν πόλιν, ὕστερον βουλεύειν ἀξιούτω φανερόν τι ἀγαθὸν ὥσπερ τότε ἀγαθὸν ποιήσας. σωφρονέστερον γάρ ἐστιν, ὕστερον πᾶσι τῶν ἔργων τὰς χάριτας ἀποδιδόναι. δεινὸν γὰρ ἔμοιγε δοκεῖ εἶναι, εἰ ἐξ ὧν μὲν ἤδη ἡμάρτηκε, μηδέποτε τιμωρηθήσεται. ἐξ ὧν δὲ μέλλει εὖ ποιήσειν, ἤδη τετιμήσεται. ἀλλ' ἄρα ἵνα βελτίους ὦσιν οἱ πολῖται ὁρῶντες ἅπαντας ὁμοίως τιμωμένους, διὰ τοῦτο δοκιμαστέον ἐστίν; ἀλλὰ κίνδυνος καὶ τοὺς χρηστοὺς ἐὰν αἰσθάνωνται ὁμοίως τοῖς πονηροῖς τιμωμένους, παύσασθαι τῶν χρηστῶν ἐπιτηδευμάτων. τῶν αὐτῶν ἡγουμένους εἶναι τούς τε κακοὺς τιμᾶν, καὶ τῶν ἀγαθῶν ἀμνημονεῖν. ἄξιον δὲ καὶ τόδε ἐνθυμηθῆναι ὅτι εἰ μέν τις φρούριόν τι προὔδωκεν, ἢ ναῦν, ἢ στρατόπεδόν τι ἐν ᾧ μέρος τι ἐτύγχανε τῶν πολιτῶν ὄν, ταῖς ἐσχάταις ἂν ζημίαις ἐζημιοῦτο. οὗτος δὲ προδοὺς ὅλην τὴν πόλιν, οὐχ ὅπως τιμωρηθήσεται παρασκευάζεται. καίτοι δικαίως γ' ἂν ὅς τις φανερῶς ὥσπερ

οὗτος

αἰ

κακὸν ῥ.

οὗτος προὔδωκε τὴν ἐλευθερίαν, οὐ περὶ τοῦ βουλεύειν, ἀλλὰ περὶ τοῦ δουλεύειν, καὶ τῆς μεγίστης ἀπορίας ἐκκλησιάζεται. ἀκούω δ' αὐτὸν λέγειν ὡς εἴπερ ἦν ἀδίκημα τὸ μὴ παραγενέσθαι ἐν ἐκείνῳ τῷ καιρῷ, νόμος ἂν ἔκειτο περὶ αὐτοῦ διαῤῥήδην ὥσπερ καὶ περὶ τῶν ἄλλων ἀδικημάτων. οὐ γὰρ οἴεται ὑμᾶς γνώσεσθαι, ὅτι διὰ τὸ μέγεθος τοῦ ἀδικήματος, οὐδεὶς περὶ αὐτοῦ ἐγράφη νόμος. τίς γὰρ ἄν ποτε ῥήτωρ ἐνεθυμήθη, ἢ νομοθέτης ἤλπισεν ἁμαρτήσεσθαί τινα τῶν πολιτῶν, τοσαύτην ἁμαρτίαν. οὐ γὰρ ἄν δή που, εἰ μέν τις λίποι τὴν τάξιν μὴ αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης, ἀλλ' ἑτέρους εἰς τὴν κατάστασιν, ἐτέθη νόμος ὡς μεγάλα ἀδικοῦντος. εἰ δέ τις αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης, λίποι τὴν πόλιν αὐτήν, οὐκ ἂν ἄρα ἐτέθη. σφόδρα γ' ἂν εἰ πιστεύθη τινὰ τῶν πολιτῶν ἁμαρτήσεσθαί τι τοιοῦτόν ποτε. τίς δ' οὐκ ἂν εἰκότως ἐπιτιμήσειεν ὑμῖν, εἰ τοὺς μὲν τοιούτους, ὅτι οὐ κατὰ τὸ προσῆκον ἑαυτοῖς ἐβοήθησαν τῷ δήμῳ ἐτιμήσατε ἀξίως τῆς πόλεως. τοῦτον δὲ ὅτι παρὰ τὸ προσῆκον ἑαυτῷ, προὔδωκε τὴν πόλιν μὴ κολάζοιτε, εἰ μή γε ἄλλῳ τινὶ μείζονι, τῇ γε παρούσῃ ἀτιμίᾳ. ἀναμνήσθητε δέ, διότι ποτὲ τοὺς ἀγαθοὺς ἄνδρας γινομένους περὶ τὴν πόλιν τιμᾶτε, καὶ τοὺς κακοὺς ἀτιμάζετε. ἐδείχθη γὰρ ἀμφότερα ταῦτα. οὐ τῶν γε γενημένων μᾶλλόν τι ἕνεκα, ἢ τῶν γενησομένων. ἵν' ἀγαθοὶ προθυμῶνται γίνεσθαι ἐκ παρασκευῆς. κακοὶ δέ, μὴ δὲ ἐξ ἑνὸς τρόπου ἐπιχειρῶσιν. ἔτι δὲ ἐνθυμήθητε ποίων ἂν ὑμῖν δοκεῖ οὗτος ὅρκων φροντίσαι, ὃς ἔργῳ τοὺς πατρῴους θεοὺς προὔδωκεν, ἢ πῶς ἂν χρηστόν τι βουλεῦσαι περὶ τῆς πολιτείας, ὃς οὐδὲ ἐλευθερῶσαι τὴν πατρίδα ἐβουλήθη, ἢ ποῖα ἂν ἀπόῤῥητα τηρῆσαι, ὃς οὐδὲ τὰ προειρημένα ποιῆσαι ἠξίωσε. πῶς δ' εἰκὸς τοῦτον, ὃς οὐδὲ τελευταῖος ἐπὶ τοὺς κινδύνους ἦλθε, πρότερον τῶν κατειργασμένων, καὶ οὕτω συντιμηθῆναι. σχέτλιος δ' ἂν εἴη, εἰ οὗτος μὲν ἅπαντας τοὺς πολίτας περὶ οὐδενὸς ἡγήσατο. ὑμεῖς δὲ τοῦτον ὄντα, μὴ ἀποδοκιμάσαιτε. ὁρῶ δέ τινας, οἳ νῦν μὲν τούτῳ παρασκευάζονται βοηθεῖν, καὶ δεῖσθαι ὑμῶν, ἐπειδὴ ἐμὲ οὐκ ἠδυνήθησαν πεῖσαι. τότε δὲ ὅτε οἱ κίνδυνοι μὲν ὑμῖν καὶ οἱ μέγιστοι ἀγῶνες ἦσαν, τὰ δὲ ἆθλα αὐτῇ ἡ πολιτεία ἔκειτο, καὶ ἔδει οὐ μόνον περὶ τοῦ βουλεύειν, ἀλλὰ καὶ περὶ τῆς ἐλευθερίας βούλεσθαι, τότε οὐκ ἐδέοντο αὐτοῦ βοηθῆσαι καὶ ὑμῖν καὶ κοινῇ τῇ πόλει καὶ μὴ προδοῦναι, μήτε τὴν πατρίδα, μήτε τὴν βουλήν, ἧς νῦν ἀξιοῖ τυχεῖν. οὐ μετὸν αὐτῷ, ἄλλων τε κατειργασμένων. μόνος δὴ ὦ βουλὴ δικαίως οὐδ' ἂν ἀγανακτοίη μὴ τυχών. οὐ γὰρ ὑμεῖς νῦν αὐτὸν ἀτιμάζετε, ἀλλ' αὐτὸς αὑτὸν τότε ἀπεστέρησεν, ὅτε οὐκ ἠξίωσεν, ὥσπερ νῦν προθύμως κληρωσόμενος ἦλθε, καὶ τότε διαμαχόμενος περὶ αὐτῆς καταστῆναι μεθ' ὑμῶν. ἱκανὰ μὲν νομίζω εἰρῆσθαι. καίτοι πολλά γε παραλιπών. ἀλλὰ πιστεύω ὑμᾶς, καὶ ἄνευ τούτων αὐτῶν τὰ συμφέροντα τῇ πόλει γνώσεσθαι. οὐ γὰρ ἄλλοις τισὶν ὑμᾶς δεῖ περὶ τῶν ἀξίων ὄντων βουλεύειν, τεκμηρίοις χρῆσθαι, ἢ ὑμῖν αὐτοῖς, ὁποῖοί τινες ὄντες αὐτοὶ περὶ τὴν πόλιν γε δοκιμάσθητε. ἔστι γὰρ αὐτοῦ τὰ ἐπιτηδεύματα, κοινὰ παραδείγματα, καὶ πάσης δημοκρατίας ἀλλότρια.

Ἀλκιδάμαντος ὀδυσσεύς, κατὰ παλαμήδους προδοσίας.

Ολλάκις ἤδη ἐνεθυμήθην, καὶ ἐθαύμασα ὦ ἄνδρες ἕλληνες τὰς γνώμας τῶν λεγόντων, τί ποτε ἄρα βουλόμενοι, ῥᾳδίως δεῦρο παριόντες συμβουλεύουσιν ὑμῖν. ἀφ' ὧν ὠφέλεια μὲν οὐδεμία ἐστὶ τῷ κοινῷ. π
λοιδορίαι δὲ πλεῖσται γίνονται ἐν ἀλλήλοις εἰκῆ. λόγους τε ἀναλίσκουσιν ἀκαίρους περὶ ὧν ἂν τύχωσι. λέγουσι δὲ τὴν αὐτῶν δόξαν ἕκαστος βουλόμενοί τι λαβεῖν. οἱ δέ, καὶ μισθὸν πραττόμενοι, συναγορεύουσι παρ' ὁπότερων ἂν νομίζωσι πλείω λήψεσθαι. καὶ εἰ μέν τις ἐν τῷ στρατοπέδῳ πλημμελεῖ, ἢ βλάπτει τὸ κοινόν, χρήματα ἑαυτῷ πορίζόμενος, τούτου μὲν μηδένα τὸν φροντίζοντα

εἶναι. εἰ δέ τις ἡμῶν αἰχμάλωτον ἀγαγὼν ἐκ τῶν πολεμίων, ἢ γέρας εἴληφε πλέον ἕτερος ἑτέρου, τούτων ἕνεκεν μεγάλας διαφορὰς ἐν ἡμῖν αὐτοῖς ἔχομεν διὰ τοὺς τούτων ἀσυνδές. ἐγὼ δὲ ἡγοῦμαι τὸν ἄνδρα τὸν ἀγαθὸν καὶ δίκαιον μήτε ἔχθρας ἰδίας φροντίζειν, μήτε ἰδίᾳ φιλεταιρείᾳ χρησάμενον, ἕνεκα ἀνδρὸς ἑνὸς χρήματα περὶ πλείονος ποιήσασθαι, καὶ μὴ ὅ,τι ἂν μέλλῃ τῷ πλήθει συνοίσειν. οὐ μὴν δή, ἀλλὰ παραλιπὼν τοὺς ἀρχαίους πόνους τε καὶ λόγους, πειράσομαι Παλαμήδην τονδὶ ἐν ὑμῖν εἰς κρίσιν δικαίως καταστῆσαι. ἔστι δὲ τὸ πρᾶγμα ὡς ἂν εἰδῆτε προδοσία· ἐφ' ᾗ δεκαπλασία τῶν ἄλλων ζημία ἐστὶν ἐπικειμένη. καίτοι ὡς ὑμεῖς ἴστε πάντες ἐμοὶ καὶ τούτῳ, οὐδεμία πώποτε ἔχθρα οὐδ' ἔρις ἐγένετο τοῦ οὐδενὸς πράγματος. καὶ μὴν ἐστὶν ἐν παλαίστρᾳ ἐστὶν ἐν συμποσίῳ, ἔνθα φιλεῖ ἔριδας πλείστας καὶ λοιδορίας γίνεσθαι. ὁ δὲ ἀνήρ ἐστι, φιλόσοφός τε, καὶ δεινὸς οὗ μέλλω κατηγορεῖν. ὥστε εἰκότως τὸν νοῦν προσέχειν ὑμᾶς, καὶ μὴ ἀμελῆσαι περὶ τῶν νυνὶ λεγομένων. σχεδὸν γὰρ ἴστε καὶ αὐτοὶ ἐν οἵῳ κινδύνῳ ἐγενόμεθα. ὅτε ἡμῶν οἱ μὲν εἰς τὰς ναῦς καταπεφευγότες ἦσαν. οἱ δὲ εἰς τοὺς τάφρους ἀπέπιπτον, εἴς τε τὰς σκηνὰς οἱ πολέμιοι, πᾶσά τε ἀπορία ἦν ποῦ ποτε προβήσοιτο ἡ τοῦ μέλλοντος κακοῦ τελευτή. ὡς δ' ὑμῖν ἐτυγχάνομεν πλησίον τῶν πυλῶν ἐν τῷ αὐτῷ συντασσόμενοι ἐγώ τε καὶ Διομήδης, πλησίον δ' ἦν Παλαμήδης καὶ Πολυποίτης. συνιόντων δὲ ἡμῶν ὁμόσε τοῖς ἀνδράσιν, ἐκδραμὼν τοξότης ἐκ τῶν πολεμίων ἐστοχάσατο τούτου. ἁμαρτὼν δὲ αὐτοῦ, βάλλει πλὺς ἐμοῦ. οὗτός τε λόγχην ἀφίησιν ἐπ' αὐτόν. καὶ ἐκεῖνος ἀφελόμενος ᾤχετο εἰς τὸ στρατόπεδον. ἐγὼ δὲ ἀνελὼν τὸν οἰστόν, δίδωμι Εὐρυβάτῃ δοῦναι Τεύκρῳ, ἵνα χρῷτο. ἀνοχῆς δὲ γενομένης ἀπὸ τῆς μάχης ὀλίγον χρόνον, δείκνυσί μοι τὸν οἰστὸν ὑπὸ τοῖς πτεροῖς γράμματα ἔχοντα. ἐκπλαγεὶς δὲ ἐγὼ τῷ πράγματι, προσκαλεσάμενος Σθένελόν τε καὶ Διομήδην, ἐδείκνυον αὐτοῖς τὰ ἐνόντα. ἡ δὲ γραφὴ ἐδήλου τάδε. Ἀλέξανδρος Παλαμήδει, ὅσα συνέθου Τηλέφῳ πάντα σοι ἔσται. ὅτε πατὴρ Κασσάνδραν γυναῖκα δίδωσί σοι ὥσπερ ἐπέστειλας. ἀλλὰ τὰ ἀπὸ σοῦ πραττέσθω διὰ τάχους. ἐγγέγραπται μὲν ταῦτα. καί μοι προσελθόντες μαρτυρήσατε οἱ λαβόντες τὸ τόξευμα.

Ἐπέδειξα ἂν καὶ αὐτὸ τὸ τόξευμα ὑμῖν ὡς ἀληθὲς ἦν. νῦν δὲ ἐν τῷ θορύβῳ ἔλαθεν αὐτὸ Τεῦκρος ἀπολέσας. ἔδει δέ με καὶ τὰ λοιπὰ διελθεῖν ὡς ἔχει. μὴ δόξωμεν ἀδίκως ἄνδρα σύμμαχον περὶ θανάτου κρίνειν, αἰσχίστην αἰτίαν προστιθέντες, καὶ ταῦτα πρότερον ἐν ὑμῖν εὐδοκιμηκότα. ἡμεῖς μὲν γὰρ πρὶν ἐμβαλεῖν δεῦρο, πολὺν χρόνον ἐν ταὐτῷ ἐγινόμεθα. καὶ οὐδεὶς ὑμῶν εἶδε τοῦτον ἔχοντα σημεῖον ἐν τῇ ἀσπίδι. ἐπειδὴ δὲ κατεπλεύσαμεν δεῦρο, τετόλμηκεν ἐπιγράψαι. τίνος ἕνεκα; ἵνα δῆλος εἴη τῷ ἐπιγράμματι. ὅταν ἀντιτεταγμένος τοῦτον τοξεύοι διὰ τὸ σύνθημα. οὗτός τε εἰς ἐκεῖνον εἰσακοντίζοι. τεκμαίρεσθαι δεῖ καὶ ἐκ τούτων εἰκότως τὴν ἄστοχον τῆς λόγχης. φημὶ γὰρ καὶ ἐν ἐκείνῃ γράμματα εἶναι, τηνικάδε καὶ πότε προδώσει. πιστὰ γὰρ ἦν οὕτω παρ' ἀλλήλων τὰ πεμπόμενα. οὗτός τε ἐκείνοις, καὶ ἐκεῖνοι τούτῳ πέμποντες διὰ τοιούτου εἴδους. καὶ μὴ δι' ἀγγέλων. ἔτι δὲ καὶ τὸ σκεψώμεθα. ψήφισμα ἡμῖν ἐγένετο, ὃς ἂν βέλος τι λάβῃ ἐκ τῶν πολεμίων, ἀποφέρειν πρὸς τοὺς ἡγεμόνας διὰ τὸ σπανίως αὐτοῖς χρῆσθαι ἡμᾶς. καὶ οἱ μὲν ἄλλοι πειθαρχοῦσι τοῖς ἐψηφισμένοις. αὐτὸς δὲ βέλη ἀνελόμενος πέντε, τοξεύειν φανερός ἐστιν οὐδὲ ἓν πρὸς ὑμᾶς ἐννοχῶς. ὥστε καὶ διὰ ταῦτα δικαίως ἄν μοι δοκεῖ θανάτῳ ζημιωθῆναι. ἄξιόν γε ἐνθυμεῖσθαι ὦ ἄνδρες Ἕλληνες ταῦτα τοῦ σοφοῦ τῆς διανοίας καὶ τοῦ φρονήματος αὐτοῦ τυγχάνειν φιλοσόφων. ἐφ' οἷς ἥκιστα ἐχρῆν αὐτὸν ταῦτα πράττειν. τοῦ τε τὰ πράγματα τὰ νῦν παρεστηκότα γενέσθαι καὶ τὴν στρατιὰν ἅπασαν ἐπιδείξω αἴτιον γεγονότα ἡμῖν, τόν τε πατέρα αὐτοῦ καὶ τοῦτον αὐτόν. ἀνάγκη δὲ διὰ μακροτέρων λόγων ῥηθῆναι τὰ γενόμενα. τούτῳ πατήρ ἐστι πένης· ὄνομα Ναύπλιος· τέχνην ἔχων ἁλιείαν. οὗτος πλείστους τῶν Ἑλλήνων ἠφάνικε· χρήματά τε πολλὰ ἐκ τῶν νεῶν ὑφήρηκε· κακά τε πλεῖστα τοὺς ναυτίλους εἴργασται· πανουργίας τε οὐδεμιᾶς λείπεται. γνώσεσθε δὲ προϊόντος τοῦ λόγου.

τοῦ λόγου. ἀκούσαντες μετὰ ἀληθείας τῶν τότε γενομένων. ἀλέω τε τῷ τεγέας βασιλεῖ ἀφικομένῳ εἰς δελφοὺς, ἐχρήσθη ὑπὸ τοῦ θεοῦ, ὅτι αὐτῷ ἔκγονος ὑπὸ τῆς θυγατρὸς ἐγένοιτο, ὑπὸ τούτου δεῖν τοὺς υἱεῖς αὐτοῦ ἀπολέσθαι. ἀκούσας δὲ ταῦτα ὁ ἄλεως, διὰ τάχους ἀφικνεῖται οἴκαδε, καὶ καθίστησι τὴν θυγατέρα ἱέρειαν τῆς ἀθηνᾶς. εἰπὼν, εἴ ποτε ἀνδρὶ συγγένοιτο, θανατώσειν αὐτήν. τύχης δὲ γενομένης, ἀφικνεῖται ἡρακλῆς στρατευόμενος ἐπ' αὐγέαν εἰς ἦλιν. καὶ αὐτὸν ξενίζει ὁ ἄλεως ἐν τῷ ἱερῷ τῆς ἀθηνᾶς. ἰδὼν δὲ ὁ ἡρακλῆς τὴν παῖδα ἐν τῷ νεῷ, ὑπὸ μέθης συνεγένετο. ἐπεὶ δὲ κύουσαν αὐτὴν ᾔσθετο ὁ πατὴρ ἄλεως, μεταπέμπεται τὸν τούτου πατέρα. πυθόμενος πορθμέα τε αὐτὸν εἶναι καὶ δεινόν. ἀφικομένου δὲ τοῦ ναυπλίου, δίδωσιν αὐτῷ τὴν παῖδα καταποντίσαι. ὁ δὲ παραλαβὼν, ἦγεν αὐτήν. καὶ ὡς γίνονται ἐν τῷ παρθενίῳ ὄρει, τίκτει τήλεφον. ἀμελήσας δὲ ὧν ἄλεως αὐτῷ ἐπέστειλεν, ἄγων αὐτὴν ἀπέδοτο καὶ τὸ παιδίον εἰς μυσίαν τεύθραντι τῷ βασιλεῖ. ὁ δὲ τεύθρας ἄπαις ὢν, τὴν μὲν αὔγαν γυναῖκα ποιεῖται. τὸν δὲ παῖδα αὐτῆς ἐπονομάσας τήλεφον, τίθεται υἱὸν ἑαυτοῦ. δίδωσί τε αὐτὸν πριάμῳ εἰς ὀλίγον παιδεῦσαι. χρόνου δὲ προϊόντος, ἀλέξανδρος ἐπεθύμησεν εἰς τὴν ἑλλάδα ἀφικέσθαι. τό, τε ἐν δελφοῖς ἱερὸν θεωρῆσαι βουλόμενος. ἅμα δὲ καὶ τὸ κάλλος τῆς ἑλένης ἀκούων δηλονότι. καὶ τὴν τοῦ τηλέφου γένησιν ἀκηκοὼς, ὁπόθεν τε εἴη, καὶ τίνα τρόπον, καὶ ὑπό τινος ἐπράχθη. ὥστε ἀλέξανδρος οὕτως τὴν ἀποδημίαν ἐποιεῖτο, διὰ προφάσεως τοιαύτης εἰς τὴν ἑλλάδα. ἐν δὲ τῷ καιρῷ τούτῳ οἱ μόλου παῖδες ἀφικνοῦνται ἐκ κρήτης, δεόμενοι μενελάου αὐτοὺς διαλλάξαι. καὶ διελεῖν τὴν κτῆσιν αὐτοῖς. ὅτι εἴη ὁ πατὴρ τετελευτηκὼς, αὐτοί τε στασιάζοιεν περὶ τῶν πατρῴων χρημάτων. ἔδει. ποιοῦ γίνεται. πλεῖν αὐτῷ ἔδοξε. καὶ ἐπιστείλας τῇ γυναικὶ καὶ τοῖς ἀδελφοῖς ἐπιμελεῖσθαι τῶν ξένων, ἵνα μηδενὸς ἔσοιντο ἐνδεεῖς, ἕως ἂν αὐτὸς ἔλθῃ ἐκ κρήτης. ὁ μὲν, ᾤχετο. ἀλέξανδρος δὲ αὐτοῦ τὴν γυναῖκα διαπατήσας καὶ λαβὼν ἐκ τῶν οἴκων ἃ πλεῖστα ἐδύνατο, ἀποπλέων ᾤχετο. οὐκ αἰδεσθεὶς, οὔτε δία ξένιον, οὔτε θεῶν οὐδένα. ἄνομα καὶ βάρβαρα ἔργα διαπραξάμενος ἄπιστα πᾶσι καὶ τοῖς ἐπιγινομένοις ἀκοῦσαι. ἀφικομένου δὲ αὐτοῦ πάλιν εἰς ἀσίαν, ἄγοντος τὰ χρήματα καὶ τὴν γυναῖκα, ἔστιν ὅπου ἀντιλάβου τινὸς ἢ βοὴν ἐσήμηνας τοῖς πολίταις, ἢ βοήθειαν συνέλεξας, οὐκ ἂν ἔχοις εἰπεῖν. ἀλλὰ περιεῖδες ἕλληνας ὑπὸ βαρβάρων ὑβρισθέντας. ἐπεὶ δ' ἐπύθοντο οἱ ἕλληνες τὴν ἁρπαγὴν, καὶ μενέλεως ᾔσθετο, ἤγειρε τὴν στρατιάν. καὶ διέπεμπεν ἡμῶν ἄλλον ἄλλοσε εἰς τὰς πόλεις αἰτήσοντας στρατόν. καὶ δὴ ἐξέπεμψεν εἰς χίον, πρὸς οἰνοπίωνα. καὶ εἰς κύπρον, πρὸς κινύραν. ὁ δὲ, κινύραν ἔπεισε μὴ στρατεύειν ἡμῖν, δῶρά τε παρ' αὐτοῦ λαβὼν, ἀποπλέων ᾤχετο, καὶ ἀγαμέμνονι μὲν ἀπολείδωσι χαλκοῦν θώρακα. ὅστις οὐδενὸς ἄξιος ἦν. αὐτὸς δὲ τὰ ἄλλα εἶχε χρήματα. ἀπηγγέλλετο δὲ ὅτι ἑκατὸν ναῦς ἀποπέμψει ὁ κινύρας. ὁρᾶτε δὲ αὐτοὶ οὐδὲ μίαν παρ' αὐτοῦ ἥκουσαν. ὥστε καὶ διὰ ταῦτα δικαίως ἄν μοι δοκοίη θανάτῳ ζημιωθῆναι. ἄξιον γὰρ κολάσαι τὸν σοφιστήν. ὃς ἤδη τοῖς φίλοις τὰ αἴσχιστα μηχανώμενος πέφανται. ἄξιον δὲ καταμαθεῖν ἃ καὶ φιλοσοφεῖν ἐπικεχείρηκεν διαπατῶν τοὺς νέους, καὶ παραπείθων φάσκων διευρηκέναι τάξεις πολεμικάς. γράμματα. ἀριθμούς. μέτρα. σταθμούς. πεττούς. κύβους. μουσικήν. νόμισμα. πυρσούς. καὶ οὐδὲ αἰσχύνεται ὅταν αὐτίκα ἐλέγχηται φανερῶς ἐν ὑμῖν ψευδόμενος. νέστωρ γὰρ ὁ πρεσβύτατος ἡμῶν ἁπάντων, καὶ αὐτὸς ἐν τοῖς πειρίθου γάμοις μετὰ λαπιθῶν ἐμαχέσατο κενταύροις. ἐν φάλαγγι καὶ ἐν τάξει. μενεσθεὺς δὲ πρῶτος λέγεται κοσμῆσαι τάξεις, καὶ λόχους, καὶ φάλαγγας συστῆσαι. ἡνίκα εὔμολπος ὁ ποσειδῶνος, ἐπ' ἀθηναίους ἐστράτευσε θρᾷκας ἄγων. ὥστε οὐ παλαμήδους τὸ διεύρημα ἐστίν. ἀλλ' ἄλλων πρότερον. γράμματα μὲν δὲ πρῶτος ὀρφεὺς ἐξήνεγκε παρὰ μουσῶν μαθών. ὡς καὶ τὰ ἐπὶ τῷ μνήματι αὐτοῦ δηλοῖ ἐπιγράμματα.

μουσάων πρόπολον τῇδ' ὀρφέα θρῇκες ἔθηκαν. Ὃν κτάνεν ὑψιμέδων ζεὺς ψολόεντι βέλει. Οἰάγρου φίλον υἱὸν, ὃς ἡρακλῆ' ἐδίδαξεν.

εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίαν. Μουσικὴν δὲ τένιος ὁ καλλιόπης, ὃν Ἡρακλῆς φονεύει. ἀριθμούς γε μὴν, Μουσαῖος ὁ τῶν Εὐμολπιδῶν Ἀθηναῖος, ὡς καὶ τὰ ποιήματα αὐτοῦ δηλοῖ. Ὄρθιον ἑξαμερὲς τετόρων καὶ εἴκοσι μέτρων. ὥστε δεκάτην γενεὰν ἐκεῖνον βιοῦν ἄνδρας. Νομίσματα δὲ οἱ Φοίνικες ἐξεῦρον· λογικώτατοι καὶ δεινότατοι ὄντες τῶν βαρβάρων. ἐξ ὁλοσφύρου τε ἴσον μερισμὸν διέλοντο πρῶτοι χαρακτῆρα. ἔβαλλον εἰς τὸν σταθμὸν τὸ πλεῖον, καὶ τὸ ἔλαττον. παρ' ὧν οὗτος ἑλὼν, σοφίζεται τὸν αὐτὸν ῥυθμόν· ὥστε αὐτοῦ πάντα πρεσβύτερα φαίνεσθαι. ὧν οὗτος προσποιεῖται εὑρετὴς εἶναι. μέτρα τε καὶ σταθμὰ ἐξεῦρε καπήλοις καὶ ἀγοραίοις ἀνθρώποις. ἀπάτας καὶ ἐπιορκίας. πεττούς γε μὴν τοῖς ἀργοῖς, τῶν ἀνδρῶν ἔριδας καὶ λοιδορίας καὶ κύβους αὖ μέγιστον κακὸν ἐδίδαξε. τοῖς μὲν ἡττηθεῖσι λύπας καὶ ζημίας. τοῖς δὲ νικῶσι καταγέλωτα, καὶ ὄνειδος. τὰ γὰρ ἀπὸ κύβων προσγινόμενα, ἀνόνητα γίνεται. τὰ δὲ πλεῖστα, καταναλίσκεται παραχρῆμα. πυρσοὺς αὖ ἐσοφίσατο. ἀλλ' ἐφ' ἡμετέρῳ κακῷ, ἃ διενοεῖτο ποιεῖν. χρήσιμα δὲ τοῖς πολεμίοις. ἀρετὴ δὲ ἐστιν ἀνδρὸς τοῖς ἡγεμόσι προσέχειν. καὶ τὸ προσταττόμενον ποιεῖν, καὶ τῷ πλήθει ἀρέσκειν παντί. αὑτόν τε παρέχειν ἄνδρα πανταχοῦ ἀγαθόν. τούς τε φίλους εὖ ποιοῦντα, καὶ τοὺς ἐχθροὺς κακῶς. ὧν τἀναντία πάντων οὗτος ἐπίσταται. τοὺς μὲν ἐχθροὺς, ὠφελεῖν. τοὺς δὲ φίλους, κακῶς ποιεῖν. ἀξιῶ δ' ὑμᾶς ἔγωγε κοινῇ, σκεψαμένους βουλεύσασθαι περὶ αὐτοῦ, καὶ μὴ ἀφεῖναι αὐτὸν ὑποχείριον λαβόντας. εἰ δὲ κατελεήσαντες αὐτὸν διὰ τὴν δεινότητα τῶν λόγων ἀφήσετε, θαυμαστὴ παρανομία γενήσεται ἐν τῷ στρατεύματι. εἰδὼς γὰρ αὐτῶν ἕκαστος ὅτι καὶ Παλαμήδης, περιφανῶς τοσαῦτα ἡμαρτηκὼς, οὐδεμίαν δίκην ἔδωκε, καὶ αὐτοὶ πειράσονται ἀδικεῖν. ὥστε ἐὰν νοῦν ἔχητε, ψηφιεῖσθε τὰ βέλτιστα ὑμῖν αὐτοῖς, καὶ τῶν λοιπῶν οὕνεκεν παράδειγμα ποιήσεσθε τοῦτον τιμωρησάμενοι.

Ἀντισθένους, Αἴας.

Ἐβουλόμην ἂν τοὺς αὐτοὺς ἡμῖν δικάζειν, οἵπερ καὶ ἐν τοῖς πράγμασι παρῆσαν. οἶδα γὰρ ὅτι ἐμὲ μὲν, ἔδει σιωπᾶν. τούτῳ δ' οὐδὲν ἂν ἦν
ε πλέον λέγοντι. νῦν δὲ οἱ μὲν παραγενόμενοι τοῖς ἔργοις ἄπεισιν. ὑμεῖς δὲ οἱ οὐδὲν εἰδότες, δικάζετε. καίτοι ποία τις ἂν δίκη δικαστῶν μὴ εἰδότων γένοιτο, καὶ ταῦτα διὰ λόγων. τὸ δὲ πρᾶγμα ἐγίνετο ἔργῳ. τὸ μὲν οὖν σῶμα τοῦ Ἀχιλλέως ἐκόμισα ἐγὼ φέρων. τὰ δὲ ὅπλα ὅδε, ἐπιστάμενος ὅτι οὐ τῶν ὅπλων μᾶλλον ἐπεθύμουν οἱ Τρῶες, ἀλλ' ἢ τοῦ νεκροῦ κρατῆσαι. τοῦ μὲν γὰρ εἰ ἐκράτησαν, ᾐκίσαντό τε ἂν τὸ σῶμα, καὶ τὰ λύτρα τοῦ Ἕκτορος ἐκομίσαντο. τὰ δὲ ὅπλα ταῦτα δὲ, οὐκ ἂν ἀνέθεσαν τοῖς θεοῖς, ἀλλ' ἀπέκρυψαν. δεδιότες τόνδε τὸν ἀγαθὸν ἄνδρα ὃς καὶ πρότερον ἱεροσυλήσας τὸ ἄγαλμα τῆς θεοῦ νύκτωρ, ὥσπερ τι καλὸν ἐργασάμενος ἐπεδείκνυτο τοῖς Ἀχαιοῖς. κἀγὼ μὲν ἀξιῶ λαβὼν, ἵνα ἀποδῶ τὰ ὅπλα τοῖς φίλοις. οὗτος δὲ ἵνα ἀποδῶται, ἐπεὶ χρήσασθαί γε αὐτοῖς οὐκ ἂν τολμήσειε. δειλὸς γὰρ οὐδεὶς ἂν ἐπισήμοις ὅπλοις χρήσαιτο. εἰδὼς ὅτι τὴν δειλίαν αὐτοῦ ἐκφαίνει τὰ ὅπλα. σχεδὸν μὲν οὖν ἐστιν ἅπαντα ὅμοια. οἵ τε γὰρ διαθέντες τὸν ἀγῶνα βασιλεῖς ἑκόντες εἶναι περὶ ἀρετῆς κρίνειν ἐπέτρεψαν ἄλλοις. οἵ τε οὐδὲν εἰδότες, δικάσειν ὑπεδέχεσθε περὶ ὧν οὐκ ἴστε. ἐγὼ δὲ ἐπίσταμαι τοῦτο ὅτι οὐδεὶς ἂν βασιλεὺς ἱκανὸς ὢν περὶ ἀρετῆς κρίνειν, ἐπιτρέψειεν ἄλλοις μᾶλλον, ἤπερ ἀγαθὸς ἰατρὸς διαγνῶναι νοσήματα ἄλλῳ παρείη. καὶ εἰ μὲν ἦν μοι πρὸς ἄνδρα ὁμοιότατον, οὐδ' ἂν ἡττᾶσθαί μοι διέφερε. νῦν δ' οὐκ ἔστιν, ὃ διαφέρει πλέον ἐμοῦ, καὶ τοῦδε. ὁ μὲν γὰρ οὐκ ἔστιν· ὅ, τι ἂν δράσειε φανερῶς, ἐγὼ δὲ οὐδὲν ἂν λάθρᾳ τολμήσαιμι πρᾶξαι. κἀγὼ μὲν οὐκ ἂν ἀνασχοίμην κακῶς ἀκούων, οὐδὲ γὰρ κακῶς πάσχων. ὁ δὲ κἂν κρεμάμενος εἴ γε κερδαίνειν τι μέλλοι. ὅς τίς γε μαστιγοῦν παρέχει τοῖς δούλοις καὶ τύπτειν ξύλοις τὰ νῶτα καὶ πυγμαῖς τὸ πρόσωπον. κἄπειτα περιβαλλόμενος ῥάκη, τῆς νυκτὸς εἰς τὸ τεῖχος εἰσδὺς τῶν

δὺς τῶν πολεμίων ἱεροσυλήσας ἀπῆλθε. καὶ ταῦτα ὁμολογήσει ποιεῖν. ἴσως δὲ καὶ πείσει λέγων, ὡς καλῶς τι πέπρακται. ἔπειτα τῶν ἀχιλλέως ὅπλων ὅδε ὁ μαστιγίας καὶ ἱερόσυλος ἀξιοῖ κρατῆσαι; ἐγὼ μὲν οὖν ὑμῖν λέγω τοῖς οὐδὲν εἰδόσι κριταῖς καὶ δικασταῖς. μὴ εἰς τοὺς λόγους σκοπεῖν, περὶ ἀρετῆς κρίνοντας. ἀλλ' εἰς τὰ ἔργα μᾶλλον. καὶ γὰρ ὁ πόλεμος οὐ λόγῳ κρίνεται, ἀλλ' ἔργῳ. οὐδ' ἀντιλέγειν ἔξεστι πρὸς τοὺς πολεμίους, ἀλλ' ἢ μαχομένους κρατεῖν, ἢ δουλεύειν σιωπῇ. πρὸς ταῦτα ἀθρεῖτε, καὶ σκοπεῖτε, ὡς εἰ μὴ δικάσητε καλῶς, γνώσεσθε ὅτι οὐδεμίαν ἔχει λόγος πρὸς ἔργον ἰσχύν. οὐδ' ἔστιν ὑμᾶς ὅ, τι λέγων ἀνὴρ ὠφελήσει. εἴσεσθε δὲ ἀκριβῶς, ὅτι διὰ ἀπορίαν ἔργων πολλοὶ καὶ μακροὶ λόγοι λέγονται. ἀλλ' ἢ λέγετε ὅτι ἀγνοεῖτε τὰ λεγόμενα καὶ ἀνίστασθε, ἢ δικάζετε ὀρθῶς. καὶ ταῦτα μὴ κρύβδην φέρετε, ἀλλὰ φανερῶς. ἵνα γνῶτε ὅτι καὶ αὐτοῖς τοῖς δικάζουσι, δοτέα δίκη ἐστὶν, ἂν μὴ δικάσωσιν ὀρθῶς. κἄπειτ' ἴσως γνώσεσθε ὅτι κριταὶ τῶν λεγομένων, ἀλλὰ μὴ δοξασταὶ κάθησθε. ἐγὼ δὲ διαγινώσκειν μὲν ὑμῖν περὶ ἐμοῦ, καὶ τῶν ἐμῶν ἐπιτρέπω. διαδοξάζειν δὲ ἅπασιν ἀπαγορεύω καὶ ταῦτα περὶ ἀνδρός. ὃς οὐχ ἑκὼν, ἀλλ' ἄκων ἀφῖκται εἰς τροίαν. καὶ περὶ ἐμοῦ, ὃς πρῶτος ἀεὶ καὶ μόνος, καὶ ἄνευ τείχους τέταγμαι.

Ἀντισθένους ὀδυσσεύς.

Υ πρὸς σέ μοι μόνον ὁ λόγος δι' ὃν ἀνέστην, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἅπαντας. πλείω γὰρ ἀγαθὰ πεποίηκα τὸ στρατόπεδον ἐγὼ, ἢ ὑμεῖς ἅπαντες, καὶ ταῦτα ζῶντος ἂν ἔλεγον ἀχιλλέως, καὶ νῦν τεθνεῶτος λέγω πρὸς ὑμᾶς. ὑμεῖς μὲν γὰρ οὐδεμίαν ἄλλην μάχην μεμάχησθε, ἣν οὐχὶ καὶ ἐγὼ μεθ' ὑμῶν. ἐμοὶ δὲ τῶν ἰδίων κινδύνων, οὐδεὶς ὑμῶν οὐδὲν ξύνοιδε. καίτοι ἐν μὲν ταῖς κοιναῖς μάχαις, οὔτε εἰ καλῶς ἀγωνίζοισθε πλέον ἐγίγνετο οὐδέν. ἐν δὲ τοῖς ἐμοῖς κινδύνοις οὓς ἐγὼ μόνος ἐκινδύνευον, εἰ μὲν κατορθώσαιμι ἅπαντα ὑμῖν ἐπετελεῖτο, ὧν ἕνεκα ἀφίγμεθα. εἰ δὲ σφαλείην, ἐμοῦ ἂν ἑνὸς ἀνδρὸς ἐστέρησθε. οὐ γὰρ ἵνα μαχοίμεθα τοῖς τρωσὶ δεῦρ' ἀφίγμεθα, ἀλλ' ἵνα τὴν ἑλένην ἀπολάβοιμεν, καὶ τὴν τροίαν ἕλοιμεν. ταῦτα δὲ ἐν τοῖς ἐμοῖς κινδύνοις ἐνῆν ἅπαντα. ὅπου γὰρ ἦν κεχρημένον ἀνάλωτον εἶναι τὴν τροίαν, εἰ μὴ πρότερον τὸ ἄγαλμα τῆς θεοῦ λάβοιμεν τὸ κλαπὲν παρ' ἡμῶν, τίς ἐστιν ὁ κομίσας δεῦρο τὸ ἄγαλμα ἄλλος, ἢ ἐγώ; ὃν σύ γε ἱεροσυλίας κρίνεις. σύ γε οὐδὲν οἶσθα, ὅς γε τὸν ἄνδρα τὸν ἀνασώσαντα τὸ ἄγαλμα τῆς θεοῦ, ἀλλ' οὐ τὸν ὑφελόμενον παρ' ἡμῶν ἀλέξανδρον, ἀποκαλεῖς ἱερόσυλον. καὶ τὴν τροίαν μὲν ἁλῶναι ἅπαντες εὔχεσθε. ἐμὲ δὲ τὸν ἐξευρόντα ὅπως ἔσται τοῦτο, ἀποκαλεῖς ἱερόσυλον. καίτοι εἴπερ καλόν γε ἦν ἑλεῖν τὸ ἴλιον, καλὸν καὶ τὸ εὑρεῖν τὸ τούτου αἴτιον. καὶ οἱ μὲν ἄλλοι χάριν ἔχουσι. σὺ δὲ καὶ ὀνειδίζεις ἐμοί. ὑπὸ γὰρ ἀμαθίας, ὧν εὖ πέπονθας οὐδὲν οἶσθα. κἀγὼ μὲν οὐκ ὀνειδίζω σοι τὴν ἀμαθίαν. ἄκων γὰρ αὐτὸ καὶ σὺ καὶ ἄλλοι πεπόνθασιν ἅπαντες. ἀλλ' ὅτι διὰ τὰ ὀνείδη τὰ ἐμὰ σωζόμενος οὐχ οἷός τε εἶ πείθεσθαι. ἀλλὰ καὶ προσαπειλεῖς ὡς κακόν δράσαντι τινὰ δὲ ἐὰν ἐμοὶ τὰ ὅπλα ψηφίσωνται, καὶ πολλάκις ἀπειλήσεις καὶ πολλὰ πρὶν καὶ σμικρόν τι ἐργάσασθαι. ἀλλ' εἴπερ ἐκ τῶν εἰκότων τι χρὴ τεκμαίρεσθαι, ὑπὸ τῆς κακῆς ὀργῆς, οἶομαί σε κακόν τι σαυτὸν ἐργάσεσθαι. καὶ ἐμοὶ μὲν ὅτι τοὺς πολεμίους κακῶς ἐποίησα δειλίαν ὀνειδίζεις, σὺ δὲ ὅτι φανερῶς ἐμόχθεις καὶ μάτην ἠλίθιος ἦσθα ὅτι μετὰ πάντων δράσαις, οἴει τούτῳ βελτίων εἶναι. ἔπειτα περὶ ἀρετῆς πρὸς ἐμὲ λέγεις. ὃς πρῶτον μὲν οὐκ οἶσθα, οὐδ' ὅπως δεῖ μάχεσθαι. ἀλλ' ὥσπερ ὗς ἄγριος ὀργῇ φερόμενος. τάχ' ἄν ποτε ἀποκτενεῖς σεαυτὸν κακῷ περιπεσόντι. οὐκ οἶσθα ὅτι τὸν ἄνδρα τὸν ἀγαθὸν, οὔθ' ὑπ' αὐτοῦ χρὴ, οὔθ' ὑφ' ἑτέρου, οὔθ' ὑπὸ τῶν πολεμίων κακὸν οὐδ' ὁτιοῦν πάσχειν; σὺ δὲ ὥσπερ οἱ παῖδες χαίρεις ὅτι σέ φασιν οὗτοι ἀνδρεῖον εἶναι. ἐγὼ δὲ δειλότατόν γε ἁπάντων τε καὶ

ἀδιότατα τὸ ἄβατον μάλιστα. ὅστις γε πρῶτον ὅπλα ἔχεις ἄρρηκτα, καὶ ἄτρωτα, δι' ἅπερ σέ φασιν οὐ τρωτὸν εἶναι. καίτοι τί ἂν δράσειας, εἴ τις σοι τῶν πολεμίων τοιαῦτα ὅπλα ἔχων προσέλθοι. ἦ που καλόν τι καὶ θαυμαστὸν ἂν εἴη. εἰ μηδέτερος ὑμῶν μηδὲν δράσαι δύναιτο. ἔπειτα οἴει τι διαφέρειν τοιαῦτα ὅπλα ἔχων ἢ ἐντὸς τείχους καθῆσθαι, καὶ σοὶ μόνῳ δὴ τεῖχος οὐκ ἔστιν, ὡς σὺ φῄς. μόνος μὲν οὖν σύ γε ἑπταβόλειον περιφέρῃ τεῖχος προβαλλόμενος ἑαυτοῦ. ἐγὼ δὲ ἄοπλος οὐ πρὸς τὰ τείχη τῶν πολεμίων, ἀλλ' εἰς αὐτὰ εἰσέρχομαι τὰ τείχη. καὶ τῶν πολεμίων τοὺς φύλακας ἐγρηγορότας, αὐτοῖς ὅπλοισιν αἱρῶ. καὶ εἰμὶ στρατηγὸς καὶ φύλαξ καὶ σοῦ, καὶ τῶν ἄλλων ἁπάντων. καὶ οἶδα τά τε ἐνθάδε καὶ τὰ ἐν τοῖς πολεμίοις. οὐχὶ πέμπων κατασκεψόμενον ἄλλον. ἀλλ' αὐτὸς ὥσπερ οἱ κυβερνῆται τὴν νύκτα καὶ τὴν ἡμέραν σκοποῦσιν ὅπως σώσουσι τοὺς ναύτας, οὕτω δὲ καὶ ἔγωγε. καὶ σὲ καὶ τοὺς ἄλλους ἅπαντας σώζω. οὐδ' ἔστιν ὅν τινα κίνδυνον ἔφυγον αἰσχρὸν ἡγησάμενος, ἐν ᾧ μέλλοιμι τοὺς πολεμίους κακόν τι δράσειν. οὐδ' εἰ μὲν ὄψεσθαί με τινὲς ἔμελλον, γλιχόμενος ἂν τῆς δόξης ἐτόλμων. ἀλλ' εἴτε δοῦλος εἴτε πτωχὸς καὶ μαστιγίας ὤν, μέλλοιμι τοὺς πολεμίους κακόν τι δράσειν, ἐπιχειροίην ἄν, καὶ εἰ μηδεὶς ὁρῴη. οὐ γὰρ δοκεῖν ὁ πόλεμος, ἀλλὰ δρᾶν φιλεῖ. καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ. οὐδὲ ὅπλα ἔστι μοι τεταγμένα, ἐν οἷς προκαλοῦμαι τοῖς πολεμίοις μάχεσθαι. ἀλλ' ὅν τινα ἐθέλοι τις τρόπον, καὶ πρὸς ἕνα, καὶ πρὸς πολλοὺς, ἕτοιμός εἰμι ἀεί. οὐδ' ἡνίκα κάμνω μαχόμενος ὥσπερ σὺ, τὰ ὅπλα ἑτέροις παραδίδωμι. ἀλλ' ὁπότ' ἂν ἀναπαύωνται οἱ πολέμιοι, τότε αὐτοῖς τῆς νυκτὸς ἐπιτίθεμαι ἔχων τοιαῦτα ὅπλα, ἃ ἐκείνους βλάψει μάλιστα, καὶ οὔτε νὺξ πώποτέ με ἀφείλετο, ὥσπερ σὲ πολλάκις μαχόμενον ἄσμενον πέπαυκεν. ἀλλ' ἡνίκα ἂν ῥέγχῃς σὺ, τηνικαῦτα ἐγὼ σώζω σε, καὶ τοὺς πολεμίους ἀεὶ κακόν τι ποιῶ. ἔχων τὰ δουλοπρεπῆ ταῦτα ὅπλα καὶ τὰ ῥάκη. καὶ τὰς μάστιγας. δι' ἃς σὺ ἀσφαλῶς καθεύδεις. σὺ δ' ὅτι φέρων ἐκόμισας τὸν νεκρὸν ἀνδρεῖος οἴει εἶναι; ὃν εἰ μὴ ἠδύνω φέρειν, δύο ἂν ἄνδρες αὐτὸν ἐφερέτην. κἄπειτα κἀκεῖνοι περὶ ἀρετῆς πως ἂν ἡμῖν ἠμφισβήτουν. καί μοι μὲν ὁ αὐτὸς ἂν πρὸς αὐτοὺς ἦν λόγος. σὺ δὲ τί ἂν ἔλεγες ἀμφισβητῶν πρὸς αὐτούς. ἢ δυοῖν μὲν οὐκ ἂν φροντίσαις, ἑνὸς δ' ἂν αἰσχύνοιο ὁμολογῶν δειλότερος εἶναι. οὐκ οἶσθ' ὅτι οὐ τοῦ νεκροῦ τοῖς Τρωσὶν, ἀλλὰ τῶν ὅπλων ἔμελλεν ὅπως λάβοιεν; τὸν μὲν γὰρ, ἀποδώσειν ἔμελλον, τὰ δὲ ὅπλα ἀναθήσειν εἰς τὰ ἱερὰ τοῖς θεοῖς. τοὺς γὰρ νεκροὺς οὐ τοῖς ἀναιρουμένοις αἰσχρὸν, ἀλλὰ τοῖς μὴ ἀποδιδοῦσι θάπτειν. σὺ μὲν οὖν τὰ ἕτοιμα ἐκόμισας. ἐγὼ δὲ τὰ ὀνειδιζόμενα ἀφειλόμην ἐκείνους. φθόνον δὲ καὶ ἀμαθίαν νοσεῖς. κακῶν ἐναντιώτατα αὐτοῖς. καὶ ὁ μὲν, σε ἐπιθυμεῖν ποιεῖ τῶν καλῶν. ἡ δὲ, ἀποτρέπει. ἀνθρώπινον μὲν οὖν τι πέπονθας. μὲν γὰρ ἰσχυρὸς οἴει καὶ ἀνδρεῖος εἶναι. οὐκ οἶσθα ὅτι σοφία περὶ πόλεμον καὶ ἀνδρεία οὐ ταὐτόν ἐστιν ἰσχύσαι; ἀμαθία δὲ κακὸν μέγιστον τοῖς ἔχουσιν. οἶμαι δὲ ἄν ποτέ τις ἀνὴρ σοφὸς ποιητὴς περὶ ἀρετῆς γένηται, ἐμὲ μὲν ποιήσει πολύτλαντε, καὶ πολύμητιν, καὶ πολυμήχανον, καὶ πτολίπορθον, καὶ μόνον τὴν Τροίαν ἑλόντα. σὲ δὲ ὡς ἐγᾦμαι τὴν φύσιν ἀπεικάζων, τοῖς τε νωθέσιν ὄνοις, καὶ βουσὶ ταῖς φορβάσιν ἄλλοις ὑπάρχειν τὸ δεσμεύειν καὶ ζευγνύναι αὐτούς.

Δημάδου, ὑπὲρ τῆς δωδεκαετίας.

Ἧς μὲν τῶν κινδυνευόντων σωτηρίας ὦ ἄνδρες Ἀθηναῖοι καὶ τῆς τιμωρίας, ὑμεῖς παρὰ τῶν νόμων τὴν ἐξουσίαν εἰλήφατε. οὔτε δὲ ἰατρὸς ἐμπείρως δύναται θεραπεῦσαι τοὺς κάμνοντας ἂν μὴ τὴν αἰτίαν τοῦ νοσήματος κατανοήσῃ, οὔτε δικαστὴς ὁσίαν θεῖναι τὴν ψῆφον, ἐὰν μὴ τοῖς τῆς κρίσεως δικαίοις παρακολουθήσῃ καλῶς. ἐμπεσὼν δὲ αὐτὸς εἰς μέσην τῶν ῥητόρων δυσμένειαν, ὥσπερ τῆς παρὰ θεῶν οὕτω τῆς παρ' ὑμῶν δέομαι τυχεῖν βοηθείας. διαβάλλουσι γάρ μου τὸν βίον, οἰόμενοι τὸν λόγον ἄπιστον καταστήσειν.

ἐγὼ

ἐγὼ δ᾽ ἀποθανὼν μὲν ἢ ζῶν, οὐδέν εἰμι. τί γὰρ ἀθηναίοις, εἰ παραναλώμα δημάδης. διακρίσει δέ μου τὴν ἀπώλειαν οὐχ ὁ στρατιώτης. τὸν γὰρ ὃν αὔξει μὲν πόλεμος, εἰρήνη δ᾽ οὐ τρέφει. ἀλλ᾽ ὁ τὴν χώραν γεωργῶν, καὶ ὁ τὴν θάλατταν πλέων, καὶ πᾶς ὁ τὸν ἡσύχιον βίον ἀγαπητικῶς ζῶν· τὴν ἀττικὴν ἐτείχισα. τοὺς ὅρους τῆς χώρας περιβαλὼν οὐ λίθοις, ἀλλὰ τῇ τῆς πόλεως ἀσφαλείᾳ. δεινὸν δέ τι συμβαίνει πολλοῖς τῶν κρινομένων ἐπὶ δικαστοῦ. ὥσπερ γὰρ ἡ τῶν ὀφθαλμῶν νόσος τὴν ὅρασιν συγχέασα, κωλύει τὰ ἐμποδὼν κείμενα θεωρεῖν, οὕτως ἄδικος παρεισδύνων λόγος, εἰς τὰς τῶν δικαστῶν γνώμας, οὐκ ἐᾷ δι᾽ ὀργὴν συνορᾶν τὴν ἀλήθειαν. διὸ καὶ δεῖ συνορᾶν ὑμᾶς εὐλαβῶς ἤδη τῶν κινδυνευόντων μᾶλλον, ἢ τῶν ἐγκαλούντων. οἱ μὲν γὰρ αὐτόθεν ἔχουσιν ἐκ τῆς προβολογίας, ὁποῖον αὐτοὶ βούλονται τὸν δικαστήν. οἱ δ᾽ ἀναγκάζονται πρὸς ὠργισμένους καὶ τὰς τὴν διάνοιαν ἀντιτάσσεσθαι. ἐὰν μὲν οὖν φαίνωμαι τοῖς ἐγκαλουμένοις ἔνοχος, καταψηφίσασθε, μὴ φείσησθε, οὐ παραιτοῦμαι. ἂν δ᾽ εὑρίσκωμαι τῶν ἐγκεκλημένων κεχωρισμένος, τῷ δικαίῳ, τοῖς νόμοις, τῷ συμφέροντι, μὴ πρόησθέ με τῇ τῶν κατηγόρων ὠμότητι. εἰ δὲ πάντως ἀποθανὼν, συμβαλοῦμαί τι πρὸς τὴν κοινὴν σωτηρίαν ὡς οὗτοι λέγουσιν, ἑτοίμως ἔχω τελευτᾶν. κτήσασθαι γὰρ ἰδίῳ θανάτῳ δημοσίαν εὔνοιαν καλὸν, ἐὰν ἡ χρεία τῆς πατρίδος. ἀλλὰ μὴ ὁ τούτων λόγος τὴν νῦν ἀφαιρήσεται. δότε δή μοι πρὸς θεῶν ὦ ἄνδρες ἀθηναῖοι, δότε διαλεχθῆναι ὡς προαιροῦμαι. πρὸς ὑμᾶς περὶ τῶν δικαίων. δοκῶ μὲν γὰρ δύναμιν εἶναί μοι καὶ τοῖς ἄλλοις βοηθεῖν. ἐν δὲ τούτοις, ἐμποδίζει μου τὸν λόγον ὁ φόβος. ἄλλως δὲ οὐ τὸν ἔλεγχον τοῦ πράγματος, ἀλλὰ τῇ τῶν ἀδίκων μόνον. ὃς οὐ κρίνει τοὺς ἀδικοῦντας, ἀλλὰ φύεται τοῖς ἀδικοῦσι λέγειν ἢ πράττειν. ἡ παρ᾽ ὑμῖν ἐλπὶς δὲ δικαία. ἐὰν ταύτης κατατυχὼν, πάσας ἀπολύσομαι τὰς διαβολάς. ἄνευ δὲ ταύτης, οὔτε ὁ λόγος, οὔθ᾽ οἱ νόμοι, οὔθ᾽ ἡ τῶν πραγμάτων ἀλήθεια σῶσαι δυνήσεται τὸν ἀδίκως κρινόμενον. οὐκ ἀγνοεῖτε δὲ ὅτι πολλοὶ πολλάκις ἤδη τῶν ἐγκαλούντων, ἀπὸ μὲν τῆς κατηγορίας, ἔδοξαν δίκαια λέγειν. παρατεθείσης δὲ τῆς ἀπολογίας, εὑρέθησαν αὐτοὶ συκοφαντοῦντες. ὃ δὴ καὶ νῦν πέπεισμαι τούτοις παρακολουθήσειν ὑμῶν ἀκούειν προαιρουμένων μετ᾽ εὐνοίας. ἐπεὶ δὲ καὶ τῆς ἄλλης μου πολιτείας κατηγορεῖν ἐπιχειρήσουσι, βραχέα βούλομαι περὶ αὐτῆς εἰπεῖν. ἔπειθ᾽ οὕτως ἤδη τὴν λοιπὴν δικαιολογίαν ἐπελθεῖν, ἵνα μὴ λάθωσιν ὑμᾶς παρακρουσάμενοι. γεγονὼς γὰρ ὦ ἄνδρες ἀθηναῖοι δημάδου πατρὸς, ὡς καὶ ὑμῶν οἱ πρεσβύτεροι γινώσκουσι, τὸν μὲν ἄλλον χρόνον οὕτως ἔζων, ὡς ἐδυνάμην, οὔτε κοινῇ τὸν δῆμον ἀδικῶν, οὔτ᾽ ἰδίᾳ λυπῶν οὐδένα τῶν ἐν τῇ πόλει. πειρώμενος δ᾽ ἀεὶ τοῖς ἰδίοις πόνοις τὴν ἀσθένειαν τοῦ βίου διορθοῦσθαι. ἡ πενία δ᾽ ἴσως δύσχρηστον μὲν ἔχει τι καὶ χαλεπόν. κεχώρισται δ᾽ αἰσχύνης ὡς ἂν οἶμαι τῆς ἀπορίας ἤδη πολλῶν οὐ τρόπον κακίαν, ἀλλὰ τύχης ἀγνωμοσύνην ἐλεγχούσης. προσελθὼν δὲ τοῖς κοινοῖς, οὐκ εἰς δίκας ἢ τὴν ἀπὸ τῆς λογογραφίας ἐργασίαν ἔθηκα τὸν πόνον, ἀλλ᾽ εἰς τὴν ἀπὸ τοῦ βήματος παρρησίαν. ἣ τοῖς μὲν λέγουσιν ἐπισφαλῆ παρέχεται τὸν βίον, τοῖς δ᾽ εὐλαβουμένοις μεγίστην δίδωσιν ἀφορμὴν πρὸς κατόρθωσιν. οὐ γὰρ ἐν τῇ τοῦ λέγοντος χάριτι, δεῖ συνεκπίπτειν τὴν τῆς πατρίδος σωτηρίαν, χιλίων τε ἀθηναίων μαρτυρεῖ μοι κυκλωθεῖσα ταῖς τῶν ἐναντίων χερσίν. ἃς ἀντὶ πολεμίων φιλίας ἐποίησα τοῖς ἀποθανοῦσιν. ἐνταῦθα ἐπιστὰς τοῖς πράγμασιν ἔγραψα τὴν εἰρήνην ὁμολογῶ. ἔγραψα καὶ φιλίππῳ τιμὰς, οὐκ ἀρνοῦμαι. δισχιλίους γὰρ αἰχμαλώτους ἄνευ λύτρων, καὶ χίλια πολιτῶν σώματα χωρὶς κήρυκος, καὶ τὸν ὠρωπὸν ἄνευ πρεσβείας λαβὼν ὑμῖν ταῦτ᾽ ἔγραψα. ἐπείληπτο δὲ τῆς γραφούσης χειρὸς οὐχ ἡ δωροδοκία τῶν μακεδόνων, ὡς οὗτοι πλαττόμενοι λέγουσιν. ἀλλ᾽ ὁ καιρὸς καὶ ἡ χρεία, καὶ τὸ τῆς πατρίδος συμφέρον. καὶ ἡ τοῦ βασιλέως φιλανθρωπία. ἐλθὼν γὰρ εἰς τὸν κίνδυνον ἐχθρὸς τῶν ἀγώνων, φίλος ἐχωρίσθη, τὸ τῶν νενικηκότων ἆθλον τοῖς σφαλεῖσι προσθείς. πάλιν τοίνυν ἧκε τῇ πόλει καιρὸς ἕτερος. ἵνα τοὺς μεταξὺ κινδύνους ἑκὼν ἐπιλάθωμαι. καὶ πάντες μὲν οἱ τὴν ἑλλάδα κατοικοῦντες, τὸν ἀλέξανδρον ἤδη τὴν ἡγεμονίαν ἀνεβίβαζον. καὶ τοῖς

τῇ φιλοτιμίᾳ σοι αὐχοπλάττοντες, φρόνημα μεῖζον τοῦ δέοντος ἀνδρὶ νέῳ καὶ φιλοδόξῳ περιέθηκαν. λοιπὸν δὲ ἦμεν ἡμεῖς καὶ Λακεδαιμόνιοι πρόβλημα τῆς σωτηρίας ἔχοντες, οὐ χρημάτων πλῆθος· οὐχ ὅπλων παρασκευάς· οὐχὶ πεζῶν σύνταξιν. ἀλλ' ἐπιθυμίαν μεγάλην, δύναμιν δ' ἀσθενῆ καὶ ταπεινήν. ὧν μὲν τὴν ἐσύλησε τὴν ἰσχὺν ὁ περὶ Λεῦκτρα κίνδυνος. ὁ δὲ πρότερος ἀπείρατος ὢν πολεμίας σάλπιγγος Εὐρώτας βοιωτοὺς ἐν τῇ Λακωνικῇ στρατοπεδεύοντας εἶδεν. ἀπέκειρε γὰρ τὴν ἀκμὴν τῆς Σπάρτης ὁ Θηβαῖος. καὶ τοὺς ὅρους τῆς Λακωνικῆς τεθειμένους τὴν ἀκμὴν τῶν νέων, συνέκλεισε ταῖς τάφροις. τὰς δ' ἡμετέρας παρασκευάς, ἀνήλωσεν ὁ πόλεμος. καὶ τὴν ἐλπίδα τῶν ζώντων, συνέθαψεν ἡ συμφορὰ τῶν ἀποθανόντων. Θηβαῖοι δὲ μέγιστον εἶχον δεσμὸν τὴν τῶν Μακεδόνων φρουρὰν ὑφ' ἧς οὐ μόνον τὰς χεῖρας συνεδέθησαν, ἀλλὰ καὶ τὴν παρρησίαν ἀφῄρηντο. τῷ γὰρ Ἐπαμινώνδου σώματι, συνέθαψε τὴν δύναμιν τῶν Θηβαίων ὁ καιρός. ἤκμαζον δὲ τοῖς σώμασιν οἱ Μακεδόνες. οὓς ἤδη ταῖς ἐλπίσιν ἐπὶ τὰ σκῆπτρα καὶ τοὺς θρόνους θησαυροὺς ἡ τύχη διεβίβαζεν· ἐν τούτῳ ὁμοίως Δημοσθένης μὲν ἐκύρωσε πόλεμον καλὴν μὲν τοῖς ὀνόμασιν. οὐ συμφέρουσαν δὲ τοῖς ἔργοις συμβουλίαν εἰσηγησάμενος τοῖς πολίταις. ὡς δὲ πλησίον ἔστη τῆς Ἀττικῆς, ἡ χώρα δὲ εἰς τὴν πόλιν κατεκλείετο, καὶ τὸ περιμάχητον καὶ θαυμαζόμενον ὑπὸ πάντων ἄστυ βοῶν καὶ προβάτων ὥσπερ ἔπαυλις καὶ τῶν βοσκημάτων ἐπληροῦτο, βοηθείας δ' οὐδαμόθεν ἦν ἐλπίς, ἔγραψα τὴν εἰρήνην· ὁμολογῶ καὶ φημὶ καλῶς καὶ συμφερόντως τοῦτο πεπρᾶχθαι. κρεῖττον γάρ ἐστι χειμῶνι ἐκκλῖναι τὸ νέφος, ἢ φερομένῳ συναπενεχθῆναι τῷ ῥεύματι. ἀξιῶ δὲ ὦ ἄνδρες Ἀθηναῖοι τὴν ἐκ τῶν πραγμάτων λύπην, ἐμοὶ παρ' ὑμῶν μηδεμίαν ἀπογεννῆσαι δυσμένειαν. οὐ γὰρ ἐγὼ κρατῶ τῆς τύχης, ἀλλ' ἡ τύχη τοῦ βίου. δι' ἣν κινδυνεύει. δεῖ δὲ τὸν σύμβουλον καθάπερ τὸν ἰατρὸν οὐ τῆς νόσου τὴν αἰτίαν ἔχειν, ἀλλὰ τῆς θεραπείας τὴν χάριν ἀπολαμβάνειν. καταχωρίσαντες οὖν τὰ συμβάντα διὰ τὰς ἔξωθεν αἰτίας, ψιλῶς ἤδη τῶν πραγμάτων γυμνὴν θεωρήσατέ μου τὴν πολιτείαν. μετὰ ταῦτα τοίνυν τῇ πόλει τρίτος ἐπήγετο κίνδυνος πάντων χαλεπώτατος. οὐκέτι πεμφθεὶς ὑπὸ τῆς τύχης, ἀλλ' ὑπὸ τῶν τότε ῥητόρων ἐπαχθείς, καί μοι τῶν πεπραγμένων ἀναμνήσθητε. ἡνίκα Δημοσθένης καὶ Λυκοῦργος τῷ μὲν λόγῳ παρατασσόμενοι, τοὺς Μακεδόνας ἐνίκων ἐν Τριβαλλοῖς. μόνον δ' οὐχ ὁρατὸν ἤδη τοῦ σώματος νεκρὸν τὸν Ἀλέξανδρον προσέθηκαν. ἐν τῷ δήμῳ δ' ἀλείψαντες λόγοις εὐπρεπέσι Θηβαίων τοὺς παρόντας φυγάδων θυμοὺς ἐπ' ἐλπίδι τῆς ἐλευθερίας ἠκόνησαν. ἐμὲ δὲ στυγνὸν καὶ ἀπειλοῦντα ἔφασκον εἶναι μὴ συνευδοκοῦντα.

ἀτελής.

λ Υσίας ὁ κεφάλου, συρακουσίων μὲν ἦν γονέων· ἐγεννήθη δὲ ἀθήνησι μετοικοῦντι τῷ πατρί, καὶ συνεπαιδεύθη τοῖς ἐπιφανεστάτοις ἀθηναίων. ἔτη δὲ πεντεκαίδεκα γεγονὼς, εἰς θουρίους ᾤχετο πλέων σὺν ἀδελφοῖς δυσί, κοινωνήσων τῆς ἀποικίας, ἣν ἔστελλον ἀθηναῖοί τε καὶ ἡ ἄλλη ἑλλάς, δωδεκάτῳ πρότερον ἔτει τοῦ πελοποννησιακοῦ πολέμου. καὶ διετέλεσεν αὐτόθι πολιτευόμενος ἐν εὐπορίᾳ πολλῇ, μέχρι τῆς συμφορᾶς τῆς κατασχούσης ἀθηναίους ἐν σικελίᾳ. μετ' ἐκεῖνο δὲ τὸ πάθος στασιάσαντος τοῦ δήμου, ἐκπίπτει σὺν ἄλλοις τριακοσίοις ἀττικισμὸν ἐγκληθείς, καὶ παραγενόμενος αὖθις εἰς ἀθήνας κατὰ ἄρχοντα καλλίαν, ἕβδομον καὶ τεσσαρακοστὸν ἔτος ἔχων· ὡς ἄν τις εἰκάσειεν, ἐξ ἐκείνου τοῦ χρόνου διετέλεσε διατριβὰς ποιούμενος ἀθήνησι. πλείστους δὲ γράψας λόγους, εἰς δικαστήριά τε καὶ βουλάς, καὶ πρὸς ἐκκλησίας εὐθέτους. πρὸς δὲ τούτοις, πανηγυρικούς, ἐρωτικούς, ἐπιστολικούς· τῶν μὲν ἔμπροσθεν γεγενημένων ῥητόρων ἢ κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάντων, ἠφάνισε τὰς δόξας· τῶν δὲ ἐπιγενομένων, οὐ πολλοῖς τισι καταλέλοιπεν ὑπερβολήν, ἅτ' ἐν ἁπάσαις ταῖς ἰδέαις τῶν λόγων, καὶ μὰ δί' οὐ τοί γε ταῖς φαυλοτάταις εὐδοκιμῶν. τίνι δὲ κέχρηται χαρακτῆρι λόγων, καὶ τίνας ἀρετὰς εἰσενήνοχε, τίνι τε κρείττων ἐστὶ τῶν μετ' αὐτὸν ἀκμασάντων, καὶ πῇ καταδεέστερος, καὶ τί δεῖ λαμβάνειν παρ' αὐτοῦ, νῦν ἤδη πειράσομαι λέγειν.

Καθαρός ἐστι τὴν ἑρμηνείαν πάνυ· καὶ τῆς ἀττικῆς γλώττης ἄριστος κανών, οὐ τῆς ἀρχαίας ᾗ κέχρηται πλάτων καὶ θουκυδίδης, ἀλλὰ τῆς κατ' ἐκεῖνον τὸν χρόνον ἐπιχωριαζούσης· ὡς ἔστι τεκμήρασθαι τοῖς τε ἀνδοκίδου λόγοις, καὶ τοῖς κριτίου, καὶ ἄλλοις συχνοῖς. κατὰ τοῦτο μὲν δὴ τὸ μέρος, ὅπερ ἐστὶ πρῶτον καὶ κυριώτερον ἐν λόγοις, λέγω δὲ τὸ καθαρεύειν τὴν διάλεκτον, οὐδεὶς τῶν μεταγενεστέρων αὐτὸν ὑπερεβάλλετο. ἀλλ' οὐδὲ μιμήσασθαι πολλοὶ δύναμιν ἔσχον, ὅτι μὴ μόνος ἰσοκράτης. καθαρώτατος δὴ τῶν ἄλλων μετά γε λυσίαν ἐν τοῖς ὀνόμασιν οὗτος ἔμοιγε δοκεῖ γενέσθαι ὁ ἀνήρ. μίαν μὲν δὴ ταύτην ἀρετὴν ἀξίαν ζήλου μιμήσεως εὑρίσκω παρὰ τῷ ῥήτορι, καὶ παρακελευσαίμην ἂν τοῖς βουλομένοις καθαρῶς γράφειν ἢ καὶ λέγειν, ἐκεῖνον τὸν ἄνδρα ποιεῖσθαι παράδειγμα ταύτης τῆς ἀρετῆς. ἑτέραν δὲ οὐδὲν ἐλάττω ταύτης, ἣν πολλοὶ μὲν ἐζήλωσαν τῶν κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάντων. οὐδεὶς δὲ βεβαιότερον ἐπεδείξατο. τίς δ' ἔστιν αὕτη; ἡ διὰ τῶν κυρίων τε καὶ κοινῶν καὶ ἐν μέσῳ κειμένων ὀνομάτων ἐκφέρουσα τὰ νοούμενα. ἥκιστα γοῦν ἄν τις εὕροι λυσίαν τροπικῇ φράσει χρησάμενον. καὶ οὐκ ἐπὶ τούτῳ μόνον ἐπαινεῖν ἄξιον. ἀλλ' ὅτι καὶ περιττὰ καὶ σεμνὰ καὶ μεγάλα φαίνεσθαι τὰ πράγματα ποιεῖ, τοῖς κοινοτάτοις χρώμενος ὀνόμασι, καὶ ποιητικῆς οὐχ ἁπτόμενος κατασκευῆς. τοῖς δὲ προτέροις, οὐχ αὕτη ἡ δόξα ἦν· ἀλλ' οἱ βουλόμενοι κόσμον τινὰ προσεῖναι τοῖς λόγοις ἐξήλλαττον ἰδιώτην, καὶ κατέφευγον εἰς τὴν ποιητικὴν φράσιν, μεταφοραῖς τε πολλαῖς χρώμενοι, καὶ ὑπερβολαῖς, καὶ ταῖς ἄλλαις τροπικαῖς ἰδέαις. ὀνομάτων τε γλωττηματικῶν καὶ ξένων χρήσει, καὶ τῶν οὐκ εἰωθότων σχηματισμῶν τῇ διαλλαγῇ, καὶ τῇ ἄλλῃ καινολογίᾳ καταπληττόμενοι τὸν ἰδιώτην. δηλοῖ δὲ τοῦτο γοργίας τε ὁ λεοντῖνος ἐν πολλοῖς πάνυ φορτικήν τε καὶ ὑπέρογκον ποιῶν τὴν κατασκευήν· καὶ οὐ πόρρω διθυράμβων ἔνια φθεγγόμενος, καὶ τῶν ἐκείνου συνουσιαστῶν οἱ περὶ λικύμνιόν τε καὶ πῶλον. ἥψατο δὲ καὶ τῶν ἀθήνησι ῥητόρων, ἡ ποιητική τε καὶ τροπικὴ φράσις· ὡς μὲν τίμαιός φησι γοργίου ἄρξαντος, ἡνίκα ἀθήναζε πρεσβεύων κατεπλήξατο τοὺς ἀκούοντας ἐν τῇ δημηγορίᾳ. ὡς δὲ τἀληθὲς ἔχει, ὁ καὶ παλαιότερον ἀεὶ θαυμαζόμενος, θουκυδίδης τοὔνομα δαιμονιώτατος τῶν συγγραφέων, ἔν τε τῷ ἐπιταφίῳ καὶ ἐν ταῖς δημηγορίαις, ποιητικῇ κατασκευῇ χρησάμενος, ἐν πολλοῖς ἐξήλλαξε τὴν ἑρμηνείαν εἰς ὄγκον ἅμα καὶ κόσμον ὀνομάτων ἀηθέστερον. λυσίας δὲ τοιοῦτον οὐδὲν ἐπιτήδευσεν. ἐν γοῦν τοῖς σπουδῇ γραφομένοις δικανικοῖς καὶ συμβουλευτικοῖς

λόγοις ποιῆσαι. πλὴν εἴ τι μικρὸν ἐν τοῖς πανηγυρικοῖς. περὶ γὰρ δὴ τῶν ἐπιστολικῶν αὐτοῦ καὶ ἑταιρικῶν, καὶ τῶν ἄλλων οὓς μετὰ παιδιᾶς ἔγραψεν, οὐδὲν δέομαι λέγειν· ὁμοίως δὲ τοῖς ἰδιώταις διαλέγεσθαι δοκῶν, πλεῖστον ὅσον ἰδιώτου διαφέρει. καὶ ἔστι ποιητὴς κράτιστος λόγων λελυμένης ἐκ μέτρου λέξεως ἰδίαν τινὰ λόγων εὑρηκὼς ἁρμονίαν, ἣ τὰ ὀνόματα κοσμεῖ τε καὶ ἡδύνει, μηδὲν ἔχουσα ὀγκῶδες μηδὲ φορτικόν. ταύτην δευτέραν τὴν ἀρετὴν κελεύω παρὰ τοῦ ῥήτορος τούτου λαμβάνειν, εἴ τινες ἀξιοῦσι τὸν αὐτὸν ἐκείνῳ διαλέγεσθαι τρόπον. ἐγένοντο μὲν οὖν πολλοὶ τῆς προαιρέσεως ταύτης ζηλωταὶ συγγραφεῖς τε καὶ ῥήτορες. ἔγγιστα δὲ αὐτῆς μετὰ Λυσίαν ἥψατο τῶν πρεσβυτέρων, νέος ἐπακμάσας Ἰσοκράτης, καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν προσωτέρω τούτων σκοπῶν ἑτέρους ῥήτορας ἰσχὺν καὶ δύναμιν τοσαύτην, ἐν ὀνόμασι κυρίοις καὶ κοινοῖς ἀποδειξαμένους. Τρίτην ἀρετὴν ἀποφαίνομαι περὶ τὸν ἄνδρα, τὴν σαφήνειαν, οὐ μόνον τὴν ἐν τοῖς ὀνόμασιν, ἀλλὰ καὶ τὴν ἐν τοῖς πράγμασιν. ἔστι γάρ τις καὶ πραγματικὴ σαφήνεια, οὐ πολλοῖς γνώριμος. τεκμαίρομαι δὲ ὅτι τῆς μὲν Θουκυδίδου λέξεως καὶ Δημοσθένους, οἳ δεινότατοι πράγματα ἐξειπεῖν ἐγένοντο, πολλὰ δυσείκαστά ἐστιν ἡμῖν καὶ ἀσαφῆ καὶ δεόμενα ἐξηγητοῦ. ἡ δὲ Λυσίου λέξις, ἅπασά ἐστι φανερὰ καὶ σαφής· καὶ τῷ πάνυ πόρρω δοκοῦντι πολιτικῶν ἀφεστάναι λόγων. καὶ εἰ μὲν δι' ἀσθένειαν δυνάμεως ἐγίνετο τὸ σαφές, οὐκ ἄξιον ἦν αὐτὸ ἀγαπᾶν· νῦν δὲ ὁ πλοῦτος τῶν κυρίων ὀνομάτων ἐκ πολλῆς αὐτῷ περιουσίας ἀποδείκνυται ταύτην τὴν ἀρετήν, ὥστε τὴν σαφήνειαν αὐτοῦ ζηλοῦν ἄξιον. καὶ μὴν τό γε βραχέως ἐκφέρειν τὰ νοήματα μετὰ τοῦ σαφοῦς, χαλεποῦ τοῦ πράγματος ὄντος φύσει, τὸ συναγαγεῖν ἄμφω ταῦτα, καὶ κεράσαι μετρίως, ἣ μάλιστα οὐδενὸς ἧττον τῶν ἄλλων ἀποδείκνυται Λυσίας χρώμενος· ὥστε οὐδὲν τοῖς διὰ χειρὸς ἔχουσι τὸν ἄνδρα, οὔτε ἀκυρολογίας, οὔτε ἀσαφείας δόξαν λαβεῖν. τούτου δὲ αἴτιον, ὅτι οὐ τοῖς ὀνόμασι δουλεύει τὰ πράγματα παρ' αὐτῷ. τοῖς δὲ πράγμασιν, ἀκολουθεῖ τὰ ὀνόματα. τὸν δὲ κόσμον οὐκ ἐν τῷ διαλλάττειν τὸν ἰδιώτην, ἀλλ' ἐν τῷ μιμεῖσθαι λαμβάνει. καὶ οὐκ ἐνθάδε μὲν τῆς ἑρμηνείας τοιοῦτός ἐστιν, ἐν δὲ τοῖς πράγμασιν ἄκαιρός τις, καὶ μακρός. συνέστραπται δὲ εἴ τις καὶ ἄλλος, καὶ πεπύκνωται τοῖς νοήμασι, καὶ τοσοῦτον δεῖ τῶν οὐκ ἀναγκαίων τι λέγειν, ὥστε καὶ πολλὰ τῶν χρησίμων ἂν δόξειε παραλιπεῖν, οὐ μὰ Δί' ἀσθενείᾳ εὑρέσεως αὐτὸ ποιῶν, ἀλλὰ συμμετρήσει τοῦ χρόνου, πρὸς ὃν ἔδει γενέσθαι τοὺς λόγους. βραχύς γε μὴν οὗτος. ὡς μὲν ἰδιώτῃ δηλῶσαι βουλομένῳ τὰ πράγματα ἀποχρῶν, ὡς δὲ ῥήτορι περιουσίαν δυνάμεως ἐνδείξασθαι ζητοῦντι, οὐχ ἱκανός. μιμητέον δὲ καὶ τὴν βραχύτητα τὴν Λυσίου. μετριωτέρα γὰρ οὐκ ἂν εὑρεθείη παρ' ἑτέρῳ ῥήτορι.

Μετὰ ταύτας ἀρετὴν εὑρίσκω παρὰ Λυσίᾳ πάνυ θαυμαστήν. ἧς Θεόφραστος μέν φησιν ἄρξαι Θρασύμαχον. ἐγὼ δ' ἡγοῦμαι Λυσίαν. καὶ γὰρ τοῖς χρόνοις οὗτος ἐκείνου προέχειν ἔμοιγε δοκεῖ. λέγω δ' ὡς ἐν ἀκμῇ κοινῇ βίου γενομένων ἀμφοῖν, καὶ εἰ μὴ τοῦτο δοθείη, τῇ γέ τοι περὶ τοὺς ἀληθινοὺς ἀγῶνας, ἐκεῖνος μᾶλλον τετρῖφθαι. οὐ μὴν τοι διαβεβαιοῦμαί γε ὁπότερος ἦρξε τῆς ἀρετῆς ταύτης κατὰ τὸ παρόν, ἀλλ' ὅτι Λυσίας μᾶλλον ἐν αὐτῇ διήνεγκε, τοῦτο θαρρῶν ἂν ἀποφηναίμην. τίς δ' ἐστὶν ἣν φημι ἀρετήν; ἡ συστρέφουσα τὰ νοήματα καὶ στρογγύλως ἐκφέρουσα λέξις, οἰκεία πάνυ καὶ ἀναγκαία τοῖς δικανικοῖς λόγοις, καὶ παντὶ ἀληθεῖ ἀγῶνι. ταύτην ὀλίγοι μὲν ἐμιμήσαντο. Δημοσθένης δὲ καὶ ὑπερέβαλλε. πλὴν οὐχ οὕτως εὐτελῶς οὐδὲ ἀφελῶς, ὥσπερ Λυσίας χρησάμενος αὐτῇ, ἀλλὰ περιέργως καὶ πικρῶς. λεγέσθω γὰρ ὡς ἐμοὶ φαίνεται, ὑπὲρ ὧν κατὰ τὸν οἰκεῖον διαλέξομαι καιρόν. ἔχει δὲ καὶ τὴν ἐνάργειαν πολλὴν ἡ Λυσίου λέξις. αὕτη δ' ἐστὶ δύναμίς τις ὑπὸ τὰς αἰσθήσεις ἄγουσα τὰ λεγόμενα. γίνεται δὲ ἐκ τῆς τῶν παρακολουθούντων λήψεως. ὁ δὲ προσέχων τὴν διάνοιαν τοῖς Λυσίου λόγοις, οὐχ οὕτως ἔσται σκαιὸς ἢ δυσάρεστος, ἢ βραδὺς τὸν νοῦν, ὃς οὐχ ὑπολήψεται τὰ δηλούμενα ὡς γινόμενα ὁρᾶν, καὶ ὥσπερ παροῦσιν οἷς ἂν ὁ ῥήτωρ εἰσάγῃ προσώποις ὁμιλεῖν. ἐπιζητήσει τε οὐδὲν εἰκός, τοὺς μὲν ἄνδρας αὐτοῦσα εἶτα θεῖν. τοὺς δὲ διανοηθῆναι. τοὺς

δὲ εἰπεῖν. κράτιστος δὴ πάντων ἐγένετο ῥητόρων φύσιν ἀνθρώπων κατοπτεῦσαι, καὶ τὰ προσήκοντα ἑκάστοις ἀποδοῦναι, πάθη τε καὶ ἤθη καὶ ἔργα. ἀποδίδωμί τε δὴ αὐτῷ καὶ τὴν εὐπρεπεστάτην ἀρετὴν, καλουμένην δὲ ὑπὸ τῶν πολλῶν ἠθοποιΐαν. ἁπλῶς γὰρ οὐδὲ εὑρεῖν δύναμαι παρὰ τῷ ῥήτορι τούτῳ πρόσωπον, οὔτε ἀνηθοποίητον, οὔτε ἄψυχον. τριῶν τε ὄντων ἐν οἷς καὶ περὶ ἃ τὴν ἀρετὴν ταύτην συμβέβηκεν εἶναι, διανοίας τε καὶ λέξεως, καὶ τρίτης τῆς συνθέσεως, ἐν ἅπασι τούτοις αὐτὸν ἀποφαίνομαι κατορθοῦν. οὐ γὰρ διανοουμένους μόνον ὑποτίθεται χρηστὰ καὶ ἐπιεικῆ καὶ μέτρια τοὺς λέγοντας, ὥστε εἰκόνας εἶναι δοκεῖν τῶν ἠθῶν τοὺς λόγους, ἀλλὰ καὶ τὴν λέξιν ἀποδίδωσι τοῖς ἤθεσιν οἰκείαν, ᾗ πέφυκεν αὐτὰ ἑαυτῶν κράτιστα δηλοῦσθαι, τὴν σαφῆ καὶ κυρίαν καὶ κοινὴν καὶ πᾶσιν ἀνθρώποις συνηθεστάτην. ὁ γὰρ ὄγκος καὶ τὸ ξένον καὶ τὸ ἐξ ἐπιτηδεύσεως ἅπαν, ἀνηθοποίητον. καὶ συντίθησί γε αὐτὴν, ἁπλῶς πάνυ καὶ ἀφελῶς. ὁρῶν ὅτι οὐκ ἐν τῇ περιόδῳ, καὶ τοῖς ῥυθμοῖς, ἀλλ' ἐν τῇ διαλελυμένῃ λέξει γίνεται τὸ ἦθος. καθόλου δὲ ἵνα καὶ περὶ ταύτης εἴπω τῆς ἀρετῆς, οὐκ οἶδ' εἴ τις ἄλλος ῥητόρων τῶν γε τῇ ὁμοίᾳ κατασκευῇ χρησαμένων τοῦ λόγου, εἴτε ἥδιον συνέθηκεν, εἴτε πιθανώτερον. δοκεῖ μὲν γὰρ ἀποίητός τις εἶναι καὶ ἀτεχνίτευτος ὁ τῆς ἁρμονίας αὐτοῦ χαρακτήρ. καὶ οὐ θαυμάσαιμ' ἂν, εἰ πᾶσι μὲν τοῖς ἰδιώταις, οὐκ ὀλίγοις δὲ καὶ τῶν φιλολόγων, ὅσοι μὴ μεγάλας ἔχουσι τριβὰς περὶ λόγους, τοιαύτην τινὰ παράσχοι δόξαν. ὅτι ἀνεπιτηδεύτως καὶ οὐ κατὰ τέχνην, αὐτομάτως δέ πως καὶ ὡς ἔτυχε σύγκειται. ἔστι δὲ παντὸς μᾶλλον ἔργου τεχνικοῦ κατεσκευασμένος, πεποίηται γὰρ αὐτῷ τοῦτο τὸ ἀποίητον. καὶ δέδεται τὸ λελυμένον. καὶ ἐν αὐτῷ τῷ μὴ δοκεῖν δεινῶς κατεσκευάσθαι τὸ δεινὸν ἔχει. τὴν ἀλήθειαν οὖν τις ἐπιτηδεύων καὶ φύσεως μιμητὴς γίνεσθαι βουλόμενος, οὐκ ἂν ἁμαρτάνοι τῇ Λυσίου συνθέσει χρώμενος, ἑτέραν γὰρ οὐκ ἂν εὕροι ταύτης ἀληθεστέραν. οἴομαι δὲ καὶ τὸ πρέπον ἔχειν τὴν Λυσίου λέξιν, οὐθενὸς ἧττον τῶν ἀρχαίων ῥητόρων κρατίστην ἁπασῶν ἀρετὴν καὶ τελειοτάτην, ὁρῶν αὐτὴν πρός τε τὸν λέγοντα, καὶ πρὸς τοὺς ἀκούοντας, καὶ πρὸς τὸ πρᾶγμα. ἐν τούτοις γὰρ δὴ καὶ πρὸς ταῦτα τὸ πρέπον ἀρκούντως ἡρμοσμένον. καὶ γὰρ ἡλικίᾳ, καὶ γένει, καὶ παιδείᾳ, καὶ ἐπιτηδεύματι, καὶ βίῳ, καὶ τοῖς ἄλλοις ἐν οἷς διαφέρει προσώπων τὰ πρόσωπα, τὰς οἰκείας ἀποδίδωσι φωνάς. πρός τε τὸν ἀκροατὴν συμμετρεῖται τὰ λεγόμενα οἰκείως. οὐ τὸν αὐτὸν τρόπον δικαστῇ τε καὶ ἐκκλησιαστῇ καὶ πανηγυρίζοντι διαλεγόμενος ὄχλῳ. διαφορὰς τε αὐτῷ λαμβάνει κατὰ τὰς ἰδέας τῶν πραγμάτων ἡ λέξις. ἀρχομένῳ μὲν γάρ ἐστι καθεστηκυῖα καὶ ἠθική. διηγουμένῳ δὲ, πιθανὴ καὶ ἀπερίεργος, ἀποδεικνύντι δὲ, στρογγύλη καὶ πυκνή. αὔξοντι δὲ καὶ παθαινομένῳ, σεμνὴ καὶ ἀληθινή. ἀνακεφαλαιουμένῳ δὲ, διαλελυμένη καὶ σύντομος. ληπτέον δὲ καὶ τὸ πρέπον τῆς λέξεως παρὰ Λυσίου. ὅτι μὲν γὰρ πιθανὴ καὶ πειστικὴ καὶ πολὺ τὸ φυσικὸν ὑποφαίνουσα, καὶ πάνθ' ὅσα τῆς τοιαύτης ἰδέας ἔχεται, πρὸς εἰδότας οὐδὲν ἴσως δεῖ λέγειν. δι' ὄχλου γὰρ ἤδη τοῦτό γε. καὶ οὐδείς ἐστιν ὅστις οὐχὶ καὶ πείρᾳ καὶ ἀκοῇ μαθὼν, ὁμολογεῖ πάντων ῥητόρων αὐτὸν εἶναι πιθανώτατον. ὥστε καὶ ταύτην τὴν ἀρετὴν ληπτέον παρὰ τοῦ ῥήτορος.

Πολλὰ καὶ καλὰ λέγειν ἔχων περὶ τῆς Λυσίου λέξεως, ἣν λαμβάνων καὶ μιμούμενος, ἄν τις ἀμείνων γένοιτο τὴν ἑρμηνείαν. τὰ μὲν ἄλλα τοῦ χρόνου στοχαζόμενος ἐάσω. μίαν δὲ ἀρετὴν ἔτι τοῦ ῥήτορος ἐπιδείξομαι. κρίνας κάλλιστήν τε καὶ κοινοτάτην καὶ μόνην τὴν μάλιστα τῶν ἄλλων, τὸν Λυσίου χαρακτῆρα δυναμένην βεβαιῶσαι. ἣν ὑπερεβάλετο μὲν οὐδεὶς τῶν ὕστερον, ἐμιμήσαντο δὲ πολλοί, καὶ παρ' αὐτὸ τοῦτο κρείσσους ἑτέρων ἔδοξαν εἶναι, τὴν ἄλλην δύναμιν οὐδὲν διαφέροντες. ὑπὲρ ὧν ἂν ἐγχωρῇ, κατὰ τὸν οἰκεῖον διαλέξομαι τόπον. τίς δ' ἐστὶν ἥδε ἀρετὴ ἥ τις πᾶσιν ἐπανθοῦσα τοῖς ὀνόμασι, καὶ τίς ἡ χάρις. πρᾶγμα παντὸς κρεῖττον λόγου καὶ θαυμασιώτερον, ῥᾷστον μὲν γάρ ἐστιν ὀφθῆναι. καὶ παντὶ ὁμοίως ἰδιώτῃ τε καὶ τεχνίτῃ, φανερὸν, χαλεπώτατον δὲ λόγῳ δηλωθῆναι, καὶ οὐδὲ τοῖς κράτιστα εἰπεῖν δυναμένοις εὔπορον. ὥστε, εἴ τις ἀξιοίη λόγῳ διδαχθῆναι ταύτην τὴν δύναμιν, ἥτις ποτέ

ἐστὶν, οὐκ αὖ φαύλοις καὶ ἄλλων πολλῶν καὶ καλῶν πραγμάτων δυσεκλαλήτων ἀπαιτῶν λόγον. λέγω δὲ ἐν δὲ κάλλει μὲν σωμάτων, τί δή ποτ' ἐστὶν, ὃ καλοῦμεν ὥραν· ἐν δὲ κινήσεως δὲ μελισμοῦ καὶ πλοκῆς φθόγγων, τί λέγεται τὸ εὐάρμοστον· ἐν δὲ συμμετρίας δὲ χρόνων τίς ἡ τάξις καὶ τί τὸ εὔρυθμον, καὶ ἐν παντὸς δὲ συλλήβδην ἔργου τε καὶ πράγματος, τίς ὁ λεγόμενος καιρὸς, καὶ ποῦ τὸ μέτριον. αἰσθήσει γὰρ τούτων ἕκαστον καταλαμβάνεται, καὶ οὐ λόγῳ. ὥσπερ οὖν οἱ μουσικοὶ παραγγέλλουσι ποιεῖν τοῖς βουλομένοις ἀκούειν ἀκριβῶς ἁρμονίας, ὥστε μηδὲ τὴν ἐλαχίστην ἐν τοῖς διαστήμασι δίεσιν ἀγνοεῖν τὴν ἀκοὴν ἐθίζειν, καὶ μηδὲν ἄλλο ταύτης ἀκριβέστερον ζητεῖν κριτήριον, οὕτω κἀγὼ τοῖς ἀναγινώσκουσι τὸν Λυσίαν, καὶ τίς ἡ παρ' αὐτῷ χάρις ἐστὶ βουλομένοις μαθεῖν, ὑποθείμην ἂν ἐπιτηδεύειν χρόνῳ πολλῷ καὶ μακρᾷ τριβῇ καὶ ἀλόγῳ πάθει, τὴν ἄλογον συνασκεῖν αἴσθησιν. ταύτην μέντοι κρατίστην τε ἀρετὴν καὶ χαρακτηρικωτάτην τῆς Λυσίου λέξεως, ἔγωγε τίθεμαι· εἴτε φύσεως αὐτὴν δεῖ καλεῖν εὐτυχίαν· εἴτε πόνου καὶ τέχνης ἐργασίαν· εἴτε μικτὴν ἐξ ἀμφοῖν ἕξιν ἢ δύναμιν, ᾗ πάντας ὑπερέχει τοὺς λοιποὺς ῥήτορας· καὶ ὅταν διαπορῶ περί τινος τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, καὶ μὴ ῥᾴδιον ᾖ μοι διὰ τῶν ἄλλων σημείων τἀληθὲς εὑρεῖν, ἐπὶ ταύτην καταφεύγω τὴν ἀρετὴν ὡς ἐπὶ ψῆφον ἐσχάτην. ἔπειτα ἂν μὲν ἡ χάρις ἡ τῆς λέξεως ἐπικοσμεῖν δοκῶσί μοι τὴν γραφὴν, τῆς Λυσίου ψυχῆς αὐτὴν τίθεμαι, καὶ οὐδὲν ἔτι πορρωτέρω ταύτης σκοπεῖν ἀξιῶ. ἐὰν δὲ μηδεμίαν ἡδονὴν, μηδὲ ἀφροδίτην ὁ τῆς λέξεως χαρακτὴρ ἔχῃ, δυσωποῦμαι καὶ ὑποπτεύω, μή ποτ' οὐ Λυσίου ὁ λόγος, καὶ οὐκέτι βιάζομαι τὴν ἄλογον αἴσθησιν. οὐδ' ἂν πάνυ δεινὸς εἶναι τά γ' οἴω ἄλλα μοι δοκεῖ καὶ περιττῶς ἐξειργασμένος ὁ λόγος. τὸ μὲν δὴ γράφειν πολλοὺς οἰόμενος ὑπάρχειν κατά τινας καὶ ἄλλους ἰδίους ἕξεως χαρακτῆρας· πολυειδὲς γάρ ἐστι· τὸ δ' ἡδέως καὶ κεχαρισμένως καὶ ἐπαφροδίτως, Λυσίᾳ τεκμηρίῳ γοῦν οὐκ ἄλλῳ τινὶ κρείττονι χρώμενος, ἢ τῷ κατὰ τὴν ἡδονὴν ἑρμηνεύεσθαι τὰ ὑπὸ τούτου λεγόμενα. ᾧ πολλοὺς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων καὶ πεπιστευμένων ὑπὸ τοῦ πλήθους ὡς εἰσὶν οἱ τοῖς πάνυ γνησίοις Λυσίου, καὶ τά γε ἄλλα οὐκ ἀτόπως ἔχοντας, ὅτι τὴν χάριν οὐ προσβάλλουσι τὴν Λυσιακὴν, οὐδὲ τὴν εὔστομον ἔχουσιν ἐκείνης τῆς λέξεως, ὑποπτεύσας τε καὶ βασανίσας, εὗρον οὐκ ὄντας Λυσίου. ὧν ἐστὶ καὶ ὁ περὶ τῆς Ἰφικράτους εἰκόνος. ὃν δι' ὅτι πολλοὶ καὶ χαρακτῆρα ἡγήσαιντο ἂν καὶ κανόνα τῆς ἐκείνου δυνάμεως. οὗτος μὲν γὰρ ὁ λόγος ὁ καὶ τοῖς ὀνόμασιν ἡρμηνεῦσθαι δοκῶν ἰσχυρῶς, καὶ τοῖς ἐνθυμήμασιν εἰρῆσθαι περιττῶς, καὶ ἄλλας πολλὰς ἀρετὰς ἔχων, ἄχαρίς ἐστι. καὶ πολλοῦ δεῖ τὸ Λυσιακὸν ἐπαφαίνειν στόμα. μάλιστα δ' ἐγένετο μὲν καταφανὲς, ὅτι οὐχ ὑπ' ἐκείνου τοῦ ῥήτορος ἐγράφη, τοὺς χρόνους ἀναλογισαμένῳ. εἰ γὰρ ὀγδοηκοντούτην γενόμενον θήσει τις τελευτῆσαι Λυσίαν ἐπὶ Νίκωνος ἢ ἐπὶ Ναυσινίκου ἀρχόντων, ἑπτὰ ἔτεσιν ὅλοις ἂν εἴη προτεροῦσα τῆς γραφῆς τοῦ ψηφίσματος ἡ τελευτὴ τοῦ ῥήτορος. μετὰ γὰρ Ἀλκισθένην ἄρχοντα, ἐφ' οὗ τὴν εἰρήνην Ἀθηναῖοί τε καὶ Λακεδαιμόνιοι καὶ βασιλεὺς ὤμοσαν, ἀποδοὺς τὰ στρατεύματα Ἰφικράτης, ἰδιώτης γίνεται. καὶ τὸ περὶ τῆς εἰκόνος ἦν τότε ἔτεσιν ἑπτὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου, πρὸ τοῦ συντάξαι ἐστὶ τὸν ἀγῶνα Ἰφικράτει. ὁμοίως δὲ καὶ τὴν ἀπολογίαν τοῦ ἀνδρὸς καὶ αὐτὴν εἰς Λυσίαν ἀναφερομένην, οὔτε τοῖς πράγμασιν ἀγροίκως ἔχουσαν, οὔτε τοῖς ὀνόμασιν ἀθλίως, δι' ὑποψίας ἔλαβον· οὐκ ἐπανθούσης τῇ λέξει τῆς Λυσιακῆς χάριτος, καὶ παραθεὶς τοὺς χρόνους, οὐκ ὀλίγοις ἔτεσιν εὗρον ὑστεροῦσαν τῆς τελευτῆς τοῦ ῥήτορος, ἀλλὰ καὶ εἴκοσιν ὅλοις. ἐν γὰρ τῷ συμμαχικῷ πολέμῳ, τὴν εἰσαγγελίαν Ἰφικράτης ἠγώνισται. καὶ τὰς εὐθύνας ὑπέχει τῆς στρατηγίας· ὡς ἐξ αὐτοῦ γίνεται τοῦ λόγου καταφανές, οὗτος δὲ ὁ πόλεμος πίπτει κατὰ Ἀγαθοκλέα καὶ Ἐλπίνικον ἄρχοντας. ὅτι μὲν οὖν εἰσὶ λόγοι τοῦ ῥήτορος, περί τε τῆς εἰκόνος καὶ τῆς προδοσίας, οὐκ ἔχω βεβαίως εἰπεῖν· ὅτι δ' ἑνὸς ἀμφότεροι, πολλοῖς τεκμηρίοις ἔχοιμ' ἂν εἰπεῖν, ἥ γὰρ αὐτὴ προαίρεσίς τε καὶ δύναμις ἐν ἀμφοτέροις, ὑπὲρ ὧν οὐ καιρὸς ἐν τῷ παρόντι σκοπεῖν. εἰκάζω δὲ Ἰφικράτους

εἶναι αὐτοὺς, καὶ γὰρ τὰ πολέμια δεινὸς ὁ ἀνὴρ, καὶ ἐν λόγοις οὐκ εὐκαταφρόνητος. ἥ τε λέξις ἐν ἀμφοῖν πολὺ τὸ φορτικὸν καὶ στρατιωτικὸν ἔχει, καὶ οὐχ οὕτως ἐμφαίνει ῥητορικὴν ἀγχίνοιαν, ὡς στρατιωτικὴν αὐθάδειαν καὶ ἀλαζονείαν. ἀλλ' ὑπὲρ μὲν τούτων ἑτέρωθι δηλωθήσεται διὰ πλειόνων. Λοιπὸν δὲ ὅθεν ἐξέβημεν εἰς ταῦτα. τὸ κράτιστόν ἐστι τῶν Λυσίου ἔργων καὶ τὸ χαρακτηρικώτατον τῆς δυνάμεως, ἡ κοσμοῦσά τε καὶ αὐθίζουσα τὴν λέξιν αὐτοῦ χάρις. ἣν οὐδ' ὑπερεβάλετο τῶν ἐπιγινομένων οὐδεὶς, οὔτε εἰς ἄκρον ἐμιμήσατο, καὶ τὰ μὲν περὶ τὴν ἑρμηνείαν ἀγαθὰ τοῦ ῥήτορος ταῦτα. συγκεφαλαιώσομαι γὰρ τὰ ῥηθέντα, τὸ καθαρὸν τῶν ὀνομάτων, ἡ ἀκρίβεια τῆς διαλέκτου. τὸ διὰ τῶν κυρίων καὶ μὴ τροπικῶν κατασκευῶν ἐκφέρειν τὰ νοήματα. ἡ σαφήνεια. ἡ συντομία. τὸ συστρέφειν τε καὶ στρογγυλίζειν τὰ νοήματα. τὸ ὑπὸ τὰς αἰσθήσεις ἄγειν τὰ δηλούμενα. τὸ μηδὲν ἄπονον ὑποτίθεσθαι πρόσωπον. μὴ δὲ ἀνηθοποίητον. ἡ τῆς συνθέσεως τῶν ὀνομάτων ἡδονὴ μεμιμημένη τὸν ἰδιώτην. τὸ τοῖς ὑποκειμένοις προσώποις καὶ πράγμασι τοὺς πρέποντας ἐφαρμόττειν λόγους. ἡ πιθανότης καὶ ἡ χάρις καὶ ὁ πάντα μετρῶν καιρὸς, ταῦτα παρὰ Λυσίου λαμβάνων ἄν τις ὠφεληθείη. ὑψηλὴ δὲ καὶ μεγαλοπρεπὴς οὐκ ἔστιν ἡ Λυσίου λέξις. οὐδὲ καταπληκτικὴ μὰ Δία καὶ θαυμαστὴ, οὐδὲ τὸ πικρὸν ἢ τὸ δεινὸν ἢ τὸ φοβερὸν ἐπιφαίνουσα. οὐδὲ ἁφὰς ἔχει καὶ τόνους ἰσχυροὺς, οὐδὲ θυμοῦ καὶ πνεύματός ἐστι μεστή. οὐθ' ὥσπερ ἐν τοῖς ἤθεσιν ἐστι πιθανὴ, οὕτως ἐν τοῖς πάθεσιν ἰσχυρά. οὐδ' ὡς ἡδῦναι καὶ πεῖσαι καὶ χαριεντίσασθαι δύναται, οὕτω βιάσασθαί τε καὶ προσαναγκάσαι. ἀσφαλής τε μᾶλλόν ἐστιν, ἢ παρακεκινδυνευμένη, καὶ οὐκ αὐτὴ τοσοῦτον ἰσχὺν ἱκανὴ δηλῶσαι τέχνης, ἐφ' ὅσον ἀλήθειαν ἐνέσται φύσεως. καὶ θαυμάζειν ἄξιον τί δή ποτε παθὼν ὁ Θεόφραστος τῶν φορτικῶν καὶ περιέργων αὐτόν φησι ζηλωτὴν γενέσθαι λόγων, καὶ τὸ ποιητικὸν διώκειν μᾶλλον ἢ τὸ ἀληθινόν. ἐν γὰρ τοῖς περὶ λέξεως γράφει, τῶν τε ἄλλων καταμέμφεται τῶν περὶ τὰς ἀντιθέσεις καὶ παρισώσεις, καὶ παρομοιώσεις καὶ τὰ παραπλήσια τούτοις σχήματα διεσπουδακότων, καὶ δὴ καὶ τὸν Λυσίαν ἐν τούτοις καταριθμεῖ. καὶ τὸν ὑπὲρ Νικίου τοῦ στρατηγοῦ τῶν Ἀθηναίων λόγον, ὃν εἶπεν αὐτὴ Συρακουσίοις αἰχμάλωτος ὤν, ὡς ὑπὸ τούτου γεγραμμένον τοῦ ῥήτορος παρατιθείς. κωλύσει δ' οὐ-
» δὲν ἴσως καὶ τὴν λέξιν αὐτὴν θεῖναι τοῦ Θεοφράστου. ἔστι δὲ ἥδε. Ἀντίθεσις δ' ἐστι τριτ-
» τῶς. ὅταν τῷ αὐτῷ τὰ ἐναντία ἢ τῷ ἐναντίῳ τὰ αὐτὰ, ἢ τοῖς ἐναντίοις ἐναντία προ-
» κατηγορηθέν. τοσαυταχῶς γὰρ ἐγχωρεῖ συζευχθῆναι. τούτων δὲ τὸ μὲν ἴσον καὶ τὸ ὅ-
» μοιον, παιδιῶδες καθάπερ εἰ ποίημα. διὸ καὶ ἧττον ἁρμόττει τῇ σπουδῇ. φαίνεται γὰρ
» ἀπρεπὲς σπουδάζοντα τοῖς πράγμασι, τοῖς ὀνόμασι παίζειν, καὶ τὸ πάθος τῇ λέ-
» ξει περιαιρεῖν· ἐκλύει γὰρ τὴν ἀκρόασιν. οἷον ὡς ὁ Λυσίας ἐν τῇ τοῦ Νικίου ἀπολογίᾳ βου-
» λόμενος ἔλεον ποιεῖν, κλαίω τὸν ἀμάχητον καὶ ἀναυμάχητον ὄλεθρον. ἱκέται μὲν αὐ-
» τοὶ τῶν θεῶν καθίζοντες. προδόται δὲ τῶν ὅρκων ἡμᾶς ἀποφαίνοντες, αἰτιαλοῦντες
» συγγένειαν, εὐμένειαν. ταῦτα γὰρ εἰ μὲν τῷ ὄντι Λυσίας ἔγραψε, δικαίως ἂν ἐπιτι-
» μήσεως ἀξιοῖτο. χαριεντιζόμενος ἐν οὐ χαριέντι καιρῷ. εἰ δὲ ἑτέρου τινὸς ἐστὶ λόγος, ὥς-

περ ἐστιν, ὁ κατηγορῶν ἃ μὴ προσῆκε τοῦ ἀνδρὸς, ἁμαρτάνει. ὅτι δὲ οὐκ ἔγραψε Λυσίας τὸν ὑπὲρ Νικίου λόγον, οὐδ' ἔστιν οὔτε τῆς ψυχῆς, οὔτε τῆς λέξεως ἐκείνης τὸ γράμμα, πολλοῖς πάνυ τεκμηρίοις ἀποδεῖξαι δυνάμενος, οὐκ ἔχω καιρὸν ἐν τῷ παρόντι λέγειν. ἰδίαν δὲ περὶ τοῦ ῥήτορος πραγματείαν συνταττόμενος, ἐν ᾗ τά τε ἄλλα δηλωθήσεταί μοι, καὶ τίνες εἰσὶν αὐτοῦ λόγοι γνήσιοι, τὴν ἀκρίβειαν ἐν ἐκείνοις καὶ περὶ τούτου ἀποδοῦναι πειράσομαι τοῦ λόγου. νυνὶ δὲ περὶ τῶν ἑξῆς διαλέξομαι, τίς ὁ πραγματικός ἐστι Λυσίου χαρακτὴρ, ἐπειδὴ τὸν ὑπὲρ τῆς λέξεως ἀποδέδωκα. τουτὶ γὰρ ἔτι λείπεται τὸ μέρος. εὑρετικὸς γάρ ἐστι τῶν ἐν τοῖς πράγμασιν ἐνόντων λόγων ὁ ἀνὴρ οὐ μόνον ὧν ἅπαντες εὕροιμεν, ἀλλὰ καὶ ὧν μηδείς. οὐδὲν γὰρ ἁπλῶς Λυσίας παραλείπει τῶν στοιχείων ἐξ ὧν ὁμολογεῖ. οὐ τὰ πρόσωπα, οὐ τὰ πράγματα. οὐκ αὐτὰς τὰς πράξεις. οὐ τρόπους καὶ αἰτίας αὐτῶν. οὐ καιροὺς, οὐ χρόνους, οὐ τόπους, οὐ τὰς ἑκάστου

τούτων διαφορὰς, ἄχρι τῆς εἰς ἐλάχιστον τομῆς, ἀλλ' ἐξ ἁπάσης θεωρίας, καὶ παντὸς μερισμοῦ τὰς οἰκείας ἀφορμὰς ἐκλέγει. δηλοῦσι δὲ μάλιστα τὴν δεινότητα τῆς εὑρέσεως αὐτοῦ, οἵ τε ἀμάρτυροι τῶν λόγων, καὶ οἱ περὶ τὰς παραδόξους συνταχθέντες ὑποθέσεις, ἐν οἷς πλεῖστα καὶ κάλλιστα ἐνθυμήματα λέγει, καὶ τὰ πάντα δοκοῦντα τοῖς ἄλλοις ἄπορα εἶναι καὶ ἀδύνατα, εὔπορα καὶ δυνατὰ φαίνεσθαι ποιεῖ. κριτικὸς δὲ ὢν ὧν δεῖ λέγειν, καὶ ὅτι μὴ πᾶσιν ἐξὸν χρῆσθαι τοῖς εὑρεθεῖσι τῶν κρατίστων τε καὶ κυριωτάτων ἐκλεκτικὸς, εἰ μὴ καὶ μάλιστα τῶν ἄλλων ῥητόρων οὐδενὸς ἥττων. τάξει δὲ ἁπλῇ τινι κέχρηται τῶν πραγμάτων, καὶ τὰ πολλὰ ὁμοειδεῖ. περὶ καὶ τὰς ἐξεργασίας τῶν ἐπιχειρημάτων ἀφελής τις, καὶ ἀπερίεργός ἐστιν, οὔτε γὰρ προκατασκευαῖς, οὔτ' ἐφόδοις, οὔτε μερισμοῖς, οὔτε ποικιλίαις σχημάτων, οὔτε ταῖς ἄλλαις τοιαύταις πανουργίαις εὑρίσκεται χρώμενος, ἀλλ' ἔστιν ἀπερίττός τις καὶ ἐλεύθερος, καὶ ἀπόνηρος, οἰκονομῆσαι τὰ εὑρεθέντα. ἐκ δὲ τούτων παρακελεύομαι τοῖς ἀναγινώσκουσιν αὐτὸν, τὴν μὲν εὕρεσιν τῶν ἐνθυμημάτων, καὶ τὴν σύγκρισιν ζηλοῦν. τὴν δὲ τάξιν, καὶ τὴν ἐργασίαν αὐτῶν ἐνδεεστέραν οὖσαν τοῦ προσήκοντος, μὴ ἀπὸ τοῦδε τοῦ ἀνδρὸς, ἀλλὰ παρ' ἑτέρων οἳ κρείττους οἰκονομῆσαι τὰ εὑρεθέντα ἐγένοντο, περὶ ὧν ὕστερον ἐρῶ, τοῦτο τὸ στοιχεῖον λαμβάνειν.

Ἀποδεδωκὼς δὲ τὸν ὑπὲρ τῶν ἀρετῶν τε καὶ στοιχείων λόγον, ἐρῶ νῦν καὶ περὶ τοῦ γένους τῶν ἀμφισβητημάτων. ἐν οἷς ἐστι θεωρήμασιν ἡ πολιτικὴ τέχνη. τριχῆ δὲ νενεμημένης τῆς ῥητορικοῦ λόγου, καὶ τρία περιειληφότος γένη, τό, τε δικανικὸν, καὶ τὸ συμβουλευτικόν. καὶ τὸ καλούμενον ἐπιδεικτικὸν ἢ πανηγυρικὸν, ἐν ἅπασι μὲν τούτοις ἐστὶν ὁ ἀνὴρ λόγου ἄξιος. μάλιστα δὲ ἐν τοῖς δικανικοῖς ἀγῶσι. κἀν τούτοις τε αὐτοῖς ἀμείνων ἐστὶ τὰ μικρὰ καὶ παράδοξα καὶ ἄπορα εἰπεῖν καλῶς, ἢ τὰ σεμνὰ καὶ μεγάλα καὶ εὔπορα δυνατῶς. ὁ βουλόμενος δὴ τὴν λυσίου δύναμιν ἀκριβῶς καταμαθεῖν, ἐκ τῶν δικανικῶν αὐτὴν μᾶλλον λόγων, ἢ ἐκ τῶν πανηγυρικῶν τε καὶ συμβουλευτικῶν σκοπείτω. ἵνα δὲ καὶ περὶ τῶν ἰδεῶν ἡγοῦνταί μοι τὰ προσήκοντα εἰπεῖν, ἐάσω τε ταῦτα. περὶ δὲ προοιμίου καὶ διηγήσεων καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου διαλέξομαι, καὶ δηλώσω ποῖός ἐστιν ἐν ἑκάστῃ τῶν ἰδεῶν ὁ ἀνὴρ, διαιρήσομαί τε αὐτὰς, ὡς ἰσοκράτει τε καὶ τοῖς κατ' ἐκεῖνον τὸν ἄνδρα κοσμουμένοις ἤρεσεν, ἀρξάμενος ἀπὸ τῶν προοιμίων.

Φημὶ δὴ πάντων δεξιώτατον εἶναι τὸν ῥήτορα κατὰ τὰς εἰσβολὰς τῶν λόγων καὶ χαριέστατον. ἐννοούμενος ὅτι ἄρξασθαι μὲν καλῶς, οὐ ῥᾴδιόν ἐστιν, εἰ μή τις τῇ προσηκούσῃ χρῆσθαι βούλοιτο ἀρχῇ, καὶ μὴ τὸν ἐπιτυχόντα λόγον εἰπεῖν. οὐ γὰρ τὸ πρῶτον ῥηθὲν, ἀλλ' ὃ τοῦ προτεθέντος λόγου μηδαμοῦ μᾶλλον ἢ ἐπ' αὐτοῦ ὠφελήσει, τοῦτο ἀρχή τε καὶ προοίμιον. ἐρῶ δὲ τὸν ῥήτορα πᾶσι κεχρημένον, ὅσα τέχναι τε παραγγέλλουσι, καὶ τὰ πράγματα βούλεται. τοτὲ μὲν γὰρ ἀπὸ τοῦ ἰδίου ἐπαίνου λέγων αὐτὸν ἄρχεται. τοτὲ δὲ ἀπὸ τῆς διαβολῆς τοῦ ἀντιδίκου. εἰ δὲ τύχοι αὐτὸς προδιαβληθεὶς, τὰς αἰτίας πρῶτον ἀπολύεται τὰς καθ' ἑαυτοῦ. τοτὲ δὲ τοὺς δικαστὰς ἐπαινῶν καὶ θεραπεύων. οἰκείους ἑαυτῷ τε καὶ τῷ πράγματι καθίστησι. τοτὲ δὲ τὴν ἀσθένειαν τὴν ἰδίαν καὶ τὴν πλεονεξίαν τὴν τοῦ ἀντιδίκου, καὶ τὸ μὴ περὶ τῶν ἴσων ἀμφοτέροις εἶναι τὸν ἀγῶνα ἀποδείκνυσι. τοτὲ δὲ ὡς κοινὰ τὰ πράγματα καὶ ἀναγκαῖα πᾶσι καὶ οὐκ ἄξια ὑπὸ τῶν ἀκουόντων ἀμελεῖσθαι λέγει. τοτὲ δὲ, ἄλλο τι κατασκευάζεται τῶν δυναμένων αὐτὸν μὲν ὠφελῆσαι. τὸν δὲ ἀντίδικον ἐλαττῶσαι. ταῦτα δὲ συντόμως καὶ ἀφελῶς διανοίαις τε χρησταῖς καὶ γνώμαις εὐκαίροις καὶ ἐνθυμήμασι μετρίοις περιλαβὼν, εὐθὺ τὴν πρόθεσιν ἐπείγεται. δι' ἧς τὰ μέλλοντα ἐν ταῖς ἀποδείξεσι λέγεσθαι προειπὼν, καὶ τὸν ἀκροατὴν παρασκευάσας εὐμαθῆ πρὸς τὸν μέλλοντα λόγον, εὐθὺ τὴν διήγησιν καθίσταται, καὶ ἔστι μεθόριον αὐτῷ ἑκατέρας τῶν ἰδεῶν ὡς τὰ πολλὰ ἡ πρόθεσις. ἤδη δέ ποτε καὶ ἀπὸ μόνης ταύτης ἤρξατο. καὶ ἀπροοιμιάστως ποτὲ εἰσέβαλε. τὴν διήγησιν ἀρχὴν λαβὼν, καὶ οὐκ ἄψυχος οὐδ' ἀκίνητός ἐστι περὶ ταύτην τὴν ἰδέαν. μάλιστα δ' ἄν τις αὐτοῦ θαυμάσειε τὴν ἐν τοῖς προοιμίοις αὐτοῦ δύναμιν, ἐνθυμηθεὶς ὅτι διακοσίων οὐκ ἐλάττους δικανικοὺς

γράψας λόγους, ἐν οὐδενὶ πέφηνεν, οὔτε ἀπιθάνως προοιμιαζόμενος, οὔτε ἀπρεπεῖ μέ-
ρει τῶν πραγμάτων ἀρχῇ χρώμενος, ἀλλ᾽ οὐδὲ τοῖς ἐνθυμήμασιν ἐπιβέβληκε τοῖς αὐ-
τοῖς. οὐδ᾽ ἤδη τὰς αὐτὰς κατείληφε διανοίας· καίτοι γε πολλοὶ, καὶ οἱ τοὺς ὀλίγους
γράψαντες εὑρίσκονται πεπονθότες. λέγω δὲ τὸ τοῖς αὐτοῖς ἐπιβάλλειν τόποις. ἐῶ
γὰρ ὅτι καὶ τὰ παρ᾽ ἑτέροις εἰρημένα λαμβάνοντες, ὀλίγου δεῖν πάντες, οὐκ ἐν αἰσχύ-
νῃ τίθενται τὸ ἔργον. οὗτος δὲ καινός ὁ ῥήτωρ ἐστὶ καθ᾽ ἕκαστον τῶν λόγων, κατά γε οὖν
τὰς εἰσβολὰς καὶ τὰ προοίμια, καὶ δυνατὸς ὃ βούλεται διαπράξασθαι. οὔτε γὰρ εὔ-
νοιαν κινῆσαι βουλόμενος, οὔτε προσοχὴν, ὅτε εὐμάθειαν, ἀτυχήσειέ ποτε τοῦ σκοποῦ.
κατὰ μὲν δὴ ταύτην τὴν ἰδέαν, ἢ πρῶτον, ἢ οὐδενὸς δεύτερον αὐτὸν ἀποφαίνομαι. ἐν
δὲ τῷ διηγεῖσθαι τὰ πράγματα, ὅπερ οἶμαι μέρος, πλείστης δεῖται φροντίδος καὶ
φυλακῆς, ἀναμφιβόλως ἡγοῦμαι κράτιστον αὐτὸν εἶναι πάντων ῥητόρων ὅρον τε καὶ
κανόνα τῆς ἰδέας ταύτης αὐτὸν ἀποφαίνομαι. οἴομαί τε καὶ τὰς τέχνας τῶν λόγων
ἐν αἷς εἴρηται περὶ διηγήσεως ἀξιολόγου, οὐκ ἐξ ἄλλων τινῶν μᾶλλον, ἢ τῶν ὑπὸ λυ-
σίου γραφεισῶν, εἰληφέναι τὰ παραγγέλματα καὶ τὰς ἀφορμάς. καὶ γὰρ τὸ σύντο-
μον μάλιστα αὗται ἔχουσιν αἱ διηγήσεις. καὶ τὸ σαφές. ἡδεῖαί τέ εἰσιν ὡς οὐχ ἕτεραι
καὶ πιθαναὶ καὶ τὴν πίστιν ἅμα λεληθότως συνεπιφέρουσιν. ὥστε μὴ ῥᾴδιον εἶναι μήθ᾽
ὅλην διήγησιν μηδὲ μίαν μήτε μέρος αὐτῆς ψευδὲς, ἢ ἀπίθανον εὑρεθῆναι. τοσαύτην
ἔχει πειθὼ καὶ ἀφροδίτην τὰ λεγόμενα. καὶ οὕτω λανθάνει τοὺς ἀκούοντας εἴτ᾽ ἀληθῆ
ὄντα, εἴτε πεπλασμένα. καὶ ὅπερ ὅμηρος ἐποίησε τὸν ὀδυσσέα ὡς πιθανὸν εἰπεῖν καὶ
πλάσασθαι τὰ μὴ γενόμενα εἴρηκε, τοῦτό μοι δοκεῖ κἂν ἤδη λυσίου εἰπεῖν.
ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.

Φασὶ τε καὶ παντὸς μάλιστα ἐγὼ παρακελευσαίμην ἀσκεῖν τὸ μέρος αὐτοῦ λυσίᾳ
παραδείγματα ποιούμενος τὰς γυμνασίας. κράτιστα γὰρ ἀποδείξαιτο ταύτην
τὴν ἰδέαν ὁ μάλιστα ἐγγὺς τὸν ἄνδρα μιμησάμενος. εἴ γε τῷ πιστοῦσθαι τὸν ἄνδρα τὰ
πράγματα τοιοῦτός τις ὁ ἀνήρ ἐστιν. ἄρξομαι δὲ ἀπὸ τῶν καλουμένων ἐν τέχναις πίστε-
ων. καὶ χωρὶς ὑπὲρ ἑκάστου μέρους διαλέξομαι. τριχῆ δὲ νενεμημένων τούτων, εἴς τε
τὸ πρᾶγμα καὶ τὸ πάθος καὶ τὸ ἦθος τὰ μὲν ἐκ τοῦ πράγματος, οὐδενὸς χεῖρον εὑρεῖν
τε καὶ ἐξειπεῖν δύναται λυσίας. καὶ γὰρ τοῦ εἰκότος ἀνὴρ δεινότατος καὶ τοῦ παραδείγ-
ματος, τί τε ὅμοιον εἶναι πέφυκε, καὶ τί διάφορον, ἀκριβέστατος κριτής. τά, τε ση-
μεῖα διελεῖν τὰ παρεπόμενα τοῖς πράγμασι. καὶ εἰς τεκμήριον δόξαν ἀγαγεῖν δυνα-
τώτατος. καὶ τὰς ἐκ τῶν ἠθῶν γε πίστεις ἀξιολόγως πάνυ κατασκευάζειν ἔμοι γε δο-
κεῖ. πολλάκις μὲν γὰρ ἐκ τοῦ βίου καὶ τῆς φύσεως πολλάκις δ᾽ ἐκ τῶν προτέρων πρά-
ξεων καὶ προαιρέσεων, ἀξιόπιστα ποιεῖ τὰ ἤθη. ὅταν δὲ μηδεμίαν ἀφορμὴν παρὰ τῶν
πραγμάτων τοιαύτην λάβῃ, αὐτὸς ἠθοποιεῖ καὶ κατασκευάζει τὰ πρόσωπα τῷ λό-
γῳ πιστὰ καὶ χρηστά. προαιρέσεις τε αὐτοῖς ἀστείας ὑποτιθεὶς, καὶ πάθη μέτρια προ-
σώπων καὶ λόγους ἐπιεικεῖς ἀποδιδοὺς καὶ ταῖς τύχαις ἀκόλουθα φρονοῦντας εἰσά-
γων, καὶ ἤδη μὲν τοῖς ἀδίκοις ἀχθομένους καὶ λόγοις καὶ ἔργοις. τὰ δὲ δίκαια προαι-
ρουμένους ποιῶν καὶ πάντα παραπλήσια τούτοις. ἐξ ὧν ἐπιεικὲς αὖ καὶ μέτριον ἦθος
φανεῖται κατασκευάζων. περὶ δὲ τὰ πάθη μαλακώτερός ἐστι. καὶ οὔτε αὐξήσεις, οὔτε
δεινώσεις, οὔτε οἴκτους οὐδ᾽ ὅσα τούτοις ἐστὶ παραπλήσια, νεανικῶς πάνυ καὶ ἐρρωμένως
κατασκευάσαι δυνατός. οὐ δεῖ δὴ ταῦτα ἐπιζητεῖν παρὰ λυσίᾳ. κἀν τοῖς ἐπιλόγοις
δὲ, τὸ μὲν ἀνακεφαλαιωτικὸν τῶν ῥηθέντων μέρος, μετρίως τε καὶ χαριέντως ἀπα-
ριθμεῖ. τὸ δὲ παθητικὸν ἐκεῖνο, ἐν ᾧ παράκλησίς τε καὶ ἔλεος καὶ δέησις καὶ τὰ τούτοις
ἀδελφά ἐστιν, τοῦ προσήκοντος ἐνδεεστέρως ἀποδίδωσι. τοιοῦτος μὲν δή ἐστιν ὁ λυσίας χα-
ρακτήρ. ὡς ἐμοὶ δόξης ἔχω περὶ αὐτοῦ. εἰ δέ τις ἄλλα παρὰ ταῦτα ἔγνωκε, λεγέτω.
κἂν ᾖ πιθανώτερα, πολλὴν αὐτῷ χάριν εἴσομαι. ἵνα δὲ βέλτιον τῷ βουλομένῳ γένη-
ται μαθεῖν, εἴτε ὀρθῶς ἡμεῖς ταῦτα καὶ προσηκόντως πεπιστεύκαμεν, εἴτε καὶ διημαρτή-
καμεν τὴν κρίσιν, τὴν ἐξέτασιν ἀπὸ τῶν ὑπ᾽ ἐκείνου γραφέντων ποιήσομαι. προέχει.

σάμενος τινὰ λόγον. οὐ γὰρ ἐγχωρεῖ πολλοῖς χρῆσθαι παραδείγμασι. δι' ἐκείνου δὲ τήν τε προαίρεσιν καὶ τὴν δύναμιν τοῦ ἀνδρὸς ἐπιδείξομεν. ἀπὸ χρὴ ὡς εἰδότες ψυχαῖς ἀπαιδεύτοις καὶ μετρίαις, μικρά τε μεγάλων καὶ ὀλίγα πολλῶν γενέσθαι δείγματα. ἔστι δὲ ὁ λόγος ἐκ τῶν ἐπιτροπικῶν ἐπιγραφόμενος κατὰ Διογείτονος. ὑπόθεσιν δὲ ἔχων τοιάνδε. Διόδοτος εἷς τῶν μετὰ Θρασύλλου καταλεγέντων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μέλλων ἐκπλεῖν εἰς τὴν Ἀσίαν ἐπὶ Γλαυκίππου ἄρχοντος, ἔχων νήπια παιδία, διαθήκας ἐποιήσατο. καὶ καταλείπει αὐτοῖς ἐπίτροπον τὸν ἑαυτοῦ μὲν ἀδελφὸν Διογείτονα, τῶν δὲ παιδίων θεῖόν τε καὶ πάππον ἀπὸ μητρός. αὐτὸς μὲν οὖν ἐν Ἐφέσῳ μαχόμενος ἀποθνήσκει. Διογείτων δὲ πᾶσαν τὴν οὐσίαν τῶν ὀρφανῶν διαχειρισάμενος, καὶ ἐκ πολλῶν πάνυ χρημάτων οὐδὲν ἀποδείξας, αὐτὸς ἐπὶ παίδων κατηγορεῖται πρὸς ἑνὸς τῶν μειρακίων δοκιμασθέντος, κακώσεως ἐπιτροπῆς. λέγει δὲ καὶ αὐτοῦ τὴν δίκην ὁ τῆς ἐκείνου μὲν θυγατριδῆς, τῶν δὲ μειρακίων ἀδελφῆς ἀνήρ. προὔλαβον δὲ τὴν ὑπόθεσιν ἵνα μᾶλλον γένηται καταφανὲς, εἰ μετρίᾳ καὶ προσηκούσῃ ἀρχῇ κέχρηται.

« Εἰ μὲν μὴ μεγάλα ἦν τὰ διαφέροντα ὦ ἄνδρες δικασταὶ, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰ-
» σελθεῖν τούτους εἴασα. νομίζων αἴσχιστον εἶναι πρὸς τοὺς οἰκείους διαφέρεσθαι. εἰδὼς
» ὅτι οὐ μόνον οἱ ἀδικοῦντες χείρους ὑμῖν εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οἵτινες ἂν ἔλαττον
» ὑπὸ τῶν προσηκόντων ἔχοντες ἀνέχεσθαι μὴ δύνωνται. ἐπειδὴ μέντοι ὦ ἄνδρες δικα-
» σταὶ πολλῶν χρημάτων ἀπεστέρηνται, καὶ πολλὰ δεινὰ πεπονθότες ὑφ' ὧν ἥκιστα ἐχρῆν,
» ἐπ' ἐμὲ κηδεστὴν ὄντα κατέφυγον, ἀνάγκη μοι γεγένηται εἰπεῖν ὑπὲρ αὐτῶν. ἔχω δὲ
» τούτων μὲν ἀδελφὴν, Διογείτονος δὲ ἀδελφιδῆν. καὶ πολλὰ ἀμφοτέρων δεηθεὶς, τὸ μὲν
» πρῶτον ἔπεισα τοὺς φίλους ἐπιτρέψαι δίαιταν. περὶ πολλοῦ ποιούμενος τὰ τούτων
» πράγματα μηδένα τῶν ἄλλων εἰδέναι. ἐπεὶ δὲ Διογείτων ἃ φανερῶς ἔχων ἐξηλέγχετο
» περὶ τούτων, οὐδενὶ τῶν αὐτοῦ φίλων ἐτόλμα πείθεσθαι, ἀλλ' ἠβουλήθη καὶ φεύγειν
» δίκας, καὶ μὴ οὔσας διώκειν, καὶ ὑπομεῖναι τοὺς ἐσχάτους κινδύνους μᾶλλον, ἢ τὰ δίκαια
» ποιήσας ἀπηλλάχθαι τῶν πρὸς τῶν πρὸς τούτους ἐγκλημάτων, ὑμῶν δέομαι ἐὰν μὲν ἀ-
» ποδείξω οὕτως αἰσχρῶς αὐτοὺς ἐπιτετροπευμένους ὑπὸ τοῦ πάππου, ὡς οὐδεὶς πώ-
» ποτε ὑπὸ τῶν οὐδὲν προσηκόντων ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ δίκαια. εἰ δὲ μὴ, τού-
» τῳ μὲν ἅπαντα πιστεύειν. ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον ἡγεῖσθαι χείρους εἶναι. ἐξ ἀρ-
» χῆς δ' ὑμᾶς περὶ αὐτῶν διδάξαι πειράσομαι.

Τοῦτο τὸ προοίμιον ἁπάσας ἔχει τὰς ἀρετὰς, ὅσας δεῖ τὸ προοίμιον ἔχειν. δηλώσουσι δὲ οἱ κανόνες αὐτῷ παρατεθέντες οἱ τῶν τεχνῶν. ἅπαντες γὰρ δή που παραγγέλλουσιν οἱ συνταξάμενοι τὰς τέχνας, ὅταν ᾖ πρὸς οἰκείους ὁ ἀγὼν, σκοπεῖν ὅπως μὴ πονηροὶ μὴ ᾖ φιλοπράγμονες ἢ κατήγοροι φανήσονται. κελεύουσί τε πρῶτον μὲν τὴν αἰτίαν εἰς τοὺς ἀντιδίκους περιστάναι καὶ τοῦ ἐγκλήματος καὶ τοῦ ἀγῶνος. καὶ λέγειν ὅτι μεγάλα ἀδικήματα καὶ οὐκ οἷόν τε ἦν αὐτὰ μετρίως ἐνεγκεῖν. καὶ ὅτι ὑπὲρ ἀναγκαιοτέρων προσώπων ὁ ἀγὼν καὶ ἐρήμων καὶ ἧττον ὑπεροφθῆναι ἀξίων. οἷς μὴ βοηθοῦντες, κακίους ἂν ἐφάνησαν. καὶ ὅτι προκαλούμενοι τοὺς ἀντιδίκους εἰς διαλλαγὰς, καὶ φίλοις τὰ πράγματα ἐπιτρέποντες, καὶ τὰ δυνατὰ ἐλαττοῦσθαι ὑπομένοντες, οὐδενὸς ἠδυνήθησαν τυχεῖν τῶν μετρίων. Ταῦτα μὲν δὴ παραγγέλλουσι ποιεῖν οἱ τεχνογράφοι, ἵνα τὸ ἦθος τοῦ λέγοντος ἐπιεικέστερον εἶναι δόξῃ. δύναται δὲ αὐτοῖς εὔνοιαν τοῦτο ποιεῖν, καὶ ἔστι κράτιστον τῆς κατασκευῆς μέρος. ταῦθ' ὁρῶ πάντα διὰ τοῦ προοιμίου τουδὶ γεγονότα.

Καὶ μὴν εἴς γε τὸ εὐμαθεῖς τοὺς ἀκροατὰς ποιῆσαι, κελεύουσι συστρέψαντας εἰπεῖν τὸ πρᾶγμα, ἵνα μὴ ἀγνοῶσι τὴν ὑπόθεσιν οἱ δικασταί. καὶ διὰ τοῦ αἰεὶ τὰ μέλλοντα λέγεσθαι, τοιοῦτο καὶ τὸ προοίμιον ὑποτίθεσθαι ἀπ' ἀρχῆς. καὶ δεῖγμα τοῦ πράγματος ποιουμένους, καὶ εὐθὺς ἀπ' ἐνθυμημάτων πειρᾶσθαι ἄρχεσθαι. ἔχει δὴ καὶ ταῦτα τὸ προοίμιον. Ἔτι περὶ τῆς προσοχῆς, ὧδέ πως τεχνολογοῦσιν. ὅτι δεῖ τοὺς προσεκτικοὺς μέλλοντα ποιεῖν τοὺς ἀκροατὰς, καὶ λέγειν θαυμαστὰ καὶ παράδοξα, καὶ δεῖσθαι τῶν δικαστῶν ἀκοῦσαι. φαίνεται δὲ καὶ ταῦτα πεποιηκὼς ὁ Λυσίας, καὶ προσέτι τούτοις

τὸ δεῖν

τὸ λεῖον τῆς ἑρμηνείας, καὶ τὸ ἀφελὲς τῆς κατασκευῆς, ὧν μάλιστα δεῖ τοῖς ὑπὲρ ἐκεί-
νων προοιμιαζομένοις. ἄξιον δὲ καὶ τὴν διήγησιν ὡς ᾠκονόμηται καταμαθεῖν. ἔχει δὲ
» οὕτως. Ἀδελφοὶ ἦσαν ὦ ἄνδρες δικασταί, Διόδοτος καὶ Διογείτων, ὁμοπάτριοι
» καὶ ὁμομήτριοι. καὶ τὴν μὲν ἀφανῆ οὐσίαν ἐνείμαντο. τῆς δὲ φανερᾶς ἐκοινώνουν. ἐρ-
» γασαμένου δὲ Διοδότου κατ' ἐμπορίαν πολλὰ χρήματα, πείθει αὐτὸν Διογείτων λαβεῖν
» τὴν ἑαυτοῦ θυγατέρα, ἥπερ ἦν αὐτῷ μόνη, καὶ γίγνονται αὐτῷ δύο υἱοὶ καὶ θυγάτηρ.
» χρόνῳ δὲ ὕστερον καταλεγεὶς Διόδοτος μετὰ Θρασύλλου τῶν ὁπλιτῶν, καλέσας
» τὴν ἑαυτοῦ γυναῖκα ἀδελφιδῆν οὖσαν, καὶ τὸν ἐκείνης μὲν πατέρα, αὑτοῦ δὲ κηδεστὴν
» καὶ ἀδελφὸν ὁμοπάτριον, πάππον δὲ τῶν παιδίων καὶ θεῖον, ἡγούμενος διὰ ταύτας
» τὰς ἀναγκαιότητας οὐδενὶ μᾶλλον προσήκειν περὶ τοὺς παῖδας ἐπιτρόπῳ γενέ-
» σθαι, διαθήκην αὐτῷ δίδωσι. καὶ πέντε τάλαντα ἀργυρίου παρακαταθήκην,
» ναυτικὰ δὲ ἀπέδειξεν ἐκδεδομένα ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς. χιλίας δὲ
» ὀφειλομένας ἐν Χερρονήσῳ. ἐπέσκηψε δὲ, ἐάν τι πάθῃ, τάλαντον μὲν ἐπιδοῦναι τῇ
» γυναικὶ, καὶ τὰ ἐν τῷ δωματίῳ δοῦναι. τάλαντον δὲ τῇ θυγατρὶ κατέλιπε, καὶ εἴκο-
» σι μνᾶς τῇ γυναικὶ, καὶ τριάκοντα στατῆρας Κυζικηνούς. ταῦτα δὲ πράξας καὶ οἴκοι
» ἀντίγραφα καταλιπὼν, ᾤχετο στρατευσόμενος μετὰ Θρασύλλου. ἀποθανόντος δὲ ἐκεί-
» νου ἐν Ἐφέσῳ, Διογείτων τὴν μὲν θυγατέρα ἔκρυπτε τὸν θάνατον τοῦ ἀνδρὸς, καὶ τὰ γράμ-
» ματα λαμβάνει ἃ κατέλιπε σεσημασμένα, φάσκων τὰ ναυτικὰ χρήματα δεῖν ἐκ τού-
» των τῶν γραμματείων κομίσασθαι. ἐπειδὴ τῷ χρόνῳ ἐδήλωσε τὸν θάνατον αὐτοῖς, καὶ
» ἐποίησαν τὰ νομιζόμενα, τὸν μὲν πρῶτον ἐνιαυτὸν ἐν Πειραιεῖ διῃτῶντο. ἅπαντα γὰρ
» αὐτοῦ κατελέλειπτο τὰ ἐπιτήδεια. ἐκείνων δ' ὑπολιπόντων, τοὺς μὲν παῖδας εἰς ἄ-
» στυ ἀναπέμπει. τὴν δὲ μητέρα αὐτῶν ἐκδίδωσιν ἐπιδοὺς πεντακισχιλίας δραχμάς.
» χιλίαις ἔλαττον ὧν ὁ ἀνὴρ αὐτῇ ἔδωκεν. ὀγδόῳ δ' ἔτει δοκιμασθέντος μετὰ ταῦτα τοῦ
» πρεσβυτέρου τοῖν μειρακίοιν, καλέσας αὐτοὺς εἶπε Διογείτων, ὅτι καταλίποι αὐ-
» τοῖς ὁ πατὴρ εἴκοσι μνᾶς ἀργυρίου, καὶ τριάκοντα στατῆρας. ἐγὼ οὖν πολλὰ τῶν
» ἐμαυτοῦ δεδαπάνηκα εἰς τὴν ὑμετέραν τροφήν. καὶ ἕως μὲν εἶχον, οὐδέν μοι διέφερε.
» νῦν δὲ καὶ αὐτὸς ἀπόρως διάκειμαι. σὺ οὖν ἐπειδὴ δεδοκίμασαι καὶ ἀνὴρ γεγένησαι,
» σκόπει αὐτὸς ἤδη πόθεν ἕξεις τὰ ἐπιτήδεια. ταῦτ' ἀκούσαντες, ἐκπεπληγμένοι καὶ
» δακρύοντες ᾤχοντο πρὸς τὴν μητέρα, καὶ παραλαβόντες ἐκείνην, ἧκον πρὸς ἐμέ. οἰ-
» κτρῶς ὑπὸ τοῦ πάθους διακείμενοι, καὶ ἀθλίως ἐκπεπτωκότες, κλαίοντες, καὶ παρα-
» καλοῦντές με μὴ περιιδεῖν αὐτοὺς ἀποστερηθέντας τῶν πατρῴων, μηδ' εἰς πτωχείαν
» καταστάντας ὑβρισμένους ὑφ' ὧν ἥκιστα ἐχρῆν. ἀλλὰ βοηθῆσαι καὶ τῆς ἀδελφῆς οὕνε-
» κα, καὶ σφῶν. πολλὰ ἂν εἴη λέγειν ὅσον πένθος ἐν τῇ ἐμῇ οἰκίᾳ ἦν ἐν ἐκείνῳ τῷ χρόνῳ.
» τελευτῶσα δὲ ἡ μήτηρ αὐτῶν, ἠντιβόλει με καὶ ἱκέτευε συναγαγεῖν αὐτῆς τὸν πα-
» τέρα καὶ τοὺς φίλους. εἰποῦσα ὅτι εἰ καὶ πρότερον μὴ εἴθισται λέγειν ἐν ἀνδράσι, τὸ
» μέγεθος αὐτὴν ἀναγκάσει τῶν συμφορῶν, περὶ τῶν σφετέρων κακῶν δηλῶσαι πάν-
» τα πρὸς ἡμᾶς. ἐλθὼν δ' ἐγὼ, ἠγανάκτουν μὲν πρὸς Ἡγήμονα τὸν ἔχοντα τὴν τούτου θυ-
» γατέρα. λόγους δ' ἐποιούμην πρὸς τοὺς ἄλλους ἐπιτηδείους. ἠξίουν δὲ τοῦτον εἰς ἔλε-
» γχον ἰέναι περὶ τῶν πραγμάτων. Διογείτων δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελε. τελευτῶν δὲ,
» ὑπὸ τῶν φίλων ἠναγκάσθη. ἐπειδὴ δὲ συνήλθομεν, ἤρετο αὐτὸν ἡ γυνή, τίνα ποτὲ
» ψυχὴν ἔχων, ἀξιοῖ περὶ τῶν παίδων τοιαύτῃ γνώμῃ χρῆσθαι. ἀδελφὸς μὲν ὢν τοῦ πα-
» τρὸς αὐτῶν, πατὴρ δ' ἐμός. θεῖος δ' αὐτοῖς καὶ πάππος, καὶ εἰ μηδένα ἀνθρώπων
» ᾐσχύνου, τοὺς θεοὺς ἐχρῆν σε, φησί, δεδιέναι. ὃς ἔλαβες μὲν ὅτ' ἐκεῖνος ἐξέπλει πέντε τά-
» λαντα παρ' αὐτοῦ παρακαταθήκην, καὶ περὶ τούτων ἐγὼ θέλω τοὺς παῖδας παρασχο-
» μένη καὶ τούτους καὶ τοὺς ὕστερον ἐμαυτῇ γενομένους, ὀμόσαι ὅπου ἂν αὐτὸς
» λέγῃς. καίτοι οὐχ οὕτως ἐγώ εἰμι ἀθλία, οὐδ' οὕτω περὶ πολλοῦ ποιοῦμαι χρήματα,
» ὥστ' ἐπιορκήσασα κατὰ τῶν παίδων τῶν ἐμαυτῆς τὸν βίον καταλιπεῖν. ἀδίκως δὲ
» ἀφελέσθαι τὴν τοῦ πατρὸς οὐσίαν. ἔτι τοίνυν ἐξήλεγχεν αὐτὸν ἑπτὰ τάλαντα κεκο-

n

» μισμένον αὐτίκα· καὶ τετρακισχιλίας δραχμάς. καὶ τούτων τὰ γράμματα ἐπιδεῖ-
» ξαι· ἐν γὰρ τῇ διοικήσει, ὅτ᾽ ἐκ Κολυττοῦ διῳκίζετο εἰς τὴν Φαίδρου οἰκίαν, τοὺς παῖδας
» ἐπιτυχόντας ἐκβεβλημένῳ βιβλίῳ, ἀνενεγκεῖν πρὸς ταύτην. ἀπέφηνε δ᾽ αὐτὸν ἑκατὸν
» μνᾶς κεκομισμένον ἐγγείους ἐπὶ τόκῳ δεδανεισμένας, καὶ ἑτέρας δισχιλίας δρα-
» χμάς. καὶ ἔπιπλα πολλοῦ ἄξια. φοιτᾶν δὲ καὶ σῖτον αὐτοῖς ἐκ Χερρονήσου καθ᾽ ἕκα-
» στον ἐνιαυτόν. ἔπειτα σὺ ἐτόλμησας ἔφη εἰπεῖν ἔχων τοσαῦτα χρήματα ὡς δισχιλίας
» δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε, καὶ τετταράκοντα στατῆρας· ἅπερ ἐμοὶ καταλει-
» φθέντα ἐκείνου τελευτήσαντος, ἐξέβαλες θυγατριδοῦς ὄντας ἐκ τῆς οἰκίας τῆς αὐ-
» τῶν ἐν τριβωνίοις ἀνυποδήτους, οὐ μετὰ ἀκολούθου, οὐ μετὰ στρωμάτων· οὐ μετὰ ἱμα-
» τίων· οὐ μετὰ τῶν ἐπίπλων· ἃ ὁ πατὴρ αὐτοῖς κατέλιπεν, οὐδὲ μετὰ τῶν παρακατα-
» θηκῶν· ἃς ἐκεῖνος παρά σοι κατέθετο. καὶ νῦν τοὺς μὲν ἐκ τῆς μητρυιᾶς τῆς ἐμῆς παι-
» δεύεις ἐν πολλοῖς χρήμασιν εὐδαίμονας ὄντας· καὶ ταῦτα μὲν καλῶς ποιεῖς. τοὺς δ᾽
» ἐμοὺς ἀδικεῖς· οὓς ἀτίμως ἐκ τῆς οἰκίας ἐκβαλὼν, ἀντὶ πλουσίων, πτωχοὺς ἀποδεῖ-
» ξαι προθυμῇ, καὶ ἐπὶ τοιούτοις ἔργοις, οὔτε τοὺς θεοὺς φοβῇ, οὔτε ἐμὲ τὴν σὴν θυγα-
» τέρα αἰσχύνῃ, οὔτε τοῦ ἀδελφοῦ μέμνησαι· ἀλλὰ πάντας ἡμᾶς περὶ ἐλάττονος ποιῇ χρη-
» μάτων. τότε μὲν οὖν ὦ ἄνδρες δικασταὶ, πολλῶν καὶ δεινῶν ὑπὸ τῆς γυναικὸς ῥηθέν-
» των, οὕτω διετέθημεν οἱ παρόντες ὑπὸ τῶν τούτῳ πεπραγμένων καὶ τῶν λόγων τῶν
» ἐκείνης, ὁρῶντες μὲν τοὺς παῖδας οἷα ἦσαν πεπονθότες, ἀναμιμνησκόμενοι δὲ τοῦ ἀποθα-
» νόντος, ὡς ἀνάξιον τῆς οὐσίας τὸν ἐπίτροπον κατέλιπεν. ἐνθυμούμενοι δὲ ὡς χαλεπὸν ἐ-
» ξευρεῖν ὅτῳ χρὴ περὶ τῶν ἑαυτοῦ πιστεῦσαι τινά. ὥστε ὦ ἄνδρες δικασταὶ μηδένα τῶν
» παρόντων δύνασθαι φθέγξασθαι. ἀλλὰ καὶ δακρύοντας μηδὲν ἧττον τῶν πεπονθό-
των, ἀπιόντας οἴχεσθαι σιωπῇ. ἵνα δὲ καὶ ὁ τῶν ἀποδείξεων χαρακτὴρ κατα-
φανὴς γένηται, θήσω καὶ τὰ ἐπὶ τούτοις λεγόμενα. τὰς μὲν οὖν ἰδίας πίστεις ὡς οὐ
πολλῶν ἔτι λόγων δεομένας δι᾽ αὐτῶν βεβαιοῦται τῶν μαρτύρων οὐδὲν ἕτερον, ἢ τοῦ-
το εἰπών. πρῶτον μὲν οὖν τούτων ἀνάβητέ μοι μάρτυρες. τὰ δ᾽ ἀντιδίκου δίκαια δι-
χῇ νείμας, ὡς τὰ μὲν ὁμολογήσαντος αὐτοῦ λαβεῖν, καὶ εἰς τὰς τροφὰς τῶν ὀρφανῶν
ἀνηλωκέναι σκηψαμένου. τὰ δὲ ἐξάρνου γενηθέντος εἰληφέναι, κἄπειτα ἐλεγχθέντος,
ὑπὲρ ἀμφοτέρων ποιεῖται τὸν λόγον. τὰς δὲ δαπάνας οὐχ ἃς ἐκεῖνος ἀπέφηνε γε-
» νέσθαι λέγων, καὶ περὶ τῶν ἀμφιβόλων τὰς πίστεις ἀποδιδοὺς, ἀξιῶ τοίνυν ὦ ἄν-
» δρες δικασταὶ τῷ λογισμῷ προσέχειν τὸν νοῦν. ἵνα τοὺς μὲν νεανίσκους διὰ τὸ μέγεθος
» τῶν συμφορῶν ἐλεήσητε. τοῦτον δ᾽ ἅπασι τοῖς πολίταις ἄξιον ὀργῆς ἡγήσησθε. εἰς το-
» σαύτην δ᾽ ὑποψίαν Διογείτων πάντας ἀνθρώπους εἰς ἀλλήλους καθίστησιν, ὥστε μὴ-
» δὲ ζῶντας, μὴ δὲ ἀποθνήσκοντας, μηδὲν μᾶλλον τοῖς οἰκειοτάτοις, ἢ τοῖς ἐχθίστοις πιστεύ-
» ειν. ὃς ἐτόλμησε τὰ μὲν ἔξαρνος γενέσθαι. τὰ δὲ τελευτῶν ὁμολογήσας, ἐλθεῖν εἰς
» δύο παῖδας καὶ ἀδελφὴν λῆμμα καὶ ἀνάλωμα ἐν ὀκτὼ ἔτεσιν, ἑπτὰ τάλαντα ἀργυ-
» ρίου. καὶ ἑπτακισχιλίας δραχμὰς ἀποδεῖξαι, καὶ εἰς τοῦτο ἦλθεν ἀναισχυντίας, ὥστε
» οὐκ ἔχων ὅπου τρέψειε τὰ χρήματα, εἰς ὄψον μὲν δυοῖν παιδίοιν καὶ ἀδελφῇ, πέντε ὀ-
» βολοὺς τῆς ἡμέρας ἐλογίζετο. εἰς ὑποδήματα δὲ καὶ εἰς γναφεῖον ἱμάτια. καὶ εἰς κου-
» ρεῖον οὐκ ἦν αὐτῷ κατὰ μῆνα οὐδὲ κατ᾽ ἐνιαυτὸν γεγραμμένα. συλλήβδην δὲ παντὸς
» τοῦ χρόνου, πλεῖον ἢ τάλαντον ἀργυρίου. εἰς δὲ τὸ μνῆμα τοῦ πατρὸς, οὐκ ἀναλώσας πέν-
» τε καὶ εἴκοσι μνᾶς. ἐκ πεντακισχιλίων δραχμῶν, τὸ μὲν ἥμισυ αὐτῷ τίθησι τούτοις
» λελογίσθαι. εἰς Διονύσια τοίνυν ὦ ἄνδρες δικασταὶ, οὐκ ἄτοπον γάρ μοι δοκεῖ καὶ περὶ
» τούτου μνησθῆναι, ἑκκαίδεκα δραχμῶν ἀπέφαινεν ἐωνημένον ἀρνίον. καὶ τούτων τὰς ὀκ-
» τὼ δραχμὰς, ἐλογίζετο τοῖς παισίν. ἐφ᾽ ᾧ ἡμεῖς οὐχ ἥκιστα ὠργίσθημεν. οὕτως ὦ ἄνδρες
» ἐν ταῖς μεγάλαις ζημίαις ἐνίοτε οὐχ ἧττον τὰ μικρὰ λυπεῖ τοὺς ἀδικουμένους· λίαν
» γὰρ φανερὰν τὴν πονηρίαν τῶν ἀδικούντων ἐπιδείκνυσιν. εἰς τοίνυν τὰς ἄλλας ἑορ-
» τὰς καὶ θυσίας, ἐλογίσατο αὐτοῖς πλέον, ἢ τετρακισχιλίας δραχμὰς ἀνηλωμένας, ἕτε-
» ρά τε παμπληθῆ, ἃ πρὸς τὸ κεφάλαιον συνελογίζετο. ὥσπερ διὰ τοῦτο ἐπίτροπος τῶν

παίδων

» παίδων καταλειφθείς, ἵνα γράμματα αὐτοῖς ἀντὶ τῶν χρημάτων ἀποδείξει, καὶ τινα-
» ς αὐτοὺς ἀντὶ πλουσίων ἀποφήνει· καὶ ἵνα εἰ μέν τις αὐτοῖς πατρικὸς ἐχθρὸς ἦν, ἐκεί-
» νου μὲν ἐπιλάθωνται· τῷ δ' ἐπεὶ τῶν πατρῴων εἰσὶν ἀπεστερημένοι, πολεμῶσι· καίτοι εἰ
» ἐβούλετο δίκαιος εἶναι περὶ τοὺς παῖδας, ἐξῆν αὐτῷ κατὰ τοὺς νόμους οἳ κεῖν-
» ται περὶ τῶν ὀρφανῶν καὶ τοῖς ἀδυνάτοις τῶν ἐπιτρόπων, καὶ τοῖς δυναμένοις μι-
» σθῶσαι τὸν οἶκον, ἀπηλλαγμένοις πολλῶν πραγμάτων. ἢ γῆν πριαμένοις ἐκ τῶν προ-
» σιόντων τοὺς παῖδας τρέφειν· καὶ ὁπότερον τούτων ἐποίησεν, οὐδενὸς ἂν ἧττον Ἀθηναί-
» ων πλούσιοι ἦσαν· νῦν δέ μοι δοκεῖ οὐδὲ πώποτε διανοηθῆναι ὡς φανερὰν καταστήσων
» τὴν οὐσίαν· ἀλλ' ὡς αὐτὸς ἕξων τὰ τούτων, ἡγούμενος δεῖν τὴν αὑτοῦ πονηρίαν, κληρο-
» νόμον εἶναι τῶν τοῦ τεθνεῶτος χρημάτων· ὃ δὲ πάντων δεινότατόν ἐστιν ὦ δικασταί, οὗτος γὰρ
» συντριηραρχῶν Ἀλεξίδι τῷ Ἀριστοδίκου, φάσκων δυοῖν δεούσας πεντήκοντα μνᾶς
» ἐκείνῳ συμβαλέσθαι τὸ ἥμισυ τούτων, τοῖς ὀρφανοῖς οὖσι λελόγισται, οὓς ἡ πόλις οὐ
» μόνον παῖδας ὄντας ἀτελεῖς ἐποίησεν, ἀλλὰ καὶ ἐπειδὰν δοκιμασθῶσιν ἐνιαυτὸν ἀφῆ-
» κεν ἁπασῶν τῶν λειτουργιῶν· οὗτος δὲ πάππος ὢν παρὰ τοὺς νόμους, τῆς ἑαυτοῦ τριη-
» ραρχίας, παρὰ τῶν θυγατριδῶν τὸ ἥμισυ πράττεται. καὶ ἀποπέμψας εἰς τὴν Ἀδρίαν
» ὁλκάδα δυοῖν ταλάντοιν, ὅτε μὲν ἀπέστελλεν ἔλεγε πρὸς τὴν μητέρα αὐτῶν, ὅτι τῶν παίδων
» ὁ κίνδυνος εἴη· ἐπεὶ δὲ ἐσώθη καὶ ἐδιπλασίασεν, αὑτοῦ τὴν ἐμπορίαν ἔφασκεν εἶναι· καὶ
» μέντοι εἰ μὲν τὰς ζημίας τούτων ἀποδείξει, τὰ δὲ σωθέντα τῶν χρημάτων αὐτὸς ἕξει· ὅτι
» μὲν ἀνήλωται τὰ χρήματα, οὐ χαλεπῶς εἰς τὸν λόγον ἐγγράψει· ῥᾳδίως δὲ ἐκ τῶν ἀλ-
» λοτρίων αὐτὸς πλουτήσει· καθ' ἕκαστον μὲν οὖν ὦ δικασταί, πολὺ ἂν εἴη ἔργον πρὸς ὑμᾶς
» λογίζεσθαι· ἐπειδὴ δὲ μόλις παρ' αὐτοῦ παρέλαβον τὰ γράμματα, μάρτυρας ἔχων,
» ἠρώτων Ἀριστόδικον τὸν ἀδελφὸν τοῦ Ἀλεξίδος· αὐτὸς γὰρ ἐτύγχανε τετελευτηκὼς εἰ ὁ λό-
» γος αὐτῷ εἴη τῆς τριηραρχίας· ὁ δὲ, ἔφασκεν εἶναι. καὶ ἐλθόντες οἴκαδε, εὕρομεν Διογεί-
» τονα τετταράκοντα καὶ εἴκοσι μνᾶς ἐκείνῳ συμβεβλημένον εἰς τὴν τριηραρχίαν· οὗτος δὲ
» ἐπέλειπε δυοῖν δεούσας πεντήκοντα μνᾶς, ἀνηλωκέναι· ὥστε τούτοις λελογίσθαι, ὅσον
» ὅπερ ὅλον τὸ ἀνάλωμα αὐτῷ γεγένηται· καίτοι τί αὐτὸν οἴεσθε πεποιηκέναι, περὶ ὧν
» αὐτῷ οὐδεὶς σύνοιδεν, ἀλλ' αὐτὸς μόνος διεχείριζεν· ὃς ἃ δι' ἑτέρων ἐπράχθη, καὶ οὐ χα-
» λεπὸν ἦν περὶ τούτων πυθέσθαι, ἐτόλμησε ψευσάμενος, τέτταρσι καὶ εἴκοσι μναῖς τὰς
» αὑτοῦ θυγατριδοῦς ζημιῶσαι, καί μοι ἀνάβητε τούτων μάρτυρες. μάρτυρες.
» Τῶν μὲν μαρτύρων ἀκηκόατε ὦ δικασταί· ἐγὼ δ' ὅσα τελευτῶν ὁμολόγησεν αὐ-
» τὸς ἔχειν χρήματα, ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς, ἐκ τούτων αὐτῶν λογιοῦ-
» μαι· πρόσοδον μὲν οὐδὲ μίαν ἀποφαίνων· ἀπὸ δὲ τῶν ὑπαρχόντων ἀναλίσκων, καὶ θή-
» σω ὅσον οὐδεὶς πώποτε ἐν τῇ πόλει εἰς δύο παῖδας, καὶ ἀδελφὴν, καὶ παιδαγωγὸν, καὶ
» θεράπαιναν, χιλίας δραχμὰς ἑκάστου ἐνιαυτοῦ, μικρὸν ἔλαττον ἢ τρεῖς δραχμὰς τῆς
» ἡμέρας, ἐν ὀκτὼ ἔτεσιν αὗται γίνονται, ὀκτακισχίλιαι δραχμαί· καὶ ἀποδείκνυν-
» ται ἓξ τάλαντα περιόντα τῶν ἑπτὰ ταλάντων, καὶ εἴκοσι μναῖ· οὐ γὰρ ἂν δύναιτο ἀ-
» ποδεῖξαι οὔθ' ὑπὸ τῶν λῃστῶν ἀπολωλεκὼς, οὔτε ζημίαν εἰληφὼς, οὔτε χρήσταις ἀποδε-
» δωκώς,

Ἐν μὲν δὴ τοῖς ἐπιδεικτικοῖς λόγοις, μαλακώτερος ὥσπερ ἔφυ. βούλεται μὲν γὰρ ὑψηλότερος εἶναι, καὶ μεγαλοπρεπέστερος· καὶ τῶν γε καθ' ἑαυτὸν ἢ πρότερον ῥητόρων ἀκμασάντων, οὐδενὸς ἂν δόξειεν εἶναι καταδεέστερος. οὐ διεγείρει δὲ τὸν ἀκροατὴν ὥσπερ Ἰσοκράτης, ἢ Δημοσθένης. θήσω δὲ καὶ τούτων παράδειγμα. ἔστι δή τις αὐτῷ πανηγυρικὸς λόγος, ἐν ᾧ πείθει τοὺς Ἕλληνας ἀγομένης Ὀλυμπιάσι τῆς πανηγύρεως, ἐκβάλλειν Διονύσιον τὸν τύραννον τῆς ἀρχῆς, καὶ Σικελίαν ἐλευθερῶσαι· ἄρξασθαί τε τῆς ἔχθρας, αὐτίκα μάλα· διαρπάσαντας τὴν τοῦ τυράννου σκηνὴν χρυσῷ τε καὶ πορφύρᾳ καὶ ἄλλῳ πλούτῳ πολλῷ κεκοσμημένην· ἔπεμψε γὰρ θεωροὺς εἰς τὴν πανήγυριν ὁ Διονύσιος, ἄγοντας θυσίαν τῷ θεῷ· μεγαλοπρεπής τε ἡ κατασκευὴ τῶν θεωρῶν ἐγίνετο ἐν τῷ τεμένει καὶ πολυτελής, ἵνα θαυμασθείη μᾶλλον ὁ τύραννος ὑπὸ τῆς Ἑλλάδος· ταύτην λαβὼν τὴν ὑπόθεσιν,

τοιαύτην πεποίηται τὴν ἀρχὴν τοῦ λόγου.

Ἄλλων τε πολλῶν καὶ καλῶν ἔργων ἕνεκα ὦ ἄνδρες ἄξιον ἡρακλέους μεμνῆσθαι. καὶ ὅτι τόνδε τὸν ἀγῶνα πρῶτος συνήγειρε δι' εὔνοιαν τῆς ἑλλάδος. ἐν μὲν γὰρ τῷ τέως χρόνῳ, ἀλλοτρίως αἱ πόλεις πρὸς ἀλλήλας διέκειντο. ἐπειδὴ δὲ ἐκεῖνος τοὺς τυράννους ἔπαυσε, καὶ τοὺς ὑβρίζοντας ἐκώλυσεν, ἀγῶνα μὲν σωμάτων ἐποίησε φιλοτιμίαν δὲ πλούτου. γνώμης δ' ἐπίδειξιν ἐν τῷ καλλίστῳ τῆς ἑλλάδος. ἵνα τούτων ἁπάντων ἕνεκα εἰς τὸ αὐτὸ συνέλθωμεν. τὰ μέν, ὀψόμενοι. τὰ δέ, ἀκουσόμενοι. ἡγήσατο γὰρ τὸν ἐνθάδε σύλλογον ἀρχὴν γενέσθαι τοῖς ἕλλησι τῆς πρὸς ἀλλήλους φιλίας. ἐκεῖνος μὲν οὖν ταῦθ' ὑφηγήσατο. ἐγὼ δὲ ἥκω οὐ μικρολογησόμενος, οὐδὲ περὶ τῶν ὀνομάτων μαχούμενος. ἡγοῦμαι γὰρ ταῦτα, ἔργα μὲν εἶναι σοφὰ τῶν λίαν χρηστῶν καὶ σφόδρα βίου δεομένων. ἀνδρὸς δὲ ἀγαθοῦ καὶ πολίτου πολλοῦ ἀξίου περὶ τῶν μεγίστων συμβουλεύειν, ὁρῶν οὕτως αἰσχρῶς διακειμένην τὴν ἑλλάδα, καὶ πολλὰ μὲν αὐτῆς ὄντα ὑπὸ τῷ βαρβάρῳ. πολλὰς δὲ πόλεις ὑπὸ τυράννων ἀναστάτους γεγενημένας. καὶ ταῦτα εἰ μὲν δι' ἀσθένειαν ἐπάσχομεν, στέργειν ἂν ἦν ἀνάγκη τὴν τύχην. ἐπειδὴ δὲ διὰ στάσιν καὶ τὴν πρὸς ἀλλήλους φιλονεικίαν, πῶς οὐκ ἄξιον, τῶν μέν, παύσασθαι. τὰ δὲ κωλῦσαι. εἰδότας ὅτι φιλονεικεῖν μέν ἐστιν εὖ πραττόντων γνῶναι δὲ τὰ βέλτιστα τῶν ἀτυχούντων. ὁρῶμεν γὰρ τοὺς κινδύνους, καὶ μεγάλους, καὶ πανταχόθεν περιεστηκότας. ἐπίστασθε δὲ ὅτι ἡ μὲν ἀρχή, τῶν κρατούντων τῆς θαλάσσης. τῶν δὲ χρημάτων βασιλεὺς ταμίας. τὰ δὲ τῶν ἑλλήνων σώματα, τῶν δαπανᾶσθαι δυναμένων. ναῦς δὲ πολλὰς αὐτὸς κέκτηται. πολλὰς δ' ὁ τύραννος τῆς σικελίας. ὥστε ἄξιον τὸν μὲν πρὸς ἀλλήλους πόλεμον καταθέσθαι. τῇ δ' αὐτῇ γνώμῃ χρωμένους τῆς σωτηρίας ἀντέχεσθαι, καὶ περὶ μὲν τῶν παρεληλυθότων αἰσχύνεσθαι. περὶ δὲ τῶν μελλόντων ἔσεσθαι, δεδιέναι. καὶ τοὺς προγόνους μιμεῖσθαι. οἳ τοὺς μὲν βαρβάρους ἐποίησαν τῆς ἀλλοτρίας ἐπιθυμοῦντας, τῆς σφετέρας αὐτῶν ἐστερῆσθαι. τοὺς δὲ τυράννους ἐξελάσαντες, κοινὴν ἅπασι τὴν ἐλευθερίαν κατέστησαν. θαυμάζω δὲ λακεδαιμονίους πάντων μάλιστα. τίνι ποτὲ γνώμῃ χρώμενοι. καιομένην τὴν ἑλλάδα περιορῶσιν. ἡγεμόνες ὄντες τῶν ἑλλήνων οὐκ ἀδίκως, καὶ διὰ τὴν ἔμφυτον ἀρετὴν καὶ διὰ τὴν πρὸς τὸν πόλεμον ἐπιστήμην. μόνοι δὲ οἰκοῦντες, ἀπόρθητοι, καὶ ἀτείχιστοι, καὶ ἀστασίαστοι, καὶ ἀήττητοι καὶ τρόποις ἀεὶ τοῖς αὐτοῖς χρώμενοι. ὧν ἕνεκα ἐλπὶς ἀθάνατον τὴν ἐλευθερίαν αὐτοὺς κεκτῆσθαι, καὶ ἐν τοῖς παρεληλυθόσι κινδύνοις, σωτῆρας γενομένους τῆς ἑλλάδος, περὶ τῶν μελλόντων προορᾶσθαι. οὐ τοίνυν ὁ ἐπιὼν καιρός, τοῦ παρόντος βελτίων. οὐ γὰρ ἀλλοτρίας δεῖ τὰς τῶν ἀπολωλότων συμφορὰς νομίζειν, ἀλλ' οἰκείας. οὐδ' ἀναμεῖναι ἕως ἐπ' αὐτοὺς ἡμᾶς αἱ δυνάμεις ἀμφοτέρων ἔλθωσιν. ἀλλ' ἕως ἔτι ἔξεστι, τὴν τούτων ὕβριν κωλῦσαι. τίς γὰρ οὐκ ἂν ἐνορῶν ἐν τῷ πρὸς ἀλλήλους πολέμῳ, μεγάλους αὐτοὺς γεγενημένους. ὧν οὐ μόνον αἰσχρῶν ὄντων, ἀλλὰ καὶ δεινῶν, τοῖς μὲν μεγάλα ἐξημαρτηκόσιν, ἐξουσία γεγένηται τῶν πεπραγμένων. τοῖς δὲ ἕλλησιν, οὐδὲ μία αὐτῶν τιμωρία.

Ἐνδέχεται παράδειγμα θεῖναι λόγου συμβουλευτικοῦ, ἵνα καὶ τούτου τοῦ γένους τοῦ λόγου ὁ χαρακτὴρ γένηται σαφής. ὑπόθεσιν δὲ περιείληφε, περὶ τοῦ μὴ καταλῦσαι τὴν πάτριον πολιτείαν ἀθήνησι. τοῦ γὰρ δήμου κατελθόντος ἐκ πειραιῶς, καὶ ψηφισαμένου, διαλύσασθαι πρὸς τοὺς ἐν ἄστει, καὶ μηδενὸς τῶν γεγενημένων μνησικακεῖν, δέους δὲ ὄντος μὴ πάλιν τὸ πλῆθος εἰς τοὺς εὐπόρους ὑβρίζῃ τὴν ἀρχαίαν ἐξουσίαν κεκομισμένον, καὶ πολλῶν περὶ τούτου γινομένων λόγων, φορμίσιός τις τῶν συγκατελθόντων μετὰ τοῦ δήμου, γνώμην εἰσηγήσατο. τοὺς μὲν φεύγοντας κατιέναι, τὴν δὲ πολιτείαν μὴ πᾶσιν, ἀλλὰ τοῖς τὴν γῆν ἔχουσι παραδοῦναι. βουλομένων ταῦτα γενέσθαι καὶ λακεδαιμονίων. ἔμελλον δὲ τοῦ ψηφίσματος τούτου κυρωθέντος, πεντακισχίλιοι σχεδὸν ἀθηναίων ἀπελαθήσεσθαι τῶν κοινῶν. ἵνα μὴ δὴ τοῦτο γένοιτο, γράφει τὸν λόγον τόνδε ὁ λυσίας. τῶν ἐπισήμων τινὶ καὶ πολιτευομένων εἰ μὲν οὖν ἐρρήθη τότε, ἄδηλον. σύγκειται γοῦν ὡς πρὸς ἀγῶνα ἐπιτηδείως. ἔστι δὲ ὅδε.

Ὅτε ἐνομίζομεν ὦ ἀθηναῖοι τὰς γεγενημέ-

νας

» νας συμφορὰς ἱκανὰ μνημεῖα τῇ πόλει καταλελεῖφθαι, ὥστε μηδ' ἂν τοὺς ἐπιγινομέ-
» νους, ἑτέρας πολιτείας ἐπιθυμεῖν. τότε δὴ οὗτοι τοὺς κακῶς πεπονθότας, καὶ ἀμφο-
» τέρων πεπειραμένους, ἐξαπατῆσαι ζητοῦσι τοῖς αὐτοῖς ψηφίσμασιν, οἷσπερ καὶ πρό-
» τερον. διὸ δὴ καὶ τούτων μὲν οὐ θαυμάζω. ὑμῶν δὲ τῶν ἀκροωμένων ὅτι πάντων εἰσὶν
» ἐπιλησμονέστατοι ἢ πάσχειν ἑτοιμότατοι κακῶς ὑπὸ τοιούτων ἀνδρῶν, οἳ τῇ μὲν τύχῃ
» τῶν Πειραιέως πραγμάτων μετέσχον. τῇ δὲ γνώμῃ τῶν ἐξ ἄστεος. καίτοι τί ἔδει φεύγον-
» τας κατελθεῖν, εἰ χειροτονοῦντες ὑμᾶς αὐτοὺς καταδουλοῦσθε. ἐγὼ μὲν οὖν ὦ Ἀθηναῖοι,
» οὔτε γένει οὔτε πλούτῳ ἀπελαυνόμενος, ἀλλ' ἀμφότερα τῶν ἀντιλεγόντων πρότερος ὢν ἡγοῦμαι,
» ταύτην μόνην σωτηρίαν εἶναι τῇ πόλει, ἅπασιν Ἀθηναίοις τῆς πολιτείας μετεῖ-
» ναι. ἐπεὶ ὅτε καὶ τὰ τείχη καὶ τὰς ναῦς, καὶ τὰ χρήματα, καὶ συμμάχους ἐκτήμεθα
» οὐχ οὕτως ἵνα Ἀθηναίων τινὰ ποιήσωμεν διενοούμεθα, ἀλλὰ καὶ Εὐβοεῦσιν ἐπιγαμίαν
» ἐποιούμεθα; νῦν δὲ καὶ τοὺς ὑπάρχοντας πολίτας ἀπολοῦμεν; οὐκ ἂν ἔμοιγε πειθώ-
» μεθα. οὐ δὲ μετὰ τῶν τειχῶν καὶ ταῦτα ἡμῶν αὐτῶν περιαιρησόμεθα, ὁπλίτας πολ-
» λοὺς καὶ ἱππέας καὶ τοξότας. ὧν ὑμεῖς ἀντεχόμενοι, βεβαίως δημοκρατήσεσθε. τῶν
» δὲ ἐχθρῶν πλέον ἐπικρατήσετε. ὠφελιμώτεροι δὲ τοῖς συμμάχοις ἔσεσθε. ἐπίστασθε ἐν
» ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις γεγενημέναις, καὶ οὐ τοὺς γῆν κεκτημένους ἔχοντας τὴν πό-
» λιν. ἀλλὰ καὶ πολλοὺς μὲν αὐτῶν ἀποθανόντας, πολλοὺς δ' ἐκ τῆς πόλεως ἐκπεσόν-
» τας, οὓς ὁ δῆμος καταγαγὼν. ὑμῖν μὲν τὴν ὑμετέραν ἀπέδωκεν, αὐτὸς δὲ ταύτης οὐκ
» ἐτόλμησε μετασχεῖν. ὥστε ἂν ἔμοιγε πείθησθε, οὐ τοὺς εὐεργέτας καθὸ δύνασθε τῆς πα-
» τρίδος ἀποστερήσετε. οὐ δὲ τοὺς λόγους πιστοτέρους τῶν ἔργων. οὐ δὲ τὰ μέλλοντα τῶν
» γεγενημένων νομιεῖτε. ἄλλως τε καὶ μεμνημένοι τῶν περὶ τῆς ὀλιγαρχίας μαχομένων,
» οἳ τῷ μὲν λόγῳ τῷ δήμῳ πολεμοῦσι. τῷ δὲ ἔργῳ, τῶν ὑμετέρων ἐπιθυμοῦσιν, ὅπερ κτή-
» σονται. ὅταν ὑμᾶς ἐρήμους συμμάχων λάβωσιν. εἶτα τοῖς τῶν ἡμῖν ὑπαρχόντων ἐρῶ-
» σι, τίς ἔσται σωτηρία τῇ πόλει. εἰ μὴ ποιήσωμεν Λακεδαιμονίοις κελεύουσιν. ἐγὼ δὲ
» τούτοις εἰπεῖν ἀξιῶ, τί τῷ πλήθει περιγενήσεται εἰ ποιήσομεν ἃ ἐκεῖνοι προστάττου-
» σιν. εἰ δὲ μή, πολὺ κάλλιον μαχομένους ἀποθνήσκειν, ἢ φανερῶς ὑμῶν αὐτῶν θάνατον κα-
» ταψηφίσασθαι. ἡγοῦμαι γὰρ ἐὰν μὲν πείθω ἀμφοτέροις κοινὸν εἶναι κίνδυνον. ὁρῶ
» δὲ Ἀργείους καὶ Μαντινέας, τὴν αὐτὴν ἔχοντας γνώμην. τοὺς μὲν ὁμόρους ὄντας Λα-
» κεδαιμονίοις. τοὺς δὲ ἐγγὺς οἰκοῦντας, καὶ τοὺς μὲν, οὐδὲν ἡμῶν πλείους. τοὺς οὐδὲ τρισ-
» χιλίους ὄντας. ἴσασι γὰρ ὅτι κἂν πολλάκις εἰς τὴν τούτων ἐμβάλωσι, πολλάκις αὐ-
» τοῖς ἀπαντήσονται, ὅπλα λαβόντες. ὥστε οὐ καλὸς ὁ κίνδυνος αὐτοῖς δοκεῖ εἶναι.
» ἐὰν μὲν νικήσωσι, τούτους καταδουλώσασθαί γε. ἐὰν δὲ ἡττηθῶσι, σφᾶς αὐτοὺς ὑπαρ-
» χόντων ἀγαθῶν ἀποστερῆσαι. ὅσον δ' ἂν ἄμεινον πράττωσι, τοσούτῳ ἐπιθυμοῦσι κινδυ-
» νεύειν. εἴχομεν δὲ ὦ ἄνδρες καὶ ἡμεῖς ταύτην τὴν γνώμην ὅτε τῶν Ἑλλήνων ἤρχομεν,
» καὶ ἐδοκοῦμεν καλῶς βουλεύεσθαι. περιορῶντες μὲν τὴν χώραν τεμνομένην. οὐ νομί-
» ζοντες δὲ χρῆναι περὶ αὐτῆς διαμάχεσθαι. ἄξιον γὰρ ἦν ὀλίγων ἀμελοῦντας, πολ-
» λῶν ἀγαθῶν φείσασθαι. νῦν δὲ ἐπεὶ ἐκείνων μὲν ἁπάντων μάχῃ ἐστερήμεθα, ἡ δὲ πατρὶς
» ἡμῶν λέλειπται, ἴσμεν ὅτι ὁ κίνδυνος οὗτος μόνος ἔχει τὰς ἐλπίδας τῆς σωτηρίας.
» ἀλλὰ χρὴ ἀναμνησθέντας ὅτι ἤδη καὶ ἑτέροις ἀδικουμένοις βοηθήσαντες, ἐν τῇ ἀλλο-
» τρίᾳ πολλὰ τρόπαια τῶν πολεμίων ἐστήσαμεν, ἄνδρας ἀγαθοὺς περὶ τῆς πατρίδος
» καὶ ἡμῶν αὐτῶν γίνεσθαι. πιστεύοντας μὲν τοῖς θεοῖς, καὶ ἐλπίζοντας αὐθ' τὸ δίκαιον
» μετὰ τῶν ἀδικουμένων ἔσεσθαι. δεινὸν γὰρ ἂν εἴη ὦ Ἀθηναῖοι, εἰ ὅτε μὲν ἐφεύγομεν, ἐμα-
» χόμεθα Λακεδαιμονίοις ἵνα κατέλθωμεν. κατελθόντες δὲ φευξόμεθα, ἵνα μὴ μαχώμε-
» θα. οὐκοῦν αἰσχρὸν, εἰ εἰς τοῦτο κακίας ἥξομεν, ὥστε οἱ μὲν πρόγονοι καὶ ὑπὲρ τῆς τῶν
» ἄλλων ἐλευθερίας Ἑλλήνων διεκινδύνευον. ὑμεῖς δὲ, οὐ δὲ ὑπὲρ τῆς ὑμετέρας αὐτῶν
» τολμᾶτε πολεμεῖν; Ἀλλ' ἅλις ἤδη παραδειγμάτων. ἵνα καὶ περὶ τῶν λοιπῶν
ῥητόρων, τὸν αὐτὸν διαλεχθῶμεν τρόπον. ἔπεται δὲ ἐφεξῆς τούτῳ κατὰ τὴν τάξιν
τῶν χρόνων, Ἰσοκράτης. περὶ δὴ τούτου λεκτέον ἐφεξῆς ἑτέραν ἀρχὴν λαβοῦσιν.

BIBLIOTECA N.C. ROMA VITTORIO E.

Google